# Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

# Η ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ

# The New Covenant

---

The Greek New Testament

Stephanus 1550 Received Text

with 7803 textual variant notes, containing
all the readings of four printed editions

---

Bibles.org.uk, London.

New corrected text, notes and typesetting © 2002–2005 Bibles.org.uk.
Typeset with pdfLaTeX under Linux: Thu 18th Aug, 2005 at 14:11
Permission for *personal* use only is hereby given.

The Kerkis Greek fonts which were used to typeset this book are
© Department of Mathematics, University of the Ægæan.

# INTRODUCTION

This edition of Greek New Testament contains two revisions of the *Textus Receptus* and two other main recensions of the text, as described in the following paragraphs. It was prepared in strict accordance with the following basic principles:

- No variations, however strongly supported by the Greek manuscripts and printed editions have been introduced into the text but were relegated to the footnotes. The total number of footnotes in this book is 7803.

- While the modern chapter and verse numbering was preserved for the sake of convenient reference, the elements that rely on human interpretation, such as capital letters and punctuation, were completely disregarded as they have no support from the ancient manuscripts.

The following four printed recensions are fully collated in the footnotes of this edition:

T Textus Receptus, Stephanus 1550 edition. This is the base text of the present edition. Both the original 1550 edition and the Cambridge edition which was prepared by F.H.A. Scrivener in 1892 were consulted in the preparation of this work.

K Scrivener, Textus Receptus 1894. This is the text underlying the English Authorized Version of 1611 (K stands for KJV).

M Majority Text. Byzantian recension according to Zane C. Hodges and Arthur L. Farstad.

V Alexandrian recension (V stands for Vatican). This is the Greek text which is based on the manuscripts of Egyptian origin used by the UBS4/NA27 printed editions.

E Abbreviation for TMKV where these four editions agree and we include variants from the Greek manuscripts. (E stands for printed Editions). The number of footnotes which contain E and thus show the evidence present only in the manuscripts is 61. We have presented the evidence from the manuscripts *only* when it was not already present in one of the printed editions.

T* Abbreviation for TMK where these three editions agree. It should be noted that T* occurs in over 72% of all textual variants.

The decision as to which recension to choose as a body of the text and which to place in the footnotes is pretty much *arbitrary*. However, once decided, it was never deviated from. Thus, the main text represents *exactly* that of Stephanus 1550 Textus Receptus, whilst the readings in the footnotes correspond *exactly* to the recensions represented by their respective symbols. In effect, this book contains "four books in one", i.e., assumes that the reader will give the footnotes as much attention as to the main text, and, in each case of various readings, the reader must consult the Spirit of Truth, to be guided by the way of wisdom into the light of understanding.

In some cases (such as Mat 27.49 or Luk 6.4) the main recensions were not sufficient and I had no choice but to refer to the manuscripts. The following abbreviations are used to refer to the manuscripts in the footnotes:

- ℵ Codex Sinaiticus, IV century.
- A Codex Alexandrinus, V century.
- B Codex Vaticanus (no book of Revelation), IV century.
- C Codex Ephraemi Rescriptus, V century.
- D Codex Bezae Cantabrigiensis, V century. The evidence from the Codex Bezae is quoted in 60 footnotes.
- F Some *other* manuscript (collective name for all other witnesses).

The word on which there is a textual variant note has a little circle. If the textual variant affects multiple words then only the end of the first word is marked with the circle. The ∅ sign is used in the footnotes to indicate that the corresponding text is not present. A special symbol ⋄ is used as a verse terminator.

It is my pleasure to acknowledge the helpful contributions from the following people (in alphabetical order by first name): Andreas Matthias, Anoush Yavrian, Antonis Tsolomitis, Apostolos Syropoulos, Claudio Estrugo, Donald Arseneau, Heiko Oberdiek, Jonathan Melville, Lucy Khachoyan, Mark Shoulson, Piet van Oostrum, Sebastian Rahtz, Taras Dyatlik, Victor Zhuromsky, Vladimir Volovich and Yannis Haralambous.

And, most of all, I thank and praise the LORD God of Israel for providing everything his servant needed for preserving his precious words in this generation. May the LORD use the labours of all his servants to open the eyes of many in Israel and in all nations.

*Tigran Aivazian*
*London, England.*

# The Books
# Of The New Testament


Page

ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ . . . . . 1
ΚΑΤΑ ΜΑΡΚΟΝ . . . . . 72
ΚΑΤΑ ΛΟΥΚΑΝ . . . . . 122
ΚΑΤΑ ΙΩΑΝΝΗΝ . . . . . 202
ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ . . . . . 260
ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ . . . . . 338
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α . . . . . 365
ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β . . . . . 392
ΠΡΟΣ ΓΑΛΑΤΑΣ . . . . . 410
ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ . . . . . 419
ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ . . . . . 429
ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ . . . . . 436
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α . . . . . 443
ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β . . . . . 449
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α . . . . . 453
ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β . . . . . 460
ΠΡΟΣ ΤΙΤΟΝ . . . . . 466
ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ . . . . . 469
ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ . . . . . 471
ΙΑΚΩΒΟΥ . . . . . 492
ΠΕΤΡΟΥ Α . . . . . 500
ΠΕΤΡΟΥ Β . . . . . 508
ΙΩΑΝΝΟΥ Α . . . . . 513
ΙΩΑΝΝΟΥ Β . . . . . 521
ΙΩΑΝΝΟΥ Γ . . . . . 523
ΙΟΥΔΑ . . . . . 524
ΑΠΟΚΑΛΥΨΙΣ . . . . . 527

# ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ
## ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ˚

Βίβλος γενέσεως ἰησοῦ χριστοῦ υἱοῦ δαβὶδ υἱοῦ ἀβρα- **1**
ἀμ ⸰ ἀβραὰμ ἐγέννησεν τὸν ἰσαὰκ ἰσαὰκ δὲ ἐγέννησεν τὸν 2
ἰακὼβ ἰακὼβ δὲ ἐγέννησεν τὸν ἰούδαν καὶ τοὺς ἀδελφοὺς
αὐτοῦ ⸰ ἰούδας δὲ ἐγέννησεν τὸν φαρὲς καὶ τὸν ζαρὰ ἐκ τῆς 3
θάμαρ φαρὲς δὲ ἐγέννησεν τὸν εσρὼμ ἐσρὼμ δὲ ἐγέννησεν
τὸν ἀράμ ⸰ ἀρὰμ δὲ ἐγέννησεν τὸν ἀμιναδὰβ ἀμιναδὰβ δὲ 4
ἐγέννησεν τὸν ναασσὼν ναασσὼν δὲ ἐγέννησεν τὸν σαλμών ⸰
σαλμὼν δὲ ἐγέννησεν τὸν βοὸζ ἐκ τῆς ῥαχὰβ βοὸζ δὲ ἐγέν- 5
νησεν τὸν ὼβὴδ ἐκ τῆς ῥοὺθ ὼβὴδ δὲ ἐγέννησεν τὸν ἰεσσαί ⸰
ἰεσσαὶ δὲ ἐγέννησεν τὸν δαβὶδ τὸν βασιλέα δαβὶδ δὲ ὁ˚ βα- 6
σιλεὺς ἐγέννησεν τὸν σολομῶντα ἐκ τῆς τοῦ οὐρίου ⸰ σο- 7
λομὼν δὲ ἐγέννησεν τὸν ῥοβοὰμ ῥοβοὰμ δὲ ἐγέννησεν τὸν
ἀβιὰ ἀβιὰ δὲ ἐγέννησεν τὸν ἀσά ⸰ ἀσὰ δὲ ἐγέννησεν τὸν 8
ἰωσαφὰτ ἰωσαφὰτ δὲ ἐγέννησεν τὸν ἰωρὰμ ἰωρὰμ δὲ ἐγέν-
νησεν τὸν ὀζίαν ⸰ ὀζίας δὲ ἐγέννησεν τὸν ἰωάθαμ ἰωάθαμ 9
δὲ ἐγέννησεν τὸν ἄχαζ ἄχαζ δὲ ἐγέννησεν τὸν ἐζεκίαν ⸰ ἐζε- 10
κίας δὲ ἐγέννησεν τὸν μανασσῆ μανασσῆς δὲ ἐγέννησεν τὸν
ἀμὼν ἀμὼν δὲ ἐγέννησεν τὸν ἰωσίαν ⸰ ἰωσίας δὲ ἐγέννησεν 11
τὸν ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας
βαβυλῶνος ⸰ μετὰ δὲ τὴν μετοικεσίαν βαβυλῶνος ἰεχονίας 12
ἐγέννησεν τὸν σαλαθιὴλ σαλαθιὴλ δὲ ἐγέννησεν τὸν ζορο-
βάβελ ⸰ ζοροβάβελ δὲ ἐγέννησεν τὸν ἀβιοὺδ ἀβιοὺδ δὲ ἐγέν- 13
νησεν τὸν ἐλιακεὶμ ἐλιακεὶμ δὲ ἐγέννησεν τὸν ἀζὼρ ⸰ ἀζὼρ 14
δὲ ἐγέννησεν τὸν σαδὼκ σαδὼκ δὲ ἐγέννησεν τὸν ἀχεὶμ
ἀχεὶμ δὲ ἐγέννησεν τὸν ἐλιούδ ⸰ ἐλιοὺδ δὲ ἐγέννησεν τὸν 15

---

Τ: ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ, Κ: ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ, Μ: ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ, V: ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ. **1. v.1** T*: δαβιδ, V: δαυιδ. **v.5** T*: βοοζ, V: βοες. **v.5** T*: ωβηδ, V: ιωβηδ. **v.6** T*: δαβιδ, V: δαυιδ. **v.6** T*: ο βασιλευς, V: ∅. **v.6** ΤΚ: σολομωντα, MV: σολομωνα. **v.7** T*: ασα, V: ασαφ. **v.8** T*: ασα, V: ασαφ. **v.10** T*: αμων, V: αμως. **v.13** T*: ελιακειμ, V: ελιακιμ. **v.14** T*: αχειμ, V: αχιμ.

ἐλεάζαρ ἐλεάζαρ δὲ ἐγέννησεν τὸν ματθὰν ματθὰν δὲ ἐγέν-
16 νησεν τὸν ἰακώβ· ἰακὼβ δὲ ἐγέννησεν τὸν ἰωσὴφ τὸν ἄν-
δρα μαρίας ἐξ ἧς ἐγεννήθη ἰησοῦς ὁ λεγόμενος χριστός·
17 πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ ἀβραὰμ ἕως δαβὶδ γενεαὶ δεκα-
τέσσαρες καὶ ἀπὸ δαβὶδ ἕως τῆς μετοικεσίας βαβυλῶνος
γενεαὶ δεκατέσσαρες καὶ ἀπὸ τῆς μετοικεσίας βαβυλῶνος
18 ἕως τοῦ χριστοῦ γενεαὶ δεκατέσσαρες· τοῦ δὲ ἰησοῦ χρι-
στοῦ ἡ γένν̈ησις οὕτως ἦν μνηστευθείσης γὰρ τῆς μητρὸς
αὐτοῦ μαρίας τῷ ἰωσὴφ πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη
19 ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου· ἰωσὴφ δὲ ὁ ἀνὴρ
αὐτῆς δίκαιος ὢν καὶ μὴ θέλων αὐτὴν παραδειγ̈ματίσαι
20 ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν· ταῦτα δὲ αὐτοῦ ἐνθυ-
μηθέντος ἰδοὺ ἄγγελος κυρίου κατ᾽ ὄναρ ἐφάνη αὐτῷ λέ-
γων ἰωσὴφ υἱὸς δαβὶδ μὴ φοβηθῇς παραλαβεῖν μαριὰμ̈ τὴν
γυναῖκά σου τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν
21 ἁγίου· τέξεται δὲ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἰη-
σοῦν αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν
22 αὐτῶν· τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ
23 τοῦ κυρίου διὰ τοῦ προφήτου λέγοντος· ἰδοὺ ἡ παρθένος
ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσιν τὸ ὄνομα
αὐτοῦ ἐμμανουὴλ ὅ ἐστιν μεθερμηνευόμενον μεθ᾽ ἡμῶν ὁ
24 θεός· διεγ̈ερθεὶς δὲ ὁ ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν ὡς
προσέταξεν αὐτῷ ὁ ἄγγελος κυρίου καὶ παρέλαβεν τὴν γυ-
25 ναῖκα αὐτοῦ· καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκεν τὸν˚
υἱὸν αὐτῆς τὸν πρωτότοκον καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ
ἰησοῦν·

**2** Τοῦ δὲ ἰησοῦ γεννηθέντος ἐν βηθλεὲμ τῆς ἰουδαίας ἐν
ἡμέραις ἡρώδου τοῦ βασιλέως ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν
2 παρεγ̈ένοντο εἰς ἰεροσόλυμα· λέγοντες ποῦ ἐστιν ὁ τεχθεὶς
βασιλεὺς τῶν ἰουδαίων εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ
3 ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ· ἀκούσας δὲ ἡ-

**v.17** T*: δαβιδ, V: δαυιδ. **v.18** T*: γεννησις, V: γενεσις. **v.18** T*: γαρ, V: ∅. **v.19** T*: παραδειγματισαι, V: δειγματισαι. **v.20** T*: δαβιδ, V: δαυιδ. **v.20** T*: μαριαμ, V: μαριαν. **v.22** T*: του, V: ∅. **v.24** T*: διεγερθεις, V: εγερθεις. **v.25** T*: τον υιον αυτης τον πρωτοτοκον, V: υιον.

ρώδης˚ ὁ βασιλεὺς ἐταράχθη καὶ πᾶσα ἱεροσόλυμα μετ᾽ αὐ-
τοῦ ⸰ καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμμα- 4
τεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ᾽ αὐτῶν ποῦ ὁ χριστὸς γεννᾶ-
ται ⸰ οἱ δὲ εἶπὸν αὐτῷ ἐν βηθλεὲμ τῆς ἰουδαίας οὕτως γὰρ 5
γέγραπται διὰ τοῦ προφήτου ⸰ καὶ σὺ βηθλεὲμ γῆ ἰούδα 6
οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν ἰούδα ἐκ σοῦ γὰρ
ἐξελεύσεται ἡγούμενος ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν ἰσ-
ραήλ ⸰ τότε ἡρώδης λάθρα καλέσας τοὺς μάγους ἠκρίβω- 7
σεν παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος ⸰ καὶ 8
πέμψας αὐτοὺς εἰς βηθλεὲμ εἶπεν πορευθέντες ἀκριβῶς˚
ἐξετάσατε περὶ τοῦ παιδίου ἐπὰν δὲ εὕρητε ἀπαγγείλατέ
μοι ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ ⸰ οἱ δὲ ἀκούσαν- 9
τες τοῦ βασιλέως ἐπορεύθησαν καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν
τῇ ἀνατολῇ προῆγεν αὐτοὺς ἕως ἐλθὼν ἔστῆ ἐπάνω οὗ ἦν τὸ
παιδίον ⸰ ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην 10
σφόδρα ⸰ καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εὗρον τὸ παιδίον με- 11
τὰ μαρίας τῆς μητρὸς αὐτοῦ καὶ πεσόντες προσεκύνησαν
αὐτῷ καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν
αὐτῷ δῶρα χρυσὸν καὶ λίβανον καὶ σμύρναν ⸰ καὶ χρημα- 12
τισθέντες κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς ἡρώδην δι᾽ ἄλλης
ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν ⸰ ἀναχωρησάντων 13
δὲ αὐτῶν ἰδοὺ ἄγγελος κυρίου φαίνεται κατ᾽ ὄναρ τῷ ἰω-
σὴφ λέγων ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα
αὐτοῦ καὶ φεῦγε εἰς αἴγυπτον καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοὶ
μέλλει γὰρ ἡρώδης ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό ⸰
ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ 14
νυκτὸς καὶ ἀνεχώρησεν εἰς αἴγυπτον ⸰ καὶ ἦν ἐκεῖ ἕως τῆς 15
τελευτῆς ἡρώδου ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου
διὰ τοῦ προφήτου λέγοντος ἐξ αἰγύπτου ἐκάλεσα τὸν υἱόν
μου ⸰ τότε ἡρώδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων ἐ- 16
θυμώθη λίαν καὶ ἀποστείλας ἀνεῖλεν πάντας τοὺς παῖδας

**2. v.3** T*: ηρωδης ο βασιλευς, V: ο βασιλευς ηρωδης. **v.5** T*: ειπον, V: ειπαν. **v.8** T*: ακριβως εξετασατε, V: εξετασατε ακριβως. **v.9** T*: εστη, V: εσταθη. **v.11** T: ευρον, KMV: ειδον. **v.15** T*: του, V: ∅.

τοὺς ἐν βηθλεὲμ καὶ ἐν πᾶσιν τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς
καὶ κατωτέρω κατὰ τὸν χρόνον ὃν ἠκρίβωσεν παρὰ τῶν μά-
17 γων ◦ τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ ἱερεμίου τοῦ προφήτου
18 λέγοντος ◦ φωνὴ ἐν ῥαμᾶ ἠκούσθη θρῆνος˚ καὶ κλαυθμὸς
καὶ ὀδυρμὸς πολὺς ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς καὶ
19 οὐκ ἤθελεν παρακληθῆναι ὅτι οὐκ εἰσίν ◦ τελευτήσαντος
δὲ τοῦ ἡρώδου ἰδοὺ ἄγγελος κυρίου κατ˚ ὄναρ φαίνεται
20 τῷ ἰωσὴφ ἐν αἰγύπτῳ ◦ λέγων ἐγερθεὶς παράλαβε τὸ παι-
δίον καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς γῆν ἰσραὴλ
21 τεθνήκασιν γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου ◦ ὁ δὲ
ἐγερθεὶς παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ
22 ἦλθὲν εἰς γῆν ἰσραήλ ◦ ἀκούσας δὲ ὅτι ἀρχέλαος βασιλεύει
ἐπὶ τῆς ἰουδαίας ἀντὶ ἡρώδου˚ τοῦ πατρὸς αὐτοῦ ἐφοβήθη
ἐκεῖ ἀπελθεῖν χρηματισθεὶς δὲ κατ˚ ὄναρ ἀνεχώρησεν εἰς τὰ
23 μέρη τῆς γαλιλαίας ◦ καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγο-
μένην ναζαρὲτ˙ ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν
ὅτι ναζωραῖος κληθήσεται ◦

**3** ᾽Εν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται ἰωάννης ὁ βα-
2 πτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς ἰουδαίας ◦ καὶ λέγων
3 μετανοεῖτε ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν ◦ οὗτος
γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ ἡσαΐου τοῦ προφήτου λέγοντος
φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν κυρίου εὐ-
4 θείας ποιεῖτε τὰς τρίβους αὐτοῦ ◦ αὐτὸς δὲ ὁ ἰωάννης εἶχεν
τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματί-
νην περὶ τὴν ὀσφὺν αὐτοῦ ἡ δὲ τροφὴ αὐτοῦ˚ ἦν ἀκρίδες
5 καὶ μέλι ἄγριον ◦ τότε ἐξεπορεύετο πρὸς αὐτὸν ἱεροσόλυμα
καὶ πᾶσα ἡ ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ ἰορδάνου ◦
6 καὶ ἐβαπτίζοντο ἐν τῷ ἰορδάνῃ˚ ὑπ˚ αὐτοῦ ἐξομολογούμε-
7 νοι τὰς ἁμαρτίας αὐτῶν ◦ ἰδὼν δὲ πολλοὺς τῶν φαρισαίων
καὶ σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ εἶπεν

---

**v.17** T*: υπο, V: δια. **v.18** T*: θρηνος και, V: ∅. **v.19** T*: κατ οναρ φαινεται, V: φαινεται κατ οναρ. **v.21** T*: ηλθεν, V: εισηλθεν. **v.22** T*: επι, V: ∅. **v.22** T*: ηρωδου του πατρος αυτου, V: του πατρος αυτου ηρωδου. **v.23** TMV: ναζαρετ, K: ναζαρεθ. **3. v.3** T*: υπο, V: δια. **v.4** T*: αυτου ην, V: ην αυτου. **v.6** T*: ιορδανη, V: ιορδανη ποταμω.

αὐτοῖς γεννήματα ἐχιδνῶν τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ
τῆς μελλούσης ὀργῆς ◦ ποιήσατε οὖν καρποὺς˚ ἀξίους τῆς 8
μετανοίας ◦ καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς πατέρα ἔχο- 9
μεν τὸν ἀβραὰμ λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν
λίθων τούτων ἐγειραι τέκνα τῷ ἀβραάμ ◦ ἤδη δὲ καὶ ἡ ἀ- 10
ξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται πᾶν οὖν δένδρον
μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλε-
ται ◦ ἐγὼ μὲν βαπτίζω˚ ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν ὁ δὲ 11
ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μού ἐστιν οὗ οὐκ εἰμὶ
ἱκανὸς τὰ ὑποδήματα βαστάσαι αὐτὸς ὑμᾶς βαπτίσει ἐν
πνεύματι ἁγίῳ καὶ˚ πυρί ◦ οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ 12
καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ συνάξει τὸν σῖτον
αὐτοῦ εἰς τὴν ἀποθήκην τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀ-
σβέστῳ ◦ τότε παραγίνεται ὁ ἰησοῦς ἀπὸ τῆς γαλιλαίας ἐπὶ 13
τὸν ἰορδάνην πρὸς τὸν ἰωάννην τοῦ βαπτισθῆναι ὑπ᾽ αὐ-
τοῦ ◦ ὁ δὲ ἰωάννης διεκώλυεν αὐτὸν λέγων ἐγὼ χρείαν ἔχω 14
ὑπὸ σοῦ βαπτισθῆναι καὶ σὺ ἔρχῃ πρός με ◦ ἀποκριθεὶς 15
δὲ ὁ ἰησοῦς εἶπεν πρὸς αὐτὸν ἄφες ἄρτι οὕτως γὰρ πρέ-
πον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην τότε ἀφίησιν
αὐτόν ◦ καὶ˚ βαπτισθεὶς ὁ ἰησοῦς ἀνέβη˚ εὐθὺς ἀπὸ τοῦ ὕ- 16
δατος καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ καὶ εἶδεν τὸ
πνεῦμα τοῦ θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν καὶ ἐρχό-
μενον ἐπ᾽ αὐτόν ◦ καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα 17
οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα ◦

Τότε ὁ ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύ- **4**
ματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου ◦ καὶ νηστεύσας ἡ- 2
μέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα ὕστερον ἐ-
πείνασεν ◦ καὶ προσελθὼν˚ αὐτῷ ὁ πειράζων εἶπεν εἰ υἱὸς 3
εἶ τοῦ θεοῦ εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται ◦ ὁ δὲ 4
ἀποκριθεὶς εἶπεν γέγραπται οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται

**v.8** TK: καρπους αξιους, MV: καρπον αξιον. **v.10** T*: και, V: ∅. **v.11** T*: βαπτιζω υμας, V: υμας βαπτιζω. **v.11** TKV: και πυρι, M: ∅. **v.16** T*: και βαπτισθεις, V: βαπτισθεις δε. **v.16** T*: ανεβη ευθυς, V: ευθυς ανεβη. **v.16** T*: ανεωχθησαν, V: ηνεωχθησαν. **4. v.2** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.3** T*: προσελθων αυτω ο πειραζων ειπεν, V: προσελθων ο πειραζων ειπεν αυτω.

ἄνθρωπος ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στό-
5 ματος θεοῦ· τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν
ἁγίαν πόλιν καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ·
6 καὶ λέγει αὐτῷ εἰ υἱὸς εἶ τοῦ θεοῦ βάλε σεαυτὸν κάτω γέ-
γραπται γὰρ ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ
καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε μήποτε προσκόψῃς πρὸς λίθον
7 τὸν πόδα σοῦ· ἔφη αὐτῷ ὁ ἰησοῦς πάλιν γέγραπται οὐκ
8 ἐκπειράσεις κύριον τὸν θεόν σου· πάλιν παραλαμβάνει
αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν καὶ δείκνυσιν αὐ-
τῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν·
9 καὶ λέγει αὐτῷ ταῦτα πάντα σοι δώσω ἐὰν πεσὼν προσκυ-
10 νήσῃς μοι· τότε λέγει αὐτῷ ὁ ἰησοῦς ὕπαγε σατανᾶ γέγρα-
πται γὰρ κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ
11 λατρεύσεις· τότε ἀφίησιν αὐτὸν ὁ διάβολος καὶ ἰδοὺ ἄγγε-
12 λοι προσῆλθον καὶ διηκόνουν αὐτῷ· ἀκούσας δὲ ὁ ἰησοῦς
13 ὅτι ἰωάννης παρεδόθη ἀνεχώρησεν εἰς τὴν γαλιλαίαν· καὶ
καταλιπὼν τὴν ναζαρὲτ ἐλθὼν κατῴκησεν εἰς καπερναοὺμ
τὴν παραθαλασσίαν ἐν ὁρίοις ζαβουλὼν καὶ νεφθαλείμ·
14 ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ ἡσαΐου τοῦ προφήτου λέγον-
15 τος· γῆ ζαβουλὼν καὶ γῆ νεφθαλεὶμ ὁδὸν θαλάσσης πέραν
16 τοῦ ἰορδάνου γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος
ἐν σκότει εἶδεν φῶς μέγα καὶ τοῖς καθημένοις ἐν χώρᾳ
17 καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς· ἀπὸ τότε ἤρξατο
ὁ ἰησοῦς κηρύσσειν καὶ λέγειν μετανοεῖτε ἤγγικεν γὰρ ἡ
18 βασιλεία τῶν οὐρανῶν· περιπατῶν δὲ ὁ ἰησοῦς παρὰ τὴν
θάλασσαν τῆς γαλιλαίας εἶδεν δύο ἀδελφοὺς σίμωνα τὸν
λεγόμενον πέτρον καὶ ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλ-
λοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν ἦσαν γὰρ ἁλιεῖς·
19 καὶ λέγει αὐτοῖς δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς
20 ἀνθρώπων· οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν

---

**v.4** T*: ανθρωπος, V: ο ανθρωπος. **v.5** T*: ιστησιν, V: εστησεν. **v.9** T*: λεγει, V: ειπεν. **v.9** T*: παντα σοι, V: σοι παντα. **v.10** TKV: υπαγε, M: υπαγε οπισω μου. **v.12** T*: ο ιησους, V: ∅. **v.13** TM: ναζαρετ, K: ναζαρεθ, V: ναζαρα. **v.13** T*: καπερναουμ, V: καφαρναουμ. **v.13** T*: νεφθαλειμ, V: νεφθαλιμ. **v.15** T*: νεφθαλειμ, V: νεφθαλιμ. **v.16** T*: ειδεν φως, V: φως ειδεν. **v.18** TK: ο ιησους, MV: ∅.

αὐτῷ ◦ καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφοὺς ἰά- 21
κωβον τὸν τοῦ ζεβεδαίου καὶ ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ ἐν
τῷ πλοίῳ μετὰ ζεβεδαίου τοῦ πατρὸς αὐτῶν καταρτίζοντας
τὰ δίκτυα αὐτῶν καὶ ἐκάλεσεν αὐτούς ◦ οἱ δὲ εὐθέως ἀφέν- 22
τες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ ◦
καὶ περιῆγεν ὅλην˚ τὴν γαλιλαίαν ὁ ἰησοῦς διδάσκων ἐν 23
ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς
βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλα-
κίαν ἐν τῷ λαῷ ◦ καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν 24
συρίαν καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας
ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους καὶ δαιμονι-
ζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικοὺς καὶ ἐθε-
ράπευσεν αὐτούς ◦ καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ 25
ἀπὸ τῆς γαλιλαίας καὶ δεκαπόλεως καὶ ἱεροσολύμων καὶ
ἰουδαίας καὶ πέραν τοῦ ἰορδάνου ◦

ἸΙδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος καὶ καθίσαν- **5**
τος αὐτοῦ προσῆλθὸν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ◦ καὶ ἀνοί- 2
ξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων ◦ μακάριοι οἱ 3
πτωχοὶ τῷ πνεύματι ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρα-
νῶν ◦ μακάριοι οἱ πενθοῦντες ὅτι αὐτοὶ παρακληθήσονται ◦ 4
μακάριοι οἱ πρᾳεῖς ὅτι αὐτοὶ κληρονομήσουσιν τὴν γῆν ◦ 5
μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην ὅτι 6
αὐτοὶ χορτασθήσονται ◦ μακάριοι οἱ ἐλεήμονες ὅτι αὐτοὶ 7
ἐλεηθήσονται ◦ μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ ὅτι αὐτοὶ 8
τὸν θεὸν ὄψονται ◦ μακάριοι οἱ εἰρηνοποιοὶ ὅτι αὐτοὶ υἱοὶ 9
θεοῦ κληθήσονται ◦ μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαι- 10
οσύνης ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ◦ μακάριοί 11
ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν καὶ εἴπωσιν πᾶν
πονηρὸν ῥῆμα καθ᾽ ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ ◦ χαί- 12
ρετε καὶ ἀγαλλιᾶσθε ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐ-
ρανοῖς οὕτως γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν ◦
ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς ἐὰν δὲ τὸ ἅλας μωρανθῇ ἐν τίνι 13

**v.23** T*: ολην την γαλιλαιαν ο ιησους, V: εν ολη τη γαλιλαια. **5. v.1** T*: προσηλθον, V: προσηλθαν. **v.11** T*: ρημα, V: ∅.

ἁλισθήσεται εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθῆναι ἔξω καὶ
14 καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ◦ ὑμεῖς ἐστε τὸ φῶς τοῦ
κόσμου οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη ◦
15 οὐδὲ καίουσιν λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον
ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ ◦
16 οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὅ-
πως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν πατέρα
17 ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς ◦ μὴ νομίσητε ὅτι ἦλθον κατα-
λῦσαι τὸν νόμον ἢ τοὺς προφήτας οὐκ ἦλθον καταλῦσαι
18 ἀλλὰ πληρῶσαι ◦ ἀμὴν γὰρ λέγω ὑμῖν ἕως ἂν παρέλθῃ ὁ
οὐρανὸς καὶ ἡ γῆ ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ
19 ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται ◦ ὃς ἐὰν οὖν λύσῃ
μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτως
τοὺς ἀνθρώπους ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν
οὐρανῶν ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ οὗτος μέγας κληθή-
20 σεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ◦ λέγω γὰρ ὑμῖν ὅτι ἐὰν
μὴ περισσεύσῃ ἡ˚ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματ-
έων καὶ φαρισαίων οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν
21 οὐρανῶν ◦ ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις οὐ φονεύ-
22 σεις ὃς δ᾽ ἂν φονεύσῃ ἔνοχος ἔσται τῇ κρίσει ◦ ἐγὼ δὲ λέγω
ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος
ἔσται τῇ κρίσει ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακὰ ἔνοχος
ἔσται τῷ συνεδρίῳ ὃς δ᾽ ἂν εἴπῃ μωρὲ ἔνοχος ἔσται εἰς τὴν
23 γέενναν τοῦ πυρός ◦ ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ
τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι
24 κατὰ σοῦ ◦ ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσια-
στηρίου καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου καὶ
25 τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου ◦ ἴσθι εὐνοῶν τῷ ἀντι-
δίκῳ σου ταχὺ ἕως ὅτου εἶ ἐν˚ τῇ ὁδῷ μετ᾽ αὐτοῦ μήποτέ σε
παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ καὶ ὁ κριτής σε˚ παραδῷ τῷ
26 ὑπηρέτῃ καὶ εἰς φυλακὴν βληθήσῃ ◦ ἀμὴν λέγω σοι οὐ μὴ

**v.13** T*: βληθηναι, V: βληθεν. **v.13** T*: και, V: ∅. **v.20** T*: η δικαιοσυνη υμων, V: υμων η δικαιοσυνη. **v.22** T*: εικη, V: ∅. **v.23** TKV: κακει, M: και εκει. **v.25** T*: εν τη οδω μετ αυτου, V: μετ αυτου εν τη οδω. **v.25** T*: σε παραδω, V: ∅.

ἐξέλθῃς ἐκεῖθεν ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην ⸰
ἠκούσατε ὅτι ἐρρέθη τοῖς˙ ἀρχαίοις οὐ μοιχεύσεις ⸰ ἐγὼ δὲ 27, 28
λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι
αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ ⸰ εἰ δὲ 29
ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε ἔξελε αὐτὸν καὶ
βάλε ἀπὸ σοῦ συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν
σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν ⸰ καὶ εἰ ἡ 30
δεξιά σου χεὶρ σκανδαλίζει σε ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ
σοῦ συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ
μὴ ὅλον τὸ σῶμά σου βληθῇ˙ εἰς γέενναν ⸰ ἐρρέθη δὲ ὅτι 31
ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ δότω αὐτῇ ἀποστάσιον ⸰
ἐγὼ δὲ λέγω ὑμῖν ὅτι ὃς˙ ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ 32
παρεκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχᾶσθαι καὶ ὃς
ἐὰν ἀπολελυμένην γαμήσῃ μοιχᾶται ⸰ πάλιν ἠκούσατε ὅτι 33
ἐρρέθη τοῖς ἀρχαίοις οὐκ ἐπιορκήσεις ἀποδώσεις δὲ τῷ κυ-
ρίῳ τοὺς ὅρκους σου ⸰ ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως 34
μήτε ἐν τῷ οὐρανῷ ὅτι θρόνος ἐστὶν τοῦ θεοῦ ⸰ μήτε ἐν τῇ 35
γῇ ὅτι ὑποπόδιόν ἐστιν τῶν ποδῶν αὐτοῦ μήτε εἰς ἱεροσό-
λυμα ὅτι πόλις ἐστὶν τοῦ μεγάλου βασιλέως ⸰ μήτε ἐν τῇ 36
κεφαλῇ σου ὀμόσῃς ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν˙ ἢ
μέλαιναν ποιῆσαι ⸰ ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ ναὶ οὒ οὔ τὸ 37
δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν ⸰ ἠκούσατε ὅτι 38
ἐρρέθη ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόν-
τος ⸰ ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ ἀλλ᾽ ὅστις 39
σε ῥαπίσει˙ ἐπὶ τὴν δεξιάν σου˙ σιαγόνα στρέψον αὐτῷ καὶ
τὴν ἄλλην ⸰ καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου 40
λαβεῖν ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον ⸰ καὶ ὅστις σε ἀγγαρεύσει 41
μίλιον ἓν ὕπαγε μετ᾽ αὐτοῦ δύο ⸰ τῷ αἰτοῦντί σε δίδου καὶ 42
τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς ⸰ ἠκού- 43
σατε ὅτι ἐρρέθη ἀγαπήσεις τὸν πλησίον σου καὶ μισήσεις

**v.27** ΤΚ: τοις αρχαιοις, ΜV: ∅. **v.28** ΤΚ: αυτης, ΜV: αυτην. **v.30** T*: βληθη εις γεενναν, V: εις γεενναν απελθη. **v.31** T*: οτι, V: ∅. **v.32** T*: ος αν απολυση, V: πας ο απολυων. **v.32** T*: μοιχασθαι, V: μοιχευθηναι. **v.36** T*: λευκην η μελαιναν ποιησαι, V: λευκην ποιησαι η μελαιναν. **v.39** T*: ραπισει επι, V: ραπιζει εις. **v.39** T*: σου σιαγονα, V: σιαγονα [σου]. **v.42** T*: διδου, V: δος. **v.42** T*: δανεισασθαι, V: δανισασθαι.

44 τὸν ἐχθρόν σου· ἐγὼ δὲ λέγω ὑμῖν ἀγαπᾶτε τοὺς ἐχθροὺς
ὑμῶν εὐλογεῖτε˚ τοὺς καταρωμένους ὑμᾶς καλῶς ποιεῖτε
τοὺς˚ μισοῦντας ὑμᾶς καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεα-
45 ζόντων˚ ὑμᾶς καὶ διωκόντων ὑμᾶς· ὅπως γένησθε υἱοὶ τοῦ
πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ὅτι τὸν ἥλιον αὐτοῦ ἀνα-
τέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους
46 καὶ ἀδίκους· ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς
τίνα μισθὸν ἔχετε οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν·
47 καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον τί περισ-
48 σὸν ποιεῖτε οὐχὶ καὶ οἱ τελῶναι οὕτως ποιοῦσιν· ἔσεσθε
οὖν ὑμεῖς τέλειοι ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν˚ τοῖς οὐρανοῖς
τέλειός ἐστιν·

**6** Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν
τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς εἰ δὲ μήγε μισθὸν
2 οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς· ὅταν
οὖν ποιῇς ἐλεημοσύνην μὴ σαλπίσῃς ἔμπροσθέν σου ὥσ-
περ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς
ῥύμαις ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων ἀμὴν λέγω
3 ὑμῖν ἀπέχουσιν τὸν μισθὸν αὐτῶν· σοῦ δὲ ποιοῦντος ἐλε-
ημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου·
4 ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ καὶ ὁ πατήρ σου ὁ
βλέπων ἐν τῷ κρυπτῷ αὐτὸς ἀποδώσει σοι ἐν˚ τῷ φανερῷ·
5 καὶ ὅταν προσεύχῃ οὐκ ἔσῃ˚ ὥσπερ οἱ ὑποκριταὶ ὅτι φι-
λοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατει-
ῶν ἑστῶτες προσεύχεσθαι ὅπως ἂν φανῶσιν τοῖς ἀνθρώποις
6 ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσιν τὸν μισθὸν αὐτῶν· σὺ δὲ ὅ-
ταν προσεύχῃ εἴσελθε εἰς τὸ ταμιεῖόν σου καὶ κλείσας τὴν
θύραν σου πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ καὶ

---

**v.44** T*: ευλογειτε τους καταρωμενους υμας καλως ποιειτε, V: ∅. **v.44** TK: τους μισουντας, M: τοις μισουσιν, V: ∅. **v.44** T*: υμας, V: ∅. **v.44** T*: επηρεαζοντων υμας και, V: ∅. **v.45** TKV: εν, M: εν τοις. **v.47** TKV: αδελφους, M: φιλους. **v.47** T*: τελωναι ουτως, V: εθνικοι το αυτο. **v.48** T*: ωσπερ, V: ως. **v.48** T*: εν τοις ουρανοις, V: ουρανιος. **6. v.1** T*: προσεχετε, V: προσεχετε [δε]. **v.1** T*: ελεημοσυνην, V: δικαιοσυνην. **v.1** TK: μηγε, MV: μη γε. **v.4** T*: αυτος, V: ∅. **v.4** T*: εν τω φανερω, V: ∅. **v.5** T*: προσευχη, V: προσευχησθε. **v.5** T*: εση ωσπερ, V: εσεσθε ως. **v.5** T*: αν, V: ∅. **v.5** T*: οτι, V: ∅. **v.6** T*: ταμειον, V: ταμειον.

ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν˚ τῷ
φανερῷ ⸰ προσευχόμενοι δὲ μὴ βαττολογήσητε ὥσπερ οἱ 7
ἐθνικοί δοκοῦσιν γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακου-
σθήσονται ⸰ μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς οἶδεν γὰρ ὁ˚ πατὴρ 8
ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν ⸰ οὕτως 9
οὖν προσεύχεσθε ὑμεῖς πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἁ-
γιασθήτω τὸ ὄνομά σου ⸰ ἐλθέτω ἡ βασιλεία σου γενηθήτω 10
τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς ⸰ τὸν ἄρτον 11
ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον ⸰ καὶ ἄφες ἡμῖν τὰ 12
ὀφειλήματα ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡ-
μῶν ⸰ καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν ἀλλὰ ῥῦσαι 13
ἡμᾶς ἀπὸ τοῦ πονηροῦ ὅτι˚ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ
δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν ⸰ ἐὰν γὰρ ἀφῆτε 14
τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν ἀφήσει καὶ ὑμῖν ὁ
πατὴρ ὑμῶν ὁ οὐράνιος ⸰ ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις 15
τὰ˚ παραπτώματα αὐτῶν οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ πα-
ραπτώματα ὑμῶν ⸰ ὅταν δὲ νηστεύητε μὴ γίνεσθε ὥσπερ οἱ 16
ὑποκριταὶ σκυθρωποὶ ἀφανίζουσιν γὰρ τὰ πρόσωπα αὐτῶν
ὅπως φανῶσιν τοῖς ἀνθρώποις νηστεύοντες ἀμὴν λέγω ὑμῖν
ὅτι ἀπέχουσιν τὸν μισθὸν αὐτῶν ⸰ σὺ δὲ νηστεύων ἄλειψαί 17
σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι ⸰ ὅπως μὴ 18
φανῇς τοῖς ἀνθρώποις νηστεύων ἀλλὰ τῷ πατρί σου τῷ ἐν
τῷ κρυπτῷ καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀπο-
δώσει σοι ἐν˚ τῷ φανερῷ ⸰ μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς 19
ἐπὶ τῆς γῆς ὅπου σὴς καὶ βρῶσις ἀφανίζει καὶ ὅπου κλέ-
πται διορύσσουσιν καὶ κλέπτουσιν ⸰ θησαυρίζετε δὲ ὑμῖν 20
θησαυροὺς ἐν οὐρανῷ ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανί-
ζει καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν ⸰
ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν ἐκεῖ ἔσται καὶ ἡ καρδία 21
ὑμῶν ⸰ ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός ἐὰν οὖν ὁ˚ 22

---

**v.6** T*: εν τω φανερω, V: ∅. **v.7** T*: βαττολογησητε, V: βατταλογησητε. **v.8** E: ο, B: ο θεος ο. **v.10** T*: της, V: ∅. **v.12** T*: αφιεμεν, V: αφηκαμεν. **v.13** T*: οτι . . . αμην, V: ∅. **v.15** T*: τα παραπτωματα αυτων, V: ∅. **v.16** T*: ωσπερ, V: ως. **v.16** T*: οτι, V: ∅. **v.18** T*: κρυπτω, V: κρυφαιω. **v.18** TK: εν τω φανερω, MV: ∅. **v.21** T*: υμων, V: σου. **v.22** T*: ο οφθαλμος σου απλους η, V: η ο οφθαλμος σου απλους.

ὀφθαλμός σου ἁπλοῦς ᾖ ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται ·
23 ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ ὅλον τὸ σῶμά σου σκο-
τεινὸν ἔσται εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστὶν τὸ σκότος
24 πόσον · οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν ἢ γὰρ τὸν
ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει ἢ ἑνὸς ἀνθέξεται καὶ
τοῦ ἑτέρου καταφρονήσει οὐ δύνασθε θεῷ δουλεύειν καὶ
25 μαμμωνᾷ · διὰ τοῦτο λέγω ὑμῖν μὴ μεριμνᾶτε τῇ ψυχῇ
ὑμῶν τί φάγητε καὶ τί πίητε μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύ-
σησθε οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστιν τῆς τροφῆς καὶ τὸ σῶμα
26 τοῦ ἐνδύματος · ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ ὅτι
οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀπο-
θήκας καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτὰ οὐχ ὑμεῖς
27 μᾶλλον διαφέρετε αὐτῶν · τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται
28 προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα · καὶ περὶ ἐν-
δύματος τί μεριμνᾶτε καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς
29 αὐξάνει οὐ κοπιᾷ οὐδὲ νήθει · λέγω δὲ ὑμῖν ὅτι οὐδὲ σο-
λομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων ·
30 εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς
κλίβανον βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιέννυσιν οὐ πολλῷ
31 μᾶλλον ὑμᾶς ὀλιγόπιστοι · μὴ οὖν μεριμνήσητε λέγοντες
32 τί φάγωμεν ἢ τί πίωμεν ἢ τί περιβαλώμεθα · πάντα γὰρ
ταῦτα τὰ ἔθνη ἐπιζητεῖ οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος
33 ὅτι χρῄζετε τούτων ἁπάντων · ζητεῖτε δὲ πρῶτον τὴν βασι-
λείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ καὶ ταῦτα πάντα
34 προστεθήσεται ὑμῖν · μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον
ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς ἀρκετὸν τῇ ἡμέρᾳ ἡ
κακία αὐτῆς ·

**7**, 2 Μὴ κρίνετε ἵνα μὴ κριθῆτε · ἐν ᾧ γὰρ κρίματι κρίνετε
κριθήσεσθε καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑ-
3 μῖν · τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀ-
δελφοῦ σου τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανο-

---

**v.24** TK: μαμμωνα, MV: μαμωνα. **v.25** T*: και τι πιητε, V: [η τι πιητε]. **v.28** T*: αυξανει ου κοπια ουδε νηθει, V: αυξανουσιν ου κοπιωσιν ουδε νηθουσιν. **v.32** T*: επιζητει, V: επιζητουσιν. **v.34** T*: τα, V: ∅. **7. v.2** TK: αντιμετρηθησεται, MV: μετρηθησεται.

εἶς ⸰ ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου ἄφες ἐκβάλω τὸ κάρφος 4
ἀπὸ τοῦ ὀφθαλμοῦ σου καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ
σου ⸰ ὑποκριτὰ ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλ- 5
μοῦ σου καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ
ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου ⸰ μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶν 6
μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοί-
ρων μήποτε καταπατήσῶσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν
καὶ στραφέντες ῥήξωσιν ὑμᾶς ⸰ αἰτεῖτε καὶ δοθήσεται ὑμῖν 7
ζητεῖτε καὶ εὑρήσετε κρούετε καὶ ἀνοιγήσεται ὑμῖν ⸰ πᾶς 8
γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι
ἀνοιγήσεται ⸰ ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος ὃν ἐὰν αἰτή- 9
σῃ ὁ υἱὸς αὐτοῦ ἄρτον μὴ λίθον ἐπιδώσει αὐτῷ ⸰ καὶ ἐὰν 10
ἰχθὺν αἰτήσῃ μὴ ὄφιν ἐπιδώσει αὐτῷ ⸰ εἰ οὖν ὑμεῖς πονη- 11
ροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν
πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀ-
γαθὰ τοῖς αἰτοῦσιν αὐτόν ⸰ πάντα οὖν ὅσα ἂν θέλητε ἵνα 12
ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς
οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται ⸰ εἰσέλθετε διὰ 13
τῆς στενῆς πύλης ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ
ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν καὶ πολλοί εἰσιν οἱ εἰσ-
ερχόμενοι δι᾽ αὐτῆς ⸰ ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ 14
ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκον-
τες αὐτήν ⸰ προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν οἵτινες 15
ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασιν προβάτων ἔσωθεν δὲ εἰ-
σιν λύκοι ἅρπαγες ⸰ ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε 16
αὐτοὺς μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν ἢ ἀπὸ
τριβόλων σῦκα ⸰ οὕτως πᾶν δένδρον ἀγαθὸν καρποὺς κα- 17
λοὺς ποιεῖ τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ ⸰
οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν οὐ- 18
δὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν ⸰ πᾶν δένδρον 19

**v.4** T*: απο, V: εκ. **v.5** T*: την δοκον εκ του οφθαλμου σου, V: εκ του οφθαλμου σου την δοκον. **v.6** T*: καταπατησωσιν, V: καταπατησουσιν. **v.9** T*: εαν αιτηση, V: αιτησει. **v.10** T*: και εαν, V: η και. **v.10** T*: αιτηση, V: αιτησει. **v.12** T*: αν, V: εαν. **v.13** T*: εισελθετε, V: εισελθατε. **v.14** TK: οτι, MV: τι. **v.15** T*: δε, V: ∅. **v.16** T*: σταφυλην, V: σταφυλας.

μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλε-
20 ται ◦ ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς ◦
21 οὐ πᾶς ὁ λέγων μοι κύριε κύριε εἰσελεύσεται εἰς τὴν βασι-
λείαν τῶν οὐρανῶν ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου
22 τοῦ ἐν οὐρανοῖς ◦ πολλοί ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
κύριε κύριε οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν καὶ τῷ σῷ
ὀνόματι δαιμόνια ἐξεβάλομεν καὶ τῷ σῷ ὀνόματι δυνάμεις
23 πολλὰς ἐποιήσαμεν ◦ καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι οὐδέ-
ποτε ἔγνων ὑμᾶς ἀποχωρεῖτε ἀπ᾽ ἐμοῦ οἱ ἐργαζόμενοι τὴν
24 ἀνομίαν ◦ πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους
καὶ ποιεῖ αὐτοὺς ὁμοιώσω˚ αὐτὸν ἀνδρὶ φρονίμῳ ὅστις ᾠ-
25 κοδόμησεν τὴν˚ οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν ◦ καὶ κατέβη
ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ
προσέπεσὸν τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἔπεσεν τεθεμελίωτο
26 γὰρ ἐπὶ τὴν πέτραν ◦ καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους
τούτους καὶ μὴ ποιῶν αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ μωρῷ
27 ὅστις ᾠκοδόμησεν τὴν˚ οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον ◦ καὶ
κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄ-
νεμοι καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ καὶ ἔπεσεν καὶ ἦν
28 ἡ πτῶσις αὐτῆς μεγάλη ◦ καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ ἰ-
ησοῦς τοὺς λόγους τούτους ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ
29 διδαχῇ αὐτοῦ ◦ ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων
καὶ οὐχ ὡς οἱ γραμματεῖς ◦

**8** Καταβάντι˚ δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους ἠκολούθησαν αὐτῷ
2 ὄχλοι πολλοί ◦ καὶ ἰδοὺ λεπρὸς ἐλθὼν˙ προσεκύνει αὐτῷ λέ-
3 γων κύριε ἐὰν θέλῃς δύνασαί με καθαρίσαι ◦ καὶ ἐκτείνας
τὴν χεῖρα ἥψατο αὐτοῦ ὁ˚ ἰησοῦς λέγων θέλω καθαρίσθητι
4 καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα ◦ καὶ λέγει αὐτῷ ὁ
ἰησοῦς ὅρα μηδενὶ εἴπῃς ἀλλ᾽ ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱε-

---

**v.20** ΤΚ: αραγε, ΜV: αρα γε. **v.21** T*: εν, V: εν τοις. **v.22** T*: προεφητευσαμεν, V: επροφητευσαμεν. **v.24** T*: ομοιωσω αυτον, V: ομοιωθησεται. **v.24** T*: την οικιαν αυτου, V: αυτου την οικιαν. **v.25** T*: προσεπεσον, V: προσεπεσαν. **v.26** T*: την οικιαν αυτου, V: αυτου την οικιαν. **v.28** T*: συνετελεσεν, V: ετελεσεν. **v.29** T*: γραμματεις, V: γραμματεις αυτων. **8. v.1** T*: καταβαντι δε αυτω, V: καταβαντος δε αυτου. **v.2** T*: ελθων, V: προσελθων. **v.3** T*: ο ιησους, V: ∅. **v.4** ΤΚ: αλλ, ΜV: αλλα.

ρεῖ καὶ προσένεγκἐ τὸ δῶρον ὃ προσέταξεν μῶσῆς εἰς μαρ-
τύριον αὐτοῖς ⸰ εἰσελθόντι δὲ τῷ᾽ ἰησοῦ εἰς καπερναοὺμ 5
προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτόν ⸰ καὶ λέ- 6
γων κύριε ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς
δεινῶς βασανιζόμενος ⸰ καὶ λέγει αὐτῷ ὁ᾽ ἰησοῦς ἐγὼ ἐλ- 7
θὼν θεραπεύσω αὐτόν ⸰ καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος 8
ἔφη κύριε οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλ-
θῃς ἀλλὰ μόνον εἰπὲ λόγοὐ καὶ ἰαθήσεται ὁ παῖς μου ⸰ καὶ 9
γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν ἔχων ὑπ᾽ ἐμαυτὸν
στρατιώτας καὶ λέγω τούτῳ πορεύθητι καὶ πορεύεται καὶ
ἄλλῳ ἔρχου καὶ ἔρχεται καὶ τῷ δούλῳ μου ποίησον τοῦτο
καὶ ποιεῖ ⸰ ἀκούσας δὲ ὁ ἰησοῦς ἐθαύμασεν καὶ εἶπεν τοῖς 10
ἀκολουθοῦσιν ἀμὴν λέγω ὑμῖν οὐδὲ᾽ ἐν τῷ ἰσραὴλ τοσαύ-
την πίστιν εὗρον ⸰ λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν 11
καὶ δυσμῶν ἥξουσιν καὶ ἀνακλιθήσονται μετὰ ἀβραὰμ καὶ
ἰσαὰκ καὶ ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ⸰ οἱ δὲ υἱ- 12
οὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον
ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ⸰ καὶ 13
εἶπεν ὁ ἰησοῦς τῷ ἑκατοντάρχῳ ὕπαγε κἀὶ ὡς ἐπίστευσας
γενηθήτω σοι καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ ⸰ καὶ 14
ἐλθὼν ὁ ἰησοῦς εἰς τὴν οἰκίαν πέτρου εἶδεν τὴν πενθερὰν
αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν ⸰ καὶ ἥψατο τῆς χει- 15
ρὸς αὐτῆς καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς καὶ ἠγέρθη καὶ
διηκόνει αὐτοῖς ⸰ ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ 16
δαιμονιζομένους πολλοὺς καὶ ἐξέβαλεν τὰ πνεύματα λόγῳ
καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν ⸰ ὅπως πλη- 17
ρωθῇ τὸ ῥηθὲν διὰ ἡσαΐου τοῦ προφήτου λέγοντος αὐτὸς
τὰς ἀσθενείας ἡμῶν ἔλαβεν καὶ τὰς νόσους ἐβάστασεν ⸰ ἰ- 18
δὼν δὲ ὁ ἰησοῦς πολλοὺς᾽ ὄχλους περὶ αὐτὸν ἐκέλευσεν

**v.4** T*: προσενεγκε, V: προσενεγκον. **v.4** T*: μωσης, V: μωυσης. **v.5** T*: εισελθοντι, V: εισελθοντος. **v.5** TK: τω ιησου, M: αυτω, V: αυτου. **v.5** T*: καπερναουμ, V: καφαρναουμ. **v.7** T*: ο ιησους, V: ∅. **v.8** TK: λογον, MV: λογω. **v.10** T*: ουδε εν τω ισραηλ τοσαυτην πιστιν, V: παρ ουδενι τοσαυτην πιστιν εν τω ισραηλ. **v.13** TK: εκατονταρχω, MV: εκατονταρχη. **v.13** T*: και, V: ∅. **v.15** TK: αυτοις, MV: αυτω. **v.18** T*: πολλους οχλους, V: οχλον.

19 ἀπελθεῖν εἰς τὸ πέραν ⸰ καὶ προσελθὼν εἷς γραμματεὺς εἶ-
πεν αὐτῷ διδάσκαλε ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ ⸰
20 καὶ λέγει αὐτῷ ὁ ἰησοῦς αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν καὶ
τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις ὁ δὲ υἱὸς τοῦ ἀν-
21 θρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ ⸰ ἕτερος δὲ τῶν
μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ κύριε ἐπίτρεψόν μοι πρῶτον
22 ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου ⸰ ὁ δὲ ἰησοῦς εἶπεν
αὐτῷ ἀκολούθει μοι καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς
23 ἑαυτῶν νεκρούς ⸰ καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον ἠκολού-
24 θησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ⸰ καὶ ἰδοὺ σεισμὸς μέγας
ἐγένετο ἐν τῇ θαλάσσῃ ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ
25 τῶν κυμάτων αὐτὸς δὲ ἐκάθευδεν ⸰ καὶ προσελθόντες οἱ˚
μαθηταὶ αὐτοῦ ἤγειραν αὐτὸν λέγοντες κύριε σῶσον ἡμᾶς
26 ἀπολλύμεθα ⸰ καὶ λέγει αὐτοῖς τί δειλοί ἐστε ὀλιγόπιστοι
τότε ἐγερθεὶς ἐπετίμησεν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ καὶ
27 ἐγένετο γαλήνη μεγάλη ⸰ οἱ δὲ ἄνθρωποι ἐθαύμασαν λέ-
γοντες ποταπός ἐστιν οὗτος ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θά-
28 λασσα ὑπακούουσιν˚ αὐτῷ ⸰ καὶ ἐλθόντι˚ αὐτῷ εἰς τὸ πέ-
ραν εἰς τὴν χώραν τῶν γεργεσηνῶν ὑπήντησαν αὐτῷ δύο
δαιμονιζόμενοι ἐκ τῶν μνημείων ἐξερχόμενοι χαλεποὶ λίαν
29 ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης ⸰ καὶ
ἰδοὺ ἔκραξαν λέγοντες τί ἡμῖν καὶ σοὶ ἰησοῦ υἱὲ τοῦ θεοῦ
30 ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς ⸰ ἦν δὲ μακρὰν ἀπ᾽
31 αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη ⸰ οἱ δὲ δαίμονες
παρεκάλουν αὐτὸν λέγοντες εἰ ἐκβάλλεις ἡμᾶς ἐπίτρεψον˚
32 ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων ⸰ καὶ εἶπεν αὐ-
τοῖς ὑπάγετε οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν˚ ἀγέλην τῶν
χοίρων καὶ ἰδοὺ ὥρμησεν πᾶσα ἡ ἀγέλη τῶν˚ χοίρων κατὰ
τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν καὶ ἀπέθανον ἐν τοῖς ὕδα-
33 σιν ⸰ οἱ δὲ βόσκοντες ἔφυγον καὶ ἀπελθόντες εἰς τὴν πόλιν

---

**v.22** T*: ειπεν, V: λεγει. **v.25** TK: οι μαθηται αυτου, M: οι μαθηται, V: ∅. **v.25** T*: ημας, V: ∅. **v.27** T*: υπακουουσιν αυτω, V: αυτω υπακουουσιν. **v.28** T*: ελθοντι αυτω, V: ελθοντος αυτου. **v.28** T*: γεργεσηνων, V: γαδαρηνων. **v.29** T*: ιησου, V: ∅. **v.31** T*: επιτρεψον ημιν απελθειν, V: αποστειλον ημας. **v.32** T*: την αγελην των χοιρων, V: τους χοιρους. **v.32** T*: των χοιρων, V: ∅.

ἀπήγγειλαν πάντα καὶ τὰ τῶν δαιμονιζομένων ◦ καὶ ἰδοὺ 34
πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ ἰησοῦ καὶ ἰδόντες
αὐτὸν παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν ◦

Καὶ ἐμβὰς εἰς τὸ πλοῖον διεπέρασεν καὶ ἦλθεν εἰς τὴν **9**
ἰδίαν πόλιν ◦ καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐ- 2
πὶ κλίνης βεβλημένον καὶ ἰδὼν ὁ ἰησοῦς τὴν πίστιν αὐτῶν
εἶπεν τῷ παραλυτικῷ θάρσει τέκνον ἀφέωνταί˚ σοι αἱ ἁμαρ-
τίαι σου ◦ καὶ ἰδού τινὲς τῶν γραμματέων εἶπὸν ἐν ἑαυτοῖς 3
οὗτος βλασφημεῖ ◦ καὶ ἰδὼν ὁ ἰησοῦς τὰς ἐνθυμήσεις αὐ- 4
τῶν εἶπεν ἱνατὶ ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις
ὑμῶν ◦ τί γάρ ἐστιν εὐκοπώτερον εἰπεῖν ἀφέωνταί σόι αἱ 5
ἁμαρτίαι ἢ εἰπεῖν ἔγειρὰι καὶ περιπάτει ◦ ἵνα δὲ εἰδῆτε ὅτι 6
ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι
ἁμαρτίας τότε λέγει τῷ παραλυτικῷ ἐγερθεὶς ἆρόν σου τὴν
κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου ◦ καὶ ἐγερθεὶς ἀπῆλ- 7
θεν εἰς τὸν οἶκον αὐτοῦ ◦ ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν 8
καὶ ἐδόξασαν τὸν θεὸν τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς
ἀνθρώποις ◦ καὶ παράγων ὁ ἰησοῦς ἐκεῖθεν εἶδεν ἄνθρω- 9
πον καθήμενον ἐπὶ τὸ τελώνιον ματθαῖον λεγόμενον καὶ
λέγει αὐτῷ ἀκολούθει μοι καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ ◦
καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ καὶ ἰδοὺ πολ- 10
λοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ ἰησοῦ
καὶ τοῖς μαθηταῖς αὐτοῦ ◦ καὶ ἰδόντες οἱ φαρισαῖοι εἶἶπον 11
τοῖς μαθηταῖς αὐτοῦ διατὶ μετὰ τῶν τελωνῶν καὶ ἁμαρτω-
λῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν ◦ ὁ δὲ ἰηὁσοῦς ἀκούσας εἶπεν 12
αὐτοῖς οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ᾽ οἱ κακῶς
ἔχοντες ◦ πορευθέντες δὲ μάθετε τί ἐστιν ἔλεοὐ θέλω καὶ οὐ 13
θυσίαν οὐ γὰρ ἦλθον καλέσαι δικαίους ἀλλ᾽ ἁμαρτωλοὺς
εἰς˚ μετάνοιαν ◦ τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ ἰωάν- 14

**v.34** T*: συναντησιν, V: υπαντησιν. **9. v.1** T*: το, V: ∅. **v.2** T*: αφεωνται σοι αι αμαρτιαι σου, V: αφιενται σου αι αμαρτιαι. **v.3** T*: ειπον, V: ειπαν. **v.4** T*: υμεις, V: ∅. **v.5** T*: αφεωνται, V: αφιενται. **v.5** TK: σοι, MV: σου. **v.5** T*: εγειραι, V: εγειρε. **v.8** T*: εθαυμασαν, V: εφοβηθησαν. **v.9** T*: ματθαιον, V: μαθθαιον. **v.11** T*: ειπον, V: ελεγον. **v.11** TK: διατι, MV: δια τι. **v.12** T*: ιησους, V: ∅. **v.12** T*: αυτοις, V: ∅. **v.13** T*: ελεον, V: ελεος. **v.13** TK: αλλ, MV: αλλα. **v.13** T*: εις μετανοιαν, V: ∅.

νου λέγοντες διατὶ ἡμεῖς καὶ οἱ φαρισαῖοι νηστεύομεν πολ-
15 λὰ οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν ◦ καὶ εἶπεν αὐτοῖς ὁ
ἰησοῦς μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν ἐφ᾽ ὅσον
μετ᾽ αὐτῶν ἐστιν ὁ νυμφίος ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀ-
16 παρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος καὶ τότε νηστεύσουσιν ◦ οὐδεὶς
δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ
αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου καὶ χεῖρον
17 σχίσμα γίνεται ◦ οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς πα-
λαιοὺς εἰ δὲ μήγε ῥήγνυνται οἱ ἀσκοὶ καὶ ὁ οἶνος ἐκχεῖται
καὶ οἱ ἀσκοὶ ἀπόλοῦνται ἀλλὰ βάλλουσιν οἶνον νέον εἰς ἀ-
18 σκοὺς καινοὺς καὶ ἀμφότερά συντηροῦνται ◦ ταῦτα αὐτοῦ
λαλοῦντος αὐτοῖς ἰδοὺ ἄρχων ἐλθὼν προσεκύνει αὐτῷ λέ-
γων ὅτι ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν ἀλλὰ ἐλθὼν ἐπίθες
19 τὴν χεῖρά σου ἐπ᾽ αὐτὴν καὶ ζήσεται ◦ καὶ ἐγερθεὶς ὁ ἰησοῦς
20 ἠκολούθησεν αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ ◦ καὶ ἰδοὺ γυ-
νὴ αἱμορροοῦσα δώδεκα ἔτη προσελθοῦσα ὄπισθεν ἥψατο
21 τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ◦ ἔλεγεν γὰρ ἐν ἑαυτῇ
22 ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ σωθήσομαι ◦ ὁ δὲ
ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν εἶπεν θάρσει θύγατερ
ἡ πίστις σου σέσωκέν σε καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας
23 ἐκείνης ◦ καὶ ἐλθὼν ὁ ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος
24 καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον ◦ λέ-
γει˚ αὐτοῖς ἀναχωρεῖτε οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον ἀλλὰ
25 καθεύδει καὶ κατεγέλων αὐτοῦ ◦ ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος
εἰσελθὼν ἐκράτησεν τῆς χειρὸς αὐτῆς καὶ ἠγέρθη τὸ κορά-
26 σιον ◦ καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην ◦
27 καὶ παράγοντι ἐκεῖθεν τῷ ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο
τυφλοὶ κράζοντες καὶ λέγοντες ἐλέησον ἡμᾶς υἱὲ˚ δαβίδ ◦
28 ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοὶ καὶ
λέγει αὐτοῖς ὁ ἰησοῦς πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆ-
29 σαι λέγουσιν αὐτῷ ναὶ κύριε ◦ τότε ἥψατο τῶν ὀφθαλμῶν

**v.14** ΤΚ: διατι, ΜV: δια τι. **v.17** ΤΚ: μηγε, ΜV: μη γε. **v.17** T*: απολουνται, V: απολλυνται. **v.17** ΤΚ: αμφοτερα, ΜV: αμφοτεροι. **v.18** Τ: αρχων, ΚΜV: αρχων εις. **v.22** T*: επιστραφεις, V: στραφεις. **v.24** T*: λεγει αυτοις, V: ελεγεν. **v.27** ΤΚ: υιε δαβιδ, Μ: υιος δαβιδ, V: υιος δαυιδ.

αὐτῶν λέγων κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν· καὶ 30
ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ καὶ ἐνεβριμήσατο αὐτοῖς
ὁ ἰησοῦς λέγων ὁρᾶτε μηδεὶς γινωσκέτω· οἱ δὲ ἐξελθόντες 31
διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ· αὐτῶν δὲ ἐξερ- 32
χομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαι-
μονιζόμενον· καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ 33
κωφὸς καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες ὅτι οὐδέποτε ἐ-
φάνη οὕτως ἐν τῷ ἰσραήλ· οἱ δὲ φαρισαῖοι ἔλεγον ἐν τῷ 34
ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια· καὶ περιῆ- 35
γεν ὁ ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων ἐν
ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς
βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλα-
κίαν ἐν τῷ λαῷ· ἰδὼν δὲ τοὺς ὄχλους ἐσπλαγχνίσθη περὶ 36
αὐτῶν ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐρριμμένοι ὡσεὶ πρόβατα
μὴ ἔχοντα ποιμένα· τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ ὁ μὲν 37
θερισμὸς πολὺς οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ κυ- 38
ρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν
αὐτοῦ·

Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔ- **10**
δωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλ-
λειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλα-
κίαν· τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστιν ταῦτα 2
πρῶτος σίμων ὁ λεγόμενος πέτρος καὶ ἀνδρέας ὁ ἀδελφὸς
αὐτοῦ ἰάκωβος ὁ τοῦ ζεβεδαίου καὶ ἰωάννης ὁ ἀδελφὸς αὐ-
τοῦ· φίλιππος καὶ βαρθολομαῖος θωμᾶς καὶ ματθαῖος ὁ 3
τελώνης ἰάκωβος ὁ τοῦ ἁλφαίου καὶ λεββαῖος ὁ ἐπικλη-
θεὶς θαδδαῖος· σίμων ὁ καναναῖτης καὶ ἰούδας ἰσκαριώτης 4
ὁ καὶ παραδοὺς αὐτόν· τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ 5
ἰησοῦς παραγγείλας αὐτοῖς λέγων εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλ-
θητε καὶ εἰς πόλιν σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε 6

**v.30** T*: ανεωχθησαν, V: ηνεωχθησαν. **v.30** T*: ενεβριμησατο, V: ενεβριμηθη. **v.33** T: οτι, ΚΜV: ∅. **v.35** T*: εν τω λαω, V: ∅. **v.36** ΤΚ: εκλελυμενοι, ΜV: εσκυλμενοι. **10. v.2** T*: ιακωβος, V: και ιακωβος. **v.3** T*: ματθαιος, V: μαθθαιος. **v.3** T*: λεββαιος ο επικληθεις, V: ∅. **v.4** T*: κανανιτης, V: καναναιος. **v.4** T*: ισκαριωτης, V: ο ισκαριωτης. **v.5** T*: σαμαρειτων, V: σαμαριτων.

δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ ⸰
7 πορευόμενοι δὲ κηρύσσετε λέγοντες ὅτι ἤγγικεν ἡ βασιλεία
8 τῶν οὐρανῶν ⸰ ἀσθενοῦντας θεραπεύετε λεπροὺς˚ καθαρί-
ζετε νεκροὺς ἐγείρετε δαιμόνια ἐκβάλλετε δωρεὰν ἐλάβετε
9 δωρεὰν δότε ⸰ μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον μηδὲ
10 χαλκὸν εἰς τὰς ζώνας ὑμῶν ⸰ μὴ πήραν εἰς ὁδὸν μηδὲ δύο
χιτῶνας μηδὲ ὑποδήματα μηδὲ ῥάβδον ἄξιος γὰρ ὁ ἐργά-
11 της τῆς τροφῆς αὐτοῦ ἐστιν ⸰ εἰς ἣν δ᾽ ἂν πόλιν ἢ κώμην
εἰσέλθητε ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστιν κἀκεῖ μείνατε
12 ἕως ἂν ἐξέλθητε ⸰ εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν ἀσπά-
13 σασθε αὐτήν ⸰ καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία ἐλθέτω ἡ εἰρήνη
ὑμῶν ἐπ᾽ αὐτὴν ἐὰν δὲ μὴ ᾖ ἀξία ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς
14 ἐπιστραφήτω ⸰ καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ
τοὺς λόγους ὑμῶν ἐξερχόμενοι ἔξω τῆς οἰκίας ἢ τῆς πόλεως
15 ἐκείνης ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν ⸰ ἀμὴν
λέγω ὑμῖν ἀνεκτότερον ἔσται γῇ σοδόμων καὶ γομόρρων
16 ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ ⸰ ἰδοὺ ἐγὼ ἀποστέλλω
ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων γίνεσθε οὖν φρόνιμοι ὡς
17 οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί ⸰ προσέχετε δὲ ἀ-
πὸ τῶν ἀνθρώπων παραδώσουσιν γὰρ ὑμᾶς εἰς συνέδρια
18 καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς ⸰ καὶ
ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ εἰς
19 μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν ⸰ ὅταν δὲ παραδιδῶσιν
ὑμᾶς μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε δοθήσεται γὰρ
20 ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε ⸰ οὐ γὰρ ὑμεῖς ἐστε οἱ
λαλοῦντες ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν
21 ὑμῖν ⸰ παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πα-
τὴρ τέκνον καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανα-
22 τώσουσιν αὐτούς ⸰ καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ
τὸ ὄνομά μου ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται ⸰

---

**v.8** ΤΚ: λεπρους καθαριζετε νεκρους εγειρετε, Μ: λεπρους καθαριζετε, V: νεκρους εγειρετε λεπρους καθαριζετε. **v.10** TV: ραβδον, ΚΜ: ραβδους. **v.10** T*: εστιν, V: ∅. **v.13** T*: ελθετω, V: ελθατω. **v.14** T*: εαν, V: αν. **v.14** T*: της, V: εξω της. **v.19** T*: παραδιδωσιν, V: παραδωσιν. **v.19** T*: λαλησετε, V: λαλησητε.

ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ φεύγετε εἰς τὴν 23
ἄλλην· ἀμὴν γὰρ λέγω ὑμῖν οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ
Ἰσραὴλ ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. οὐκ ἔστιν μα- 24
θητὴς ὑπὲρ τὸν διδάσκαλον οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον
αὐτοῦ. ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος 25
αὐτοῦ καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ· εἰ τὸν οἰκοδεσπότην
Βεελζεβοὺλ ἐκάλεσαν πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς αὐτοῦ.
μὴ οὖν φοβηθῆτε αὐτοὺς οὐδὲν γάρ ἐστιν κεκαλυμμένον 26
ὃ οὐκ ἀποκαλυφθήσεται καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται.
ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτὶ καὶ ὃ εἰς τὸ 27
οὖς ἀκούετε κηρύξατε ἐπὶ τῶν δωμάτων. καὶ μὴ φοβη- 28
θῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ
δυναμένων ἀποκτεῖναι φοβήθητε δὲ μᾶλλον τὸν δυνάμε-
νον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. οὐχὶ δύο 29
στρουθία ἀσσαρίου πωλεῖται καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται
ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν· ὑμῶν δὲ καὶ αἱ τρίχες 30
τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν. μὴ οὖν φοβηθῆτε 31
πολλῶν στρουθίων διαφέρετε ὑμεῖς. πᾶς οὖν ὅστις ὁμολο- 32
γήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων ὁμολογήσω κἀγὼ
ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὅστις 33
δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων ἀρνήσομαι
αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.
μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν οὐκ ἦλ- 34
θον βαλεῖν εἰρήνην ἀλλὰ μάχαιραν. ἦλθον γὰρ διχάσαι 35
ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς
μητρὸς αὐτῆς καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς. καὶ 36
ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. ὁ φιλῶν πατέρα 37
ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος καὶ ὁ φιλῶν υἱὸν ἢ
θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστιν μου ἄξιος. καὶ ὃς οὐ λαμ- 38

**v.23** T*: αλλην, V: ετεραν. **v.25** TMV: βεελζεβουλ, K: βεελζεβουβ. **v.25** TK: εκαλεσαν, MV: επεκαλεσαν. **v.25** TKV: οικιακους, M: οικειακους. **v.28** TK: φοβηθητε, MV: φοβεισθε. **v.28** TK: αποκτεινοντων, M: αποκτενοντων, V: αποκτεννοντων. **v.28** T*: φοβηθητε, V: φοβεισθε. **v.28** TKV: και ψυχην και σωμα, M: και την ψυχην και το σωμα. **v.31** T*: φοβηθητε, V: φοβεισθε. **v.32** T*: εν, V: εν [τοις]. **v.33** T*: αυτον καγω, V: καγω αυτον. **v.33** T*: εν, V: εν [τοις]. **v.36** TKV: οικιακοι, M: οικειακοι.

βάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου οὐκ
39 ἔστιν μου ἄξιος ◦ ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐ-
τὴν καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει
40 αὐτήν ◦ ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται καὶ ὁ ἐμὲ δεχόμε-
41 νος δέχεται τὸν ἀποστείλαντά με ◦ ὁ δεχόμενος προφήτην
εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται καὶ ὁ δεχό-
μενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται ◦
42 καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ
μόνον εἰς ὄνομα μαθητοῦ ἀμὴν λέγω ὑμῖν οὐ μὴ ἀπολέσῃ
τὸν μισθὸν αὐτοῦ ◦

**11** Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς διατάσσων τοῖς δώ-
δεκα μαθηταῖς αὐτοῦ μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κη-
2 ρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν ◦ ὁ δὲ ἰωάννης ἀκούσας ἐν
τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ χριστοῦ πέμψας δύὸ τῶν μαθη-
3 τῶν αὐτοῦ ◦ εἶπεν αὐτῷ σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδο-
4 κῶμεν ◦ καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτοῖς πορευθέν-
5 τες ἀπαγγείλατε ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε ◦ τυφλοὶ
ἀναβλέπουσιν καὶ χωλοὶ περιπατοῦσιν λεπροὶ καθαρίζον-
ται καὶ κωφοὶ ἀκούουσιν νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐ-
6 αγγελίζονται ◦ καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ
7 ἐν ἐμοί ◦ τούτων δὲ πορευομένων ἤρξατο ὁ ἰησοῦς λέγειν
τοῖς ὄχλοις περὶ ἰωάννου τί ἐξήλθετε εἰς τὴν ἔρημον θε-
8 άσασθαι κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον ◦ ἀλλὰ τί ἐξ-
ήλθετε ἰδεῖν ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον
ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων
9 εἰσίν ◦ ἀλλὰ τί ἐξήλθετε ἰδεῖν προφήτην ναὶ λέγω ὑμῖν καὶ
10 περισσότερον προφήτου ◦ οὗτος γάρ ἐστιν περὶ οὗ γέγρα-
πται ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου
11 σου ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου ◦ ἀμὴν
λέγω ὑμῖν οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων ἰ-
ωάννου τοῦ βαπτιστοῦ ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν

**v.41** T*: ληψεται, V: λημψεται. **v.42** T*: εαν, V: αν. **11. v.2** T*: δυο, V: δια. **v.5** T*: νεκροι, V: και νεκροι. **v.7** T*: εξηλθετε, V: εξηλθατε. **v.8** T*: εξηλθετε, V: εξηλθατε. **v.8** T*: ιματιοις, V: ∅. **v.8** TKV: βασιλεων, M: βασιλειων. **v.9** T*: εξηλθετε, V: εξηλθατε. **v.10** T*: γαρ, V: ∅.

οὐρανῶν μείζων αὐτοῦ ἐστιν ◦ ἀπὸ δὲ τῶν ἡμερῶν ἰωάννου 12
τοῦ βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται
καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν ◦ πάντες γὰρ οἱ προφῆται 13
καὶ ὁ νόμος ἕως ἰωάννου προεφήτευσαν ◦ καὶ εἰ θέλετε 14
δέξασθαι αὐτός ἐστιν ἠλίας ὁ μέλλων ἔρχεσθαι ◦ ὁ ἔχων 15
ὦτα ἀκούειν ἀκουέτω ◦ τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην 16
ὁμοία ἐστὶν παιδαρίοις˚ ἐν ἀγοραῖς καθημένοις καὶ προσ-
φωνοῦσιν τοῖς ἑταίροις αὐτῶν ◦ κἀὶ λέγουσιν ηὐλήσαμεν 17
ὑμῖν καὶ οὐκ ὠρχήσασθε ἐθρηνήσαμεν ὑμῖν καὶ οὐκ ἐκό-
ψασθε ◦ ἦλθεν γὰρ ἰωάννης μήτε ἐσθίων μήτε πίνων καὶ 18
λέγουσιν δαιμόνιον ἔχει ◦ ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐ- 19
σθίων καὶ πίνων καὶ λέγουσιν ἰδοὺ ἄνθρωπος φάγος καὶ
οἰνοπότης τελωνῶν φίλος καὶ ἁμαρτωλῶν καὶ ἐδικαιώθη ἡ
σοφία ἀπὸ τῶν τέκνων αὐτῆς ◦ τότε ἤρξατο ὀνειδίζειν τὰς 20
πόλεις ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ ὅτι οὐ
μετενόησαν ◦ οὐαί σοι χοραζὶν οὐαί σοι βηθσαϊδὰ˚ ὅτι εἰ ἐν 21
τύρῳ καὶ σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν
πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν ◦ πλὴν λέγω ὑ- 22
μῖν τύρῳ καὶ σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ
ὑμῖν ◦ καὶ σὺ καπερναοὺμ˚ ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα 23
ἕως ᾅδου καταβιβᾶσθήσῃ ὅτι εἰ ἐν σοδόμοις ἐγένὸντο αἱ
δυνάμεις αἱ γενόμεναι ἐν σοὶ ἔμεινᾶν ἂν μέχρι τῆς σήμε-
ρον ◦ πλὴν λέγω ὑμῖν ὅτι γῇ σοδόμων ἀνεκτότερον ἔσται 24
ἐν ἡμέρᾳ κρίσεως ἢ σοί ◦ ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ 25
ἰησοῦς εἶπεν ἐξομολογοῦμαί σοι πάτερ κύριε τοῦ οὐρανοῦ
καὶ τῆς γῆς ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν
καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις ◦ ναὶ ὁ πατὴρ ὅτι οὕτως ἐγέ- 26

**v.13** T*: προεφητευσαν, V: επροφητευσαν. **v.15** T*: ακουειν, V: ∅. **v.16** TK: παιδα-
ριοις εν αγοραις καθημενοις και προσφωνουσιν τοις εταιροις αυτων, M: παιδιοις εν αγοραις
καθημενοις και προσφωνουσιν τοις ετεροις αυτων, V: παιδιοις καθημενοις εν ταις αγοραις α
προσφωνουντα τοις ετεροις. **v.17** T*: και, V: ∅. **v.17** T*: υμιν, V: ∅. **v.19** T*: τε-
κνων, V: εργων. **v.21** T: βηθσαιδαν, KMV: βηθσαιδα. **v.23** T*: καπερναουμ η εως του
ουρανου υψωθεισα, V: καφαρναουμ μη εως ουρανου υψωθηση. **v.23** T*: καταβιβασθηση,
V: καταβηση. **v.23** T*: εγενοντο, V: εγενηθησαν. **v.23** T*: εμειναν, V: εμεινεν. **v.25** T*:
απεκρυψας, V: εκρυψας.

27 νετο˚ εὐδοκία ἔμπροσθέν σου ◦ πάντα μοι παρεδόθη ὑπὸ
τοῦ πατρός μου καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ
πατὴρ οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ
28 ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι ◦ δεῦτε πρός με πάντες
29 οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς ◦ ἄ-
ρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ ὅτι πρᾳ̃ός
εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς
30 ψυχαῖς ὑμῶν ◦ ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον
μου ἐλαφρόν ἐστιν ◦

**12** Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ ἰησοῦς τοῖς σάββασιν
διὰ τῶν σπορίμων οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν καὶ ἤρ-
2 ξαντο τίλλειν στάχυας καὶ ἐσθίειν ◦ οἱ δὲ φαρισαῖοι ἰδόντες
εἶπόν αὐτῷ ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστιν
3 ποιεῖν ἐν σαββάτῳ ◦ ὁ δὲ εἶπεν αὐτοῖς οὐκ ἀνέγνωτε τί ἐ-
4 ποίησεν δαβὶδ ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ◦ πῶς
εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ καὶ τοὺς ἄρτους τῆς προ-
θέσεως ἔφαγεν˚ οὓς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν οὐδὲ τοῖς
5 μετ᾽ αὐτοῦ εἰ μὴ τοῖς ἱερεῦσιν μόνοις ◦ ἢ οὐκ ἀνέγνωτε ἐν
τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββα-
6 τον βεβηλοῦσιν καὶ ἀναίτιοί εἰσιν ◦ λέγω δὲ ὑμῖν ὅτι τοῦ
7 ἱεροῦ μείζων ἐστὶν ὧδε ◦ εἰ δὲ ἐγνώκειτε τί ἐστιν ἔλεον θέλω
8 καὶ οὐ θυσίαν οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους ◦ κύ-
ριος γάρ ἐστιν καὶ τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου ◦
9, 10 καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν ◦ καὶ
ἰδοὺ ἄνθρωπος ἦν˚ τὴν χεῖρα ἔχων ξηρὰν καὶ ἐπηρώτη-
σαν αὐτὸν λέγοντες εἰ ἔξεστιν τοῖς σάββασιν θεραπεύειν ἵνα
11 κατηγορήσωσιν αὐτοῦ ◦ ὁ δὲ εἶπεν αὐτοῖς τίς ἔσται ἐξ ὑ-
μῶν ἄνθρωπος ὃς ἕξει πρόβατον ἓν καὶ ἐὰν ἐμπέσῃ τοῦτο
τοῖς σάββασιν εἰς βόθυνον οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ ◦
12 πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου ὥστε ἔξεστιν τοῖς

---

**v.26** T*: εγενετο ευδοκια, V: ευδοκια εγενετο. **v.29** T*: πραος, V: πραυς. **12. v.2** T*: ειπον, V: ειπαν. **v.3** T*: δαβιδ, V: δαυιδ. **v.3** T*: αυτος, V: ∅. **v.4** T*: εφαγεν ους, V: εφαγον ο. **v.6** TK: μειζων, MV: μειζον. **v.7** T*: ελεον, V: ελεος. **v.8** TK: και, MV: ∅. **v.10** T*: ην την, V: ∅. **v.10** T*: θεραπευειν, V: θεραπευσαι.

σάββασιν καλῶς ποιεῖν· τότε λέγει τῷ ἀνθρώπῳ ἔκτεινον 13
τὴν˚ χεῖρά σου καὶ ἐξέτεινεν καὶ ἀπόκατεστάθη ὑγιὴς ὡς
ἡ ἄλλη· οἱ˚ δὲ φαρισαῖοι συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ 14
ἐξελθόντες ὅπως αὐτὸν ἀπολέσωσιν· ὁ δὲ ἰησοῦς γνοὺς ἀ- 15
νεχώρησεν ἐκεῖθεν καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ
καὶ ἐθεράπευσεν αὐτοὺς πάντας· καὶ ἐπετίμησεν αὐτοῖς 16
ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν· ὅπως πληρωθῇ τὸ ῥη- 17
θὲν διὰ ἡσαΐου τοῦ προφήτου λέγοντος· ἰδοὺ ὁ παῖς μου 18
ὃν ᾑρέτισα ὁ ἀγαπητός μου εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου
θήσω τὸ πνεῦμά μου ἐπ᾽ αὐτὸν καὶ κρίσιν τοῖς ἔθνεσιν ἀ-
παγγελεῖ· οὐκ ἐρίσει οὐδὲ κραυγάσει οὐδὲ ἀκούσει τις 19
ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ· κάλαμον συντετριμ- 20
μένον οὐ κατεάξει καὶ λῖνον τυφόμενον οὐ σβέσει ἕως ἂν
ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν· καὶ ἐν˙ τῷ ὀνόματι αὐτοῦ ἔθνη 21
ἐλπιοῦσιν· τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος τυφλὸς 22
καὶ κωφὸς καὶ ἐθεράπευσεν αὐτὸν ὥστε τὸν˚ τυφλὸν καὶ
κωφὸν καὶ λαλεῖν καὶ βλέπειν· καὶ ἐξίσταντο πάντες οἱ 23
ὄχλοι καὶ ἔλεγον μήτι οὗτός ἐστιν ὁ υἱὸς δαβίδ· οἱ δὲ φα- 24
ρισαῖοι ἀκούσαντες εἶπον οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια
εἰ μὴ ἐν τῷ βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων· εἰδὼς δὲ 25
ὁ˚ ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν αὐτοῖς πᾶσα βασι-
λεία μερισθεῖσα καθ᾽ ἑαυτῆς ἐρημοῦται καὶ πᾶσα πόλις ἢ
οἰκία μερισθεῖσα καθ᾽ ἑαυτῆς οὐ σταθήσεται· καὶ εἰ ὁ σα- 26
τανᾶς τὸν σατανᾶν ἐκβάλλει ἐφ᾽ ἑαυτὸν ἐμερίσθη πῶς οὖν
σταθήσεται ἡ βασιλεία αὐτοῦ· καὶ εἰ ἐγὼ ἐν βεελζεβοὺλ 27
ἐκβάλλω τὰ δαιμόνια οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν διὰ
τοῦτο αὐτοὶ ὑμῶν˚ ἔσονται κριταί· εἰ δὲ ἐγὼ˚ ἐν πνεύματι 28
θεοῦ ἐκβάλλω τὰ δαιμόνια ἄρα ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασι-
λεία τοῦ θεοῦ· ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν 29

**v.13** T*: την χειρα σου, V: σου την χειρα. **v.13** T*: αποκατεσταθη, V: απεκατεσταθη. **v.14** T*: οι δε φαρισαιοι συμβουλιον ελαβον κατ αυτου εξελθοντες, V: εξελθοντες δε οι φαρισαιοι συμβουλιον ελαβον κατ αυτου. **v.17** T*: οπως, V: ινα. **v.21** TK: εν, MV: ∅. **v.22** T*: τον τυφλον και κωφον και λαλειν, V: τον κωφον λαλειν. **v.23** T*: δαβιδ, V: δαυιδ. **v.25** T*: ο ιησους, V: ∅. **v.27** T*: υμων εσονται κριται, V: κριται εσονται υμων. **v.28** TK: εγω εν πνευματι θεου, MV: εν πνευματι θεου εγω.

τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ διἁρπάσαι ἐὰν μὴ πρῶτον
30 δήσῃ τὸν ἰσχυρὸν καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει ⸰ ὁ
μὴ ὢν μετ᾽ ἐμοῦ κατ᾽ ἐμοῦ ἐστιν καὶ ὁ μὴ συνάγων μετ᾽
31 ἐμοῦ σκορπίζει ⸰ διὰ τοῦτο λέγω ὑμῖν πᾶσα ἁμαρτία καὶ
βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις ἡ δὲ τοῦ πνεύμα-
32 τος βλασφημία οὐκ ἀφεθήσεται τοῖς˚ ἀνθρώποις ⸰ καὶ ὃς
ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἀφεθήσεται
αὐτῷ ὃς δ᾽ ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου οὐκ
ἀφεθήσεται αὐτῷ οὔτε ἐν˚ τούτῳ τῷ αἰῶνι οὔτε ἐν τῷ μέλ-
33 λοντι ⸰ ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ
καλὸν ἢ ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐ-
τοῦ σαπρὸν ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται ⸰
34 γεννήματα ἐχιδνῶν πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ
ὄντες ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λα-
35 λεῖ ⸰ ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς˚
καρδίας ἐκβάλλει τὰ ἀγαθὰ καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ
36 τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά ⸰ λέγω δὲ ὑμῖν
ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν˚ λαλήσωσιν οἱ ἄνθρωποι ἀπο-
37 δώσουσιν περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως ⸰ ἐκ γὰρ
τῶν λόγων σου δικαιωθήσῃ καὶ ἐκ τῶν λόγων σου κατα-
38 δικασθήσῃ ⸰ τότε ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ
φαρισαίων λέγοντες διδάσκαλε θέλομεν ἀπὸ σοῦ σημεῖον
39 ἰδεῖν ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς γενεὰ πονηρὰ καὶ μοι-
χαλὶς σημεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ
40 μὴ τὸ σημεῖον ἰωνᾶ τοῦ προφήτου ⸰ ὥσπερ γὰρ ἦν ἰωνᾶς
ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας οὕ-
τως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς
41 ἡμέρας καὶ τρεῖς νύκτας ⸰ ἄνδρες νινευῖται ἀναστήσονται
ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐ-
τὴν ὅτι μετενόησαν εἰς τὸ κήρυγμα ἰωνᾶ καὶ ἰδοὺ πλεῖον
42 ἰωνᾶ ὧδε ⸰ βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ

**v.29** T*: διαρπασαι, V: αρπασαι. **v.31** T*: τοις ανθρωποις, V: ∅. **v.32** TK: αν, MV: εαν. **v.32** TKV: εν τουτω τω, M: εν τω νυν. **v.35** TK: της καρδιας, MV: ∅. **v.35** TK: τα, MV: ∅. **v.36** T*: εαν λαλησωσιν, V: λαλησουσιν. **v.38** T*: απεκριθησαν, V: απεκριθησαν αυτω.

τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτὴν ὅτι ἦλθεν ἐκ τῶν
περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν σολομῶνϲ καὶ ἰδοὺ
πλεῖον σολομῶνϲ ὧδε ⸰ ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα 43
ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου διέρχεται δι᾽ ἀνύδρων τόπων ζη-
τοῦν ἀνάπαυσιν καὶ οὐχ εὑρίσκει ⸰ τότε λέγει ἐπιστρέψω˚ 44
εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον καὶ ἐλθὸν εὑρίσκει σχο-
λάζοντα σεσαρωμένον καὶ κεκοσμημένον ⸰ τότε πορεύεται 45
καὶ παραλαμβάνει μεθ᾽ ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πο-
νηρότερα ἑαυτοῦ καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ καὶ γίνεται
τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων οὕ-
τως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ ⸰ ἔτι δὲ˚ αὐτοῦ 46
λαλοῦντος τοῖς ὄχλοις ἰδοὺ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ
εἱστήκεισαν ἔξω ζητοῦντες αὐτῷ λαλῆσαι ⸰ εἶπεν δέ τις αὐ- 47
τῷ ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασιν
ζητοῦντές σοι λαλῆσαι ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ εἰπόντι 48
αὐτῷ τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου ⸰
καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶ- 49
πεν ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου ⸰ ὅστις γὰρ ἂν 50
ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς αὐτός
μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν ⸰

Ἐν δὲ˚ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ ἰησοῦς ἀπὸ τῆς οἰ- **13**
κίας ἐκάθητο παρὰ τὴν θάλασσαν ⸰ καὶ συνήχθησαν πρὸς 2
αὐτὸν ὄχλοι πολλοὶ ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα κα-
θῆσθαι καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει ⸰ καὶ 3
ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς λέγων ἰδοὺ ἐξῆλ-
θεν ὁ σπείρων τοῦ σπείρειν ⸰ καὶ ἐν τῷ σπείρειν αὐτὸν ἃ 4
μὲν ἔπεσεν παρὰ τὴν ὁδὸν καὶ ἦλθεν τὰ πετεινὰ κἀι κα-
τέφαγεν αὐτά ⸰ ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη ὅπου οὐκ 5
εἶχεν γῆν πολλὴν καὶ εὐθέως ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν
βάθος γῆς ⸰ ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη καὶ διὰ 6
τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη ⸰ ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάν- 7

**v.42** ΤΚ: σολομωντος, ΜV: σολομωνος. **v.44** T*: επιστρεψω εις τον οικον μου, V: εις τον οικον μου επιστρεψω. **v.46** T*: δε, V: ∅. **v.48** T*: ειποντι, V: λεγοντι. **13. v.1** T*: δε, V: ∅. **v.1** T*: απο, V: ∅. **v.2** T*: το, V: ∅. **v.4** T*: ηλθεν, V: ελθοντα. **v.4** T*: και, V: ∅.

8 θας καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ ἀπέπνιξαν αὐτά ⸰ ἄλλα
δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπὸν ὃ μὲν
9 ἑκατὸν ὃ δὲ ἑξήκοντα ὃ δὲ τριάκοντα ⸰ ὁ ἔχων ὦτα ἀκούειν
10 ἀκουέτω ⸰ καὶ προσελθόντες οἱ μαθηταὶ εἶπόν αὐτῷ διατὶ
11 ἐν παραβολαῖς λαλεῖς αὐτοῖς ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐ-
τοῖς ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν
12 οὐρανῶν ἐκείνοις δὲ οὐ δέδοται ⸰ ὅστις γὰρ ἔχει δοθήσεται
αὐτῷ καὶ περισσευθήσεται ὅστις δὲ οὐκ ἔχει καὶ ὃ ἔχει ἀρ-
13 θήσεται ἀπ᾽ αὐτοῦ ⸰ διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ
ὅτι βλέποντες οὐ βλέπουσιν καὶ ἀκούοντες οὐκ ἀκούουσιν
14 οὐδὲ συνίουσιν ⸰ καὶ ἀναπληροῦται ἐπ᾽ᵒ αὐτοῖς ἡ προφη-
τεία ἡσαΐου ἡ λέγουσα ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε
15 καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε ⸰ ἐπαχύνθη γὰρ
ἡ καρδία τοῦ λαοῦ τούτου καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν
καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν μήποτε ἴδωσιν τοῖς
ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν
16 καὶ ἐπιστρέψωσιν καὶ ἰάσωμαι αὐτούς ⸰ ὑμῶν δὲ μακάριοι
οἱ ὀφθαλμοὶ ὅτι βλέπουσιν καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούει ⸰
17 ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐ-
πεθύμησαν ἰδεῖν ἃ βλέπετε καὶ οὐκ εἶδον καὶ ἀκοῦσαι ἃ
18 ἀκούετε καὶ οὐκ ἤκουσαν ⸰ ὑμεῖς οὖν ἀκούσατε τὴν παρα-
19 βολὴν τοῦ σπείροντος ⸰ παντὸς ἀκούοντος τὸν λόγον τῆς
βασιλείας καὶ μὴ συνιέντος ἔρχεται ὁ πονηρὸς καὶ ἁρπά-
ζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ οὗτός ἐστιν ὁ παρὰ
20 τὴν ὁδὸν σπαρείς ⸰ ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρεὶς οὗτός ἐ-
στιν ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων
21 αὐτόν ⸰ οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ ἀλλὰ πρόσκαιρός ἐ-
στιν γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθὺς
22 σκανδαλίζεται ⸰ ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρεὶς οὗτός ἐστιν
ὁ τὸν λόγον ἀκούων καὶ ἡ μέριμνα τοῦ αἰῶνος τούτου καὶ
ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον καὶ ἄκαρπος

**v.7** T*: απεπνιξαν, V: επνιξαν. **v.9** T*: ακουειν, V: ∅. **v.10** T*: ειπον, V: ειπαν. **v.10** TK: διατι, MV: δια τι. **v.14** TK: επ, MV: ∅. **v.15** TK: ιασωμαι, MV: ιασομαι. **v.16** T*: ακουει, V: ακουουσιν. **v.17** T*: ειδον, V: ειδαν. **v.18** T*: σπειροντος, V: σπειραντος. **v.22** T*: τουτου, V: ∅.

γίνεται ◦ ὁ δὲ ἐπὶ τὴν˚ γῆν τὴν καλὴν σπαρεὶς οὗτός ἐστιν ὁ 23
τὸν λόγον ἀκούων καὶ συνιὼν ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ
ὁ μὲν ἑκατὸν ὁ δὲ ἑξήκοντα ὁ δὲ τριάκοντα ◦ ἄλλην παρα- 24
βολὴν παρέθηκεν αὐτοῖς λέγων ὡμοιώθη ἡ βασιλεία τῶν
οὐρανῶν ἀνθρώπῳ σπείρόντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ
αὐτοῦ ◦ ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους ἦλθεν αὐτοῦ 25
ὁ ἐχθρὸς καὶ ἔσπειρεν ζιζάνια ἀνὰ μέσον τοῦ σίτου καὶ
ἀπῆλθεν ◦ ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίη- 26
σεν τότε ἐφάνη καὶ τὰ ζιζάνια ◦ προσελθόντες δὲ οἱ δοῦλοι 27
τοῦ οἰκοδεσπότου εἶπον αὐτῷ κύριε οὐχὶ καλὸν σπέρμα
ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ πόθεν οὖν ἔχει τὰ ζιζάνια ◦ ὁ δὲ 28
ἔφη αὐτοῖς ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν οἱ δὲ δοῦλοι
εἶπον αὐτῷ θέλεις οὖν ἀπελθόντες συλλέξῶμεν αὐτά ◦ ὁ 29
δὲ ἔφη οὔ μήποτε συλλέγοντες τὰ ζιζάνια ἐκριζώσητε ἅμα
αὐτοῖς τὸν σῖτον ◦ ἄφετε συναυξάνεσθαι ἀμφότερα μέχρι 30
τοῦ θερισμοῦ καὶ ἐν τῷ καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θε-
ριστaῖς συλλέξατε πρῶτον τὰ ζιζάνια καὶ δήσατε αὐτὰ εἰς
δέσμας πρὸς τὸ κατακαῦσαι αὐτὰ τὸν δὲ σῖτον συναγά-
γετε εἰς τὴν ἀποθήκην μου ◦ ἄλλην παραβολὴν παρέθηκεν 31
αὐτοῖς λέγων ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ
σινάπεως ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐ-
τοῦ ◦ ὃ μικρότερον μέν ἐστιν πάντων τῶν σπερμάτων ὅταν 32
δὲ αὐξηθῇ μεῖζον τῶν λαχάνων ἐστὶν καὶ γίνεται δένδρον
ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατασκηνοῦν ἐν
τοῖς κλάδοις αὐτοῦ ◦ ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς ὁ- 33
μοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ ἣν λαβοῦσα γυνὴ
ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον ◦
ταῦτα πάντα ἐλάλησεν ὁ ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις 34
καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς ◦ ὅπως πληρωθῇ 35
τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος ἀνοίξω ἐν παραβο-

**v.23** T*: την γην την καλην, V: την καλην γην. **v.23** T*: συνιων, V: συνιεις. **v.24** TM: σπειροντι, KV: σπειραντι. **v.25** T*: εσπειρεν, V: επεσπειρεν. **v.27** TK: τα, MV: ∅. **v.28** T*: ειπον, V: λεγουσιν. **v.28** TKV: συλλεξωμεν, M: συλλεξομεν. **v.29** T*: εφη, V: φησιν. **v.30** T*: μεχρι, V: εως. **v.30** TK: τω, MV: ∅. **v.33** TKV: ενεκρυψεν, M: εκρυψεν. **v.34** T*: ουκ, V: ουδεν.

λαῖς τὸ στόμα μου ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς
36 κόσμου ⸰ τότε ἀφεὶς τοὺς ὄχλους ἦλθεν εἰς τὴν οἰκίαν ὁ˚
ἰησοῦς καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες
37 φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ ⸰ ὁ δὲ
ἀποκριθεὶς εἶπεν αὐτοῖς ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν
38 ὁ υἱὸς τοῦ ἀνθρώπου ⸰ ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος τὸ δὲ
καλὸν σπέρμα οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας τὰ δὲ ζιζά-
39 νιά εἰσιν οἱ υἱοὶ τοῦ πονηροῦ ⸰ ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτά
ἐστιν ὁ διάβολος ὁ δὲ θερισμὸς συντέλεια τοῦ αἰῶνός ἐστιν
40 οἱ δὲ θερισταὶ ἄγγελοί εἰσιν ⸰ ὥσπερ οὖν συλλέγεται τὰ ζι-
ζάνια καὶ πυρὶ κατακαίεται οὕτως ἔσται ἐν τῇ συντελείᾳ
41 τοῦ αἰῶνος τούτου ⸰ ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς
ἀγγέλους αὐτοῦ καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ
42 πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν ⸰ καὶ
βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρὸς ἐκεῖ ἔσται ὁ
43 κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ⸰ τότε οἱ δίκαιοι ἐκ-
λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν ὁ
44 ἔχων ὦτα ἀκούειν ἀκουέτω ⸰ πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία
τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ ὃν εὑρὼν
ἄνθρωπος ἔκρυψεν καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει καὶ
πάντα˚ ὅσα ἔχει πωλεῖ καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον ⸰
45 πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπό-
46 ρῳ ζητοῦντι καλοὺς μαργαρίτας ⸰ ὃς˚ εὑρὼν ἕνα πολύτιμον
μαργαρίτην ἀπελθὼν πέπρακεν πάντα ὅσα εἶχεν καὶ ἠγό-
47 ρασεν αὐτόν ⸰ πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν καὶ ἐκ παντὸς γένους
48 συναγαγούσῃ ⸰ ἣν ὅτε ἐπληρώθη ἀναβιβάσαντες ἐπὶ τὸν αἰ-
γιαλὸν καὶ καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα τὰ δὲ
49 σαπρὰ ἔξω ἔβαλον ⸰ οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος
ἐξελεύσονται οἱ ἄγγελοι καὶ ἀφοριοῦσιν τοὺς πονηροὺς ἐκ

---

**v.35** T*: κοσμου, V: [κοσμου], B: ∅. **v.36** T*: ο ιησους, V: ∅. **v.36** T*: φρασον, V: διασαφησον. **v.37** T*: αυτοις, V: ∅. **v.39** T*: του, V: ∅. **v.40** TK: κατακαιεται, M: καιεται, V: [κατα]καιεται. **v.40** T*: τουτου, V: ∅. **v.43** T*: ακουειν, V: ∅. **v.44** T*: παλιν, V: ∅. **v.44** T*: παντα οσα εχει πωλει, V: πωλει παντα οσα εχει. **v.46** T*: ος ευρων, V: ευρων δε. **v.48** T*: αγγεια, V: αγγη.

μέσου τῶν δικαίων· καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμι- 50
νον τοῦ πυρὸς ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν
ὀδόντων· λέγει˚ αὐτοῖς ὁ ἰησοῦς συνήκατε ταῦτα πάντα 51
λέγουσιν αὐτῷ ναὶ κύριε· ὁ δὲ εἶπεν αὐτοῖς διὰ τοῦτο πᾶς 52
γραμματεὺς μαθητευθεὶς εἰς˚ τὴν βασιλείαν τῶν οὐρανῶν
ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ ὅστις ἐκβάλλει ἐκ τοῦ
θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά· καὶ ἐγένετο ὅτε ἐτέλε- 53
σεν ὁ ἰησοῦς τὰς παραβολὰς ταύτας μετῆρεν ἐκεῖθεν· καὶ 54
ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ ἐδίδασκεν αὐτοὺς ἐν τῇ συν-
αγωγῇ αὐτῶν ὥστε ἐκπλήττεσθαι αὐτοὺς καὶ λέγειν πόθεν
τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις· οὐχ οὗτός ἐστιν ὁ 55
τοῦ τέκτονος υἱὸς οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται μαριὰμ καὶ
οἱ ἀδελφοὶ αὐτοῦ ἰάκωβος καὶ ἰωσῆς καὶ σίμων καὶ ἰούδας·
καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσιν πόθεν 56
οὖν τούτῳ ταῦτα πάντα· καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ ὁ δὲ 57
ἰησοῦς εἶπεν αὐτοῖς οὐκ ἔστιν προφήτης ἄτιμος εἰ μὴ ἐν
τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ οὐκ ἐποίησεν 58
ἐκεῖ δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν·

Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν ἡρώδης ὁ τετράρχης τὴν **14**
ἀκοὴν ἰησοῦ· καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ οὗτός ἐστιν ἰω- 2
άννης ὁ βαπτιστής αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν καὶ διὰ
τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ· ὁ γὰρ ἡρώδης κρα- 3
τήσας τὸν ἰωάννην ἔδησεν αὐτὸν καὶ ἔθετο˚ ἐν φυλακῇ διὰ
ἡρωδιάδα τὴν γυναῖκα φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ· ἔλε- 4
γεν γὰρ αὐτῷ˚ ὁ ἰωάννης οὐκ ἔξεστίν σοι ἔχειν αὐτήν· καὶ 5
θέλων αὐτὸν ἀποκτεῖναι ἐφοβήθη τὸν ὄχλον ὅτι ὡς προ-
φήτην αὐτὸν εἶχον· γενεσίων˚ δὲ ἀγομένων τοῦ ἡρώδου 6
ὠρχήσατο ἡ θυγάτηρ τῆς ἡρωδιάδος ἐν τῷ μέσῳ καὶ ἤρε-
σεν τῷ ἡρώδῃ· ὅθεν μεθ᾽ ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι 7
ὃ ἐὰν αἰτήσηται· ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐ- 8

**v.51** T*: λεγει αυτοις ο ιησους, V: ∅. **v.51** T*: κυριε, V: ∅. **v.52** T*: εις την βασιλειαν, V: τη βασιλεια. **v.54** T*: εκπληττεσθαι, V: εκπλησσεσθαι. **v.55** T*: ουχι, V: ουχ. **v.55** T*: ιωσης, V: ιωσηφ. **v.57** T*: αυτου, V: ∅. **14. v.1** T*: τετραρχης, V: τετρααρχης. **v.3** T*: εθετο εν φυλακη, V: εν φυλακη απεθετο. **v.4** T*: αυτω ο ιωαννης, V: ο ιωαννης αυτω. **v.6** T*: γενεσιων δε αγομενων, V: γενεσιοις δε γενομενοις.

τῆς δός μοι φησὶν ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν ἰωάννου
9 τοῦ βαπτιστοῦ ⸰ καὶ ἐλύπήθη ὁ βασιλεὺς διὰ δὲ˚ τοὺς ὅρ-
10 κους καὶ τοὺς συνανακειμένους ἐκέλευσεν δοθῆναι ⸰ καὶ
11 πέμψας ἀπεκεφάλισεν τὸν ἰωάννην ἐν τῇ φυλακῇ ⸰ καὶ ἠ-
νέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι καὶ ἐδόθη τῷ κορασίῳ
12 καὶ ἤνεγκεν τῇ μητρὶ αὐτῆς ⸰ καὶ προσελθόντες οἱ μαθη-
ταὶ αὐτοῦ ἦραν τὸ σῶμά καὶ ἔθαψαν αὐτὸ καὶ ἐλθόντες ἀ-
13 πήγγειλαν τῷ ἰησοῦ ⸰ καὶ˚ ἀκούσας ὁ ἰησοῦς ἀνεχώρησεν
ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ᾽ ἰδίαν καὶ ἀκού-
σαντες οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων ⸰
14 καὶ ἐξελθὼν ὁ˚ ἰησοῦς εἶδεν πολὺν ὄχλον καὶ ἐσπλαγχνί-
σθη ἐπ᾽ αὐτοὺς καὶ ἐθεράπευσεν τοὺς ἀρρώστους αὐτῶν ⸰
15 ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ
λέγοντες ἔρημός ἐστιν ὁ τόπος καὶ ἡ ὥρα ἤδη παρῆλθεν
ἀπόλυσον τοὺς ὄχλους ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀ-
16 γοράσωσιν ἑαυτοῖς βρώματα ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς οὐ
17 χρείαν ἔχουσιν ἀπελθεῖν δότε αὐτοῖς ὑμεῖς φαγεῖν ⸰ οἱ δὲ
λέγουσιν αὐτῷ οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο
18, 19 ἰχθύας ⸰ ὁ δὲ εἶπεν φέρετέ μοι αὐτοὺς˚ ὧδε ⸰ καὶ κελεύ-
σας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς˚ χόρτους κἀι λαβὼν
τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς τὸν
οὐρανὸν εὐλόγησεν καὶ κλάσας ἔδωκεν τοῖς μαθηταῖς τοὺς
20 ἄρτους οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις ⸰ καὶ ἔφαγον πάντες καὶ
ἐχορτάσθησαν καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώ-
21 δεκα κοφίνους πλήρεις ⸰ οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ
22 πεντακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων ⸰ καὶ εὐθέως
ἠνάγκασεν ὁ˚ ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ
πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν ἕως οὗ ἀπολύ-
23 σῃ τοὺς ὄχλους ⸰ καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ
ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι ὀψίας δὲ γενομένης μόνος

---

**v.9** T*: ελυπηθη, V: λυπηθεις. **v.9** T*: δε, V: ∅. **v.12** T*: σωμα, V: πτωμα. **v.12** T*: αυτο, V: αυτο[ν]. **v.13** T*: και ακουσας, V: ακουσας δε. **v.14** T*: ο ιησους, V: ∅. **v.14** TK: αυτους, MV: αυτοις. **v.15** T*: αυτου, V: ∅. **v.18** T*: αυτους ωδε, V: ωδε αυτους. **v.19** T*: τους χορτους, V: του χορτου. **v.19** TK: και, MV: ∅. **v.22** T*: ο ιησους, V: ∅. **v.22** TK: αυτου, MV: ∅.

ἦν ἐκεῖ· τὸ δὲ πλοῖον ἤδη μέσον˚ τῆς θαλάσσης ἦν βα- 24
σανιζόμενον ὑπὸ τῶν κυμάτων ἦν γὰρ ἐναντίος ὁ ἄνεμος·
τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθεν πρὸς αὐτοὺς ὁ˚ ἰ- 25
ησοῦς περιπατῶν ἐπὶ τῆς˚ θαλάσσης· καὶ˚ ἰδόντες αὐτὸν 26
οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα ἐταράχθησαν
λέγοντες ὅτι φάντασμά ἐστιν καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν·
εὐθέως δὲ ἐλάλησεν αὐτοῖς˚ ὁ ἰησοῦς λέγων θαρσεῖτε ἐγώ 27
εἰμι μὴ φοβεῖσθε· ἀποκριθεὶς δὲ αὐτῷ ὁ πέτρος εἶπεν κύ- 28
ριε εἰ σὺ εἶ κέλευσόν με πρός˚ σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα· ὁ δὲ 29
εἶπεν ἐλθὲ καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ πέτρος περιεπά-
τησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν πρὸς τὸν ἰησοῦν· βλέπων δὲ τὸν 30
ἄνεμον ἰσχυρὸν ἐφοβήθη καὶ ἀρξάμενος καταποντίζεσθαι
ἔκραξεν λέγων κύριε σῶσόν με· εὐθέως δὲ ὁ ἰησοῦς ἐκτεί- 31
νας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ ὀλιγόπιστε
εἰς τί ἐδίστασας· καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον ἐκόπα- 32
σεν ὁ ἄνεμος· οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν 33
αὐτῷ λέγοντες ἀληθῶς θεοῦ υἱὸς εἶ· καὶ διαπεράσαντες 34
ἦλθον εἰς˚ τὴν γῆν γεννησαρέτ· καὶ ἐπιγνόντες αὐτὸν οἱ 35
ἄνδρες τοῦ τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περί-
χωρον ἐκείνην καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς
ἔχοντας· καὶ παρεκάλουν αὐτὸν ἵνα μόνον ἅψωνται τοῦ 36
κρασπέδου τοῦ ἱματίου αὐτοῦ καὶ ὅσοι ἥψαντο διεσώθη-
σαν·

Τότε προσέρχονται τῷ ἰησοῦ οἱ ἀπὸ ἱεροσολύμων γραμ- **15**
ματεῖς˚ καὶ φαρισαῖοι λέγοντες· διατὶ οἱ μαθηταί σου πα- 2
ραβαίνουσιν τὴν παράδοσιν τῶν πρεσβυτέρων οὐ γὰρ νί-
πτονται τὰς χεῖρας αὐτῶν ὅταν ἄρτον ἐσθίωσιν· ὁ δὲ ἀ- 3
ποκριθεὶς εἶπεν αὐτοῖς διατὶ καὶ ὑμεῖς παραβαίνετε τὴν

---

**v.24** T*: μεσον της θαλασσης ην, V: σταδιους πολλους απο της γης απειχεν. **v.25** T*: απηλθεν, V: ηλθεν. **v.25** T*: ο ιησους, V: ∅. **v.25** T*: της θαλασσης, V: την θαλασσαν. **v.26** T*: και ιδοντες αυτον οι μαθηται επι την θαλασσαν, V: οι δε μαθηται ιδοντες αυτον επι της θαλασσης. **v.27** T*: ευθεως, V: ευθυς. **v.27** T*: αυτοις ο ιησους, V: [ο ιησους] αυτοις. **v.28** T*: προς σε ελθειν, V: ελθειν προς σε. **v.29** T*: ελθειν, V: και ηλθεν. **v.32** T*: εμβαντων, V: αναβαντων. **v.33** T*: ελθοντες, V: ∅. **v.34** T*: εις την γην, V: επι την γην εις. **15. v.1** T*: οι, V: ∅. **v.1** T*: γραμματεις και φαρισαιοι, V: φαρισαιοι και γραμματεις. **v.2** TK: διατι, MV: δια τι. **v.3** TK: διατι, MV: δια τι.

4 ἐντολὴν τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν· ὁ γὰρ θεὸς
ἐνετείλατο λέγων τίμα τὸν πατέρα σοῦ καὶ τὴν μητέρα καὶ ὁ
5 κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω· ὑμεῖς δὲ
λέγετε ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρὶ δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ
ὠφεληθῇς κἀὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μη-
6 τέρα αὐτοῦ· καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν
7 παράδοσιν ὑμῶν· ὑποκριταὶ καλῶς προεφήτευσεν περὶ ὑ-
8 μῶν ἡσαΐας λέγων· ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι
αὐτῶν καὶ τοῖς χείλεσίν με τιμᾷ ἡ δὲ καρδία αὐτῶν πόρρω
9 ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με διδάσκοντες διδα-
10 σκαλίας ἐντάλματα ἀνθρώπων· καὶ προσκαλεσάμενος τὸν
11 ὄχλον εἶπεν αὐτοῖς ἀκούετε καὶ συνίετε· οὐ τὸ εἰσερχόμε-
νον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον ἀλλὰ τὸ ἐκπορευ-
12 όμενον ἐκ τοῦ στόματος τοῦτο κοινοῖ τὸν ἄνθρωπον· τότε
προσελθόντες οἱ μαθηταὶ αὐτοῦ εἶπον αὐτῷ οἶδας ὅτι οἱ
13 φαρισαῖοι ἀκούσαντες τὸν λόγον ἐσκανδαλίσθησαν· ὁ δὲ
ἀποκριθεὶς εἶπεν πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ
14 μου ὁ οὐράνιος ἐκριζωθήσεται· ἄφετε αὐτοὺς ὁδηγοί εἰ-
σιν τυφλοὶ τυφλῶν τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ ἀμφότεροι
15 εἰς βόθυνον πεσοῦνται· ἀποκριθεὶς δὲ ὁ πέτρος εἶπεν αὐ-
16 τῷ φράσον ἡμῖν τὴν παραβολὴν ταύτην· ὁ δὲ ἰησοῦς εἶπεν
17 ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε· οὔπω νοεῖτε ὅτι πᾶν τὸ
εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς
18 ἀφεδρῶνα ἐκβάλλεται· τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στό-
ματος ἐκ τῆς καρδίας ἐξέρχεται κἀκεῖνα κοινοῖ τὸν ἄνθρω-
19 πον· ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροὶ
φόνοι μοιχεῖαι πορνεῖαι κλοπαὶ ψευδομαρτυρίαι βλασφη-
20 μίαι· ταῦτά ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον τὸ δὲ ἀνί-
21 πτοις χερσὶν φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον· καὶ ἐξελθὼν

---

**v.4** T*: ενετειλατο λεγων, V: ειπεν. **v.4** TK: σου, MV: ∅. **v.5** T*: και, V: ∅. **v.5** T*: τιμηση, V: τιμησει. **v.5** T*: η την μητερα αυτου, V: ∅. **v.6** T*: την εντοληv, V: τον λογον. **v.7** T*: προεφητευσεν, V: επροφητευσεν. **v.8** T*: εγγιζει μοι, V: ∅. **v.8** T*: τω στοματι αυτων και, V: ∅. **v.12** T*: αυτου ειπον, V: λεγουσιν. **v.14** T*: οδηγοι εισιν τυφλοι τυφλων, V: τυφλοι εισιν οδηγοι [τυφλων]. **v.16** T*: ιησους, V: ∅. **v.17** T*: ουπω, V: ου.

ἐκεῖθεν ὁ ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη τύρου καὶ σι-
δῶνος ◦ καὶ ἰδοὺ γυνὴ χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων 22
ἐξελθοῦσα ἐκραύγασεν˚ αὐτῷ λέγουσα ἐλέησόν με κύριε
υἱὲ˚ δαβὶδ ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται ◦ ὁ δὲ οὐκ 23
ἀπεκρίθη αὐτῇ λόγον καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ
ἠρώτων αὐτὸν λέγοντες ἀπόλυσον αὐτὴν ὅτι κράζει ὄπι-
σθεν ἡμῶν ◦ ὁ δὲ ἀποκριθεὶς εἶπεν οὐκ ἀπεστάλην εἰ μὴ 24
εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου ἰσραήλ ◦ ἡ δὲ ἐλθοῦσα 25
προσεκύνει αὐτῷ λέγουσα κύριε βοήθει μοι ◦ ὁ δὲ ἀπο- 26
κριθεὶς εἶπεν οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων
καὶ βαλεῖν τοῖς κυναρίοις ◦ ἡ δὲ εἶπεν ναὶ κύριε καὶ γὰρ 27
τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς
τραπέζης τῶν κυρίων αὐτῶν ◦ τότε ἀποκριθεὶς ὁ ἰησοῦς εἶ- 28
πεν αὐτῇ ὦ γύναι μεγάλη σου ἡ πίστις γενηθήτω σοι ὡς
θέλεις καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης ◦
καὶ μεταβὰς ἐκεῖθεν ὁ ἰησοῦς ἦλθεν παρὰ τὴν θάλασσαν 29
τῆς γαλιλαίας καὶ ἀναβὰς εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ ◦ καὶ 30
προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ ἔχοντες μεθ᾽ ἑαυτῶν χωλοὺς
τυφλοὺς κωφοὺς˚ κυλλοὺς καὶ ἑτέρους πολλοὺς καὶ ἔρρι-
ψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ˚ ἰησοῦ καὶ ἐθεράπευσεν
αὐτούς ◦ ὥστε τοὺς˚ ὄχλους θαυμάσαι βλέποντας κωφοὺς 31
λαλοῦντας κυλλοὺς ὑγιεῖς χωλοὺς περιπατοῦντας καὶ τυ-
φλοὺς βλέποντας καὶ ἐδόξασαν τὸν θεὸν ἰσραήλ ◦ ὁ δὲ ἰη- 32
σοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν σπλαγ-
χνίζομαι ἐπὶ τὸν ὄχλον ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσίν
μοι καὶ οὐκ ἔχουσιν τί φάγωσιν καὶ ἀπολῦσαι αὐτοὺς νή-
στεις οὐ θέλω μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ ◦ καὶ λέγουσιν 33
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι το-
σοῦτοι ὥστε χορτάσαι ὄχλον τοσοῦτον ◦ καὶ λέγει αὐτοῖς 34
ὁ ἰησοῦς πόσους ἄρτους ἔχετε οἱ δὲ εἶπόν ἑπτὰ καὶ ὀ-

**v.22** T*: εκραυγασεν αυτω, V: εκραζεν. **v.22** T*: υιε δαβιδ, V: υιος δαυιδ. **v.23** T*: ηρωτων, V: ηρωτουν. **v.25** TKV: προσεκυνει, M: προσεκυνησεν. **v.30** T*: κωφους κυλλους, V: κυλλους κωφους. **v.30** T*: του ιησου, V: αυτου. **v.31** T*: τους οχλους, V: τον οχλον. **v.31** T*: χωλους, V: και χωλους. **v.32** TK: ημερας, MV: ημεραι. **v.33** T*: αυτου, V: ∅. **v.34** T*: ειπον, V: ειπαν.

35 λίγα ἰχθύδια ⸰ καὶ ἐκέλευσεν˚ τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ
36 τὴν γῆν ⸰ καὶ˚ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας
ἐὐχαριστήσας ἔκλασεν καὶ ἔδωκεν τοῖς μαθηταῖς αὐτοῦ οἱ
37 δὲ μαθηταὶ τῷ˚ ὄχλῳ ⸰ καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθη-
σαν καὶ ἦραν˚ τὸ περισσεῦον τῶν κλασμάτων ἑπτὰ σπυρί-
38 δας πλήρεις ⸰ οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες
39 χωρὶς γυναικῶν καὶ παιδίων ⸰ καὶ ἀπολύσας τοὺς ὄχλους
ἐνέβη εἰς τὸ πλοῖον καὶ ἦλθεν εἰς τὰ ὅρια μαγδαλά ⸰

**16** Καὶ προσελθόντες οἱ φαρισαῖοι καὶ σαδδουκαῖοι πειρά-
ζοντες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖ-
2 ξαι αὐτοῖς ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὀψίας γενομένης
3 λέγετε εὐδία πυρράζει γὰρ ὁ οὐρανός ⸰ καὶ πρωΐ σήμε-
ρον χειμὼν πυρράζει γὰρ στυγνάζων ὁ οὐρανὸς ὑποκριταὶ
τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν τὰ δὲ
4 σημεῖα τῶν καιρῶν οὐ δύνασθε ⸰ γενεὰ πονηρὰ καὶ μοι-
χαλὶς σημεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ
μὴ τὸ σημεῖον ἰωνᾶ τοῦ˚ προφήτου καὶ καταλιπὼν αὐτοὺς
5 ἀπῆλθεν ⸰ καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν ἐ-
6 πελάθοντο ἄρτους λαβεῖν ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς ὁρᾶτε
καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ σαδδου-
7 καίων ⸰ οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες ὅτι ἄρτους
8 οὐκ ἐλάβομεν ⸰ γνοὺς δὲ ὁ ἰησοῦς εἶπεν αὐτοῖς τί διαλο-
γίζεσθε ἐν ἑαυτοῖς ὀλιγόπιστοι ὅτι ἄρτους οὐκ ἐλάβετε ⸰
9 οὔπω νοεῖτε οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεν-
10 τακισχιλίων καὶ πόσους κοφίνους ἐλάβετε ⸰ οὐδὲ τοὺς ἑπτὰ
ἄρτους τῶν τετρακισχιλίων καὶ πόσας σπυρίδας ἐλάβετε ⸰
11 πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν προσέχειν ἀπὸ
12 τῆς ζύμης τῶν φαρισαίων καὶ σαδδουκαίων ⸰ τότε συνῆκαν

---

**v.35** T*: εκελευσεν τοις οχλοις, V: παραγγειλας τω οχλω. **v.36** T*: και λαβων, V: ελαβεν. **v.36** T*: ευχαριστησας, V: και ευχαριστησας. **v.36** T*: εδωκεν, V: εδιδου. **v.36** T*: αυτου, V: ∅. **v.36** T*: τω οχλω, V: τοις οχλοις. **v.37** T*: ηραν το περισσευον των κλασματων, V: το περισσευον των κλασματων ηραν. **v.39** TKV: ενεβη, M: ανεβη. **v.39** T*: μαγδαλα, V: μαγαδαν. **16. v.3** T*: υποκριται, V: ∅. **v.4** T*: του προφητου, V: ∅. **v.5** T*: αυτου, V: ∅. **v.8** T*: αυτοις, V: ∅. **v.8** T*: ελαβετε, V: εχετε. **v.11** T*: αρτου, V: αρτων. **v.11** T*: προσεχειν, V: προσεχετε δε.

ὅτι οὐκ εἶπεν προσέχειν ἀπὸ τῆς ζύμης τοῦ˚ ἄρτου ἀλλ᾽ ἀ-
πὸ τῆς διδαχῆς τῶν φαρισαίων καὶ σαδδουκαίων ⸰ ἐλθὼν 13
δὲ ὁ ἰησοῦς εἰς τὰ μέρη καισαρείας τῆς φιλίππου ἠρώτα
τοὺς μαθητὰς αὐτοῦ λέγων τίνα με λέγουσιν οἱ ἄνθρωποι
εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου ⸰ οἱ δὲ εἶπόν οἱ μὲν ἰωάν- 14
νην τὸν βαπτιστὴν ἄλλοι δὲ ἠλίαν ἕτεροι δὲ ἱερεμίαν ἢ ἕνα
τῶν προφητῶν ⸰ λέγει αὐτοῖς ὑμεῖς δὲ τίνα με λέγετε εἶ- 15
ναι ⸰ ἀποκριθεὶς δὲ σίμων πέτρος εἶπεν σὺ εἶ ὁ χριστὸς ὁ 16
υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος ⸰ καὶ˚ ἀποκριθεὶς ὁ ἰησοῦς εἶ- 17
πεν αὐτῷ μακάριος εἶ σίμων βὰρ˚ ἰωνᾶ ὅτι σὰρξ καὶ αἷμα
οὐκ ἀπεκάλυψέν σοι ἀλλ᾽ ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς ⸰
κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ 18
οἰκοδομήσω μου τὴν ἐκκλησίαν καὶ πύλαι ᾅδου οὐ κατι-
σχύσουσιν αὐτῆς ⸰ κἀὶ δώσω σοὶ τὰς κλεῖᾧ τῆς βασιλείας 19
τῶν οὐρανῶν καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένον
ἐν τοῖς οὐρανοῖς καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμέ-
νον ἐν τοῖς οὐρανοῖς ⸰ τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ 20
ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ἰησοῦς˚ ὁ χριστός ⸰ ἀπὸ 21
τότε ἤρξατο ὁ ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ
αὐτὸν ἀπελθεῖν˚ εἰς ἱεροσόλυμα καὶ πολλὰ παθεῖν ἀπὸ τῶν
πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ ἀποκταν-
θῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι ⸰ καὶ προσλαβόμενος 22
αὐτὸν ὁ πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων ἵλεώς σοι κύ-
ριε οὐ μὴ ἔσται σοι τοῦτο ⸰ ὁ δὲ στραφεὶς εἶπεν τῷ πέτρῳ 23
ὕπαγε ὀπίσω μου σατανᾶ σκάνδαλόν μου˚ εἶ ὅτι οὐ φρο-
νεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων ⸰ τότε ὁ ἰησοῦς 24
εἶπεν τοῖς μαθηταῖς αὐτοῦ εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν
ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ
ἀκολουθείτω μοι ⸰ ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι 25

---

**v.12** T*: του αρτου, V: των αρτων. **v.12** TK: αλλ, MV: αλλα. **v.13** T*: με, V: ∅. **v.14** T*: ειπον, V: ειπαν. **v.17** T*: και αποκριθεις, V: αποκριθεις δε. **v.17** TK: βαρ ιωνα, MV: βαριωνα. **v.19** T*: και, V: ∅. **v.19** T*: κλεις, V: κλειδας. **v.20** T*: αυτου, V: ∅. **v.20** T*: ιησους ο χριστος, V: ο χριστος, D: ο χριστος ιησους. **v.21** T*: απελθειν εις ιεροσολυμα, V: εις ιεροσολυμα απελθειν. **v.23** T*: μου ει, V: ει εμου. **v.25** T*: αν, V: εαν.

ἀπολέσει αὐτὴν ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνε-
26 κεν ἐμοῦ εὑρήσει αὐτήν ⸰ τί γὰρ ὠφελεῖται ἄνθρωπος ἐὰν
τὸν κόσμον ὅλον κερδήσῃ τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ ἢ
27 τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ ⸰ μέλλει
γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς
αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ καὶ τότε ἀποδώσει ἑκάστῳ
28 κατὰ τὴν˚ πρᾶξιν αὐτοῦ ⸰ ἀμὴν λέγω ὑμῖν εἰσίν˚ τινες τῶν
ὧδε ἑστηκότων οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν
ἴδωσιν τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ
αὐτοῦ ⸰

**17** Καὶ μεθ᾽ ἡμέρας ἓξ παραλαμβάνει ὁ ἰησοῦς τὸν πέτρον
καὶ ἰάκωβον καὶ ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀναφέ-
2 ρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν ⸰ καὶ μετεμορφώθη
ἔμπροσθεν αὐτῶν καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς ὁ
3 ἥλιος τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς ⸰ καὶ
ἰδοὺ ὤφθησαν αὐτοῖς μωσῆς καὶ ἠλίας μετ᾽˚ αὐτοῦ συλ-
4 λαλοῦντες ⸰ ἀποκριθεὶς δὲ ὁ πέτρος εἶπεν τῷ ἰησοῦ κύριε
καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι εἰ θέλεις ποιήσωμεν ὧδε τρεῖς
5 σκηνὰς σοὶ μίαν καὶ μωσῇ μίαν καὶ μίαν˚ ἠλίᾳ ⸰ ἔτι αὐτοῦ
λαλοῦντος ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτοὺς καὶ ἰ-
δοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα οὗτός ἐστιν ὁ υἱός μου
6 ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα αὐτοῦ˚ ἀκούετε ⸰ καὶ ἀκού-
σαντες οἱ μαθηταὶ ἔπεσὸν ἐπὶ πρόσωπον αὐτῶν καὶ ἐφο-
7 βήθησαν σφόδρα ⸰ καὶ προσῆλθὼν ὁ ἰησοῦς ἥψατο˚ αὐτῶν
8 καὶ εἶπεν ἐγέρθητε καὶ μὴ φοβεῖσθε ⸰ ἐπάραντες δὲ τοὺς
ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον εἰ μὴ τὸν ἰησοῦν μόνον ⸰
9 καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους ἐνετείλατο αὐ-
τοῖς ὁ ἰησοῦς λέγων μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ υἱὸς

---

**v.26** T*: ωφελειται, V: ωφεληθησεται. **v.27** E: την πραξιν, ℵ: τα εργα. **v.28** TK: εισιν τινες των ωδε εστηκοτων, M: εισιν τινες ωδε εστωτες, V: οτι εισιν τινες των ωδε εστωτων. **17. v.2** TKV: εγενετο, M: εγενοντο. **v.3** T*: ωφθησαν, V: ωφθη. **v.3** T*: μωσης, V: μωυσης. **v.3** T*: μετ αυτου συλλαλουντες, V: συλλαλουντες μετ αυτου. **v.4** T*: ποιησωμεν, V: ποιησω. **v.4** T*: μωση, V: μωυσει. **v.4** T*: μιαν ηλια, V: ηλια μιαν. **v.5** T*: αυτου ακουετε, V: ακουετε αυτου. **v.6** T*: επεσον, V: επεσαν. **v.7** T*: προσελθων, V: προσηλθεν. **v.7** T*: ηψατο αυτων και, V: και αψαμενος αυτων. **v.8** T*: τον, V: αυτον. **v.9** TK: απο, MV: εκ.

τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ· καὶ ἐπηρώτησαν αὐτὸν 10
οἱ μαθηταὶ αὐτοῦ λέγοντες τί οὖν οἱ γραμματεῖς λέγουσιν
ὅτι ἡλίαν δεῖ ἐλθεῖν πρῶτον· ὁ δὲ ἰησοῦς ἀποκριθεὶς εἶ- 11
πεν αὐτοῖς ἡλίας μὲν ἔρχεται πρῶτόν καὶ ἀποκαταστήσει
πάντα· λέγω δὲ ὑμῖν ὅτι ἡλίας ἤδη ἦλθεν καὶ οὐκ ἐπέ- 12
γνωσαν αὐτὸν ἀλλ᾽ ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν οὕτως
καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ᾽ αὐτῶν· τότε 13
συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν
αὐτοῖς· καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον προσῆλθεν 14
αὐτῷ ἄνθρωπος γονυπετῶν αὐτῷ καὶ λέγων· κύριε ἐλέη- 15
σόν μου τὸν υἱὸν ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει πολ-
λάκις γὰρ πίπτει εἰς τὸ πῦρ καὶ πολλάκις εἰς τὸ ὕδωρ· καὶ 16
προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου καὶ οὐκ ἠδυνήθησαν
αὐτὸν θεραπεῦσαι· ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν ὦ γενεὰ 17
ἄπιστος καὶ διεστραμμένη ἕως πότε ἔσομαι˚ μεθ᾽ ὑμῶν ἕως
πότε ἀνέξομαι ὑμῶν φέρετέ μοι αὐτὸν ὧδε· καὶ ἐπετίμη- 18
σεν αὐτῷ ὁ ἰησοῦς καὶ ἐξῆλθεν ἀπ᾽ αὐτοῦ τὸ δαιμόνιον καὶ
ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης· τότε προσελ- 19
θόντες οἱ μαθηταὶ τῷ ἰησοῦ κατ᾽ ἰδίαν εἶπον διατὶ ἡμεῖς
οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό· ὁ δὲ ἰησοῦς˚ εἶπεν αὐ- 20
τοῖς διὰ τὴν ἀπιστίαν ὑμῶν ἀμὴν γὰρ λέγω ὑμῖν ἐὰν ἔχητε
πίστιν ὡς κόκκον σινάπεως ἐρεῖτε τῷ ὄρει τούτῳ μετάβηθι˚
ἐντεῦθεν ἐκεῖ καὶ μεταβήσεται καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν·
τοῦτο˚ δὲ τὸ γένος οὐκ ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ 21
νηστείᾳ· ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ γαλιλαίᾳ εἶπεν 22
αὐτοῖς ὁ ἰησοῦς μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι
εἰς χεῖρας ἀνθρώπων· καὶ ἀποκτενοῦσιν αὐτὸν καὶ τῇ τρί- 23
τῃ ἡμέρᾳ ἐγερθήσεται καὶ ἐλυπήθησαν σφόδρα· ἐλθόντων 24
δὲ αὐτῶν εἰς καπερναοὺμ προσῆλθον οἱ τὰ δίδραχμα λαμ-

**v.9** T*: αναστη, V: εγερθη. **v.10** T*: αυτου, V: ∅. **v.11** T*: ιησους, V: ∅. **v.11** T*: αυτοις, V: ∅. **v.11** T*: πρωτον, V: ∅. **v.12** TK: αλλ, MV: αλλα. **v.14** T*: αυτων, V: ∅. **v.14** TK: αυτω, MV: αυτον. **v.17** T*: εσομαι μεθ υμων, V: μεθ υμων εσομαι. **v.19** TK: διατι, MV: δια τι. **v.20** T*: ιησους ειπεν, V: λεγει. **v.20** T*: απιστιαν, V: ολιγοπιστιαν. **v.20** T*: μεταβηθι εντευθεν, V: μεταβα ενθεν. **v.21** T*: τουτο . . . νηστεια, V: ∅. **v.22** T*: αναστρεφομενων, V: συστρεφομενων. **v.24** T*: καπερναουμ, V: καφαρναουμ.

βάνοντες τῷ πέτρῳ καὶ εἶπόν ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ
25 τὰ δίδραχμα ⸰ λέγει ναὶ καὶ ὅτε˚ εἰσῆλθεν εἰς τὴν οἰκίαν
προέφθασεν αὐτὸν ὁ ἰησοῦς λέγων τί σοι δοκεῖ σίμων οἱ
βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσιν τέλη ἢ κῆνσον
26 ἀπὸ τῶν υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων ⸰ λέγει˚ αὐτῷ ὁ
πέτρος ἀπὸ τῶν ἀλλοτρίων ἔφη αὐτῷ ὁ ἰησοῦς ἄραγε ἐ-
27 λεύθεροί εἰσιν οἱ υἱοί ⸰ ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς
πορευθεὶς εἰς τὴν θάλασσαν βάλε ἄγκιστρον καὶ τὸν ἀ-
ναβάντα πρῶτον ἰχθὺν ἆρον καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ
εὑρήσεις στατῆρα ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ
σοῦ ⸰

**18** Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ ἰησοῦ λέ-
γοντες τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ⸰
2 καὶ προσκαλεσάμενος ὁ˚ ἰησοῦς παιδίον ἔστησεν αὐτὸ ἐν
3 μέσῳ αὐτῶν ⸰ καὶ εἶπεν ἀμὴν λέγω ὑμῖν ἐὰν μὴ στραφῆτε
καὶ γένησθε ὡς τὰ παιδία οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν
4 τῶν οὐρανῶν ⸰ ὅστις οὖν ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον
τοῦτο οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ⸰
5 καὶ ὃς ἐὰν δέξηται παιδίον˚ τοιοῦτον ἓν ἐπὶ τῷ ὀνόματί μου
6 ἐμὲ δέχεται ⸰ ὃς δ᾽ ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων
τῶν πιστευόντων εἰς ἐμὲ συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύ-
λος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν
7 τῷ πελάγει τῆς θαλάσσης ⸰ οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκαν-
δάλων ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα πλὴν οὐαὶ τῷ
8 ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ τὸ σκάνδαλον ἔρχεται ⸰ εἰ δὲ ἡ χείρ
σου ἢ ὁ πούς σου σκανδαλίζει σε ἔκκοψον αὐτὰ καὶ βάλε
ἀπὸ σοῦ καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν˚ ἢ
κυλλὸν ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ
9 πῦρ τὸ αἰώνιον ⸰ καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε ἔξ-

---

**v.24** T*: ειπον, V: ειπαν. **v.25** T*: οτε εισηλθεν, V: ελθοντα. **v.26** T*: λεγει αυτω ο πετρος, V: ειποντος δε. **v.26** TK: αραγε, MV: αρα γε. **v.27** T*: την, V: ∅. **v.27** TKV: αναβαντα, M: αναβαινοντα. **18. v.2** T*: ο ιησους, V: ∅. **v.4** TK: ταπεινωση, MV: ταπεινωσει. **v.5** T*: παιδιον τοιουτον εν, V: εν παιδιον τοιουτο. **v.6** TK: επι, M: εις, V: περι. **v.7** T*: εστιν, V: ∅. **v.7** T*: εκεινω, V: ∅. **v.8** T*: αυτα, V: αυτον. **v.8** T*: χωλον η κυλλον, V: κυλλον η χωλον.

ελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ καλόν σοί ἐστιν μονόφθαλμον
εἰς τὴν ζωὴν εἰσελθεῖν ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆ-
ναι εἰς τὴν γέενναν τοῦ πυρός ⸰ ὁρᾶτε μὴ καταφρονήσητε 10
ἑνὸς τῶν μικρῶν τούτων λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐ-
τῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσιν τὸ πρόσωπον τοῦ
πατρός μου τοῦ ἐν οὐρανοῖς ⸰ ἦλθεν˚ γὰρ ὁ υἱὸς τοῦ ἀν- 11
θρώπου σῶσαι τὸ ἀπολωλός ⸰ τί ὑμῖν δοκεῖ ἐὰν γένηταί τινι 12
ἀνθρώπῳ ἑκατὸν πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν οὐχὶ
ἀφεὶς τὰ ἐννενηκονταἐννέα ἐπὶ τὰ ὄρη πορευθεὶς ζητεῖ τὸ
πλανώμενον ⸰ καὶ ἐὰν γένηται εὑρεῖν αὐτὸ ἀμὴν λέγω ὑ- 13
μῖν ὅτι χαίρει ἐπ᾽ αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐννενηκονταἐννέα
τοῖς μὴ πεπλανημένοις ⸰ οὕτως οὐκ ἔστιν θέλημα ἔμπρο- 14
σθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς ἵνα ἀπόληται εἷς
τῶν μικρῶν τούτων ⸰ ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός 15
σου ὕπαγε κἀὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μό-
νου ἐάν σου ἀκούσῃ ἐκέρδησας τὸν ἀδελφόν σου ⸰ ἐὰν δὲ 16
μὴ ἀκούσῃ παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο ἵνα ἐπὶ στό-
ματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα ⸰ ἐὰν δὲ 17
παρακούσῃ αὐτῶν εἰπὲ τῇ ἐκκλησίᾳ ἐὰν δὲ καὶ τῆς ἐκκλη-
σίας παρακούσῃ ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης ⸰
ἀμὴν λέγω ὑμῖν ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς ἔσται δεδε- 18
μένα ἐν τῷ˚ οὐρανῷ καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς ἔσται
λελυμένα ἐν τῷ˚ οὐρανῷ ⸰ πάλιν˙ λέγω ὑμῖν ὅτι ἐὰν δύο ὑ- 19
μῶν˚ συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος
οὗ ἐὰν αἰτήσωνται γενήσεται αὐτοῖς παρὰ τοῦ πατρός μου
τοῦ ἐν οὐρανοῖς ⸰ οὗ γάρ εἰσιν δύο ἢ τρεῖς συνηγμένοι εἰς 20
τὸ ἐμὸν ὄνομα ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν ⸰ τότε προσελθὼν 21
αὐτῷ˚ ὁ πέτρος εἶπεν κύριε ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ
ἀδελφός μου καὶ ἀφήσω αὐτῷ ἕως ἑπτάκις ⸰ λέγει αὐτῷ ὁ 22

---

**v.11** T*: ηλθεν . . . απολωλος, V: ∅. **v.12** T*: αφεις, V: αφησει. **v.12** TK: εννενηκονταεννεα, MV: ενενηκοντα εννεα. **v.12** T*: πορευθεις, V: και πορευθεις. **v.13** TK: εννενηκονταεννεα, MV: ενενηκοντα εννεα. **v.14** T*: εις, V: εν. **v.15** T*: και, V: ∅. **v.18** T*: τω, V: ∅. **v.19** TK: παλιν, M: παλιν αμην, V: παλιν [αμην]. **v.19** T*: υμων συμφωνησωσιν, V: συμφωνησωσιν εξ υμων. **v.21** T*: αυτω ο πετρος ειπεν, V: ο πετρος ειπεν αυτω.

ἰησοῦς οὐ λέγω σοι ἕως ἑπτάκις ἀλλ᾽ ἕως ἑβδομηκοντάκις
23 ἑπτά· διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώ-
πῳ βασιλεῖ ὃς ἠθέλησεν συνᾶραι λόγον μετὰ τῶν δούλων
24 αὐτοῦ· ἀρξαμένου δὲ αὐτοῦ συναίρειν προσηνέχθη αὐτῷ
25 εἷς ὀφειλέτης μυρίων ταλάντων· μὴ ἔχοντος δὲ αὐτοῦ ἀ-
ποδοῦναι ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι καὶ
τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα καὶ πάντα ὅσα εἶχεν καὶ ἀ-
26 ποδοθῆναι· πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ λέγων
κύριε μακροθύμησον ἐπ᾽ ἐμοὶ καὶ πάντα σοι ἀποδώσω·
27 σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου ἀπέλυσεν
28 αὐτὸν καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ· ἐξελθὼν δὲ ὁ δοῦλος
ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ ὃς ὤφειλεν αὐτῷ
ἑκατὸν δηνάρια καὶ κρατήσας αὐτὸν ἔπνιγεν λέγων ἀπό-
29 δος μοι ὅ τι ὀφείλεις· πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς
τοὺς πόδας αὐτοῦ παρεκάλει αὐτὸν λέγων μακροθύμησον
30 ἐπ᾽ ἐμοὶ καὶ πάντα ἀποδώσω σοι· ὁ δὲ οὐκ ἤθελεν ἀλλὰ
ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακὴν ἕως οὗ ἀποδῷ τὸ ὀ-
31 φειλόμενον· ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα
ἐλυπήθησαν σφόδρα καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ
32 ἑαυτῶν πάντα τὰ γενόμενα· τότε προσκαλεσάμενος αὐτὸν
ὁ κύριος αὐτοῦ λέγει αὐτῷ δοῦλε πονηρὲ πᾶσαν τὴν ὀφει-
33 λὴν ἐκείνην ἀφῆκά σοι ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει
καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου ὡς κἀγώ σε ἠλέησα·
34 καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βα-
35 σανισταῖς ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ· οὕτως
καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν ἐὰν μὴ ἀ-
φῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ
παραπτώματα αὐτῶν·

**19** Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς τοὺς λόγους τούτους

---

**v.22** T*: αλλ, V: αλλα. **v.25** T*: αυτου, V: ∅. **v.25** T*: ειχεν, V: εχει. **v.26** T*: κυριε, V: ∅. **v.26** T*: σοι αποδωσω, V: αποδωσω σοι. **v.28** TK: μοι ο, M: μοι ει, V: ει. **v.29** T*: εις τους ποδας αυτου, V: ∅. **v.29** TK: παντα, MV: ∅. **v.30** TMV: αλλα, K: αλλ. **v.30** T*: ου, V: ∅. **v.31** T*: δε, V: ουν. **v.31** TK: αυτων, MV: εαυτων. **v.33** T*: και εγω, V: καγω. **v.34** T*: αυτω, V: ∅. **v.35** T*: επουρανιος, V: ουρανιος. **v.35** T*: τα παραπτωματα αυτων, V: ∅.

μετῆρεν ἀπὸ τῆς γαλιλαίας καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς ἰου-
δαίας πέραν τοῦ ἰορδάνου ⸰ καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι 2
πολλοὶ καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ ⸰ καὶ προσῆλθον αὐ- 3
τῷ οἱ φαρισαῖοι πειράζοντες αὐτὸν καὶ λέγοντες αὐτῷ εἰ ἔξ-
εστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν
αἰτίαν ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς οὐκ ἀνέγνωτε ὅτι ὁ 4
ποιήσας ἀπ᾽ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς ⸰ καὶ 5
εἶπεν ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ
τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ καὶ
ἔσονται οἱ δύο εἰς σάρκα μίαν ⸰ ὥστε οὐκέτι εἰσὶν δύο ἀλλὰ 6
σὰρξ μία ὃ οὖν ὁ θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω ⸰
λέγουσιν αὐτῷ τί οὖν μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀ- 7
ποστασίου καὶ ἀπολῦσαι αὐτήν ⸰ λέγει αὐτοῖς ὅτι μωσῆς 8
πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι
τὰς γυναῖκας ὑμῶν ἀπ᾽ ἀρχῆς δὲ οὐ γέγονεν οὕτως ⸰ λέγω 9
δὲ ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ εἰ˚ μὴ ἐπὶ
πορνείᾳ καὶ γαμήσῃ ἄλλην μοιχᾶται καὶ˚ ὁ ἀπολελυμέ-
νην γαμήσας μοιχᾶται ⸰ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ 10
εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς οὐ
συμφέρει γαμῆσαι ⸰ ὁ δὲ εἶπεν αὐτοῖς οὐ πάντες χωροῦ- 11
σιν τὸν λόγον τοῦτον ἀλλ᾽ οἷς δέδοται ⸰ εἰσὶν γὰρ εὐνοῦχοι 12
οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως καὶ εἰσὶν εὐ-
νοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων καὶ εἰσὶν
εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν
οὐρανῶν ὁ δυνάμενος χωρεῖν χωρείτω ⸰ τότε προσηνέχθη 13
αὐτῷ παιδία ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς καὶ προσεύξη-
ται οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς ⸰ ὁ δὲ ἰησοῦς εἶπεν 14
ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με τῶν
γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ⸰ καὶ ἐπιθεὶς 15
αὐτοῖς˚ τὰς χεῖρας ἐπορεύθη ἐκεῖθεν ⸰ καὶ ἰδοὺ εἷς προσ- 16

**19. v.3** T*: οι, V: ∅. **v.3** T*: αυτω, V: ∅. **v.4** T*: αυτοις, V: ∅. **v.4** T*: ποιησας, V: κτισας. **v.5** T*: ενεκεν, V: ενεκα. **v.5** T*: προσκολληθησεται, V: κολληθησεται. **v.7** T*: μωσης, V: μωυσης. **v.8** T*: μωσης, V: μωυσης. **v.9** TK: ει, MV: ∅. **v.9** T*: και ο απολελυμενην γαμησας μοιχαται, V: ∅. **v.13** T*: προσηνεχθη, V: προσηνεχθησαν. **v.15** T*: αυτοις τας χειρας, V: τας χειρας αυτοις.

ελθὼν εἶπεν˚ αὐτῷ διδάσκαλε ἀγαθὲ τί ἀγαθὸν ποιήσω ἵνα
17 ἔχω ζωὴν αἰώνιον ◦ ὁ δὲ εἶπεν αὐτῷ τί με λέγεις˚ ἀγαθὸν
οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεὸς εἰ δὲ θέλεις εἰσελθεῖν˚ εἰς
18 τὴν ζωὴν τήρησον τὰς ἐντολάς ◦ λέγει αὐτῷ ποίας ὁ δὲ Ἰη-
σοῦς εἶπεν τὸ οὐ φονεύσεις οὐ μοιχεύσεις οὐ κλέψεις οὐ
19 ψευδομαρτυρήσεις ◦ τίμα τὸν πατέρα σοῦ καὶ τὴν μητέρα
20 καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν ◦ λέγει αὐτῷ ὁ
νεανίσκος πάντα ταῦτα ἐφυλαξάμην˚ ἐκ νεότητός μου τί ἔτι
21 ὑστερῶ ◦ ἔφη αὐτῷ ὁ Ἰησοῦς εἰ θέλεις τέλειος εἶναι ὕπαγε
πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς καὶ ἕξεις θη-
22 σαυρὸν ἐν οὐρανῷ καὶ δεῦρο ἀκολούθει μοι ◦ ἀκούσας δὲ
ὁ νεανίσκος τὸν λόγον ἀπῆλθεν λυπούμενος ἦν γὰρ ἔχων
23 κτήματα πολλά ◦ ὁ δὲ Ἰησοῦς εἶπεν τοῖς μαθηταῖς αὐτοῦ
ἀμὴν λέγω ὑμῖν ὅτι δυσκόλως˚ πλούσιος εἰσελεύσεται εἰς
24 τὴν βασιλείαν τῶν οὐρανῶν ◦ πάλιν δὲ λέγω ὑμῖν εὐκοπώ-
τερόν ἐστιν κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν ἢ
25 πλούσιον εἰς˚ τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν ◦ ἀκούσαν-
τες δὲ οἱ μαθηταὶ αὐτοῦ ἐξεπλήσσοντο σφόδρα λέγοντες τίς
26 ἄρα δύναται σωθῆναι ◦ ἐμβλέψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς
παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστιν παρὰ δὲ θεῷ πάντα
27 δυνατά ἐστιν ◦ τότε ἀποκριθεὶς ὁ πέτρος εἶπεν αὐτῷ ἰδοὺ ἡ-
μεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι τί ἄρα ἔσται
28 ἡμῖν ◦ ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς
οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ ὅταν καθίσῃ
ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ καθίσεσθε
καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυ-
29 λὰς τοῦ ἰσραήλ ◦ καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ
ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ˚ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς

---

**v.16** T*: ειπεν αυτω, V: αυτω ειπεν. **v.16** T*: αγαθε, V: ∅. **v.16** T*: εχω, V: σχω. **v.17** T*: λεγεις αγαθον ουδεις αγαθος ει μη εις ο θεος, V: ερωτας περι του αγαθου εις εστιν ο αγαθος. **v.17** T*: εισελθειν εις την ζωην, V: εις την ζωην εισελθειν. **v.19** TK: σου, MV: ∅. **v.20** T*: εφυλαξαμην εκ νεοτητος μου, V: εφυλαξα. **v.21** T*: πτωχοις, V: [τοις] πτωχοις. **v.21** T*: ουρανω, V: ουρανοις. **v.23** T*: δυσκολως πλουσιος, V: πλουσιος δυσκολως. **v.24** T*: εις την βασιλειαν του θεου εισελθειν, V: εισελθειν εις την βασιλειαν του θεου. **v.25** T*: αυτου, V: ∅. **v.26** TK: εστιν, MV: ∅. **v.28** T*: καθισεσθε, V: καθησεσθε. **v.29** T*: ος, V: οστις. **v.29** T*: η γυναικα, V: ∅.

ἕνεκεν τοῦ ὀνόματός μου ἑκατονταπλασίονα λήψεται καὶ
ζωὴν αἰώνιον κληρονομήσει ⸰ πολλοὶ δὲ ἔσονται πρῶτοι ἔ- 30
σχατοι καὶ ἔσχατοι πρῶτοι ⸰

**20** Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰ-
κοδεσπότῃ ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας
εἰς τὸν ἀμπελῶνα αὐτοῦ ⸰ συμφωνήσας ˚ δὲ μετὰ τῶν ἐρ- 2
γατῶν ἐκ δηναρίου τὴν ἡμέραν ἀπέστειλεν αὐτοὺς εἰς τὸν
ἀμπελῶνα αὐτοῦ ⸰ καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν εἶδεν 3
ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς ⸰ κἀκείνοις εἶπεν ὑ- 4
πάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα καὶ ὃ ἐὰν ᾖ δίκαιον
δώσω ὑμῖν οἱ δὲ ἀπῆλθον ⸰ πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ 5
ἐνάτην ὥραν ἐποίησεν ὡσαύτως ⸰ περὶ δὲ τὴν ἑνδεκάτην 6
ὥραν ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας ἀργοὺς καὶ λέγει αὐ-
τοῖς τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί ⸰ λέγουσιν αὐ- 7
τῷ ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο λέγει αὐτοῖς ὑπάγετε καὶ
ὑμεῖς εἰς τὸν ἀμπελῶνα καὶ ˚ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε ⸰
ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐ- 8
πιτρόπῳ αὐτοῦ κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος αὐτοῖς
τὸν μισθὸν ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων ⸰
καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δη- 9
νάριον ⸰ ἐλθόντες ˚ δὲ οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα ˚ λή- 10
ψονται καὶ ἔλαβον καὶ ˚ αὐτοὶ ἀνὰ δηνάριον ⸰ λαβόντες δὲ 11
ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου ⸰ λέγοντες ὅτι οὗτοι οἱ 12
ἔσχατοι μίαν ὥραν ἐποίησαν καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποί-
ησας τοῖς βαστάσασιν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύ-
σωνα ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν ˚ ἑνὶ αὐτῶν ἑταῖρε οὐκ ἀδικῶ 13
σε οὐχὶ δηναρίου συνεφώνησάς μοι ⸰ ἆρον τὸ σὸν καὶ ὕ- 14
παγε θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί ⸰ ἢ οὐκ 15

---

**v.29** E: εκατονταπλασιονα, B: πολλαπλασιονα. **v.29** T*: ληψεται, V: λημψεται.
**20. v.2** TKV: συμφωνησας δε, M: και συμφωνησας. **v.3** TK: την, MV: ∅. **v.4** TK: κακεινοις, MV: και εκεινοις. **v.5** T*: παλιν, V: παλιν [δε]. **v.5** TK: εννατην, MV: ενατην. **v.6** T*: ωραν, V: ∅. **v.6** T*: αργους, V: ∅. **v.7** T*: και ο εαν η δικαιον ληψεσθε, V: ∅. **v.10** T*: ελθοντες δε, V: και ελθοντες. **v.10** T*: πλειονα ληψονται, V: πλειον λημψονται. **v.10** T*: και αυτοι ανα δηναριον, V: [το] ανα δηναριον και αυτοι. **v.12** T*: οτι, V: ∅. **v.13** T*: ειπεν ενι αυτων, V: ενι αυτων ειπεν.

ἔξεστίν μοι ποιῆσαι˚ ὃ θέλω ἐν τοῖς ἐμοῖς εἰ ὁ ὀφθαλμός
16 σου πονηρός ἐστιν ὅτι ἐγὼ ἀγαθός εἰμι ⸰ οὕτως ἔσονται οἱ
ἔσχατοι πρῶτοι καὶ οἱ πρῶτοι ἔσχατοι πολλοὶ˚ γάρ εἰσιν
17 κλητοὶ ὀλίγοι δὲ ἐκλεκτοί ⸰ καὶ ἀναβαίνων ὁ ἰησοῦς εἰς ἰε-
ροσόλυμα παρέλαβεν τοὺς δώδεκα μαθητὰς κατ᾽ ἰδίαν ἐν˚
18 τῇ ὁδῷ καὶ εἶπεν αὐτοῖς ⸰ ἰδοὺ ἀναβαίνομεν εἰς ἰεροσόλυμα
καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσιν
19 καὶ γραμματεῦσιν καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ ⸰ καὶ
παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μα-
στιγῶσαι καὶ σταυρῶσαι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται ⸰
20 τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν ζεβεδαίου μετὰ τῶν
21 υἱῶν αὐτῆς προσκυνοῦσα καὶ αἰτοῦσά τι πᾶρ᾽ αὐτοῦ ⸰ ὁ δὲ
εἶπεν αὐτῇ τί θέλεις λέγει αὐτῷ εἰπὲ ἵνα καθίσωσιν οὗτοι
οἱ δύο υἱοί μου εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμωἈ ἐν
22 τῇ βασιλείᾳ σου ⸰ ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν οὐκ οἴδατε
τί αἰτεῖσθε δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν
καὶ τὸ˚ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι λέγουσιν
23 αὐτῷ δυνάμεθα ⸰ καὶ λέγει αὐτοῖς τὸ μὲν ποτήριόν μου πί-
εσθε καὶ˚ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε τὸ
δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου οὐκ ἔστιν
24 ἐμὸν δοῦναι ἀλλ᾽ οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου ⸰ καὶ
ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν ⸰
25 ὁ δὲ ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν οἴδατε ὅτι οἱ
ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι
26 κατεξουσιάζουσιν αὐτῶν ⸰ οὐχ οὕτως δὲ˚ ἔσται ἐν ὑμῖν ἀλλ᾽
ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι ἔστω ὑμῶν διάκονος ⸰
27 καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος ἔστω ὑμῶν δοῦλος ⸰
28 ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ
διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολ-

---

**v.15** T*: ποιησαι ο θελω, V: ο θελω ποιησαι. **v.15** T*: ει, V: η. **v.16** T*: πολλοι . . . εκλεκτοι, V: ∅. **v.17** T*: εν τη οδω και, V: και εν τη οδω. **v.19** T*: αναστησεται, V: εγερθησεται. **v.20** T*: παρ, V: απ. **v.21** TK: ευωνυμων, MV: ευωνυμων σου. **v.22** TK: και, M: η, V: ∅. **v.22** T*: το . . . βαπτισθηναι, V: ∅. **v.23** T*: και, V: ∅. **v.23** T*: και . . . βαπτισθησεσθε, V: ∅. **v.23** T*: μου, V: ∅. **v.23** T*: δουναι, V: [τουτο] δουναι. **v.26** T*: δε, V: ∅. **v.26** TK: εστω, MV: εσται. **v.27** T*: εαν, V: αν. **v.27** T*: εστω, V: εσται.

λῶν ◦ καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ ἰεριχὼ ἠκολούθησεν 29
αὐτῷ ὄχλος πολύς ◦ καὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ 30
τὴν ὁδὸν ἀκούσαντες ὅτι ἰησοῦς παράγει ἔκραξαν λέγοντες
ἐλέησον ἡμᾶς κύριε υἱὸς δαβίδ ◦ ὁ δὲ ὄχλος ἐπετίμησεν 31
αὐτοῖς ἵνα σιωπήσωσιν οἱ δὲ μεῖζον ἔκραζὸν λέγοντες ἐλέ-
ησον ἡμᾶς κύριε υἱὸς δαβίδ ◦ καὶ στὰς ὁ ἰησοῦς ἐφώνησεν 32
αὐτοὺς καὶ εἶπεν τί θέλετε ποιήσω ὑμῖν ◦ λέγουσιν αὐτῷ 33
κύριε ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί ◦ σπλαγχνισθεὶς 34
δὲ ὁ ἰησοῦς ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν καὶ εὐθέως ἀνέ-
βλεψαν αὐτῶν˚ οἱ ὀφθαλμοὶ καὶ ἠκολούθησαν αὐτῷ ◦

Καὶ ὅτε ἤγγισαν εἰς ἱεροσόλυμα καὶ ἦλθον εἰς βηθφαγῆ **21**
πρὸς τὸ ὄρος τῶν ἐλαιῶν τότε ὁ˚ ἰησοῦς ἀπέστειλεν δύο
μαθητάς ◦ λέγων αὐτοῖς πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέ- 2
ναντι ὑμῶν καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην καὶ πῶλον
μετ᾽ αὐτῆς λύσαντες ἀγάγετέ μοι ◦ καὶ ἐάν τις ὑμῖν εἴπῃ τι 3
ἐρεῖτε ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει εὐθέως δὲ ἀποστελεῖ
αὐτούς ◦ τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ 4
τοῦ προφήτου λέγοντος ◦ εἴπατε τῇ θυγατρὶ σιὼν ἰδοὺ ὁ 5
βασιλεύς σου ἔρχεταί σοι πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον
κἀὶ πῶλον υἱὸν ὑποζυγίου ◦ πορευθέντες δὲ οἱ μαθηταὶ 6
καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ ἰησοῦς ◦ ἤγα- 7
γον τὴν ὄνον καὶ τὸν πῶλον καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν
τὰ ἱμάτια αὐτῶν καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν ◦ ὁ δὲ πλεῖ- 8
στος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ ἄλλοι
δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν
τῇ ὁδῷ ◦ οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες 9
ἔκραζον λέγοντες ὡσαννὰ τῷ υἱῷ δαβὶδ εὐλογημένος ὁ ἐρ-

**v.30** T*: δαβιδ, V: δαυιδ. **v.31** T*: εκραζον, V: εκραξαν. **v.31** T*: δαβιδ, V: δαυιδ. **v.33** T*: ανοιχθωσιν ημων οι οφθαλμοι, V: ανοιγωσιν οι οφθαλμοι ημων. **v.34** T*: οφθαλμων, V: ομματων. **v.34** T*: αυτων οι οφθαλμοι, V: ∅. **21. v.1** TKV: βηθφαγη, M: βηθσφαγη. **v.1** T*: προς, V: εις. **v.1** T*: ο, V: ∅. **v.2** T*: πορευθητε, V: πορευεσθε. **v.2** T*: απεναντι, V: κατεναντι. **v.3** T*: ευθεως, V: ευθυς. **v.3** TKV: ἀποστελεῖ, M: ἀποστέλλει. **v.4** T*: ολον, V: ∅. **v.5** T*: και, V: και επι. **v.6** T*: προσεταξεν, V: συνεταξεν. **v.7** T*: επανω, V: επ. **v.7** T*: αυτων, V: ∅. **v.7** TMV: επεκαθισεν, K: επεκαθισαν. **v.9** T*: προαγοντες, V: προαγοντες αυτον. **v.9** T*: δαβιδ, V: δαυιδ.

10 χόμενος ἐν ὀνόματι κυρίου ὡσαννὰ ἐν τοῖς ὑψίστοις ⸰ καὶ
εἰσελθόντος αὐτοῦ εἰς ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις
11 λέγουσα τίς ἐστιν οὗτος ⸰ οἱ δὲ ὄχλοι ἔλεγον οὗτός ἐστιν ἰ-
12 ησοῦς˚ ὁ προφήτης ὁ ἀπὸ ναζαρὲτ τῆς γαλιλαίας ⸰ καὶ εἰσ-
ῆλθεν ὁ˚ ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ˚ θεοῦ καὶ ἐξέβαλεν πάντας
τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ καὶ τὰς τρα-
πέζας τῶν κολλυβιστῶν κατέστρεψεν καὶ τὰς καθέδρας τῶν
13 πωλούντων τὰς περιστεράς ⸰ καὶ λέγει αὐτοῖς γέγραπται
ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται ὑμεῖς δὲ αὐτὸν
14 ἐποιήσατε σπήλαιον λῃστῶν ⸰ καὶ προσῆλθον αὐτῷ τυφλοὶ˚
15 καὶ χωλοὶ ἐν τῷ ἱερῷ καὶ ἐθεράπευσεν αὐτούς ⸰ ἰδόντες δὲ
οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησεν
καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας ὡσαν-
16 νὰ τῷ υἱῷ δαβὶδ ἠγανάκτησαν ⸰ καὶ εἶπόν αὐτῷ ἀκούεις τί
οὗτοι λέγουσιν ὁ δὲ ἰησοῦς λέγει αὐτοῖς ναὶ οὐδέποτε ἀνέ-
γνωτε ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω
17 αἶνον ⸰ καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς
18 βηθανίαν καὶ ηὐλίσθη ἐκεῖ ⸰ πρωΐας δὲ ἐπανάγων εἰς τὴν
19 πόλιν ἐπείνασεν ⸰ καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν
ἐπ᾽ αὐτὴν καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον καὶ
λέγει αὐτῇ μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα
20 καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ ⸰ καὶ ἰδόντες οἱ μαθηταὶ
ἐθαύμασαν λέγοντες πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ ⸰
21 ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν αὐτοῖς ἀμὴν λέγω ὑμῖν ἐὰν
ἔχητε πίστιν καὶ μὴ διακριθῆτε οὐ μόνον τὸ τῆς συκῆς ποι-
ήσετε ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε ἄρθητι καὶ βλήθητι
22 εἰς τὴν θάλασσαν γενήσεται ⸰ καὶ πάντα ὅσα ἂν αἰτήσητε
23 ἐν τῇ προσευχῇ πιστεύοντες λήψεσθε ⸰ καὶ ἐλθόντι˚ αὐτῷ
εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ

---

**v.11** T*: ιησους ο προφητης, V: ο προφητης ιησους. **v.11** TM: ναζαρετ, KV: ναζαρεθ. **v.12** T*: ο, V: ∅. **v.12** T*: του θεου, V: ∅. **v.13** T*: εποιησατε, V: ποιειτε. **v.14** TKV: τυφλοι και χωλοι, M: χωλοι και τυφλοι. **v.15** T*: κραζοντας, V: τους κραζοντας. **v.15** T*: δαβιδ, V: δαυιδ. **v.16** T*: ειπον, V: ειπαν. **v.18** T*: πρωιας, V: πρωι. **v.22** TKV: αν, M: εαν. **v.22** T*: ληψεσθε, V: λημψεσθε. **v.23** T*: ελθοντι αυτω, V: ελθοντος αυτου.

οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα
ποιεῖς καὶ τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην ◦ ἀποκριθεὶς 24
δὲ ὁ ἰησοῦς εἶπεν αὐτοῖς ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα ὃν
ἐὰν εἴπητέ μοι κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ ◦
τὸ βάπτισμα ἰωάννου πόθεν ἦν ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων 25
οἱ δὲ διελογίζοντο πὰρ᾽ ἑαυτοῖς λέγοντες ἐὰν εἴπωμεν ἐξ
οὐρανοῦ ἐρεῖ ἡμῖν διατὶ οὖν οὐκ ἐπιστεύσατε αὐτῷ ◦ ἐὰν 26
δὲ εἴπωμεν ἐξ ἀνθρώπων φοβούμεθα τὸν ὄχλον πάντες γὰρ
ἔχουσιν˚ τὸν ἰωάννην ὡς προφήτην ◦ καὶ ἀποκριθέντες τῷ 27
ἰησοῦ εἶπὸν οὐκ οἴδαμεν ἔφη αὐτοῖς καὶ αὐτὸς οὐδὲ ἐγὼ
λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ ◦ τί δὲ ὑμῖν δοκεῖ 28
ἄνθρωπος εἶχεν τέκνα δύο καὶ προσελθὼν τῷ πρώτῳ εἶπεν
τέκνον ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μὀυ ◦ ὁ 29
δὲ ἀποκριθεὶς εἶπεν οὐ θέλω ὕστερον δὲ μεταμεληθεὶς ἀ-
πῆλθεν ◦ καὶ˚ προσελθὼν τῷ δἐυτέρῳ εἶπεν ὡσαύτως ὁ δὲ 30
ἀποκριθεὶς εἶπεν ἐγὼ κύριε καὶ οὐκ ἀπῆλθεν ◦ τίς ἐκ τῶν 31
δύο ἐποίησεν τὸ θέλημα τοῦ πατρὸς λέγουσιν αὐτ̊ῷ ὁ πρῶ-
τος λέγει αὐτοῖς ὁ ἰησοῦς ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τελῶναι
καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ θε-
οῦ ◦ ἦλθεν γὰρ πρὸς˚ ὑμᾶς ἰωάννης ἐν ὁδῷ δικαιοσύνης 32
καὶ οὐκ ἐπιστεύσατε αὐτῷ οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐ-
πίστευσαν αὐτῷ ὑμεῖς δὲ ἰδόντες ὀὐ μετεμελήθητε ὕστερον
τοῦ πιστεῦσαι αὐτῷ ◦ ἄλλην παραβολὴν ἀκούσατε ἄνθρω- 33
πός ῖις ἦν οἰκοδεσπότης ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ
φραγμὸν αὐτῷ περιέθηκεν καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ
ᾠκοδόμησεν πύργον καὶ ἐξέδὀτο αὐτὸν γεωργοῖς καὶ ἀπε-
δήμησεν ◦ ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν ἀπέστειλεν 34
τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρ-
ποὺς αὐτοῦ ◦ καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ 35

---

**v.25** T*: ιωαννου, V: το ιωαννου. **v.25** T*: παρ, V: εν. **v.25** TK: διατι, MV: δια τι. **v.26** T*: εχουσιν τον ιωαννην ως προφητην, V: ως προφητην εχουσιν τον ιωαννην. **v.27** T*: ειπον, V: ειπαν. **v.28** T*: μου, V: ∅. **v.30** T*: και προσελθων, V: προσελθων δε. **v.30** TK: δευτερω, MV: ετερω. **v.31** T*: αυτω, V: ∅. **v.32** T*: προς υμας ιωαννης, V: ιωαννης προς υμας. **v.32** T*: ου, V: ουδε. **v.33** T*: τις, V: ∅. **v.33** T*: εξεδοτο, V: εξεδετο.

36 ὃν μὲν ἔδειραν ὃν δὲ ἀπέκτειναν ὃν δὲ ἐλιθοβόλησαν ⸰ πά-
λιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων καὶ
37 ἐποίησαν αὐτοῖς ὡσαύτως ⸰ ὕστερον δὲ ἀπέστειλεν πρὸς
αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων ἐντραπήσονται τὸν υἱόν μου ⸰
38 οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς οὗτός ἐστιν
ὁ κληρονόμος δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν
39 τὴν κληρονομίαν αὐτοῦ ⸰ καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω
40 τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν ⸰ ὅταν οὖν ἔλθῃ ὁ κύριος
41 τοῦ ἀμπελῶνος τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις ⸰ λέγου-
σιν αὐτῷ κακοὺς κακῶς ἀπολέσει αὐτοὺς καὶ τὸν ἀμπε-
λῶνα ἐκδόσεται ἄλλοις γεωργοῖς οἵτινες ἀποδώσουσιν αὐ-
42 τῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν ⸰ λέγει αὐτοῖς ὁ
ἰησοῦς οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς λίθον ὃν ἀπε-
δοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη εἰς κεφαλὴν
γωνίας παρὰ κυρίου ἐγένετο αὕτη καὶ ἔστιν θαυμαστὴ ἐν
43 ὀφθαλμοῖς ἡμῶν ⸰ διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ᾽
ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι
44 τοὺς καρποὺς αὐτῆς ⸰ καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον
45 συνθλασθήσεται ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ λικμήσει αὐτόν ⸰ καὶ ἀ-
κούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι τὰς παραβολὰς
46 αὐτοῦ ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει ⸰ καὶ ζητοῦντες αὐτὸν
κρατῆσαι ἐφοβήθησαν τοὺς ὄχλους ἐπειδὴ ὡς προφήτην
αὐτὸν εἶχον ⸰

**22** Καὶ ἀποκριθεὶς ὁ ἰησοῦς πάλιν εἶπεν αὐτοῖς ἐν παρα-
2 βολαῖς λέγων ⸰ ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώ-
3 πῳ βασιλεῖ ὅστις ἐποίησεν γάμους τῷ υἱῷ αὐτοῦ ⸰ καὶ ἀ-
πέστειλεν τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους
4 εἰς τοὺς γάμους καὶ οὐκ ἤθελον ἐλθεῖν ⸰ πάλιν ἀπέστειλεν
ἄλλους δούλους λέγων εἴπατε τοῖς κεκλημένοις ἰδοὺ τὸ ἄ-
ριστόν μου ἡτοίμασα οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα
5 καὶ πάντα ἕτοιμα δεῦτε εἰς τοὺς γάμους ⸰ οἱ δὲ ἀμελήσαν-

---

**v.38** T*: κατασχωμεν, V: σχωμεν. **v.41** TK: εκδοσεται, MV: εκδωσεται. **v.46** T*: επειδη ως, V: επει εις. **22. v.1** T*: αυτοις εν παραβολαις, V: εν παραβολαις αυτοις. **v.4** T*: ητοιμασα, V: ητοιμακα.

τες ἀπῆλθον ὁ˚ μὲν εἰς τὸν ἴδιον ἀγρὸν ὁ˚ δὲ εἰς τὴν ἐμπο-
ρίαν αὐτοῦ ⸰ οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς δούλους αὐτοῦ 6
ὕβρισαν καὶ ἀπέκτειναν ⸰ ἀκούσας˚ δὲ ὁ βασιλεὺς ὠργίσθη 7
καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ ἀπώλεσεν τοὺς φονεῖς
ἐκείνους καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν ⸰ τότε λέγει τοῖς 8
δούλοις αὐτοῦ ὁ μὲν γάμος ἕτοιμός ἐστιν οἱ δὲ κεκλημέ-
νοι οὐκ ἦσαν ἄξιοι ⸰ πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν 9
ὁδῶν καὶ ὅσους ἂν εὕρητε καλέσατε εἰς τοὺς γάμους ⸰ καὶ 10
ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς συνήγαγον πάν-
τας ὅσους εὗρον πονηρούς τε καὶ ἀγαθοὺς καὶ ἐπλήσθη ὁ
γάμος ἀνακειμένων ⸰ εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι 11
τοὺς ἀνακειμένους εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον
ἔνδυμα γάμου ⸰ καὶ λέγει αὐτῷ ἑταῖρε πῶς εἰσῆλθες ὧδε 12
μὴ ἔχων ἔνδυμα γάμου ὁ δὲ ἐφιμώθη ⸰ τότε εἶπεν˚ ὁ βα- 13
σιλεὺς τοῖς διακόνοις δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας
ἄρατε˚ αὐτὸν καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον ἐκεῖ
ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ⸰ πολλοὶ γάρ 14
εἰσιν κλητοὶ ὀλίγοι δὲ ἐκλεκτοί ⸰ τότε πορευθέντες οἱ φα- 15
ρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν
λόγῳ ⸰ καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ 16
τῶν ἡρωδιανῶν λέγοντες διδάσκαλε οἴδαμεν ὅτι ἀληθὴς εἶ
καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ διδάσκεις καὶ οὐ μέλει
σοι περὶ οὐδενός οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων ⸰
εἰπὲ οὖν ἡμῖν τί σοι δοκεῖ ἔξεστιν δοῦναι κῆνσον καίσαρι 17
ἢ οὔ ⸰ γνοὺς δὲ ὁ ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπεν τί με 18
πειράζετε ὑποκριταί ⸰ ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήν- 19
σου οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον ⸰ καὶ λέγει αὐτοῖς 20
τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή ⸰ λέγουσιν αὐτῷ καί- 21
σαρος τότε λέγει αὐτοῖς ἀπόδοτε οὖν τὰ καίσαρος καίσαρι
καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ ⸰ καὶ ἀκούσαντες ἐθαύμασαν καὶ 22

**v.5** T*: ο, V: ος. **v.5** T*: ο δε εις, V: ος δε επι. **v.7** TK: ακουσας δε ο βασιλευς, M: και ακουσας ο βασιλευς εκεινος, V: ο δε βασιλευς. **v.9** T*: αν, V: εαν. **v.10** T*: οσους, V: ους. **v.13** T*: ειπεν ο βασιλευς, V: ο βασιλευς ειπεν. **v.13** T*: αρατε αυτον και εκβαλετε, V: εκβαλετε αυτον.

23 ἀφέντες αὐτὸν ἀπῆλθὸν ◦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον
αὐτῷ σαδδουκαῖοι ὁἱ λέγοντες μὴ εἶναι ἀνάστασιν καὶ ἐ-
24 πηρώτησαν αὐτόν ◦ λέγοντες διδάσκαλε μωσῆς εἶπεν ἐάν
τις ἀποθάνῃ μὴ ἔχων τέκνα ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐ-
τοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἀναστήσει σπέρμα τῷ ἀδελ-
25 φῷ αὐτοῦ ◦ ἦσαν δὲ παρ᾽ ἡμῖν ἑπτὰ ἀδελφοὶ καὶ ὁ πρῶτος
γαμήσας ἐτελεύτησεν καὶ μὴ ἔχων σπέρμα ἀφῆκεν τὴν γυ-
26 ναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ ◦ ὁμοίως καὶ ὁ δεύτερος καὶ
27 ὁ τρίτος ἕως τῶν ἑπτά ◦ ὕστερον δὲ πάντων ἀπέθανεν κἀὶ
28 ἡ γυνή ◦ ἐν τῇ οὖν˚ ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται γυνὴ
29 πάντες γὰρ ἔσχον αὐτήν ◦ ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν
αὐτοῖς πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύνα-
30 μιν τοῦ θεοῦ ◦ ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε
ἐκγαμίζονται ἀλλ᾽ ὡς ἄγγελοι τοῦ˚ θεοῦ ἐν οὐρανῷ εἰσιν ◦
31 περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥη-
32 θὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ λέγοντος ◦ ἐγώ εἰμι ὁ θεὸς ἀβραὰμ
καὶ ὁ θεὸς ἰσαὰκ καὶ ὁ θεὸς ἰακὼβ οὐκ ἔστιν ὁ˚ θεὸς θεὸς
33 νεκρῶν ἀλλὰ ζώντων ◦ καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσ-
34 σοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ ◦ οἱ δὲ φαρισαῖοι ἀκούσαντες
ὅτι ἐφίμωσεν τοὺς σαδδουκαίους συνήχθησαν ἐπὶ τὸ αὐ-
35 τό ◦ καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν νομικὸς πειράζων αὐτὸν
36 καὶ˚ λέγων ◦ διδάσκαλε ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ ◦
37 ὁ δὲ ἰησοῦς˚ εἶπεν αὐτῷ ἀγαπήσεις κύριον τὸν θεόν σου
ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ
38 τῇ διανοίᾳ σου ◦ αὕτη ἐστὶν πρώτη˚ καὶ μεγάλη ἐντολή ◦
39 δευτέρα δὲ ὁμοία αὐτῇ ἀγαπήσεις τὸν πλησίον σου ὡς σε-
40 αυτόν ◦ ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ˚
41 οἱ προφῆται κρέμανται ◦ συνηγμένων δὲ τῶν φαρισαίων ἐ-
42 πηρώτησεν αὐτοὺς ὁ ἰησοῦς ◦ λέγων τί ὑμῖν δοκεῖ περὶ τοῦ

---

**v.22** T*: απηλθον, V: απηλθαν. **v.23** T*: οι, V: ∅. **v.24** T*: μωσης, V: μωυσης. **v.25** T*: γαμησας, V: γημας. **v.27** T*: και, V: ∅. **v.28** T*: ουν αναστασει, V: αναστασει ουν. **v.30** T*: εκγαμιζονται, V: γαμιζονται. **v.30** T*: του θεου εν, V: εν τω. **v.32** T*: ο θεος, V: [ο]. **v.35** T*: και λεγων, V: ∅. **v.37** TK: ιησους ειπεν, M: ιησους εφη, V: εφη. **v.37** TKV: τη, M: ∅. **v.38** T*: πρωτη και μεγαλη, V: η μεγαλη και πρωτη. **v.40** T*: και οι προφηται κρεμανται, V: κρεμαται και οι προφηται.

χριστοῦ τίνος υἱός ἐστιν λέγουσιν αὐτῷ τοῦ δαβίδ ◦ λέγει 43
αὐτοῖς πῶς οὖν δαβὶδ ἐν πνεύματι κύριον˚ αὐτὸν καλεῖ λέ-
γων ◦ εἶπεν ὁ˚ κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν μου 44
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου ◦ εἰ 45
οὖν δαβὶδ καλεῖ αὐτὸν κύριον πῶς υἱὸς αὐτοῦ ἐστιν ◦ καὶ 46
οὐδεὶς ἐδύνατο αὐτῷ˚ ἀποκριθῆναι λόγον οὐδὲ ἐτόλμησέν
τις ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι ◦

Τότε ὁ ἰησοῦς ἐλάλησεν τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς **23**
αὐτοῦ ◦ λέγων ἐπὶ τῆς μωσέως καθέδρας ἐκάθισαν οἱ γραμ- 2
ματεῖς καὶ οἱ φαρισαῖοι ◦ πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν 3
τηρεῖν˚ τηρεῖτε καὶ ποιεῖτε κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποι-
εῖτε λέγουσιν γὰρ καὶ οὐ ποιοῦσιν ◦ δεσμεύουσιν γὰρ φορ- 4
τία βαρέα καὶ δυσβάστακτα καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους
τῶν ἀνθρώπων τῷ˚ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσιν κινῆσαι
αὐτά ◦ πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν πρὸς τὸ θεαθῆναι 5
τοῖς ἀνθρώποις πλατύνουσιν δὲ˚ τὰ φυλακτήρια αὐτῶν καὶ
μεγαλύνουσιν τὰ κράσπεδα τῶν˚ ἱματίων αὐτῶν ◦ φιλοῦσίν 6
τε τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καὶ τὰς πρωτοκαθε-
δρίας ἐν ταῖς συναγωγαῖς ◦ καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς 7
ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ῥαββί ◦
ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββὶ εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγη- 8
τὴς˚ ὁ χριστὸς πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε ◦ καὶ πατέρα 9
μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς εἷς γάρ ἐστιν ὁ˚ πατὴρ ὑμῶν
ὁ ἐν τοῖς οὐρανοῖς ◦ μηδὲ κληθῆτε καθηγηταί εἷς˚ γὰρ ὑ- 10
μῶν ἐστιν ὁ καθηγητὴς ὁ χριστός ◦ ὁ δὲ μείζων ὑμῶν ἔσται 11
ὑμῶν διάκονος ◦ ὅστις δὲ ὑψώσει ἑαυτὸν ταπεινωθήσεται 12
καὶ ὅστις ταπεινώσει ἑαυτὸν ὑψωθήσεται ◦ οὐαὶ˚ δὲ ὑμῖν 13

---

**v.42** T*: δαβιδ, V: δαυιδ. **v.43** T*: δαβιδ, V: δαυιδ. **v.43** T*: κυριον αυτον καλει, V: καλει αυτον κυριον. **v.44** T*: ο, V: ∅. **v.44** T*: υποποδιον, V: υποκατω. **v.45** T*: δαβιδ, V: δαυιδ. **v.46** T*: αυτω αποκριθηναι, V: αποκριθηναι αυτω. **23. v.2** T*: μωσεως, V: μωυσεως. **v.3** TK: αν, MV: εαν. **v.3** T*: τηρειν τηρειτε και ποιειτε, V: ποιησατε και τηρειτε. **v.4** T*: γαρ, V: δε. **v.4** T*: τω δε, V: αυτοι δε τω. **v.5** T*: δε, V: γαρ. **v.5** T*: των ιματιων αυτων, V: ∅. **v.6** T*: τε, V: δε. **v.7** T*: ραββι, V: ∅. **v.8** T*: καθηγητης ο χριστος, V: διδασκαλος. **v.9** T*: ο πατηρ υμων ο εν τοις ουρανοις, V: υμων ο πατηρ ο ουρανιος. **v.10** T*: εις γαρ υμων εστιν ο καθηγητης, V: οτι καθηγητης υμων εστιν εις. **v.13** TM: ουαι δε υμιν . . . κριμα, K: ουαι υμιν . . . κριμα = v.14, V: ∅.

γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι κατεσθίετε τὰς οἰ-
κίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι διὰ
14 τοῦτο λήψεσθε περισσότερον κρίμα ⸰ οὐᾶὶ ὑμῖν γραμμα-
τεῖς καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι κλείετε τὴν βασιλείαν τῶν
οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων ὑμεῖς γὰρ οὐκ εἰσέρχε-
15 σθε οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν ⸰ οὐαὶ ὑμῖν
γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι περιάγετε τὴν θά-
λασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον καὶ ὅταν
16 γένηται ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν ⸰ οὐ-
αὶ ὑμῖν ὁδηγοὶ τυφλοὶ οἱ λέγοντες ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ
οὐδέν ἐστιν ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ ὀφεί-
17 λει ⸰ μωροὶ καὶ τυφλοὶ τίς γὰρ μείζων ἐστὶν ὁ χρυσὸς ἢ ὁ
18 ναὸς ὁ ἁγιάζῶν τὸν χρυσόν ⸰ καὶ ὃς ἐὰν̓ ὀμόσῃ ἐν τῷ θυσι-
αστηρίῳ οὐδέν ἐστιν ὃς δ᾽ ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω
19 αὐτοῦ ὀφείλει ⸰ μωροὶ˚ καὶ τυφλοί τί γὰρ μεῖζον τὸ δῶρον
20 ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον ⸰ ὁ οὖν ὀμόσας ἐν
τῷ θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσιν τοῖς ἐπάνω
21 αὐτοῦ ⸰ καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν
22 τῷ κατοικοῦντι αὐτόν ⸰ καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ ὀμνύει
ἐν τῷ θρόνῳ τοῦ θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ ⸰
23 οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι ἀπο-
δεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον καὶ
ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου τὴν κρίσιν καὶ τὸν˚ ἔλεον
24 καὶ τὴν πίστιν ταῦτά ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφιέναι ⸰ ὁ-
δηγοὶ τυφλοὶ οἱ διϋλίζοντες τὸν κώνωπα τὴν δὲ κάμηλον
25 καταπίνοντες ⸰ οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑπο-
κριταὶ ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παρο-
26 ψίδος ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκ̓ρασίας ⸰ φα-
ρισαῖε τυφλὲ καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ˚
τῆς παροψίδος ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν̓ καθαρόν ⸰

---

**v.14** TM: ουαι υμιν . . . εισελθειν, KV: ουαι δε υμιν . . . εισελθειν = v.13. **v.17** T*: αγιαζων, V: αγιασας. **v.18** T*: εαν, V: αν. **v.19** T*: μωροι και, V: ∅. **v.21** TKV: κατοικουντι, M: κατοικησαντι. **v.23** T*: τον ελεον, V: το ελεος. **v.23** T*: ταυτα, V: ταυτα [δε]. **v.25** TKV: ακρασιας, M: αδικιας. **v.26** T*: και της παροψιδος, V: ∅. **v.26** T*: αυτων, V: αυτου.

οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ ὅτι παρο- 27
μοιάζετε τάφοις κεκονιαμένοις οἵτινες ἔξωθεν μὲν φαίνον-
ται ὡραῖοι ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης
ἀκαθαρσίας· οὕτως καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς 28
ἀνθρώποις δίκαιοι ἔσωθεν δὲ μεστοί˚ ἐστε ὑποκρίσεως καὶ
ἀνομίας· οὐαὶ ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ 29
ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ
μνημεῖα τῶν δικαίων· καὶ λέγετε εἰ ἦμεν ἐν ταῖς ἡμέραις 30
τῶν πατέρων ἡμῶν οὐκ ἂν ἦμεν κοινωνοὶ˚ αὐτῶν ἐν τῷ αἵ-
ματι τῶν προφητῶν· ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε 31
τῶν φονευσάντων τοὺς προφήτας· καὶ ὑμεῖς πληρώσατε 32
τὸ μέτρον τῶν πατέρων ὑμῶν· ὄφεις γεννήματα ἐχιδνῶν 33
πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης· διὰ τοῦτο ἰ- 34
δοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ
γραμματεῖς κἀι ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε καὶ
ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώ-
ξετε ἀπὸ πόλεως εἰς πόλιν· ὅπως ἔλθῃ ἐφ᾽ ὑμᾶς πᾶν αἷμα 35
δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵματος ἄβελ
τοῦ δικαίου ἕως τοῦ αἵματος ζαχαρίου υἱοῦ βαραχίου ὃν
ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου· ἀμὴν 36
λέγω ὑμῖν ἥξει˚ ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην· ἰε- 37
ρουσαλὴμ ἱερουσαλὴμ ἡ ἀπoκτείνουσα τοὺς προφήτας καὶ
λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν ποσάκις ἠ-
θέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ἐπισυνάγει˚
ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας καὶ οὐκ ἠθελή-
σατε· ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος· λέγω γὰρ 38, 39
ὑμῖν οὐ μή με ἴδητε ἀπ᾽ ἄρτι ἕως ἂν εἴπητε εὐλογημένος ὁ
ἐρχόμενος ἐν ὀνόματι κυρίου·

Καὶ ἐξελθὼν ὁ ἰησοῦς ἐπορεύετο˚ ἀπὸ τοῦ ἱεροῦ καὶ **24**
προσῆλθον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδο-

**v.28** T*: μεστοι εστε, V: εστε μεστοι. **v.30** T*: ημεν, V: ημεθα. **v.30** T*: κοινωνοι αυτων, V: αυτων κοινωνοι. **v.34** T*: και, V: ∅. **v.35** T*: εκχυνομενον, V: εκχυννομενον. **v.36** TKV: ηξει ταυτα παντα, M: οτι ηξει παντα ταυτα. **v.37** TKV: αποκτεινουσα, M: αποκτενουσα. **v.37** T*: επισυναγει ορνις, V: ορνις επισυναγει. **v.37** T*: εαυτης, V: αυτης. **24. v.1** T*: επορευετο απο του ιερου, V: απο του ιερου επορευετο.

2 μὰς τοῦ ἱεροῦ ⸰ ὁ δὲ ἰηὁοῦς εἶπεν αὐτοῖς οὐ βλέπετε πάντα˚
ταῦτα ἀμὴν λέγω ὑμῖν οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον ὃς
3 οὐ μὴ καταλυθήσεται ⸰ καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους
τῶν ἐλαιῶν προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ᾽ ἰδίαν λέγοντες
εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται καὶ τί τὸ σημεῖον τῆς σῆς πα-
4 ρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος ⸰ καὶ ἀποκριθεὶς ὁ
5 ἰησοῦς εἶπεν αὐτοῖς βλέπετε μή τις ὑμᾶς πλανήσῃ ⸰ πολ-
λοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ἐγώ εἰμι
6 ὁ χριστὸς καὶ πολλοὺς πλανήσουσιν ⸰ μελλήσετε δὲ ἀκού-
ειν πολέμους καὶ ἀκοὰς πολέμων ὁρᾶτε μὴ θροεῖσθε δεῖ
7 γὰρ πάντα γενέσθαι ἀλλ᾽ οὔπω ἐστὶν τὸ τέλος ⸰ ἐγερθήσεται
γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν καὶ ἔσον-
8 ται λιμοὶ καὶ˚ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους ⸰ πάντα δὲ
9 ταῦτα ἀρχὴ ὠδίνων ⸰ τότε παραδώσουσιν ὑμᾶς εἰς θλίψιν
καὶ ἀποκτενοῦσιν ὑμᾶς καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων
10 τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου ⸰ καὶ τότε σκανδαλισθήσον-
ται πολλοὶ καὶ ἀλλήλους παραδώσουσιν καὶ˚ μισήσουσιν
11 ἀλλήλους ⸰ καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ
12 πλανήσουσιν πολλούς ⸰ καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνο-
13 μίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν ⸰ ὁ δὲ ὑπομείνας εἰς
14 τέλος οὗτος σωθήσεται ⸰ καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγ-
γέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον
15 πᾶσιν τοῖς ἔθνεσιν καὶ τότε ἥξει τὸ τέλος ⸰ ὅταν οὖν ἴδητε τὸ
βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ δανιὴλ τοῦ προφή-
16 του ἑστὸς ἐν τόπῳ ἁγίῳ ὁ ἀναγινώσκων νοείτω ⸰ τότε οἱ ἐν
17 τῇ ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη ⸰ ὁ ἐπὶ τοῦ δώματος μὴ
18 καταβαινέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ ⸰ καὶ ὁ ἐν τῷ ἀγρῷ
19 μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ˚ ἱμάτια αὐτοῦ ⸰ οὐαὶ δὲ ταῖς
ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς
20 ἡμέραις ⸰ προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν

**v.2** T*: ιησους, V: αποκριθεις. **v.2** T*: παντα ταυτα, V: ταυτα παντα. **v.2** TK: μη, MV: ∅. **v.3** T*: της, V: ∅. **v.6** T*: παντα, V: ∅. **v.7** T*: και λοιμοι, V: ∅. **v.10** E: και μισησουσιν αλληλους, ℵ: εις θλιψιν, F: εις θανατον. **v.15** TV: εστος, KM: εστως. **v.16** T*: επι, V: εις. **v.17** T*: καταβαινετω, V: καταβατω. **v.17** TK: τι, MV: τα. **v.18** T*: τα ιματια, V: το ιματιον.

χειμῶνος μηδὲ ἐν̓ σαββάτῳ· ἔσται γὰρ τότε θλῖψις μεγάλη 21
οἵα οὐ γέγονεν ἀπ᾽ ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ᾽ οὐ μὴ
γένηται· καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι οὐκ 22
ἂν ἐσώθη πᾶσα σὰρξ διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσον-
ται αἱ ἡμέραι ἐκεῖναι· τότε ἐάν τις ὑμῖν εἴπῃ ἰδοὺ ὧδε ὁ 23
χριστὸς ἢ ὧδε μὴ πιστεύσητε· ἐγερθήσονται γὰρ ψευδό- 24
χριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα μεγάλα
καὶ τέρατα ὥστε πλανῆσαι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς·
ἰδοὺ προείρηκα ὑμῖν· ἐὰν οὖν εἴπωσιν ὑμῖν ἰδοὺ ἐν τῇ 25, 26
ἐρήμῳ ἐστὶν μὴ ἐξέλθητε ἰδοὺ ἐν τοῖς ταμείοις μὴ πιστεύ-
σητε· ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ 27
φαίνεται ἕως δυσμῶν οὕτως ἔσται κἀὶ ἡ παρουσία τοῦ υἱοῦ
τοῦ ἀνθρώπου· ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα ἐκεῖ συναχθή- 28
σονται οἱ ἀετοί· εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν 29
ἐκείνων ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ
φέγγος αὐτῆς καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ
καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται· καὶ τότε φα- 30
νήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ
καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ὄψονται τὸν
υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρα-
νοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς· καὶ ἀποστελεῖ τοὺς 31
ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης καὶ ἐπι-
συνάξουσιν τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων
ἀπ᾽ ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν· ἀπὸ δὲ τῆς συκῆς 32
μάθετε τὴν παραβολήν ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται
ἁπαλὸς καὶ τὰ φύλλα ἐκφύῃ γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος·
οὕτως καὶ ὑμεῖς ὅταν ἴδητε πάντα˚ ταῦτα γινώσκετε ὅτι ἐγ- 33
γύς ἐστιν ἐπὶ θύραις· ἀμὴν λέγω ὑμῖν ὅὐ μὴ παρέλθῃ ἡ 34
γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα γένηται· ὁ οὐρανὸς καὶ 35
ἡ γῆ παρελεύσονται οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν·
περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν οὐδὲ 36

**v.20** TK: εν, MV: ∅. **v.27** TK: και, MV: ∅. **v.28** T*: γαρ, V: ∅. **v.30** T*: τω, V: ∅. **v.31** T*: φωνης, V: ∅, D: και φωνης. **v.31** T*: ακρων, V: [των] ακρων. **v.33** TKV: παντα ταυτα, M: ταυτα παντα. **v.34** T*: ου, V: οτι ου. **v.35** T*: παρελευσονται, V: παρελευσεται. **v.36** TK: της, VM: ∅.

37 οἱ ἄγγελοι τῶν οὐρανῶν εἰ μὴ ὁ πατήρ μου μόνος ◦ ὥσπερ
δὲ αἱ ἡμέραι τοῦ νῶε οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱ-
38 οῦ τοῦ ἀνθρώπου ◦ ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς
πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες γαμοῦντες
καὶ ἐκγαμίζοντες ἄχρι ἧς ἡμέρας εἰσῆλθεν νῶε εἰς τὴν κι-
39 βωτόν ◦ καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ
ἦρεν ἅπαντας οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ
40 ἀνθρώπου ◦ τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ ὁ εἷς παραλαμ-
41 βάνεται καὶ ὁ εἷς ἀφίεται ◦ δύο ἀλήθουσαι ἐν τῷ μύλωνι
42 μία παραλαμβάνεται καὶ μία ἀφίεται ◦ γρηγορεῖτε οὖν ὅτι
43 οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται ◦ ἐκεῖνο δὲ γι-
νώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης
ἔρχεται ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασεν διορυχῆναι τὴν
44 οἰκίαν αὐτοῦ ◦ διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι ὅτι ᾗ
45 ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται ◦ τίς ἄρα
ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος ὃν κατέστησεν ὁ κύ-
ριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι αὐτοῖς τὴν
46 τροφὴν ἐν καιρῷ ◦ μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ
47 κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως ◦ ἀμὴν λέγω ὑμῖν
ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν ◦
48 ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ
49 χρονίζει ὁ κύριός μου ἐλθεῖν ◦ καὶ ἄρξηται τύπτειν τοὺς
50 συνδούλους ἐσθίειν δὲ καὶ πίνειν μετὰ τῶν μεθυόντων ◦ ἥ-
ξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ
51 καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει ◦ καὶ διχοτομήσει αὐτὸν καὶ τὸ
μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει ἐκεῖ ἔσται ὁ κλαυ-
θμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ◦

**25** Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρ-

---

**v.36** T*: ουρανων, V: ουρανων ουδε ο υιος. **v.36** T*: μου, V: ∅. **v.37** T*: δε, V: γαρ. **v.37** T*: και, V: ∅. **v.38** T*: ωσπερ, V: ως. **v.38** T*: ημεραις, V: ημεραις [εκειναις]. **v.38** T*: εκγαμιζοντες, V: γαμιζοντες. **v.40** T*: ο, V: ∅. **v.41** T*: μυλωνι, V: μυλω. **v.42** T*: ωρα, V: ημερα. **v.43** T*: διορυγηναι, V: διορυχθηναι. **v.44** T*: ωρα ου δοκειτε, V: ου δοκειτε ωρα. **v.45** T*: αυτου, V: ∅. **v.45** T*: θεραπειας, V: οικετειας. **v.45** T*: διδοναι, V: δουναι. **v.46** T*: ποιουντα ουτως, V: ουτως ποιουντα. **v.48** T*: ο κυριος μου ελθειν, V: μου ο κυριος. **v.49** T*: εσθιειν, V: αυτου εσθιη. **v.49** T*: πινειν, V: πινη.

θένοις αἵτινες λαβοῦσαι τὰς λαμπάδας ἀὐτῶν ἐξῆλθον εἰς
ἀπάντησιν τοῦ νυμφίου. πέντε δὲ ἦσαν˚ ἐξ αὐτῶν φρόνιμοι 2
καὶ αἱ πέντε μωραί. αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπά- 3
δας ἑαὐτῶν οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον. αἱ δὲ φρόνι- 4
μοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπά-
δων ἀὐτῶν. χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι 5
καὶ ἐκάθευδον. μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν ἰδοὺ ὁ 6
νυμφίος ἔρχεται ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. τότε ἠ- 7
γέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς
λαμπάδας ἀὐτῶν. αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπὸν δότε 8
ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυν-
ται. ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι μήποτε οὐκ 9
ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν πορεύεσθε δὲ˚ μᾶλλον πρὸς τοὺς
πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. ἀπερχομένων δὲ αὐ- 10
τῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽
αὐτοῦ εἰς τοὺς γάμους καὶ ἐκλείσθη ἡ θύρα. ὕστερον δὲ 11
ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι κύριε κύριε ἄ-
νοιξον ἡμῖν. ὁ δὲ ἀποκριθεὶς εἶπεν ἀμὴν λέγω ὑμῖν οὐκ 12
οἶδα ὑμᾶς. γρηγορεῖτε οὖν ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐ- 13
δὲ τὴν ὥραν ἐν˚ ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. ὥσπερ 14
γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσεν τοὺς ἰδίους δούλους
καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ. καὶ ᾧ μὲν ἔ- 15
δωκεν πέντε τάλαντα ᾧ δὲ δύο ᾧ δὲ ἓν ἑκάστῳ κατὰ τὴν
ἰδίαν δύναμιν καὶ ἀπεδήμησεν εὐθέως. πορευθεὶς δὲ˚ ὁ 16
τὰ πέντε τάλαντα λαβὼν ἐἰργάσατο ἐν αὐτοῖς καὶ ἐποίησεν
ἄλλα πέντε ἅτάλαντα. ὡσαύτως κἀὶ ὁ τὰ δύο ἐκέρδησεν 17
καὶ˚ αὐτὸς ἄλλα δύο. ὁ δὲ τὸ ἓν λαβὼν ἀπελθὼν ὤρυξεν 18
ἐν˚ τῇ γῇ καὶ ἀπέκρυψεν τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ.

---

**25.** **v.1** T*: αυτων, V: εαυτων. **v.1** T*: απαντησιν, V: υπαντησιν. **v.2** T*: ησαν εξ αυτων φρονιμοι και αι πεντε μωραι, V: εξ αυτων ησαν μωραι και πεντε φρονιμοι. **v.3** T*: αιτινες, V: αι γαρ. **v.3** TK: εαυτων, MV: αυτων. **v.4** T*: αυτων, V: ∅. **v.4** T*: αυτων, V: εαυτων. **v.6** T*: ερχεται, V: ∅. **v.7** T*: αυτων, V: εαυτων. **v.8** T*: ειπον, V: ειπαν. **v.9** T*: ουκ, V: ου μη. **v.9** T*: δε, V: ∅. **v.13** T*: εν η ο υιος του ανθρωπου ερχεται, V: ∅. **v.16** T*: δε, V: ∅. **v.16** T*: ειργασατο, V: ηργασατο. **v.16** T*: εποιησεν, V: εκερδησεν. **v.16** T*: ταλαντα, V: ∅. **v.17** T*: και, V: ∅. **v.17** T*: και αυτος, V: ∅. **v.18** T*: εν τη γη, V: γην. **v.18** T*: απεκρυψεν, V: εκρυψεν.

19 μετὰ δὲ χρόνον˚ πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκεί-
20 νων καὶ συναίρει μετ˚ αὐτῶν λόγον ⸰ καὶ προσελθὼν ὁ τὰ
πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα λέ-
γων κύριε πέντε τάλαντά μοι παρέδωκας ἴδε ἄλλα πέντε
21 τάλαντα ἐκέρδησα ἐπ˚ αὐτοῖς ⸰ ἔφη δὲ˚ αὐτῷ ὁ κύριος αὐ-
τοῦ εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ ἐπὶ ὀλίγα ἦς πιστὸς ἐπὶ πολ-
λῶν σε καταστήσω εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου ⸰
22 προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν εἶπεν κύριε δύο
τάλαντά μοι παρέδωκας ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα
23 ἐπ˚ αὐτοῖς ⸰ ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ εὖ δοῦλε ἀγαθὲ καὶ
πιστὲ ἐπὶ ὀλίγα ἦς πιστὸς ἐπὶ πολλῶν σε καταστήσω εἴσελθε
24 εἰς τὴν χαρὰν τοῦ κυρίου σου ⸰ προσελθὼν δὲ καὶ ὁ τὸ ἓν
τάλαντον εἰληφὼς εἶπεν κύριε ἔγνων σε ὅτι σκληρὸς εἶ ἄν-
θρωπος θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν οὐ
25 διεσκόρπισας ⸰ καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαν-
26 τόν σου ἐν τῇ γῇ ἴδε ἔχεις τὸ σόν ⸰ ἀποκριθεὶς δὲ ὁ κύριος
αὐτοῦ εἶπεν αὐτῷ πονηρὲ δοῦλε καὶ ὀκνηρὲ ᾔδεις ὅτι θε-
ρίζω ὅπου οὐκ ἔσπειρα καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα ⸰
27 ἔδει οὖν˚ σε βαλεῖν τὸ˚ ἀργύριόν μου τοῖς τραπεζίταις καὶ
28 ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ ⸰ ἄρατε οὖν
ἀπ˚ αὐτοῦ τὸ τάλαντον καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα ⸰
29 τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ περισσευθήσεται ἀπὸ˚
30 δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ˚ αὐτοῦ ⸰ καὶ
τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον
31 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων ⸰ ὅταν
δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάν-
τες οἱ ἅγιοι ἄγγελοι μετ˚ αὐτοῦ τότε καθίσει ἐπὶ θρόνου
32 δόξης αὐτοῦ ⸰ καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα
τὰ ἔθνη καὶ ἀφοριεῖ αὐτοὺς ἀπ˚ ἀλλήλων ὥσπερ ὁ ποιμὴν
33 ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων ⸰ καὶ στήσει τὰ μὲν

---

**v.19** T*: χρονον πολυν, V: πολυν χρονον. **v.19** T*: μετ αυτων λογον, V: λογον μετ αυτων. **v.20** T*: επ αυτοις, V: ∅. **v.21** T*: δε, V: ∅. **v.22** T*: λαβων, V: ∅. **v.22** T*: επ αυτοις, V: ∅. **v.27** T*: ουν σε, V: σε ουν. **v.27** T*: το αργυριον, V: τα αργυρια. **v.29** T*: απο δε του, V: του δε. **v.30** TK: εκβαλλετε, MV: εκβαλετε. **v.31** T*: αγιοι, V: ∅. **v.32** T*: συναχθησεται, V: συναχθησονται. **v.32** T*: αφοριει, V: αφορισει.

πρόβατα ἐκ δεξιῶν αὐτοῦ τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων ◦ τότε 34
ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ δεῦτε οἱ εὐλογημένοι
τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν
βασιλείαν ἀπὸ καταβολῆς κόσμου ◦ ἐπείνασα γὰρ καὶ ἐ- 35
δώκατέ μοι φαγεῖν ἐδίψησα καὶ ἐποτίσατέ με ξένος ἤμην
καὶ συνηγάγετέ με ◦ γυμνὸς καὶ περιεβάλετέ με ἠσθένησα 36
καὶ ἐπεσκέψασθέ με ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός
με ◦ τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι λέγοντες κύριε 37
πότε σε εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν ἢ διψῶντα καὶ
ἐποτίσαμεν ◦ πότε δέ σε εἴδομεν ξένον καὶ συνηγάγομεν ἢ 38
γυμνὸν καὶ περιεβάλομεν ◦ πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν 39
φυλακῇ καὶ ἤλθομεν πρός σε ◦ καὶ ἀποκριθεὶς ὁ βασιλεὺς 40
ἐρεῖ αὐτοῖς ἀμὴν λέγω ὑμῖν ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων
τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων ἐμοὶ ἐποιήσατε ◦ τότε ἐρεῖ 41
καὶ τοῖς ἐξ εὐωνύμων πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμέ-
νοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ
τοῖς ἀγγέλοις αὐτοῦ ◦ ἐπείνασα γὰρ καὶ οὐκ ἐδώκατέ μοι 42
φαγεῖν ἐδίψησα καὶ οὐκ ἐποτίσατέ με ◦ ξένος ἤμην καὶ οὐ 43
συνηγάγετέ με γυμνὸς καὶ οὐ περιεβάλετέ με ἀσθενὴς καὶ
ἐν φυλακῇ καὶ οὐκ ἐπεσκέψασθέ με ◦ τότε ἀποκριθήσον- 44
ται αὐτῷ καὶ αὐτοὶ λέγοντες κύριε πότε σε εἴδομεν πει-
νῶντα ἢ διψῶντα ἢ ξένον ἢ γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ
καὶ οὐ διηκονήσαμέν σοι ◦ τότε ἀποκριθήσεται αὐτοῖς λέ- 45
γων ἀμὴν λέγω ὑμῖν ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν
ἐλαχίστων οὐδὲ ἐμοὶ ἐποιήσατε ◦ καὶ ἀπελεύσονται οὗτοι 46
εἰς κόλασιν αἰώνιον οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον ◦

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς πάντας τοὺς λόγους **26**
τούτους εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ◦ οἴδατε ὅτι μετὰ δύο 2
ἡμέρας τὸ πάσχα γίνεται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παρα-
δίδοται εἰς τὸ σταυρωθῆναι ◦ τότε συνήχθησαν οἱ ἀρχιερεῖς 3
καὶ˚ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐ-
λὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου καϊάφα ◦ καὶ συνεβου- 4

**v.36** T*: ηλθετε, V: ηλθατε. **v.39** T*: ασθενη, V: ασθενουντα. **v.44** TK: αυτω, MV: ∅.
**26. v.3** T*: και οι γραμματεις, V: ∅.

λεύσαντο ἵνα τὸν ἰησοῦν κρατήσωσιν˙ δόλῳ καὶ ἀποκτείνω-
5 σιν ◦ ἔλεγον δὲ μὴ ἐν τῇ ἑορτῇ ἵνα μὴ θόρυβος γένηται ἐν τῷ
6 λαῷ ◦ τοῦ δὲ ἰησοῦ γενομένου ἐν βηθανίᾳ ἐν οἰκίᾳ σίμωνος
7 τοῦ λεπροῦ ◦ προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον˙ μύρου ἔ-
χουσα βαρυτίμου καὶ κατέχεεν ἐπὶ τὴν˙ κεφαλὴν αὐτοῦ
8 ἀνακειμένου ◦ ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν
9 λέγοντες εἰς τί ἡ ἀπώλεια αὕτη ◦ ἠδύνατο γὰρ τοῦτο τὸ˙ μύ-
10 ρον πραθῆναι πολλοῦ καὶ δοθῆναι πτωχοῖς ◦ γνοὺς δὲ ὁ ἰη-
σοῦς εἶπεν αὐτοῖς τί κόπους παρέχετε τῇ γυναικὶ ἔργον γὰρ
11 καλὸν ἐἰργάσατο εἰς ἐμέ ◦ πάντοτε˙ γὰρ τοὺς πτωχοὺς ἔχετε
12 μεθ᾽ ἑαυτῶν ἐμὲ δὲ οὐ πάντοτε ἔχετε ◦ βαλοῦσα γὰρ αὕτη
τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου πρὸς τὸ ἐνταφιάσαι
13 με ἐποίησεν ◦ ἀμὴν λέγω ὑμῖν ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγ-
γέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ λαληθήσεται καὶ ὃ ἐποίησεν
14 αὕτη εἰς μνημόσυνον αὐτῆς ◦ τότε πορευθεὶς εἷς τῶν δώ-
δεκα ὁ λεγόμενος ἰούδας ἰσκαριώτης πρὸς τοὺς ἀρχιερεῖς ◦
15 εἶπεν τί θέλετέ μοι δοῦναι κἀγὼ ὑμῖν παραδώσω αὐτὸν οἱ
16 δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια ◦ καὶ ἀπὸ τότε ἐζήτει
17 εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ ◦ τῇ δὲ πρώτῃ τῶν ἀζύμων
προσῆλθον οἱ μαθηταὶ τῷ ἰησοῦ λέγοντες αὐτῷ ποῦ θέλεις
18 ἑτοιμάσὦμέν σοι φαγεῖν τὸ πάσχα ◦ ὁ δὲ εἶπεν ὑπάγετε εἰς
τὴν πόλιν πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ ὁ διδάσκαλος λέ-
γει ὁ καιρός μου ἐγγύς ἐστιν πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ
19 τῶν μαθητῶν μου ◦ καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν
20 αὐτοῖς ὁ ἰησοῦς καὶ ἡτοίμασαν τὸ πάσχα ◦ ὀψίας δὲ γε-
21 νομένης ἀνέκειτο μετὰ τῶν δώδεκα ◦ καὶ ἐσθιόντων αὐτῶν
22 εἶπεν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με ◦ καὶ
λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ ἕκαστος˙ αὐτῶν
23 μήτι ἐγώ εἰμι κύριε ◦ ὁ δὲ ἀποκριθεὶς εἶπεν ὁ ἐμβάψας μετ᾽

**v.4** TK: κρατησωσιν δολω, MV: δολω κρατησωσιν. **v.7** T*: αλαβαστρον μυρου εχουσα, V: εχουσα αλαβαστρον μυρου. **v.7** T*: την κεφαλην, V: της κεφαλης. **v.8** T*: αυτου, V: ∅. **v.9** T*: ηδυνατο, V: εδυνατο. **v.9** T*: το μυρον, V: ∅. **v.10** T*: ειργασατο, V: ηργασατο. **v.11** TKV: παντοτε γαρ τους πτωχους, M: τους πτωχους γαρ παντοτε. **v.17** T*: αυτω, V: ∅. **v.17** TKV: ετοιμασωμεν, M: ετοιμασομεν. **v.22** T*: εκαστος αυτων, V: εις εκαστος.

ἐμοῦ ἐν˚ τῷ τρυβλίῳ τὴν χεῖρα οὗτός με παραδώσει ◦ ὁ μὲν 24
υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ
οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι˚ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου
παραδίδοται καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος
ἐκεῖνος ◦ ἀποκριθεὶς δὲ ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπεν 25
μήτι ἐγώ εἰμι ῥαββὶ λέγει αὐτῷ σὺ εἶπας ◦ ἐσθιόντων δὲ αὐ- 26
τῶν λαβὼν ὁ ἰησοῦς τὸν ἄρτον καὶ εὐλόγήσας ἔκλασεν καὶ
ἐδίδου τοῖς μαθηταῖς κἀὶ εἶπεν λάβετε φάγετε τοῦτό ἐστιν
τὸ σῶμά μου ◦ καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας 27
ἔδωκεν αὐτοῖς λέγων πίετε ἐξ αὐτοῦ πάντες ◦ τοῦτο γάρ ἐ- 28
στιν τὸ αἷμά μου τὸ˚ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν
ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν ◦ λέγω δὲ ὑμῖν ὅτι οὐ 29
μὴ πίω ἀπ˚ ἄρτι ἐκ τούτου τοῦ γενῆματος τῆς ἀμπέλου
ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ˚ ὑμῶν καινὸν
ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου ◦ καὶ ὑμνήσαντες ἐξῆλθον 30
εἰς τὸ ὄρος τῶν ἐλαιῶν ◦ τότε λέγει αὐτοῖς ὁ ἰησοῦς πάντες 31
ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ γέγρα-
πται γὰρ πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσὲται τὰ
πρόβατα τῆς ποίμνης ◦ μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω 32
ὑμᾶς εἰς τὴν γαλιλαίαν ◦ ἀποκριθεὶς δὲ ὁ πέτρος εἶπεν αὐ- 33
τῷ εἰ κἀὶ πάντες σκανδαλισθήσονται ἐν σοὶ ἐγὼ οὐδέποτε
σκανδαλισθήσομαι ◦ ἔφη αὐτῷ ὁ ἰησοῦς ἀμὴν λέγω σοι ὅτι 34
ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ
με ◦ λέγει αὐτῷ ὁ πέτρος κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν οὐ 35
μή σε ἀπαρνήσὸμαι ὁμοίως ἃκαὶ πάντες οἱ μαθηταὶ εἶπὸν ◦
τότε ἔρχεται μετ˚ αὐτῶν ὁ ἰησοῦς εἰς χωρίον λεγόμενον γεθ- 36
σημανῆ καὶ λέγει τοῖς μαθηταῖς καθίσατε αὐτοῦ ἕως οὗ
ἀπελθὼν προσεύξωμαι˚ ἐκεῖ ◦ καὶ παραλαβὼν τὸν πέτρον 37

**v.23** T*: εν τω τρυβλιω την χειρα, V: την χειρα εν τω τρυβλιω. **v.26** TKV: ευλογησας, M: ευχαριστησας. **v.26** T*: εδιδου, V: δους. **v.26** T*: και, V: ∅. **v.27** T*: το, V: ∅. **v.28** T*: το της καινης, V: της. **v.28** T*: εκχυνομενον, V: εκχυννομενον. **v.29** T*: οτι, V: ∅. **v.29** T*: γεννηματος, V: γενηματος. **v.31** T*: διασκορπισθησεται, V: διασκορπισθησονται. **v.33** TK: και, MV: ∅. **v.33** TKV: εγω, M: εγω δε. **v.35** TKV: απαρνησομαι, M: απαρνησωμαι. **v.35** TKV: και, M: δε και. **v.35** T*: ειπον, V: ειπαν. **v.36** T*: γεθσημανη, V: γεθσημανι. **v.36** T*: προσευξωμαι εκει, V: εκει προσευξωμαι.

καὶ τοὺς δύο υἱοὺς ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδη-
38 μονεῖν· τότε λέγει αὐτοῖς περίλυπός ἐστιν ἡ ψυχή μου
39 ἕως θανάτου μείνατε ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ· καὶ
προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχό-
μενος καὶ λέγων πάτερ μου εἰ δυνατόν ἐστιν παρελθέτω
ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο πλὴν οὐχ ὡς ἐγὼ θέλω ἀλλ' ὡς
40 σύ· καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει αὐτοὺς
καθεύδοντας καὶ λέγει τῷ πέτρῳ οὕτως οὐκ ἰσχύσατε μίαν
41 ὥραν γρηγορῆσαι μετ' ἐμοῦ· γρηγορεῖτε καὶ προσεύχεσθε
ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν τὸ μὲν πνεῦμα πρόθυμον ἡ
42 δὲ σὰρξ ἀσθενής· πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο
λέγων πάτερ μου εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελ-
θεῖν ἀπ' ἐμοῦ ἐὰν μὴ αὐτὸ πίω γενηθήτω τὸ θέλημά σου·
43 καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας ἦσαν γὰρ
44 αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι· καὶ ἀφεὶς αὐτοὺς ἀπελ-
θὼν πάλιν προσηύξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπών·
45 τότε ἔρχεται πρὸς τοὺς μαθητὰς αὐτοῦ καὶ λέγει αὐτοῖς κα-
θεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ
ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν·
46, 47 ἐγείρεσθε ἄγωμεν ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με· καὶ ἔτι
αὐτοῦ λαλοῦντος ἰδοὺ ἰούδας εἷς τῶν δώδεκα ἦλθεν καὶ
μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν
48 ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ· ὁ δὲ παραδιδοὺς
αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων ὃν ἂν φιλήσω αὐτός
49 ἐστιν κρατήσατε αὐτόν· καὶ εὐθέως προσελθὼν τῷ ἰησοῦ
50 εἶπεν χαῖρε ῥαββὶ καὶ κατεφίλησεν αὐτόν· ὁ δὲ ἰησοῦς εἶ-
πεν αὐτῷ ἑταῖρε ἐφ' ᾧ πάρει τότε προσελθόντες ἐπέβαλον
51 τὰς χεῖρας ἐπὶ τὸν ἰησοῦν καὶ ἐκράτησαν αὐτόν· καὶ ἰδοὺ
εἷς τῶν μετὰ ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασεν τὴν μά-
χαιραν αὐτοῦ καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖ-

---

**v.38** ΤΚV: αυτοις, Μ: αυτοις ο ιησους. **v.39** ΤΚV: προελθων, Μ: προσελθων. **v.39** T*: παρελθετω, V: παρελθατω. **v.42** T*: το ποτηριον, V: ∅. **v.42** T*: απ εμου, V: ∅. **v.43** T*: ευρισκει αυτους παλιν, V: παλιν ευρεν αυτους. **v.44** T*: απελθων παλιν, V: παλιν απελθων. **v.44** T*: ειπων, V: ειπων παλιν. **v.45** T*: αυτου, V: ∅. **v.50** T*: ω, V: ο.

λεν αὐτοῦ τὸ ὠτίον ◦ τότε λέγει αὐτῷ ὁ ἰησοῦς ἀπόστρεψόν 52
σου ˚ τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς πάντες γὰρ οἱ λα-
βόντες μάχαιραν ἐν μαχαίρᾳ ἀπολοῦνται ◦ ἢ δοκεῖς ὅτι οὐ 53
δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου καὶ παραστή-
σει μοι πλείους ˚ ἢ δώδεκα λεγεῶνας ἀγγέλων ◦ πῶς οὖν 54
πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτως δεῖ γενέσθαι ◦ ἐν ἐκείνῃ 55
τῇ ὥρᾳ εἶπεν ὁ ἰησοῦς τοῖς ὄχλοις ὡς ἐπὶ λῃστὴν ἐξήλθετε
μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με καθ᾽ ἡμέραν πρὸς ˚
ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ καὶ οὐκ ἐκρατήσατέ
με ◦ τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν 56
προφητῶν τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον ◦
οἱ δὲ κρατήσαντες τὸν ἰησοῦν ἀπήγαγον πρὸς καϊάφαν τὸν 57
ἀρχιερέα ὅπου οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθη-
σαν ◦ ὁ δὲ πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως τῆς 58
αὐλῆς τοῦ ἀρχιερέως καὶ εἰσελθὼν ἔσω ἐκάθητο μετὰ τῶν
ὑπηρετῶν ἰδεῖν τὸ τέλος ◦ οἱ δὲ ἀρχιερεῖς καὶ ˚ οἱ πρεσβύτε- 59
ροι καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ
τοῦ ἰησοῦ ὅπως αὐτὸν ˚ θανατώσωσιν ◦ καὶ οὐχ εὗρον καὶ ˚ 60
πολλῶν ψευδομαρτύρων προσελθόντων οὐχ εὗρον ◦ ὕστε- 61
ρον δὲ προσελθόντες δύο ψευδομάρτυρες ˚ εἶπον οὗτος ἔφη
δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ θεοῦ καὶ διὰ τριῶν ἡμε-
ρῶν οἰκοδομῆσαι αὐτόν ◦ καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν 62
αὐτῷ οὐδὲν ἀποκρίνῃ τί οὗτοί σου καταμαρτυροῦσιν ◦ ὁ 63
δὲ ἰησοῦς ἐσιώπα καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ
ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ
σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ◦ λέγει αὐτῷ ὁ ἰησοῦς σὺ 64
εἶπας πλὴν λέγω ὑμῖν ἀπ᾽ ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώ-
που καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ

---

**v.52** T*: σου την μαχαιραν, V: την μαχαιραν σου. **v.52** T*: μαχαιρα, V: μαχαιρη. **v.52** TKV: απολουνται, M: αποθανουνται. **v.53** T*: αρτι, V: ∅. **v.53** T*: πλειους η, V: αρτι πλειω. **v.53** T*: λεγεωνας, V: λεγιωνας. **v.55** T*: εξηλθετε, V: εξηλθατε. **v.55** T*: προς υμας εκαθεζομην διδασκων εν τω ιερω, V: εν τω ιερω εκαθεζομην διδασκων. **v.59** T*: και οι πρεσβυτεροι, V: ∅. **v.59** TKV: αυτον θανατωσωσιν, M: θανατωσωσιν αυτον. **v.60** T*: και πολλων ψευδομαρτυρων προσελθοντων ουχ ευρον, V: πολλων προσελθοντων ψευδομαρτυρων. **v.61** T*: ψευδομαρτυρες ειπον, V: ειπαν. **v.61** T*: αυτον, V: ∅. **v.63** T*: αποκριθεις, V: ∅.

65 τῶν νεφελῶν τοῦ οὐρανοῦ ◦ τότε ὁ ἀρχιερεὺς διέρρηξεν τὰ
ἱμάτια αὐτοῦ λέγων ὅτι ἐβλασφήμησεν τί ἔτι χρείαν ἔχο-
μεν μαρτύρων ἴδε νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ ◦
66 τί ὑμῖν δοκεῖ οἱ δὲ ἀποκριθέντες εἶπόν ἔνοχος θανάτου ἐ-
67 στίν ◦ τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφι-
68 σαν αὐτὸν οἱ δὲ ἐῤῥάπισαν ◦ λέγοντες προφήτευσον ἡμῖν
69 χριστὲ τίς ἐστιν ὁ παίσας σε ◦ ὁ δὲ πέτρος ἔξω˚ ἐκάθητο ἐν
τῇ αὐλῇ καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα καὶ
70 σὺ ἦσθα μετὰ ἰησοῦ τοῦ γαλιλαίου ◦ ὁ δὲ ἠρνήσατο ἔμ-
71 προσθεν πάντων λέγων οὐκ οἶδα τί λέγεις ◦ ἐξελθόντα δὲ
αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν αὐτὸν ἄλλη καὶ λέγει τοῖς ἐ-
72 κεῖ κἀι οὗτος ἦν μετὰ ἰησοῦ τοῦ ναζωραίου ◦ καὶ πάλιν
73 ἠρνήσατο μεθ᾽ ὅρκου ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον ◦ μετὰ
μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ πέτρῳ ἀληθῶς
καὶ σὺ ἐξ αὐτῶν εἶ καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ ◦
74 τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν
75 ἄνθρωπον καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν ◦ καὶ ἐμνήσθη
ὁ πέτρος τοῦ ῥήματος τοῦ ἰησοῦ εἰρηκότος αὐτῷ ὅτι πρὶν
ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με καὶ ἐξελθὼν ἔξω ἔ-
κλαυσεν πικρῶς ◦

**27** Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρ-
χιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ ἰησοῦ ὥστε
2 θανατῶσαι αὐτόν ◦ καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ πα-
3 ρέδωκαν αὐτὸν˚ ποντίῳ πιλάτῳ τῷ ἡγεμόνι ◦ τότε ἰδὼν ἰ-
ούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη μεταμεληθεὶς
ἀπέστρεψεν τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσιν καὶ
4 τοῖς πρεσβυτέροις ◦ λέγων ἥμαρτον παραδοὺς αἷμα ἀθῶον
5 οἱ δὲ εἶπόν τί πρὸς ἡμᾶς σὺ ὄψει ◦ καὶ ῥίψας τὰ ἀργύρια
6 ἐν˚ τῷ ναῷ ἀνεχώρησεν καὶ ἀπελθὼν ἀπήγξατο ◦ οἱ δὲ ἀρ-

**v.65** T*: οτι, V: ∅. **v.65** T*: αυτου, V: ∅. **v.66** T*: ειπον, V: ειπαν. **v.67** T*: ερραπισαν, V: εραπισαν. **v.69** T*: εξω εκαθητο, V: εκαθητο εξω. **v.70** ΤΚV: παντων, M: αυτων παντων. **v.71** T*: αυτον, V: ∅. **v.71** ΤΚV: τοις, M: αυτοις. **v.71** T*: και, V: ∅. **v.72** T*: μεθ, V: μετα. **v.74** ΤΚ: καταναθεματιζειν, MV: καταθεματιζειν. **v.75** T*: του, V: ∅. **v.75** T*: αυτω, V: ∅. **27. v.2** T*: αυτον ποντιω, V: ∅. **v.3** T*: απεστρεψεν, V: εστρεψεν. **v.3** T*: τοις, V: ∅. **v.4** T*: ειπον, V: ειπαν. **v.4** T*: οψει, V: οψη. **v.5** T*: εν τω ναω, V: εις τον ναον.

χιερεῖς λαβόντες τὰ ἀργύρια εἶπὸν οὐκ ἔξεστιν βαλεῖν αὐ-
τὰ εἰς τὸν κορβανᾶν ἐπεὶ τιμὴ αἵματός ἐστιν ◦ συμβούλιον 7
δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ κεραμέως
εἰς ταφὴν τοῖς ξένοις ◦ διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς 8
αἵματος ἕως τῆς σήμερον ◦ τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ ἰ- 9
ερεμίου τοῦ προφήτου λέγοντος καὶ ἔλαβον τὰ τριάκοντα
ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱ-
ῶν ἰσραήλ ◦ καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως 10
καθὰ συνέταξέν μοι κύριος ◦ ὁ δὲ ἰησοῦς ἔστὴ ἔμπροσθεν 11
τοῦ ἡγεμόνος καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν λέγων σὺ
εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων ὁ δὲ ἰησοῦς ἔφη αὐτῷ σὺ λέ-
γεις ◦ καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων 12
καὶ τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο ◦ τότε λέγει αὐτῷ 13
ὁ πιλάτος οὐκ ἀκούεις πόσα σοῦ καταμαρτυροῦσιν ◦ καὶ 14
οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα ὥστε θαυμάζειν τὸν
ἡγεμόνα λίαν ◦ κατὰ δὲ ἑορτὴν εἰώθει ὁ ἡγεμὼν ἀπολύειν 15
ἕνα τῷ ὄχλῳ δέσμιον ὃν ἤθελον ◦ εἶχον δὲ τότε δέσμιον ἐπί- 16
σημον λεγόμενον βᾶραββᾶν ◦ συνηγμένων οὖν αὐτῶν εἶ- 17
πεν αὐτοῖς ὁ πιλάτος τίνα θέλετε ἀπολύσω ὑμῖν βαραββᾶν
ἢ ἰησοῦν τὸν λεγόμενον χριστόν ◦ ᾔδει γὰρ ὅτι διὰ φθόνον 18
παρέδωκαν αὐτόν ◦ καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος 19
ἀπέστειλεν πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα μηδέν σοι
καὶ τῷ δικαίῳ ἐκείνῳ πολλὰ γὰρ ἔπαθον σήμερον κατ᾽ ὄ-
ναρ δι᾽ αὐτόν ◦ οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν 20
τοὺς ὄχλους ἵνα αἰτήσωνται τὸν βαραββᾶν τὸν δὲ ἰησοῦν
ἀπολέσωσιν ◦ ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν εἶπεν αὐτοῖς τίνα 21
θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν οἱ δὲ εἶπὸν βαραββᾶν ◦
λέγει αὐτοῖς ὁ πιλάτος τί οὖν ποιήσω ἰησοῦν τὸν λεγόμενον 22
χριστὸν λέγουσιν αὐτῷ πάντες σταυρωθήτω ◦ ὁ δὲ ἡγἐμὼν 23
ἔφη τί γὰρ κακὸν ἐποίησεν οἱ δὲ περισσῶς ἔκραζον λέγον-
τες σταυρωθήτω ◦ ἰδὼν δὲ ὁ πιλάτος ὅτι οὐδὲν ὠφελεῖ ἀλλὰ 24

**v.6** T*: ειπον, V: ειπαν. **v.11** T*: εστη, V: εσταθη. **v.11** T*: αυτω, V: ∅. **v.12** T*: των, V: ∅. **v.16** T*: βαραββαν, V: [ιησουν] βαραββαν. **v.17** T*: βαραββαν, V: [ιησουν τον] βαραββαν. **v.21** T*: ειπον, V: ειπαν τον. **v.22** T*: αυτω, V: ∅. **v.23** T*: ηγεμων, V: ∅.

μᾶλλον θόρυβος γίνεται λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας
ἀπέναντι τοῦ ὄχλου λέγων ἀθῶός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ˚
25 δικαίου τούτου ὑμεῖς ὄψεσθε ◦ καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς
26 εἶπεν τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν ◦ τότε
ἀπέλυσεν αὐτοῖς τὸν βαραββᾶν τὸν δὲ ἰησοῦν φραγελλώσας
27 παρέδωκεν ἵνα σταυρωθῇ ◦ τότε οἱ στρατιῶται τοῦ ἡγεμό-
νος παραλαβόντες τὸν ἰησοῦν εἰς τὸ πραιτώριον συνήγαγον
28 ἐπ᾽ αὐτὸν ὅλην τὴν σπεῖραν ◦ καὶ ἐκδύσαντες˚ αὐτὸν περι-
29 έθηκαν αὐτῷ χλαμύδα κοκκίνην ◦ καὶ πλέξαντες στέφανον
ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν˚ κεφαλὴν αὐτοῦ καὶ κάλα-
μον ἐπὶ˚ τὴν δεξιὰν αὐτοῦ καὶ γονυπετήσαντες ἔμπροσθεν
αὐτοῦ ἐνέπαιζὸν αὐτῷ λέγοντες χαῖρε ὁ˚ βασιλεῦς τῶν ἰου-
30 δαίων ◦ καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν κάλαμον καὶ
31 ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ ◦ καὶ ὅτε ἐνέπαιξαν αὐτῷ
ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια
32 αὐτοῦ καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι ◦ ἐξερχόμε-
νοι δὲ εὗρον ἄνθρωπον κυρηναῖον ὀνόματι σίμωνα τοῦτον
33 ἠγγάρευσαν ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ ◦ καὶ ἐλθόντες εἰς
τόπον λεγόμενον γολγοθᾶ ὅς˚ ἐστιν λεγόμενος˚ κρανίου τό-
34 πος ◦ ἔδωκαν αὐτῷ πιεῖν ὄξος˚ μετὰ χολῆς μεμιγμένον καὶ
35 γευσάμενος οὐκ ἤθελὲν πιεῖν ◦ σταυρώσαντες δὲ αὐτὸν δι-
εμερίσαντο τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἵνα˚ πλη-
ρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου διεμερίσαντο τὰ ἱμάτιά
μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον ◦
36, 37 καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ ◦ καὶ ἐπέθηκαν ἐπάνω
τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην οὗτός
38 ἐστιν ἰησοῦς ὁ βασιλεῦς τῶν ἰουδαίων ◦ τότε σταυροῦνται
σὺν αὐτῷ δύο λῃσταὶ εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων ◦
39 οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς

**v.24** T*: του δικαιου, V: ∅. **v.28** T*: εκδυσαντες αυτον περιεθηκαν αυτω χλαμυδα κοκκινην, V: εκδυσαντες αυτον χλαμυδα κοκκινην περιεθηκαν αυτω, D: ενδυσαντες αυτον ιματιον πορφυρουν και χλαμυδα κοκκινην περιεθηκαν αυτω. **v.29** T*: την κεφαλην, V: της κεφαλης. **v.29** T*: επι την δεξιαν, V: εν τη δεξια. **v.29** T*: ενεπαιζον, V: ενεπαιξαν. **v.29** T*: ο βασιλευς, V: βασιλευ. **v.33** TK: ος, MV: ο. **v.33** T*: λεγομενος κρανιου τοπος, V: κρανιου τοπος λεγομενος. **v.34** T*: οξος, V: οινον. **v.34** T*: ηθελεν, V: ηθελησεν. **v.35** TK: ινα . . . κληρον, MV: ∅.

κεφαλὰς αὐτῶν ◦ καὶ λέγοντες ὁ καταλύων τὸν ναὸν καὶ 40
ἐν τρισὶν ἡμέραις οἰκοδομῶν σῶσον σεαυτὸν εἰ υἱὸς εἶ τοῦ
θεοῦ κἀτάβηθι ἀπὸ τοῦ σταυροῦ ◦ ὁμοίως δὲ καὶ οἱ ἀρχι- 41
ερεῖς ἐμπαίζοντες μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων
ἔλεγον ◦ ἄλλους ἔσωσεν ἑαυτὸν οὐ δύναται σῶσαι εἰ βα- 42
σιλεὺς ἰσραὴλ ἐστιν καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ
πιστεύσομεν αὐτῷ ◦ πέποιθεν ἐπὶ τὸν θεὸν ῥυσάσθω νῦν 43
αὐτὸν εἰ θέλει αὐτὸν εἶπεν γὰρ ὅτι θεοῦ εἰμι υἱός ◦ τὸ δ' αὐ- 44
τὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθέντες ἀὐτῷ ὠνείδιζον αὐτῷ ◦
ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως 45
ὥρας ἐνάτης ◦ περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ ἰ- 46
ησοῦς φωνῇ μεγάλῃ λέγων ἠλὶ ἠλὶ λἀμὰ σαβαχθανὶ τοῦτ'
ἔστιν θεέ μου θεέ μου ἱνατί με ἐγκατέλιπες ◦ τινὲς δὲ τῶν ἐ- 47
κεῖ ἑστώτων ἀκούσαντες ἔλεγον ὅτι ἡλίαν φωνεῖ οὗτος ◦ καὶ 48
εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον πλήσας τε
ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν ◦ οἱ δὲ λοιποὶ 49
ἔλεγον ἄφες ἴδωμεν εἰ ἔρχεται ἡλίας σώσων αὐτόν ◦ ὁ δὲ 50
ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκεν τὸ πνεῦμα ◦
καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς ὁ δύο ἀπὸ 51
ἄνωθεν ἕως κάτω καὶ ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐσχίσθη-
σαν ◦ καὶ τὰ μνημεῖα ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν 52
κεκοιμημένων ἁγίων ἠγέρθη ◦ καὶ ἐξελθόντες ἐκ τῶν μνη- 53
μείων μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν
καὶ ἐνεφανίσθησαν πολλοῖς ◦ ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' 54
αὐτοῦ τηροῦντες τὸν ἰησοῦν ἰδόντες τὸν σεισμὸν καὶ τὰ γε-
νόμενα ἐφοβήθησαν σφόδρα λέγοντες ἀληθῶς θεοῦ υἱὸς ἦν
οὗτος ◦ ἦσαν δὲ ἐκεῖ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεω- 55
ροῦσαι αἵτινες ἠκολούθησαν τῷ ἰησοῦ ἀπὸ τῆς γαλιλαίας

**v.40** T*: καταβηθι, V: [και] καταβηθι. **v.41** T*: δε, V: ∅. **v.41** TKV: πρεσβυτερων, M: πρεσβυτερων και φαρισαιων. **v.42** T*: ει, V: ∅. **v.42** TK: αυτω, M: επ αυτω, V: επ αυτον. **v.43** T*: αυτον, V: ∅. **v.44** T*: αυτω, V: συν αυτω. **v.44** TK: αυτω, MV: αυτον. **v.45** TK: εννατης, MV: ενατης. **v.46** TK: εννατην, MV: ενατην. **v.46** TK: λαμα, M: λιμα, V: λεμα. **v.47** T*: εστωτων, V: εστηκοτων. **v.49** EA: αυτον (see Joh 19.34), ℵBC: αυτον αλλος δε λαβων λογχην ενυξεν αυτου την πλευραν και εξηλθεν υδωρ και αιμα. **v.51** T*: εις δυο απο ανωθεν εως κατω, V: απ ανωθεν εως κατω εις δυο. **v.52** T*: ηγερθη, V: ηγερθησαν.

56 διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν μαρία ἡ μαγδαληνὴ καὶ μα-
ρία ἡ τοῦ ἰακώβου καὶ ἰωσῆ μήτηρ καὶ ἡ μήτηρ τῶν υἱῶν
57 ζεβεδαίου· ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος
ἀπὸ ἀριμαθαίας τοὔνομα ἰωσὴφ ὃς καὶ αὐτὸς ἐμαθήτευσεν
58 τῷ ἰησοῦ· οὗτος προσελθὼν τῷ πιλάτῳ ἠτήσατο τὸ σῶμα
τοῦ ἰησοῦ τότε ὁ πιλάτος ἐκέλευσεν ἀποδοθῆναι τὸ˚ σῶμα·
59 καὶ λαβὼν τὸ σῶμα ὁ ἰωσὴφ ἐνετύλιξεν αὐτὸ ὀινδόνι κα-
60 θαρᾷ· καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐ-
λατόμησεν ἐν τῇ πέτρᾳ καὶ προσκυλίσας λίθον μέγαν τῇ
61 θύρᾳ τοῦ μνημείου ἀπῆλθεν· ἦν δὲ ἐκεῖ μαρίᾶ ἡ μαγδα-
ληνὴ καὶ ἡ ἄλλη μαρία καθήμεναι ἀπέναντι τοῦ τάφου·
62 τῇ δὲ ἐπαύριον ἥτις ἐστὶν μετὰ τὴν παρασκευὴν συνήχθη-
63 σαν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι πρὸς πιλάτον· λέγοντες
κύριε ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν μετὰ
64 τρεῖς ἡμέρας ἐγείρομαι· κέλευσον οὖν ἀσφαλισθῆναι τὸν
τάφον ἕως τῆς τρίτης ἡμέρας μήποτε ἐλθόντες οἱ μαθηταὶ
αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ εἴπωσιν τῷ λαῷ ἠγέρθη
ἀπὸ τῶν νεκρῶν καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώ-
65 της· ἔφη δὲ˚ αὐτοῖς ὁ πιλάτος ἔχετε κουστωδίαν ὑπάγετε
66 ἀσφαλίσασθε ὡς οἴδατε· οἱ δὲ πορευθέντες ἠσφαλίσαντο
τὸν τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας·

**28** Ὀψὲ δὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων
ἦλθεν μαρίᾶ ἡ μαγδαληνὴ καὶ ἡ ἄλλη μαρία θεωρῆσαι
2 τὸν τάφον· καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας ἄγγελος γὰρ
κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισεν τὸν
3 λίθον ἀπὸ˚ τῆς θύρας καὶ ἐκάθητο ἐπάνω αὐτοῦ· ἦν δὲ ἡ
ἰδέᾶ αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ
4 χιών· ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες
5 καὶ ἐγένοντο˚ ὡσεὶ νεκροί· ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπεν
ταῖς γυναιξὶν μὴ φοβεῖσθε ὑμεῖς οἶδα γὰρ ὅτι ἰησοῦν τὸν

---

**v.56** T*: ιωση, V: ιωσηφ. **v.57** T*: εμαθητευσεν, V: εμαθητευθη. **v.58** T*: το σωμα, V: ∅. **v.59** T*: σινδονι, V: [εν] σινδονι. **v.61** T*: μαρια, V: μαριαμ. **v.64** T*: νυκτος, V: ∅. **v.65** T*: δε, V: ∅. **28. v.1** T*: μαρια, V: μαριαμ. **v.2** T*: προσελθων, V: και προσελθων. **v.2** T*: απο της θυρας, V: ∅. **v.3** T*: ιδεα, V: ειδεα. **v.3** T*: ωσει, V: ως. **v.4** T*: εγενοντο ωσει, V: εγενηθησαν ως.

ἐσταυρωμένον ζητεῖτε· οὐκ ἔστιν ὧδε ἠγέρθη γὰρ καθὼς 6
εἶπεν δεῦτε ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ˚ κύριος· καὶ τα- 7
χὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ ὅτι ἠγέρθη ἀπὸ
τῶν νεκρῶν καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν γαλιλαίαν ἐκεῖ
αὐτὸν ὄψεσθε ἰδοὺ εἶπον ὑμῖν· καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ 8
τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης ἔδραμον ἀ-
παγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ· ὡς˚ δὲ ἐπορεύοντο ἀπαγ- 9
γεῖλαι τοῖς μαθηταῖς αὐτοῦ καὶ ἰδοὺ ὁ˚ ἰησοῦς ἀπήντησεν
αὐταῖς λέγων χαίρετε αἱ δὲ προσελθοῦσαι ἐκράτησαν αὐ-
τοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ· τότε λέγει αὐταῖς 10
ὁ ἰησοῦς μὴ φοβεῖσθε ὑπάγετε ἀπαγγείλατε τοῖς ἀδελφοῖς
μου ἵνα ἀπέλθωσιν εἰς τὴν γαλιλαίαν κἀκεῖ με ὄψονται·
πορευομένων δὲ αὐτῶν ἰδοὺ τινὲς τῆς κουστωδίας ἐλθόντες 11
εἰς τὴν πόλιν ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενό-
μενα· καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων συμβούλιόν 12
τε λαβόντες ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις· λέ- 13
γοντες εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλε-
ψαν αὐτὸν ἡμῶν κοιμωμένων· καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ 14
τοῦ ἡγεμόνος ἡμεῖς πείσομεν αὐτὸν καὶ ὑμᾶς ἀμερίμνους
ποιήσομεν· οἱ δὲ λαβόντες τὰ ἀργύρια ἐποίησαν ὡς ἐδι- 15
δάχθησαν καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ ἰουδαίοις
μέχρι τῆς σήμερον· οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν 16
εἰς τὴν γαλιλαίαν εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ ἰησοῦς·
καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ οἱ δὲ ἐδίστασαν· 17
καὶ προσελθὼν ὁ ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων ἐδόθη μοι 18
πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· πορευθέντες οὖν 19
μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄ-
νομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος·
διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν 20
καὶ ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς
συντελείας τοῦ αἰῶνος ἀμήν·

**v.6** T*: ο κυριος, V: ∅. **v.8** T*: εξελθουσαι, V: απελθουσαι. **v.9** T*: ως δε επορευοντο απαγγειλαι τοις μαθηταις αυτου, V: ∅. **v.9** TK: ο, MV: ∅. **v.9** T*: απηντησεν, V: υπηντησεν. **v.10** TKV: κακει, M: και εκει. **v.15** T*: σημερον, V: σημερον [ημερας]. **v.17** T*: αυτω, V: ∅. **v.18** T*: γης, V: [της] γης. **v.19** TKV: ουν, M: ∅. **v.20** T*: αμην, V: ∅.

# ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ
## ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ˚

**1**, 2 Ἀρχὴ τοῦ εὐαγγελίου ἰησοῦ χριστοῦ υἱοῦ˚ τοῦ θεοῦ ⸰ ὡς
γέγραπται ἐν τοῖς˚ προφήταις ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγ-
γελόν μου πρὸ προσώπου σου ὃς κατασκευάσει τὴν ὁδόν
3 σου ἔμπροσθέν˚ σου ⸰ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ ἑτοιμά-
σατε τὴν ὁδὸν κυρίου εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ ⸰
4 ἐγένετο ἰωάννης βάπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βά-
5 πτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν ⸰ καὶ ἐξεπορεύετο
πρὸς αὐτὸν πᾶσα ἡ ἰουδαία χώρα καὶ οἱ ἱεροσολυμῖται
καὶ˚ ἐβαπτίζοντο πάντες ἐν τῷ ἰορδάνῃ ποταμῷ ὑπ᾽ αὐτοῦ
6 ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν ⸰ ἦν˚ δὲ ἰωάννης ἐν-
δεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν
7 ὀσφὺν αὐτοῦ καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον ⸰ καὶ
ἐκήρυσσεν λέγων ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου
οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδη-
8 μάτων αὐτοῦ ⸰ ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι αὐτὸς δὲ
9 βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ ⸰ καὶ ἐγένετο ἐν ἐκείναις
ταῖς ἡμέραις ἦλθεν ἰησοῦς ἀπὸ ναζαρὲτ τῆς γαλιλαίας καὶ
10 ἐβαπτίσθη ὑπὸ˚ ἰωάννου εἰς τὸν ἰορδάνην ⸰ καὶ εὐθέως ἀ-
ναβαίνων ἀπὸ τοῦ ὕδατος εἶδεν σχιζομένους τοὺς οὐρανοὺς
11 καὶ τὸ πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ᾽ αὐτόν ⸰ καὶ
φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπη-
12 τὸς ἐν ᾧ˚ εὐδόκησα ⸰ καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν ἐκβάλλει
13 εἰς τὴν ἔρημον ⸰ καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας˚ τεσσα-

---

T: ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ, K: ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΜΑΡΚΟΝ, MV: ΚΑΤΑ ΜΑΡΚΟΝ. **1. v.1** T*: υιου του θεου, V: [υιου θεου]. **v.2** T*: ως, V: καθως. **v.2** T*: τοις προφηταις, V: τω ησαια τω προφητη. **v.2** T*: εγω, V: ∅. **v.2** T*: εμπροσθεν σου, V: ∅. **v.4** T*: βαπτιζων, V: [ο] βαπτιζων. **v.5** T*: και εβαπτιζοντο παντες εν τω ιορδανη ποταμω υπ αυτου, V: παντες και εβαπτιζοντο υπ αυτου εν τω ιορδανη ποταμω. **v.6** TK: ην δε, M: ην δε ο, V: και ην ο. **v.6** E: τριχας, D: δερρην. **v.8** T*: μεν, V: ∅. **v.8** T*: εν, V: ∅. **v.9** TMV: ναζαρετ, K: ναζαρεθ. **v.9** T*: υπο ιωαννου εις τον ιορδανην, V: εις τον ιορδανην υπο ιωαννου. **v.10** T*: ευθεως, V: ευθυς. **v.10** T*: απο, V: εκ. **v.10** T*: ωσει, V: ως. **v.10** T*: επ, V: εις. **v.11** T*: ω, V: σοι.

ράκοντα πειραζόμενος ὑπὸ τοῦ σατανᾶ καὶ ἦν μετὰ τῶν
θηρίων καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ ◦ μετὰ δὲ τὸ πα- 14
ραδοθῆναι τὸν ἰωάννην ἦλθεν ὁ ἰησοῦς εἰς τὴν γαλιλαίαν
κηρύσσων τὸ εὐαγγέλιον τῆς˚ βασιλείας τοῦ θεοῦ ◦ καὶ λέ- 15
γων ὅτι πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν ἡ βασιλεία τοῦ
θεοῦ μετανοεῖτε καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ ◦ περιπα- 16
τῶν˚ δὲ παρὰ τὴν θάλασσαν τῆς γαλιλαίας εἶδεν σίμωνα καὶ
ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλλοντας˚ ἀμφίβληστρον ἐν
τῇ θαλάσσῃ ἦσαν γὰρ ἁλιεῖς ◦ καὶ εἶπεν αὐτοῖς ὁ ἰησοῦς 17
δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώ-
πων ◦ καὶ εὐθέως ἀφέντες τὰ δίκτυα αὐτῶν ἠκολούθησαν 18
αὐτῷ ◦ καὶ προβὰς ἐκεῖθεν ὀλίγον εἶδεν ἰάκωβον τὸν τοῦ ζε- 19
βεδαίου καὶ ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ αὐτοὺς ἐν τῷ
πλοίῳ καταρτίζοντας τὰ δίκτυα ◦ καὶ εὐθέως ἐκάλεσεν αὐ- 20
τοὺς καὶ ἀφέντες τὸν πατέρα αὐτῶν ζεβεδαῖον ἐν τῷ πλοίῳ
μετὰ τῶν μισθωτῶν ἀπῆλθον ὀπίσω αὐτοῦ ◦ καὶ εἰσπορεύ- 21
ονται εἰς καπερναοὺμ καὶ εὐθέως τοῖς σάββασιν εἰσελθὼν
εἰς τὴν συναγωγὴν ἐδίδασκεν ◦ καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ 22
διδαχῇ αὐτοῦ ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων
καὶ οὐχ ὡς οἱ γραμματεῖς ◦ κἀὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν 23
ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ καὶ ἀνέκραξεν ◦ λέγων 24
ἔἀ τί ἡμῖν καὶ σοὶ ἰησοῦ ναζαρηνὲ ἦλθες ἀπολέσαι ἡμᾶς
οἶδά σε τίς εἶ ὁ ἅγιος τοῦ θεοῦ ◦ καὶ ἐπετίμησεν αὐτῷ ὁ ἰη- 25
σοῦς λέγων φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ ◦ καὶ σπαράξαν 26
αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ κρᾶξαν φωνῇ μεγάλῃ
ἐξῆλθεν ἐξ αὐτοῦ ◦ καὶ ἐθαμβήθησαν ἅπάντες ὥστε συζη- 27
τεῖν πρὸς ἀὐτοὺς λέγοντας τί ἐστιν τοῦτο τίς˚ ἡ διδαχὴ ἡ
καινὴ αὕτη ὅτι κατ᾽ ἐξουσίαν καὶ τοῖς πνεύμασιν τοῖς ἀκα-

---

**v.13** T*: εκει, V: ∅. **v.13** T*: ημερας τεσσαρακοντα, V: τεσσερακοντα ημερας. **v.14** T*: της βασιλειας, V: ∅. **v.16** T*: περιπατων δε, V: και παραγων. **v.16** TK: αυτου, M: αυτου του σιμωνος, V: σιμωνος. **v.16** T*: βαλλοντας αμφιβληστρον, V: αμφιβαλλοντας. **v.18** T*: ευθεως, V: ευθυς. **v.18** T*: αυτων, V: ∅. **v.19** T*: εκειθεν, V: ∅. **v.20** T*: ευθεως, V: ευθυς. **v.21** T*: καπερναουμ, V: καφαρναουμ. **v.21** T*: ευθεως, V: ευθυς. **v.23** T*: και, V: και ευθυς. **v.24** T*: εα, V: ∅. **v.26** T*: κραξαν, V: φωνησαν. **v.27** T*: παντες, V: απαντες. **v.27** TK: αυτους, MV: εαυτους. **v.27** T*: τις η διδαχη η καινη αυτη οτι, V: διδαχη καινη.

28 θάρτοις ἐπιτάσσει καὶ ὑπακούουσιν αὐτῷ ◦ ἐξῆλθεν˚ δὲ ἡ
ἀκοὴ αὐτοῦ εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς γαλιλαίας ◦
29 καὶ εὐθέως ἐκ τῆς συναγωγῆς ἐξελθόντες ἦλθον εἰς τὴν
οἰκίαν σίμωνος καὶ ἀνδρέου μετὰ ἰακώβου καὶ ἰωάννου ◦
30 ἡ δὲ πενθερὰ σίμωνος κατέκειτο πυρέσσουσα καὶ εὐθέως
31 λέγουσιν αὐτῷ περὶ αὐτῆς ◦ καὶ προσελθὼν ἤγειρεν αὐτὴν
κρατήσας τῆς χειρὸς αὐτ̈ῆς καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς
32 εὐθέως καὶ διηκόνει αὐτοῖς ◦ ὀψίας δὲ γενομένης ὅτε ἔδυ
ὁ ἥλιος ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς ἔχοντας καὶ
33 τοὺς δαιμονιζομένους ◦ καὶ ἡ˚ πόλις ὅλη ἐπισυνηγμένη ἦν
34 πρὸς τὴν θύραν ◦ καὶ ἐθεράπευσεν πολλοὺς κακῶς ἔχον-
τας ποικίλαις νόσοις καὶ δαιμόνια πολλὰ ἐξέβαλεν καὶ οὐκ
35 ἤφιεν λαλεῖν τὰ δαιμόνια ὅτι ᾔδεισαν αὐτόν ◦ καὶ πρωῒ ἔν-
νυχὸν λίαν ἀναστὰς ἐξῆλθεν καὶ ἀπῆλθεν εἰς ἔρημον τόπον
36 κἀκεῖ προσηύχετο ◦ καὶ κατεδίωξἀν αὐτὸν ὁ˚ σίμων καὶ οἱ
37 μετ᾽ αὐτοῦ ◦ καὶ εὑρόντες αὐτὸν λέγουσιν αὐτῷ ὅτι πάντες
38 ζητοῦσίν˚ σε ◦ καὶ λέγει αὐτοῖς ἄγωμεν̈ εἰς τὰς ἐχομένας
κωμοπόλεις ἵνα κἀκεῖ κηρύξω εἰς τοῦτο γὰρ ἐξελήλὐθα ◦
39 καὶ ἦν̈ κηρύσσων ἐν˚ ταῖς συναγωγαῖς αὐτῶν εἰς ὅλην τὴν
40 γαλιλαίαν καὶ τὰ δαιμόνια ἐκβάλλων ◦ καὶ ἔρχεται πρὸς
αὐτὸν λεπρὸς παρακαλῶν αὐτὸν καὶ γονυπετῶν αὐτ̈ὸν καὶ
41 λέγων αὐτῷ ὅτι ἐὰν θέλῃς δύνασαί με καθαρίσαι ◦ ὁ˚ δὲ ἰ-
ησοῦς σπλαγχνισθεὶς ἐκτείνας τὴν χεῖρα ἥψατο˚ αὐτοῦ καὶ
42 λέγει αὐτῷ θέλω καθαρίσθητι ◦ καὶ εἰπόντος˚ αὐτοῦ εὐθέως
43 ἀπῆλθεν ἀπ᾽ αὐτοῦ ἡ λέπρα καὶ ἐκαθαρίσθη ◦ καὶ ἐμβρι-
44 μησάμενος αὐτῷ εὐθέως ἐξέβαλεν αὐτόν ◦ καὶ λέγει αὐτῷ

---

**v.28** T*: εξηλθεν δε, V: και εξηλθεν. **v.28** T*: ευθυς, V: ευθυς πανταχου. **v.29** T*: ευθεως, V: ευθυς. **v.30** T*: ευθεως, V: ευθυς. **v.31** T*: αυτης, V: ∅. **v.31** T*: ευθεως, V: ∅. **v.33** T*: η πολις ολη επισυνηγμενη ην, V: ην ολη η πολις επισυνηγμενη. **v.35** T*: εννυχον, V: εννυχα. **v.36** T*: κατεδιωξαν, V: κατεδιωξεν. **v.36** T*: ο, V: ∅. **v.37** T*: ευροντες, V: ευρον. **v.37** T*: λεγουσιν, V: και λεγουσιν. **v.37** TKV: ζητουσιν σε, M: σε ζητουσιν. **v.38** T*: αγωμεν, V: αγωμεν αλλαχου. **v.38** TK: κακει, MV: και εκει. **v.38** T*: εξεληλυθα, V: εξηλθον. **v.39** T*: ην, V: ηλθεν. **v.39** T*: εν ταις συναγωγαις, V: εις τας συναγωγας. **v.40** T*: αυτον, V: ∅. **v.41** T*: ο δε ιησους σπλαγχνισθεις, V: και σπλαγχνισθεις, D: και οργισθεις. **v.41** T*: ηψατο αυτου, V: αυτου ηψατο. **v.42** T*: ειποντος αυτου ευθεως, V: ευθυς. **v.43** T*: ευθεως, V: ευθυς.

ὅρα μηδενὶ μηδὲν εἴπῃς ἀλλ᾽ ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱε-
ρεῖ καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ προσέταξεν
μωσῆς εἰς μαρτύριον αὐτοῖς ◦ ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσ- 45
σειν πολλὰ καὶ διαφημίζειν τὸν λόγον ὥστε μηκέτι αὐτὸν
δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν ἀλλ᾽ ἔξω ἐν ἐρήμοις
τόποις ἦν καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν ◦

Καὶ πάλιν˚ εἰσῆλθεν εἰς καπερναοὺμ δι᾽ ἡμερῶν κἀι ἠ- **2**
κούσθη ὅτι εἰς˚ οἶκόν ἐστιν ◦ καὶ εὐθέως συνήχθησαν πολ- 2
λοὶ ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν καὶ ἐλά-
λει αὐτοῖς τὸν λόγον ◦ καὶ ἔρχονται πρὸς˚ αὐτὸν παραλυτι- 3
κὸν φέροντες αἰρόμενον ὑπὸ τεσσάρων ◦ καὶ μὴ δυνάμενοι 4
προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον ἀπεστέγασαν τὴν στέγην
ὅπου ἦν καὶ ἐξορύξαντες χαλῶσιν τὸν κράββατον˚ ἐφ᾽ ᾧ ὁ
παραλυτικὸς κατέκειτο ◦ ἰδὼν˚ δὲ ὁ ἰησοῦς τὴν πίστιν αὐ- 5
τῶν λέγει τῷ παραλυτικῷ τέκνον ἀφέωνταί˚ σοι αἱ ἁμαρτίαι
σου ◦ ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι καὶ δι- 6
αλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν ◦ τί οὗτος οὕτως λαλεῖ 7
βλασφημίας˙ τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς ὁ θεός ◦
καὶ εὐθέως ἐπιγνοὺς ὁ ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως˙ 8
διαλογίζονται ἐν ἑαυτοῖς εἶπεν αὐτοῖς τί ταῦτα διαλογίζεσθε
ἐν ταῖς καρδίαις ὑμῶν ◦ τί ἐστιν εὐκοπώτερον εἰπεῖν τῷ πα- 9
ραλυτικῷ ἀφέωνταί˚ σοι αἱ ἁμαρτίαι ἢ εἰπεῖν ἔγειραι˚ καὶ
ἆρόν σου τὸν κράββατον καὶ περιπάτει ◦ ἵνα δὲ εἰδῆτε ὅτι 10
ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ˚ τῆς γῆς
ἁμαρτίας λέγει τῷ παραλυτικῷ ◦ σοὶ λέγω ἔγειραι˚ καὶ ἆ- 11

---

**v.44** T*: αλλ, V: αλλα. **v.44** T*: μωσης, V: μωυσης. **v.45** T*: εν, V: επ. **v.45** T*: πανταχοθεν, V: παντοθεν. **2. v.1** TK: παλιν εισηλθεν, M: εισηλθεν παλιν, V: εισελθων παλιν. **v.1** T*: καπερναουμ, V: καφαρναουμ. **v.1** T*: και, V: ∅. **v.1** T*: εις οικον, V: εν οικω. **v.2** T*: ευθεως, V: ∅. **v.3** T*: προς αυτον παραλυτικον φεροντες, V: φεροντες προς αυτον παραλυτικον. **v.4** T*: προσεγγισαι, V: προσενεγκαι. **v.4** T*: κραββατον εφ ω, V: κραβαττον οπου. **v.5** T*: ιδων δε, V: και ιδων. **v.5** T*: αφεωνται σοι αι αμαρτιαι σου, V: αφιενται σου αι αμαρτιαι. **v.7** T*: βλασφημιας, V: βλασφημει. **v.8** T*: ευθεως, V: ευθυς. **v.8** TKV: ουτως, M: ουτως αυτοι. **v.8** T*: ειπεν, V: λεγει. **v.9** TK: αφεωνται σοι, M: αφεωνται σου, V: αφιενται σου. **v.9** T*: εγειραι και αρον σου τον κραββατον, V: εγειρε και αρον τον κραβαττον σου. **v.10** T*: επι της γης αμαρτιας, V: αμαρτιας επι της γης. **v.11** T*: εγειραι και αρον τον κραββατον, V: εγειρε αρον τον κραβαττον.

12 ρον τὸν κράββατόν σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου ⸰ καὶ
ἠγέρθη εὐθέως˚ καὶ ἄρας τὸν κράββατον ἐξῆλθεν ἐνάντιον
πάντων ὥστε ἐξίστασθαι πάντας καὶ δοξάζειν τὸν θεὸν λέ-
13 γοντας ὅτι οὐδέποτε˚ οὕτως εἴδομεν ⸰ καὶ ἐξῆλθεν πάλιν
παρὰ τὴν θάλασσαν καὶ πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτὸν
14 καὶ ἐδίδασκεν αὐτούς ⸰ καὶ παράγων εἶδεν Λευῒν τὸν τοῦ
ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον καὶ λέγει αὐτῷ ἀκο-
15 λούθει μοι καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ ⸰ καὶ ἐγένετο˚
ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ πολλοὶ τε-
λῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ ἰησοῦ καὶ τοῖς μαθη-
16 ταῖς αὐτοῦ ἦσαν γὰρ πολλοὶ καὶ ἠκολούθησαν αὐτῷ ⸰ καὶ
οἱ γραμματεῖς καὶ˚ οἱ φαρισαῖοι ἰδόντες αὐτὸν˚ ἐσθίοντα
μετὰ τῶν τελωνῶν˚ καὶ ἁμαρτωλῶν ἔλεγον τοῖς μαθηταῖς
αὐτοῦ τί ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ˚
17 πίνει ⸰ καὶ ἀκούσας ὁ ἰησοῦς λέγει αὐτοῖς ὐ χρείαν ἔχου-
σιν οἱ ἰσχύοντες ἰατροῦ ἀλλ᾽ οἱ κακῶς ἔχοντες οὐκ ἦλθον
18 καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς˚ μετάνοιαν ⸰ καὶ
ἦσαν οἱ μαθηταὶ ἰωάννου καὶ οἱ τῶν˚ φαρισαίων νηστεύον-
τες καὶ ἔρχονται καὶ λέγουσιν αὐτῷ διατὶ οἱ μαθηταὶ ἰωάν-
νου καὶ ὁἱ τῶν φαρισαίων νηστεύουσιν οἱ δὲ σοὶ μαθηταὶ
19 οὐ νηστεύουσιν ⸰ καὶ εἶπεν αὐτοῖς ὁ ἰησοῦς μὴ δύνανται
οἱ υἱοὶ τοῦ νυμφῶνος ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστιν νη-
στεύειν ὅσον χρόνον μεθ᾽˚ ἑαυτῶν ἔχουσιν τὸν νυμφίον οὐ
20 δύνανται νηστεύειν ⸰ ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ
ἀπ᾽ αὐτῶν ὁ νυμφίος καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις˚
21 ταῖς ἡμέραις ⸰ κἀι οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐ-

---

**v.12** T*: ευθεως και, V: και ευθυς. **v.12** T*: κραββατον, V: κραβαττον. **v.12** T*: εναντιον, V: εμπροσθεν. **v.12** T*: ουδεποτε ουτως, V: ουτως ουδεποτε. **v.14** E: λευιν, D: ιακωβον. **v.15** T*: εγενετο εν τω, V: γινεται. **v.15** T*: ηκολουθησαν, V: ηκολουθουν. **v.16** T*: και οι φαρισαιοι, V: των φαρισαιων. **v.16** T*: αυτον εσθιοντα, V: οτι εσθιει. **v.16** T*: τελωνων και αμαρτωλων, V: αμαρτωλων και τελωνων. **v.16** T*: τι, V: ∅. **v.16** T*: και πινει, V: ∅. **v.17** T*: ου, V: [οτι] ου. **v.17** T*: εις μετανοιαν, V: ∅. **v.18** T*: των φαρισαιων, V: φαρισαιοι. **v.18** TK: διατι, MV: δια τι. **v.18** T*: οι, V: οι μαθηται. **v.19** T*: μεθ εαυτων εχουσιν τον νυμφιον, V: εχουσιν τον νυμφιον μετ αυτων. **v.20** T*: εκειναις ταις ημεραις, V: εκεινη τη ημερα. **v.21** T*: και, V: ∅.

πιρῥάπτει ἐπὶ ἱματίῳ˚ παλαιῷ· εἰ δὲ μὴ αἴρει τὸ πλήρωμα
ἀὐτοῦ τὸ καινὸν τοῦ παλαιοῦ καὶ χεῖρον σχίσμα γίνεται·
καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιοὺς· εἰ δὲ μὴ 22
ῥήῤσει ὁ οἶνος ὁ˚ νέος τοὺς ἀσκοὺς καὶ ὁ οἶνος ἐκχεῖται
καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον· καὶ ἐγένετο παραπορεύεσθαι˚ αὐτὸν ἐν τοῖς 23
σάββασιν διὰ τῶν σπορίμων καὶ ἤρξαντο˚ οἱ μαθηταὶ αὐτοῦ
ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας· καὶ οἱ φαρισαῖοι ἔλε- 24
γον αὐτῷ ἴδε τί ποιοῦσιν ἐν τοῖς σάββασιν ὃ οὐκ ἔξεστιν·
καὶ αὐτὸς˚ ἔλεγεν αὐτοῖς οὐδέποτε ἀνέγνωτε τί ἐποίησεν 25
δαβὶδ ὅτε χρείαν ἔσχεν καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ· πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ ἀβιάθαρ τοῦ 26
ἀρχιερέως καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν οὓς οὐκ
ἔξεστιν φαγεῖν εἰ μὴ τοῖς˚ ἱερεῦσιν καὶ ἔδωκεν καὶ τοῖς σὺν
αὐτῷ οὖσιν· καὶ ἔλεγεν αὐτοῖς τὸ σάββατον διὰ τὸν ἄνθρω- 27
πον ἐγένετο οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον· ὥστε κύριός 28
ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου·

Καὶ εἰσῆλθεν πάλιν εἰς τὴν συναγωγήν καὶ ἦν ἐκεῖ ἄν- **3**
θρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα· καὶ παρετήρουν 2
αὐτὸν εἰ τοῖς σάββασιν θεραπεύσει αὐτὸν ἵνα κατηγορήσωσιν αὐτοῦ· καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην˚ ἔχοντι 3
τὴν χεῖρα ἔγειραι εἰς τὸ μέσον· καὶ λέγει αὐτοῖς ἔξεστιν 4
τοῖς σάββασιν ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι ψυχὴν σῶσαι
ἢ ἀποκτεῖναι οἱ δὲ ἐσιώπων· καὶ περιβλεψάμενος αὐτοὺς 5
μετ᾽ ὀργῆς συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας
αὐτῶν λέγει τῷ ἀνθρώπῳ ἔκτεινον τὴν χεῖρά σου καὶ ἐξέτει-

---

**v.21** T*: επιρραπτει, V: επιραπτει. **v.21** T*: ιματιω παλαιω, V: ιματιον παλαιον. **v.21** T*: αυτου, V: απ αυτου. **v.22** T*: ρησσει, V: ρηξει. **v.22** T*: ο νεος, V: ∅. **v.22** T*: εκχειται, V: απολλυται. **v.22** T*: απολουνται, V: ∅. **v.22** T*: βλητεον, V: ∅. **v.23** T*: παραπορευεσθαι αυτον εν τοις σαββασιν, V: αυτον εν τοις σαββασιν παραπορευεσθαι. **v.23** T*: ηρξαντο οι μαθηται αυτου, V: οι μαθηται αυτου ηρξαντο. **v.24** T*: εν, V: ∅. **v.25** T*: αυτος ελεγεν, V: λεγει. **v.25** T*: δαβιδ, V: δαυιδ. **v.26** TK: του, MV: ∅. **v.26** T*: τοις ιερευσιν, V: τους ιερεις. **v.27** T*: ουχ, V: και ουχ. **3. v.3** T*: εξηραμμενην εχοντι την χειρα εγειραι, V: την ξηραν χειρα εχοντι εγειρε. **v.4** T*: αγαθοποιησαι, V: αγαθον ποιησαι. **v.5** T*: σου, V: ∅.

6 νεν καὶ ἀπὸκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς˙ ὡς ἡ ἄλλη ⸰ καὶ
ἐξελθόντες οἱ φαρισαῖοι εὐθέὼς μετὰ τῶν ἡρωδιανῶν συμ-
7 βούλιον ἐ̓ποίουν κατ᾽ αὐτοῦ ὅπως αὐτὸν ἀπολέσωσιν ⸰ καὶ
ὁ ἰησοῦς ἀνεχώρησεν˙ μετὰ τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν
θάλασσαν καὶ πολὺ πλῆθος ἀπὸ τῆς γαλιλαίας ἠκολούθη-
8 σαν˙ αὐτῷ καὶ ἀπὸ τῆς ἰουδαίας ⸰ καὶ ἀπὸ ἱεροσολύμων
καὶ ἀπὸ τῆς ἰδουμαίας καὶ πέραν τοῦ ἰορδάνου καὶ ὁἱ περὶ
τύρον καὶ σιδῶνα πλῆθος πολὺ ἀκούὸαντες ὅσα ἐποίει ἦλ-
9 θον πρὸς αὐτόν ⸰ καὶ εἶ̓πεν τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοι-
άριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον ἵνα μὴ θλίβωσιν
10 αὐτόν ⸰ πολλοὺς γὰρ ἐθεράπευσεν ὥστε ἐπιπίπτειν αὐτῷ
11 ἵνα αὐτοῦ ἅψωνται ὅσοι εἶ̓χον μάστιγας ⸰ καὶ τὰ πνεύματα
τὰ ἀκάθαρτα ὅταν αὐτὸν ἐθεώρει˙ προσέπιπτεν αὐτῷ καὶ
12 ἔκραζεν˙ λέγοντα ὅτι σὺ εἶ̓ ὁ υἱὸς τοῦ θεοῦ ⸰ καὶ πολλὰ
13 ἐπετίμα αὐτοῖς ἵνα μὴ αὐτὸν˙ φανερὸν ποιήσωσιν ⸰ καὶ ἀ-
ναβαίνει εἰς τὸ ὄρος καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτὸς
14 καὶ ἀπῆλθον πρὸς αὐτόν ⸰ καὶ ἐποίησεν δώδεκἀ ἵνα ὦ-
15 σιν μετ᾽ αὐτοῦ καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν ⸰ καὶ
ἔχειν ἐξουσίαν θεραπεύειν˙ τὰς νόσους καὶ ἐκβάλλειν τὰ
16, 17 δαιμόνια ⸰ κἀὶ ἐπέθηκεν τῷ˙ σίμωνι ὄνομα πέτρον ⸰ καὶ ἰ-
άκωβον τὸν τοῦ ζεβεδαίου καὶ ἰωάννην τὸν ἀδελφὸν τοῦ ἰα-
κώβου καὶ ἐπέθηκεν αὐτοῖς ὀνόμαἶα βοανἐργὲς ὅ ἐστιν υἱ-
18 οὶ βροντῆς ⸰ καὶ ἀνδρέαν καὶ φίλιππον καὶ βαρθολομαῖον
καὶ ματθαῖον καὶ θωμᾶν καὶ ἰάκωβον τὸν τοῦ ἀλφαίου καὶ
19 θαδδαῖον καὶ σίμωνα τὸν κανανἴτην ⸰ καὶ ἰούδαν ἰσκα-
20 ριώτην ὃς καὶ παρέδωκεν αὐτόν ⸰ καὶ ἔρχονται εἰς οἶκον

---

**v.5** T*: αποκατεσταθη, V: απεκατεσταθη. **v.5** T*: υγιης ως η αλλη, V: ∅. **v.6** T*: ευθεως, V: ευθυς. **v.6** T*: εποιουν, V: εδιδουν. **v.7** T*: ανεχωρησεν μετα των μαθητων αυτου, V: μετα των μαθητων αυτου ανεχωρησεν. **v.7** T*: ηκολουθησαν αυτω, V: [ηκολουθησεν]. **v.8** T*: οι, V: ∅. **v.8** T*: ακουσαντες, V: ακουοντες. **v.11** T*: εθεωρει προσεπιπτεν, V: εθεωρουν προσεπιπτον. **v.11** T*: εκραζεν λεγοντα, V: εκραζον λεγοντες. **v.12** TKV: αυτον φανερον, M: φανερον αυτον. **v.14** T*: δωδεκα, V: δωδεκα [ους και αποστολους ωνομασεν]. **v.15** T*: θεραπευειν τας νοσους και, V: ∅. **v.16** T*: και, V: [και εποιησεν τους δωδεκα] και. **v.16** T*: τω σιμωνι ονομα, V: ονομα τω σιμωνι. **v.17** T*: ονοματα, V: ονομα[τα]. **v.17** T*: βοανεργες, V: βοανηργες. **v.18** T*: ματθαιον, V: μαθθαιον. **v.18** T*: κανανιτην, V: καναναιον. **v.19** T*: ισκαριωτην, V: ισκαριωθ. **v.20** T*: ερχονται, V: ερχεται.

καὶ συνέρχεται πάλιν ὄχλος ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε
ἄρτον φαγεῖν ◦ καὶ ἀκούσαντες οἱ παρ᾽ αὐτοῦ ἐξῆλθον κρα- 21
τῆσαι αὐτὸν ἔλεγον γὰρ ὅτι ἐξέστη ◦ καὶ οἱ γραμματεῖς οἱ 22
ἀπὸ ἱεροσολύμων καταβάντες ἔλεγον ὅτι βεελζεβοὺλ ἔχει
καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμό-
νια ◦ καὶ προσκαλεσάμενος αὐτοὺς ἐν παραβολαῖς ἔλεγεν 23
αὐτοῖς πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν ◦ καὶ ἐὰν 24
βασιλεία ἐφ᾽ ἑαυτὴν μερισθῇ οὐ δύναται σταθῆναι ἡ βασι-
λεία ἐκείνη ◦ καὶ ἐὰν οἰκία ἐφ᾽ ἑαυτὴν μερισθῇ οὐ δύναται˚ 25
σταθῆναι ἡ οἰκία ἐκείνη ◦ καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ᾽ ἑαυ- 26
τὸν καὶ μεμέρισται οὐ δύναται στᾶθῆναι ἀλλὰ τέλος ἔχει ◦
οὐ˚ δύναται οὐδεὶς τὰ˚ σκεύη τοῦ ἰσχυροῦ εἰσελθὼν εἰς τὴν 27
οἰκίαν αὐτοῦ διαρπάσαι ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει ◦ ἀμὴν λέγω ὑμῖν 28
ὅτι πάντα ἀφεθήσεται τὰ˚ ἁμαρτήματα τοῖς υἱοῖς τῶν ἀν-
θρώπων καὶ βλασφημίαι ὅσας ἂν βλασφημήσωσιν ◦ ὃς δ᾽ 29
ἂν βλασφημήσῃ εἰς τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἔχει ἄφεσιν
εἰς τὸν αἰῶνα ἀλλ᾽ ἔνοχός ἐστιν αἰωνίου κρίσεως ◦ ὅτι ἔ- 30
λεγον πνεῦμα ἀκάθαρτον ἔχει ◦ ἔρχονται˚ οὖν οἱ ἀδελφοὶ 31
καὶ ἡ μήτηρ αὐτοῦ καὶ ἔξω ἑστῶτες ἀπέστειλαν πρὸς αὐτὸν
φωνοῦντες αὐτόν ◦ καὶ ἐκάθητο ὄχλος˚ περὶ αὐτὸν εἶπον˚ 32
δὲ αὐτῷ ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σοὺ ἔξω ζητοῦ-
σίν σε ◦ καὶ ἀπεκρίθη˚ αὐτοῖς λέγων τίς ἐστιν ἡ μήτηρ μου 33
ἢ˚ οἱ ἀδελφοί μου ◦ καὶ περιβλεψάμενος κύκλῳ˚ τοὺς περὶ 34

**v.20** T*: οχλος, V: [ο] οχλος. **v.20** T*: μητε, V: μηδε. **v.25** T*: δυναται σταθηναι η οικια εκεινη, V: δυνησεται η οικια εκεινη σταθηναι. **v.26** T*: μεμερισται, V: εμερισθη. **v.26** T*: σταθηναι, V: στηναι. **v.27** ΤΚ: ου δυναται ουδεις, M: ουδεις δυναται, V: αλλ ου δυναται ουδεις. **v.27** T*: τα σκευη του ισχυρου εισελθων εις την οικιαν, V: εις την οικιαν του ισχυρου εισελθων τα σκευη. **v.27** ΤΚV: διαρπασει, M: διαρπαση. **v.28** T*: τα αμαρτηματα τοις υιοις των ανθρωπων και βλασφημιαι οσας αν, V: τοις υιοις των ανθρωπων τα αμαρτηματα και αι βλασφημιαι οσα εαν. **v.29** T*: αλλ, V: αλλα. **v.29** T*: κρισεως, V: αμαρτηματος. **v.31** T*: ερχονται ουν οι αδελφοι και η μητηρ αυτου, V: και ερχεται η μητηρ αυτου και οι αδελφοι αυτου. **v.31** T*: εστωτες, V: στηκοντες. **v.31** T*: φωνουντες, V: καλουντες. **v.32** T*: οχλος περι αυτον, V: περι αυτον οχλος. **v.32** T*: ειπον δε, V: και λεγουσιν. **v.32** ΤΚ: σου, M: σου και αι αδελφαι σου, V: σου [και αι αδελφαι σου]. **v.33** T*: απεκριθη αυτοις λεγων, V: αποκριθεις αυτοις λεγει. **v.33** T*: η, V: και. **v.34** T*: κυκλω τους περι αυτον, V: τους περι αυτον κυκλω.

αὐτὸν καθημένους λέγει ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί
35 μου ◦ ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ θεοῦ οὗτος ἀδελφός
μου καὶ ἀδελφή μού καὶ μήτηρ ἐστίν ◦

**4** Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν καὶ συ-
νήχθη πρὸς αὐτὸν ὄχλος πολὺς ὥστε αὐτὸν ἐμβάντα˚ εἰς τὸ
πλοῖον καθῆσθαι ἐν τῇ θαλάσσῃ καὶ πᾶς ὁ ὄχλος πρὸς
2 τὴν θάλασσαν ἐπὶ τῆς γῆς ἦν̊ ◦ καὶ ἐδίδασκεν αὐτοὺς ἐν
παραβολαῖς πολλὰ καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ ◦
3, 4 ἀκούετε ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι ◦ καὶ ἐγένετο
ἐν τῷ σπείρειν ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδὸν καὶ ἦλθεν τὰ
5 πετεινὰ τοῦ˚ οὐρανοῦ καὶ κατέφαγεν αὐτό ◦ ἄλλο˚ δὲ ἔ-
πεσεν ἐπὶ τὸ πετρῶδες ὅπου οὐκ εἶχεν γῆν πολλὴν καὶ
6 εὐθέως ἐξανέτειλεν διὰ τὸ μὴ ἔχειν βάθος γῆς ◦ ἡλίου˚ δὲ
ἀνατείλαντος ἐκαυματίσθη καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξη-
7 ράνθη ◦ καὶ ἄλλο ἔπεσεν εἰς τὰς ἀκάνθας καὶ ἀνέβησαν
αἱ ἄκανθαι καὶ συνέπνιξαν αὐτὸ καὶ καρπὸν οὐκ ἔδωκεν ◦
8 καὶ ἄλλὸ ἔπεσεν εἰς τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπὸν
ἀναβαίνοντα καὶ αὐξάνο̊ντα καὶ ἔφερεν ἓν τριάκοντα καὶ
9 ἓν ἑξήκοντα καὶ ἓν ἑκατόν ◦ καὶ ἔλεγεν αὐ̊τοῖς ὁ˚ ἔχων ὦτα
10 ἀκούειν ἀκουέτω ◦ ὅτε˚ δὲ ἐγένετο καταμ̊όνας ἠρώτη̊σαν
11 αὐτὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν˚ παραβολήν ◦ καὶ
ἔλεγεν αὐτοῖς ὑμῖν δέδοται˚ γνῶναι τὸ μυστήριον τῆς βα-
σιλείας τοῦ θεοῦ ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς τὰ
12 πάντα γίνεται ◦ ἵνα βλέποντες βλέπωσιν καὶ μὴ ἴδωσιν καὶ
ἀκούοντες ἀκούωσιν καὶ μὴ συνιῶσιν μήποτε ἐπιστρέψω-
13 σιν καὶ ἀφεθῇ αὐτοῖς τὰ˚ ἁμαρτήματα ◦ καὶ λέγει αὐτοῖς
οὐκ οἴδατε τὴν παραβολὴν ταύτην καὶ πῶς πάσας τὰς πα-
14, 15 ραβολὰς γνώσεσθε ◦ ὁ σπείρων τὸν λόγον σπείρει ◦ οὗτοι

---

**v.35** T*: μου, V: ∅. **4. v.1** T*: συνηχθη, V: συναγεται. **v.1** T*: πολυς, V: πλειστος. **v.1** T*: εμβαντα εις το πλοιον, V: εις πλοιον εμβαντα. **v.1** T*: ην, V: ησαν. **v.3** T*: του, V: ∅. **v.4** TK: του ουρανου, MV: ∅. **v.5** T*: αλλο δε, V: και αλλο. **v.5** T*: ευθεως, V: ευθυς. **v.6** T*: ηλιου δε ανατειλαντος, V: και οτε ανετειλεν ο ηλιος. **v.8** T*: αλλο, V: αλλα. **v.8** T*: αυξανοντα, V: αυξανομενα. **v.9** TK: αυτοις, MV: ∅. **v.9** T*: ο εχων, V: ος εχει. **v.10** T*: οτε δε, V: και οτε. **v.10** TK: καταμονας, MV: κατα μονας. **v.10** T*: ηρωτησαν, V: ηρωτων. **v.10** T*: την παραβολην, V: τας παραβολας. **v.11** T*: δεδοται γνωναι το μυστηριον, V: το μυστηριον δεδοται. **v.12** T*: τα αμαρτηματα, V: ∅.

δέ εἰσιν οἱ παρὰ τὴν ὁδὸν ὅπου σπείρεται ὁ λόγος καὶ ὅταν
ἀκούσωσιν εὐθέως ἔρχεται ὁ σατανᾶς καὶ αἴρει τὸν λόγον
τὸν ἐσπαρμένον ἐν˚ ταῖς καρδίαις αὐτῶν ⸰ καὶ οὗτοί εἰσιν 16
ὁμοίως οἱ ἐπὶ τὰ πετρώδη σπειρόμενοι οἳ ὅταν ἀκούσω-
σιν τὸν λόγον εὐθέως μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν ⸰ καὶ 17
οὐκ ἔχουσιν ῥίζαν ἐν ἑαυτοῖς ἀλλὰ πρόσκαιροί εἰσιν εἶτα
γενομένης θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον εὐθέως σκαν-
δαλίζονται ⸰ καὶ οὗτοί εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι 18
οὗτοί˚ εἰσιν οἱ τὸν λόγον ἀκούοντες ⸰ καὶ αἱ μέριμναι τοῦ 19
αἰῶνος τούτου καὶ ἡ ἀπάτη τοῦ πλούτου καὶ αἱ περὶ τὰ
λοιπὰ ἐπιθυμίαι εἰσπορευόμεναι συμπνίγουσιν τὸν λόγον
καὶ ἄκαρπος γίνεται ⸰ καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν 20
καλὴν σπαρέντες οἵτινες ἀκούουσιν τὸν λόγον καὶ παρα-
δέχονται καὶ καρποφοροῦσιν ἓν τριάκοντα καὶ ἓν ἑξήκοντα
καὶ ἓν ἑκατόν ⸰ καὶ ἔλεγεν αὐτοῖς μήτι ὁ˚ λύχνος ἔρχεται 21
ἵνα ὑπὸ τὸν μόδιον τεθῇ ἢ ὑπὸ τὴν κλίνην οὐχ ἵνα ἐπὶ
τὴν λυχνίαν ἐπιτεθῇ ⸰ οὐ γὰρ ἐστίν τι˚ κρυπτὸν ὃ ἐὰν μὴ 22
φανερωθῇ οὐδὲ ἐγένετο ἀπόκρυφον ἀλλ᾽ ἵνα εἰς˚ φανερὸν
ἔλθῃ ⸰ εἴ τις ἔχει ὦτα ἀκούειν ἀκουέτω ⸰ καὶ ἔλεγεν αὐτοῖς 23, 24
βλέπετε τί ἀκούετε ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται ὑμῖν
καὶ προστεθήσεται ὑμῖν τοῖς˚ ἀκούουσιν ⸰ ὃς γὰρ ἂν˚ ἔχῃ 25
δοθήσεται αὐτῷ καὶ ὃς οὐκ ἔχει καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽
αὐτοῦ ⸰ καὶ ἔλεγεν οὕτως ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ ὡς ἐὰν 26
ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς ⸰ καὶ καθεύδῃ καὶ 27
ἐγείρηται νύκτα καὶ ἡμέραν καὶ ὁ σπόρος βλαστάνῃ καὶ
μηκύνηται ὡς οὐκ οἶδεν αὐτός ⸰ αὐτομάτη γὰρ ἡ γῆ καρ- 28
ποφορεῖ πρῶτον χόρτον εἶτα στάχυν εἶτα πλήρη σῖτον ἐν
τῷ στάχυϊ ⸰ ὅταν δὲ παράδῷ ὁ καρπὸς εὐθέως ἀποστέλλει 29

---

**v.15** T*: ευθεως, V: ευθυς. **v.15** T*: εν ταις καρδιαις αυτων, V: εις αυτους. **v.16** T*: ομοιως, V: ∅. **v.16** T*: ευθεως, V: ευθυς. **v.17** T*: ευθεως, V: ευθυς. **v.18** T*: ουτοι, V: αλλοι. **v.18** TV: ουτοι εισιν, MK: ∅. **v.18** T*: ακουοντες, V: ακουσαντες. **v.19** T*: τουτου, V: ∅. **v.20** T*: ουτοι, V: εκεινοι. **v.21** T*: ο λυχνος ερχεται, V: ερχεται ο λυχνος. **v.21** T*: επιτεθη, V: τεθη. **v.22** T*: τι κρυπτον ο, V: κρυπτον. **v.22** T*: μη, V: μη ινα. **v.22** T*: εις φανερον ελθη, V: ελθη εις φανερον. **v.24** T*: τοις ακουουσιν, V: ∅. **v.25** T*: αν εχη, V: εχει. **v.26** T*: εαν, V: ∅. **v.27** T*: βλαστανη, V: βλαστα. **v.28** T*: γαρ, V: ∅. **v.28** T*: πληρη, V: πληρη[ς].

30 τὸ δρέπανον ὅτι παρέστηκεν ὁ θερισμός ◦ καὶ ἔλεγεν τίνι
ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ θεοῦ ἢ ἐν ποίᾳ˚ παραβολῇ
31 παραβάλωμεν αὐτήν ◦ ὡς κόκκῳ σινάπεως ὃς ὅταν σπαρῇ
ἐπὶ τῆς γῆς μικρότεροϛ πάντων τῶν σπερμάτων ἐστὶν τῶν
32 ἐπὶ τῆς γῆς ◦ καὶ ὅταν σπαρῇ ἀναβαίνει καὶ γίνεται πάν-
των˚ τῶν λαχάνων μείζων καὶ ποιεῖ κλάδους μεγάλους ὥστε
δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ
33 κατασκηνοῦν ◦ καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει
34 αὐτοῖς τὸν λόγον καθὼς ἠδύνάντο ἀκούειν ◦ χωρὶς δὲ πα-
ραβολῆς οὐκ ἐλάλει αὐτοῖς κατ᾽ ἰδίαν δὲ τοῖς μαθηταῖς˚
35 αὐτοῦ ἐπέλυεν πάντα ◦ καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέ-
36 ρᾳ ὀψίας γενομένης διέλθωμεν εἰς τὸ πέραν ◦ καὶ ἀφέντες
τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ καὶ
37 ἄλλα δὲ˚ πλοιάρια ἦν μετ᾽ αὐτοῦ ◦ καὶ γίνεται λαῖλαψ ἀνέ-
μου˚ μεγάλη τὰ˚ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον ὥστε
38 αὐτὸ˚ ἤδη γεμίζεσθαι ◦ καὶ ἦν˚ αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ
τὸ προσκεφάλαιον καθεύδων καὶ διεγείρουσιν αὐτὸν καὶ
λέγουσιν αὐτῷ διδάσκαλε οὐ μέλει σοι ὅτι ἀπολλύμεθα ◦
39 καὶ διεγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ εἶπεν τῇ θαλάσσῃ
σιώπα πεφίμωσο καὶ ἐκόπασεν ὁ ἄνεμος καὶ ἐγένετο γα-
40 λήνη μεγάλη ◦ καὶ εἶπεν αὐτοῖς τί δειλοί ἐστε οὕτως˚ πῶς
41 οὐκ ἔχετε πίστιν ◦ καὶ ἐφοβήθησαν φόβον μέγαν καὶ ἔλε-
γον πρὸς ἀλλήλους τίς ἄρα οὗτός ἐστιν ὅτι καὶ ὁ ἄνεμος
καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ ◦

**5** Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν
2 γαδαρηνῶν ◦ καὶ ἐξελθόντι˚ αὐτῷ ἐκ τοῦ πλοίου εὐθέως˚

---

**v.29** T*: παραδω, V: παραδοι. **v.29** T*: ευθεως, V: ευθυς. **v.30** T*: τινι, V: πως. **v.30** TKV: ομοιωσωμεν, M: ομοιωσομεν. **v.30** T*: ποια παραβολη παραβαλωμεν αυτην, V: τινι αυτην παραβολη θωμεν. **v.31** TKV: κοκκω, M: κοκκον. **v.31** T*: μικροτερος, V: μικροτερον ον. **v.31** T*: εστιν, V: ∅. **v.32** T*: παντων των λαχανων μειζων, V: μειζον παντων των λαχανων. **v.33** TKV: ηδυναντο, M: εδυναντο. **v.34** T*: μαθηταις αυτου, V: ιδιοις μαθηταις. **v.36** T*: δε πλοιαρια, V: πλοια. **v.37** T*: ανεμου μεγαλη, V: μεγαλη ανεμου. **v.37** T*: τα δε, V: και τα. **v.37** TKV: επεβαλλεν, M: επεβαλεν. **v.37** T*: αυτο ηδη γεμιζεσθαι, V: ηδη γεμιζεσθαι το πλοιον. **v.38** T*: ην αυτος επι, V: αυτος ην εν. **v.38** T*: διεγειρουσιν, V: εγειρουσιν. **v.40** T*: ουτως πως ουκ, V: ουπω. **v.41** T*: υπακουουσιν, V: υπακουει. **5. v.1** T*: γαδαρηνων, V: γερασηνων. **v.2** T*: εξελθοντι αυτω, V: εξελθοντος αυτου. **v.2** T*: ευθεως απηντησεν, V: ευθυς υπηντησεν.

ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι
ἀκαθάρτῳ ⸰ ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνημείοις καὶ 3
οὔτε˚ ἁλύσεσιν οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι ⸰ διὰ τὸ αὐ- 4
τὸν πολλάκις πέδαις καὶ ἁλύσεσιν δεδέσθαι καὶ διεσπᾶ-
σθαι ὑπ᾽ αὐτοῦ τὰς ἁλύσεις καὶ τὰς πέδας συντετρίφθαι
καὶ οὐδεὶς αὐτὸν˚ ἴσχυεν δαμάσαι ⸰ καὶ διαπαντὸς νυκτὸς 5
καὶ ἡμέρας ἐν τοῖς ὄρεσιν˚ καὶ ἐν τοῖς μνήμασιν ἦν κράζων
καὶ κατακόπτων ἑαυτὸν λίθοις ⸰ ἰδὼν˚ δὲ τὸν ἰησοῦν ἀπὸ 6
μακρόθεν ἔδραμεν καὶ προσεκύνησεν αὐτῷ ⸰ καὶ κράξας 7
φωνῇ μεγάλῃ εἶπεν τί ἐμοὶ καὶ σοὶ ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ
ὑψίστου ὁρκίζω σε τὸν θεὸν μή με βασανίσῃς ⸰ ἔλεγεν γὰρ 8
αὐτῷ ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου ⸰
καὶ ἐπηρώτα αὐτὸν τί σοι˚ ὄνομα καὶ ἀπεκρίθη˚ λέγων λε- 9
γεὼν ὄνομά μοι ὅτι πολλοί ἐσμεν ⸰ καὶ παρεκάλει αὐτὸν 10
πολλὰ ἵνα μὴ αὐτοὺς ἀποστείλῃ ἔξω τῆς χώρας ⸰ ἦν δὲ ἐ- 11
κεῖ πρὸς τὰ˚ ὄρη ἀγέλη χοίρων μεγάλη βοσκομένη ⸰ καὶ 12
παρεκάλεσαν αὐτὸν πάντες˚ οἱ δαίμονες λέγοντες πέμψον
ἡμᾶς εἰς τοὺς χοίρους ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν ⸰ καὶ ἐ- 13
πέτρεψεν αὐτοῖς εὐθέως˚ ὁ ἰησοῦς καὶ ἐξελθόντα τὰ πνεύ-
ματα τὰ ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους καὶ ὥρμησεν
ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν ἦσαν˚ δὲ ὡς
δισχίλιοι καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ ⸰ οἱ˚ δὲ βόσκοντες 14
τοὺς˚ χοίρους ἔφυγον καὶ ἀνήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς
τοὺς ἀγροὺς καὶ ἐξῆλθὸν ἰδεῖν τί ἐστιν τὸ γεγονός ⸰ καὶ ἔρ- 15
χονται πρὸς τὸν ἰησοῦν καὶ θεωροῦσιν τὸν δαιμονιζόμενον
καθήμενον κἀὶ ἱματισμένον καὶ σωφρονοῦντα τὸν ἐσχη-
κότα τὸν λεγέῶνα καὶ ἐφοβήθησαν ⸰ καὶ˚ διηγήσαντο αὐ- 16

---

**v.3** TK: μνημειοις, MV: μνημασιν. **v.3** T*: ουτε αλυσεσιν, V: ουδε αλυσει ουκετι. **v.3** TK: ηδυνατο, MV: εδυνατο. **v.4** T*: αυτον ισχυεν, V: ισχυεν αυτον. **v.5** T: διαπαντος, KMV: δια παντος. **v.5** T*: ορεσιν και εν τοις μνημασιν, V: μνημασιν και εν τοις ορεσιν. **v.6** T*: ιδων δε, V: και ιδων. **v.7** T*: ειπεν, V: λεγει. **v.9** T*: σοι ονομα, V: ονομα σοι. **v.9** T*: απεκριθη λεγων λεγεων, V: λεγει αυτω λεγιων. **v.10** T*: αυτους, V: αυτα. **v.11** TK: τα ορη, MV: τω ορει. **v.12** T*: παντες οι δαιμονες, V: ∅. **v.13** T*: ευθεως ο ιησους, V: ∅. **v.13** T*: ησαν δε, V: ∅. **v.14** T*: οι δε, V: και οι. **v.14** T*: τους χοιρους, V: αυτους. **v.14** T*: ανηγγειλαν, V: απηγγειλαν. **v.14** T*: εξηλθον, V: ηλθον. **v.15** T*: και, V: ∅. **v.15** T*: λεγεωνα, V: λεγιωνα. **v.16** TKV: και διηγησαντο, M: διηγησαντο δε.

τοῖς οἱ ἰδόντες πῶς ἐγένετο τῷ δαιμονιζομένῳ καὶ περὶ τῶν
17 χοίρων ⸰ καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν
18 ὁρίων αὐτῶν ⸰ καὶ ἐμβάντος αὐτοῦ εἰς τὸ πλοῖον παρεκάλει
19 αὐτὸν ὁ δαιμονισθεὶς ἵνα ᾖ˚ μετ᾽ αὐτοῦ ⸰ ὁ˚ δὲ ἰησοῦς οὐκ
ἀφῆκεν αὐτὸν ἀλλὰ λέγει αὐτῷ ὕπαγε εἰς τὸν οἶκόν σου
πρὸς τοὺς σοὺς καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι˚ ὁ κύριος
20 ἐποίησεν καὶ ἠλέησέν σε ⸰ καὶ ἀπῆλθεν καὶ ἤρξατο κη-
ρύσσειν ἐν τῇ δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ ἰησοῦς καὶ
21 πάντες ἐθαύμαζον ⸰ καὶ διαπεράσαντος τοῦ ἰησοῦ ἐν τῷ
πλοίῳ πάλιν εἰς τὸ πέραν συνήχθη ὄχλος πολὺς ἐπ᾽ αὐτὸν
22 καὶ ἦν παρὰ τὴν θάλασσαν ⸰ καὶ ἰδοὺ ἔρχεται εἷς τῶν ἀρ-
χισυναγώγων ὀνόματι ἰάειρος καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς
23 τοὺς πόδας αὐτοῦ ⸰ καὶ παρεκάλει αὐτὸν πολλὰ λέγων ὅτι
τὸ θυγάτριόν μου ἐσχάτως ἔχει ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ˚ τὰς
24 χεῖρας ὅπως σωθῇ καὶ ζήσεται ⸰ καὶ ἀπῆλθεν μετ᾽ αὐτοῦ
καὶ ἠκολούθει αὐτῷ ὄχλος πολὺς καὶ συνέθλιβον αὐτόν ⸰
25, 26 καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη˚ δώδεκα ⸰ καὶ πολ-
λὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽
ἑαυτῆς πάντα καὶ μηδὲν ὠφεληθεῖσα ἀλλὰ μᾶλλον εἰς τὸ
27 χεῖρον ἐλθοῦσα ⸰ ἀκούσασα περὶ τοῦ ἰησοῦ ἐλθοῦσα ἐν τῷ
28 ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ ⸰ ἔλεγεν γὰρ ὅτι
29 κἂν˚ τῶν ἱματίων αὐτοῦ ἅψωμαι σωθήσομαι ⸰ καὶ εὐθέως
ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς καὶ ἔγνω τῷ σώματι
30 ὅτι ἴαται ἀπὸ τῆς μάστιγος ⸰ καὶ εὐθέως ὁ ἰησοῦς ἐπιγνοὺς
ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν ἐπιστραφεὶς
31 ἐν τῷ ὄχλῳ ἔλεγεν τίς μου ἥψατο τῶν ἱματίων ⸰ καὶ ἔλε-
γον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ βλέπεις τὸν ὄχλον συνθλίβοντά
32 σε καὶ λέγεις τίς μου ἥψατο ⸰ καὶ περιεβλέπετο ἰδεῖν τὴν

---

**v.18** T*: εμβαντος, V: εμβαινοντος. **v.18** T*: η μετ αυτου, V: μετ αυτου η. **v.19** T*: ο δε ιησους, V: και. **v.19** T*: αναγγειλον, V: απαγγειλον. **v.19** TK: σοι ο κυριος εποιησεν, M: σοι ο κυριος πεποιηκεν, V: ο κυριος σοι πεποιηκεν. **v.22** T*: ιδου, V: ∅. **v.22** T*: ιαειρος, V: ιαιρος. **v.23** T*: παρεκαλει, V: παρακαλει. **v.23** T*: αυτη τας χειρας οπως σωθη και ζησεται, V: τας χειρας αυτη ινα σωθη και ζηση. **v.25** T*: τις, V: ∅. **v.25** T*: ετη δωδεκα, V: δωδεκα ετη. **v.26** TK: εαυτης, MV: αυτης. **v.28** T*: καν των ιματιων αυτου αψωμαι, V: εαν αψωμαι καν των ιματιων αυτου. **v.29** T*: ευθεως, V: ευθυς. **v.30** T*: ευθεως, V: ευθυς.

τοῦτο ποιήσασαν ⸰ ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα εἰ- 33
δυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ ἦλθεν καὶ προσέπεσεν αὐτῷ καὶ
εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν ⸰ ὁ δὲ εἶπεν αὐτῇ θύγατέρ 34
ἡ πίστις σου σέσωκέν σε ὕπαγε εἰς εἰρήνην καὶ ἴσθι ὑγιὴς
ἀπὸ τῆς μάστιγός σου ⸰ ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀπὸ 35
τοῦ ἀρχισυναγώγου λέγοντες ὅτι ἡ θυγάτηρ σου ἀπέθα-
νεν τί ἔτι σκύλλεις τὸν διδάσκαλον ⸰ ὁ δὲ ἰησοῦς εὐθέως᾽ 36
ἀκούσας τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ
μὴ φοβοῦ μόνον πίστευε ⸰ καὶ οὐκ ἀφῆκεν οὐδένα αὐτῷ 37
συνακολουθῆσαι εἰ μὴ πέτρον καὶ ἰάκωβον καὶ ἰωάννην
τὸν ἀδελφὸν ἰακώβου ⸰ καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχι- 38
συναγώγου καὶ θεωρεῖ θόρυβον κλαίοντας καὶ ἀλαλάζον-
τας πολλά ⸰ καὶ εἰσελθὼν λέγει αὐτοῖς τί θορυβεῖσθε καὶ 39
κλαίετε τὸ παιδίον οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει ⸰ καὶ κα- 40
τεγέλων αὐτοῦ ὁ᾽ δὲ ἐκβαλὼν ἅπαντας παραλαμβάνει τὸν
πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα καὶ τοὺς μετ᾽ αὐτοῦ
καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον ⸰ καὶ 41
κρατήσας τῆς χειρὸς τοῦ παιδίου λέγει αὐτῇ ταλιθὰ κοῦμι
ὅ ἐστιν μεθερμηνευόμενον τὸ κοράσιον σοὶ λέγω ἔγειρε ⸰
καὶ εὐθέως ἀνέστη τὸ κοράσιον καὶ περιεπάτει ἦν γὰρ ἐτῶν 42
δώδεκα καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ ⸰ καὶ διεστείλατο 43
αὐτοῖς πολλὰ ἵνα μηδεὶς γνῷ τοῦτο καὶ εἶπεν δοθῆναι αὐτῇ
φαγεῖν ⸰

Καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ἦλθεν εἰς τὴν πατρίδα αὐτοῦ **6**
καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ⸰ καὶ γενομέ- 2
νου σαββάτου ἤρξατο ἐν᾽ τῇ συναγωγῇ διδάσκειν καὶ πολ-
λοὶ ἀκούοντες ἐξεπλήσσοντο λέγοντες πόθεν τούτῳ ταῦτα
καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ᾽ ὅτι καὶ δυνάμεις τοιαῦται

**v.33** T*: επ, V: ∅. **v.34** T*: θυγατερ, V: θυγατηρ. **v.36** T*: ευθεως ακουσας, V: παρακουσας. **v.37** T*: αυτω, V: μετ αυτου. **v.37** T*: πετρον, V: τον πετρον. **v.38** T*: ερχεται, V: ερχονται. **v.38** TM: κλαιοντας, KV: και κλαιοντας. **v.40** T*: ο, V: αυτος. **v.40** TK: απαντας, MV: παντας. **v.40** T*: ανακειμενον, V: ∅. **v.41** T*: κουμι, V: κουμ. **v.41** T*: εγειραι, V: εγειρε. **v.42** T*: ευθεως, V: ευθυς. **v.42** T*: εκστασει, V: [ευθυς] εκστασει. **v.43** T*: γνω, V: γνοι. **6. v.1** T*: ηλθεν, V: ερχεται. **v.2** T*: εν τη συναγωγη διδασκειν, V: διδασκειν εν τη συναγωγη. **v.2** TK: αυτω οτι και, M: αυτω και, V: τουτω και αι.

διὰ τῶν χειρῶν αὐτοῦ γίνονται· οὐχ οὗτός ἐστιν ὁ τέκτων
ὁ υἱὸς μαρίας ἀδελφὸς δὲ ἰακώβου καὶ ἰωσῆ καὶ ἰούδα καὶ
σίμωνος καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς
καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ· ἔλεγεν δὲ αὐτοῖς ὁ ἰησοῦς
ὅτι οὐκ ἔστιν προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ
καὶ ἐν τοῖς συγγενέσιν καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ οὐκ
ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι εἰ μὴ ὀλίγοις ἀρ-
ρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσεν· καὶ ἐθαύμαζεν
διὰ τὴν ἀπιστίαν αὐτῶν καὶ περιῆγεν τὰς κώμας κύκλῳ
διδάσκων· καὶ προσκαλεῖται τοὺς δώδεκα καὶ ἤρξατο αὐ-
τοὺς ἀποστέλλειν δύο δύο καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν
πνευμάτων τῶν ἀκαθάρτων· καὶ παρήγγειλεν αὐτοῖς ἵνα
μηδὲν αἴρωσιν εἰς ὁδὸν εἰ μὴ ῥάβδον μόνον μὴ πήραν μὴ
ἄρτον μὴ εἰς τὴν ζώνην χαλκόν· ἀλλὰ ὑποδεδεμένους σαν-
δάλια καὶ μὴ ἐνδύσῆσθε δύο χιτῶνας· καὶ ἔλεγεν αὐτοῖς
ὅπου ἐὰν εἰσέλθητε εἰς οἰκίαν ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε
ἐκεῖθεν· καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς μηδὲ ἀκούσωσιν
ὑμῶν ἐκπορευόμενοι ἐκεῖθεν ἐκτινάξατε τὸν χοῦν τὸν ὑπο-
κάτω τῶν ποδῶν ὑμῶν εἰς μαρτύριον αὐτοῖς ἀμὴν λέγω ὑ-
μῖν ἀνεκτότερον ἔσται σοδόμοις ἢ γομόρροις ἐν ἡμέρᾳ κρί-
σεως ἢ τῇ πόλει ἐκείνῃ· καὶ ἐξελθόντες ἐκήρυσσον ἵνα με-
τανοήσωσιν· καὶ δαιμόνια πολλὰ ἐξέβαλλον καὶ ἤλειφον
ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον· καὶ ἤκουσεν
ὁ βασιλεὺς ἡρώδης φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ
καὶ ἔλεγεν ὅτι ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη καὶ
διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ· ἄλλοι ἔλεγον
ὅτι ἠλίας ἐστὶν ἄλλοι δὲ ἔλεγον ὅτι προφήτης ἐστίν ἢ ὡς

**v.2** T*: γινονται, V: γινομεναι. **v.3** T*: μαριας αδελφος δε, V: της μαριας και αδελφος. **v.3** T*: ιωση, V: ιωσητος. **v.4** T*: ελεγεν δε, V: και ελεγεν. **v.4** T*: συγγενεσιν, V: συγγενευσιν αυτου. **v.5** T*: ηδυνατο, V: εδυνατο. **v.5** T*: ουδεμιαν δυναμιν ποιησαι, V: ποιησαι ουδεμιαν δυναμιν. **v.8** T*: μη πηραν μη αρτον, V: μη αρτον μη πηραν. **v.9** T*: αλλ, V: αλλα. **v.9** TMV: ενδυσησθε, K: ενδυσασθαι. **v.11** T*: οσοι αν μη δεξωνται, V: ος αν τοπος μη δεξηται. **v.11** T*: αμην . . . εκεινη, V: ∅. **v.12** T*: εκηρυσσον, V: εκηρυξαν. **v.12** T*: μετανοησωσιν, V: μετανοωσιν. **v.14** T*: ελεγεν, V: ελεγον. **v.14** T*: εκ νεκρων ηγερθη, V: εγηγερται εκ νεκρων. **v.15** T*: αλλοι, V: αλλοι δε. **v.15** TK: εστιν η, M: εστιν, V: ∅.

εἷς τῶν προφητῶν ⸰ ἀκούσας δὲ ὁ˚ ἡρώδης εἶπεν˚ ὅτι ὃν 16
ἐγὼ ἀπεκεφάλισα ἰωάννην οὗτός ἐστιν˚ αὐτὸς ἠγέρθη ἐκ
νεκρῶν ⸰ αὐτὸς γὰρ ὁ ἡρώδης ἀποστείλας ἐκράτησεν τὸν 17
ἰωάννην καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ διὰ ἡρωδιάδα τὴν
γυναῖκα φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ ὅτι αὐτὴν ἐγάμη-
σεν ⸰ ἔλεγεν γὰρ ὁ ἰωάννης τῷ ἡρώδῃ ὅτι οὐκ ἔξεστίν σοι 18
ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου ⸰ ἡ δὲ ἡρωδιὰς ἐνεῖ- 19
χεν αὐτῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι καὶ οὐκ ἠδύνατο ⸰
ὁ γὰρ ἡρώδης ἐφοβεῖτο τὸν ἰωάννην εἰδὼς αὐτὸν ἄνδρα δί- 20
καιον καὶ ἅγιον καὶ συνετήρει αὐτὸν καὶ ἀκούσας αὐτοῦ
πολλὰ ἐἠοίει καὶ ἡδέως αὐτοῦ ἤκουεν ⸰ καὶ γενομένης ἡ- 21
μέρας εὐκαίρου ὅτε ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον
ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς
πρώτοις τῆς γαλιλαίας ⸰ καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐ- 22
τῆς˚ τῆς ἡρωδιάδος καὶ ὀρχησαμένης καὶ˚ ἀρεσάσης τῷ
ἡρώδῃ καὶ τοῖς συνανακειμένοις εἶπεν ὁ βασιλεὺς τῷ κο-
ρασίῳ αἴτησόν με ὃ ἐὰν θέλῃς καὶ δώσω σοί ⸰ καὶ ὤμοσεν 23
αὐτῇ ὅτι˚ ὃ ἐάν με αἰτήσῃς δώσω σοὶ ἕως ἡμίσους τῆς βα-
σιλείας μου ⸰ ἡ˚ δὲ ἐξελθοῦσα εἶπεν τῇ μητρὶ αὐτῆς τί αἰ- 24
τήσὁμαι ἡ δὲ εἶπεν τὴν κεφαλὴν ἰωάννου τοῦ βαπτιὁτοῦ ⸰
καὶ εἰσελθοῦσα εὐθέὡς μετὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾔ- 25
τήσατο λέγουσα θέλω ἵνα μοι˚ δῷς ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν
κεφαλὴν ἰωάννου τοῦ βαπτιστοῦ ⸰ καὶ περίλυπος γενόμε- 26
νος ὁ βασιλεὺς διὰ τοὺς ὅρκους καὶ τοὺς συνὰνακειμένους
οὐκ ἠθέλησεν αὐτὴν˚ ἀθετῆσαι ⸰ καὶ εὐθέὡς ἀποστείλας ὁ 27
βασιλεὺς σπεκουλάτὡρα ἐπέταξεν ἐνεχθῆναι τὴν κεφαλὴν
αὐτοῦ ⸰ ὁ˚ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλα- 28

**v.16** ΤΚV: ο, Μ: ∅. **v.16** Τ*: ειπεν οτι, V: ελεγεν. **v.16** Τ*: εστιν αυτος ηγερθη εκ νεκρων, V: ηγερθη. **v.17** ΤΚ: τη, ΜV: ∅. **v.20** Τ*: εποιει, V: ηπορει. **v.21** Τ*: εποιει, V: εποιησεν. **v.22** Τ*: αυτης της, V: αυτου. **v.22** Τ*: και αρεσασης, V: ηρεσεν. **v.23** Τ*: οτι ο, V: [πολλα] ο τι. **v.24** Τ*: η δε, V: και. **v.24** Τ*: αιτησομαι, V: αιτησωμαι. **v.24** Τ*: βαπτιστου, V: βαπτιζοντος. **v.25** Τ*: ευθεως, V: ευθυς. **v.25** Τ: μοι δως εξ αυτης, ΜΚ: μοι δως εξαυτης, V: εξαυτης δως μοι. **v.26** Τ*: συνανακειμενους, V: ανακειμενους. **v.26** Τ*: αυτην αθετησαι, V: αθετησαι αυτην. **v.27** Τ*: ευθεως, V: ευθυς. **v.27** ΤΚ: σπεκουλατωρα, ΜV: σπεκουλατορα. **v.27** Τ*: ενεχθηναι, V: ενεγκαι. **v.28** Τ*: ο δε, V: και.

κῇ καὶ ἤνεγκεν τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι καὶ ἔδωκεν
αὐτὴν τῷ κορασίῳ καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μη-
29 τρὶ αὐτῆς ◦ καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ
ἦραν τὸ πτῶμα αὐτοῦ καὶ ἔθηκαν αὐτὸ ἐν τῷ μνημείῳ ◦
30 καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν ἰησοῦν καὶ ἀπήγ-
γειλαν αὐτῷ πάντα κἀὶ ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν ◦
31 καὶ εἶπεν αὐτοῖς δεῦτε ὑμεῖς αὐτοὶ κατ᾽ ἰδίαν εἰς ἔρημον
τόπον καὶ ἀναπαύεσθε ὀλίγον ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ
32 οἱ ὑπάγοντες πολλοὶ καὶ οὐδὲ φαγεῖν ἠὐκαίρουν ◦ καὶ ἀ-
33 πῆλθον εἰς᾽ ἔρημον τόπον τῷ πλοίῳ κατ᾽ ἰδίαν ◦ καὶ εἶδον
αὐτοὺς ὑπάγοντας οἵ᾽ ὄχλοι καὶ ἐπέγνωσαν αὐτὸν πολλοὶ
καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ καὶ προ-
34 ῆλθον αὐτοὺς καὶ᾽ συνῆλθον πρὸς αὐτόν ◦ καὶ ἐξελθὼν εἶ-
δεν ὁ᾽ ἰησοῦς πολὺν ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς
ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα καὶ ἤρξατο δι-
35 δάσκειν αὐτοὺς πολλά ◦ καὶ ἤδη ὥρας πολλῆς γενομένης
προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγουσιν ὅτι ἔρη-
36 μός ἐστιν ὁ τόπος καὶ ἤδη ὥρα πολλή ◦ ἀπόλυσον αὐτοὺς
ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας ἀγο-
37 ράσωσιν ἑαυτοῖς ἄρτους᾽ τί γὰρ φάγωσιν οὐκ ἔχουσιν ◦ ὁ
δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς δότε αὐτοῖς ὑμεῖς φαγεῖν καὶ
λέγουσιν αὐτῷ ἀπελθόντες ἀγοράσωμεν διακοσίων᾽ δηνα-
38 ρίων ἄρτους καὶ δῶμεν αὐτοῖς φαγεῖν ◦ ὁ δὲ λέγει αὐτοῖς
πόσους ἄρτους ἔχετε ὑπάγετε κἀὶ ἴδετε καὶ γνόντες λέγου-
39 σιν πέντε καὶ δύο ἰχθύας ◦ καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι
40 πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ ◦ καὶ ἀ-
νέπεσὸν πρασιαὶ πρασιαὶ ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα ◦
41 καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέ-

---

**v.29** T: τω, KMV: ∅. **v.30** T*: και, V: ∅. **v.31** T*: ειπεν, V: λεγει. **v.31** T*: αναπαυεσθε, V: αναπαυσασθε. **v.31** TK: ηυκαιρουν, MV: ευκαιρουν. **v.32** T*: εις ερημον τοπον τω πλοιω, V: εν τω πλοιω εις ερημον τοπον. **v.33** TK: οι οχλοι, MV: ∅. **v.33** T*: αυτον, V: ∅. **v.33** T*: και συνηλθον προς αυτον, V: ∅. **v.34** T*: ο ιησους, V: ∅. **v.34** T*: αυτοις, V: αυτους. **v.35** T*: λεγουσιν, V: ελεγον. **v.36** T*: αρτους τι γαρ φαγωσιν ουκ εχουσιν, V: τι φαγωσιν. **v.37** TK: διακοσιων δηναριων, MV: δηναριων διακοσιων. **v.37** T*: δωμεν, V: δωσομεν. **v.38** T*: και, V: ∅. **v.40** T*: ανεπεσον, V: ανεπεσαν. **v.40** T*: ανα, V: κατα.

ψας εἰς τὸν οὐρανὸν εὐλόγησεν καὶ κατέκλασεν τοὺς ἄρ-
τους καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παράθῶσιν αὐτοῖς
καὶ τοὺς δύο ἰχθύας ἐμέρισεν πᾶσιν ⸰ καὶ ἔφαγον πάντες 42
καὶ ἐχορτάσθησαν ⸰ καὶ ἦραν κλασμάτῶν δώδεκα κοφί- 43
νους˚ πλήρεις καὶ ἀπὸ τῶν ἰχθύων ⸰ καὶ ἦσαν οἱ φαγόντες 44
τοὺς ἄρτους ὡσεὶ πεντακισχίλιοι ἄνδρες ⸰ καὶ εὐθέῶς ἠ- 45
νάγκασεν τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ
προάγειν εἰς τὸ πέραν πρὸς βηθσαϊδὰν ἕως αὐτὸς ἀπολύσῃ
τὸν ὄχλον ⸰ καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος 46
προσεύξασθαι ⸰ καὶ ὀψίας γενομένης ἦν τὸ πλοῖον ἐν μέ- 47
σῳ τῆς θαλάσσης καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς ⸰ καὶ εἶδεν 48
αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν ἦν γὰρ ὁ ἄνεμος
ἐναντίος αὐτοῖς κἀὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρ-
χεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης καὶ ἤθελεν
παρελθεῖν αὐτούς ⸰ οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα˚ ἐ- 49
πὶ τῆς θαλάσσης ἔδοξαν φάντασμα˚ εἶναι καὶ ἀνέκραξαν ⸰
πάντες γὰρ αὐτὸν εἶδον καὶ ἐταράχθησαν καὶ˚ εὐθέως ἐ- 50
λάλησεν μετ᾽ αὐτῶν καὶ λέγει αὐτοῖς θαρσεῖτε ἐγώ εἰμι μὴ
φοβεῖσθε ⸰ καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς τὸ πλοῖον καὶ ἐκό- 51
πασεν ὁ ἄνεμος καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο
καὶ˚ ἐθαύμαζον ⸰ οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις ἦν˚ γὰρ 52
ἡ˚ καρδία αὐτῶν πεπωρωμένη ⸰ καὶ διαπεράσαντες ἦλθον˚ 53
ἐπὶ τὴν γῆν γενὴσαρὲτ καὶ προσωρμίσθησαν ⸰ καὶ ἐξελθόν- 54
των αὐτῶν ἐκ τοῦ πλοίου εὐθέὼς ἐπιγνόντες αὐτόν ⸰ περι- 55
δραμόντες ὅλην τὴν περίχωρον ἐκείνην ἤρξαντο ἐπὶ τοῖς
κραββάτοις τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου ἤκουον

---

**v.41** T*: παραθωσιν, V: παρατιθωσιν. **v.43** T*: κλασματων, V: κλασματα. **v.43** T*: κοφινους πληρεις, V: κοφινων πληρωματα. **v.44** TK: ωσει, MV: ∅. **v.45** T*: ευθεως, V: ευθυς. **v.45** TMV: βηθσαιδαν, K: βηθσαιδα. **v.45** T*: απολυση, V: απολυει. **v.48** T*: ειδεν, V: ιδων. **v.48** T*: και, V: ∅. **v.49** T*: περιπατουντα επι της θαλασσης, V: επι της θαλασσης περιπατουντα. **v.49** T*: φαντασμα ειναι, V: οτι φαντασμα εστιν. **v.50** T*: και ευθεως, V: ο δε ευθυς. **v.51** T*: και εθαυμαζον, V: ∅. **v.52** T*: ην γαρ, V: αλλ ην. **v.52** TK: η καρδια αυτων, MV: αυτων η καρδια. **v.53** T*: ηλθον επι την γην, V: επι την γην ηλθον εις. **v.53** T: γενησαρετ, KMV: γεννησαρετ. **v.54** T*: ευθεως, V: ευθυς. **v.55** T*: περιδραμοντες, V: περιεδραμον. **v.55** T*: περιχωρον, V: χωραν. **v.55** T*: ηρξαντο, V: και ηρξαντο. **v.55** T*: κραββατοις, V: κραβαττοις.

56 ὅτι ἐκεῖ ἐστιν ⸰ καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ πό-
λεις ἢ ἀγροὺς ἐν ταῖς ἀγοραῖς ἐτίθουν τοὺς ἀσθενοῦντας
καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου
αὐτοῦ ἅψωνται καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ ἐσώζοντο ⸰

**7** Καὶ συνάγονται πρὸς αὐτὸν οἱ φαρισαῖοι καί τινες τῶν
2 γραμματέων ἐλθόντες ἀπὸ ἱεροσολύμων ⸰ καὶ ἰδόντες τινὰς
τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσὶν τοῦτ᾽ ἔστιν ἀνίπτοις ἐ-
3 σθίοντας ἄρτους ἐμέμψαντο ⸰ οἱ γὰρ φαρισαῖοι καὶ πάντες
οἱ ἰουδαῖοι ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας οὐκ ἐσθίου-
4 σιν κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων ⸰ καὶ ἀπὸ
ἀγορᾶς ἐὰν μὴ βαπτίσωνται οὐκ ἐσθίουσιν καὶ ἄλλα πολ-
λά ἐστιν ἃ παρέλαβον κρατεῖν βαπτισμοὺς ποτηρίων καὶ
5 ξεστῶν καὶ χαλκίων καὶ κλινῶν ⸰ ἔπειτα ἐπερωτῶσιν αὐτὸν
οἱ φαρισαῖοι καὶ οἱ γραμματεῖς διατί οἱ μαθηταί σου οὐ
περιπατοῦσιν κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων ἀλλὰ
6 ἀνίπτοις χερσὶν ἐσθίουσιν τὸν ἄρτον ⸰ ὁ δὲ ἀποκριθεὶς εἶ-
πεν αὐτοῖς ὅτι καλῶς προεφήτευσεν ἡσαΐας περὶ ὑμῶν τῶν
ὑποκριτῶν ὡς γέγραπται ὁ λαὸς τοῖς χείλεσίν με τιμᾷ
7 ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ᾽ ἐμοῦ ⸰ μάτην δὲ σέ-
βονταί με διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων ⸰
8 ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ θεοῦ κρατεῖτε τὴν παράδο-
σιν τῶν ἀνθρώπων βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων καὶ
9 ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε ⸰ καὶ ἔλεγεν αὐτοῖς
καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ θεοῦ ἵνα τὴν παράδοσιν
10 ὑμῶν τηρήσητε ⸰ μωσῆς γὰρ εἶπεν τίμα τὸν πατέρα σου
καὶ τὴν μητέρα σου καὶ ὁ κακολογῶν πατέρα ἢ μητέρα
11 θανάτῳ τελευτάτω ⸰ ὑμεῖς δὲ λέγετε ἐὰν εἴπῃ ἄνθρωπος τῷ
πατρὶ ἢ τῇ μητρὶ κορβᾶν ὅ ἐστιν δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφε-

---

**v.55** T*: εκει, V: ∅. **v.56** T*: η, V: η εις. **v.56** T*: ετιθουν, V: ετιθεσαν. **v.56** T*: ηπτοντο, V: ηψαντο. **7. v.2** T*: κοιναις, V: οτι κοιναις. **v.2** T*: εσθιοντας, V: εσθιουσιν τους. **v.2** T*: εμεμψαντο, V: ∅. **v.4** T*: απο, V: απ. **v.5** T*: επειτα, V: και. **v.5** TK: διατι, MV: δια τι. **v.5** T*: οι μαθηται σου ου περιπατουσιν, V: ου περιπατουσιν οι μαθηται σου. **v.5** T*: ανιπτοις, V: κοιναις. **v.6** T*: αποκριθεις, V: ∅. **v.6** T*: οτι, V: ∅. **v.6** T*: προεφητευσεν, V: επροφητευσεν. **v.6** T*: ουτος, V: [οτι] ουτος. **v.8** T*: γαρ, V: ∅. **v.8** T*: βαπτισμους . . . ποιειτε, V: ∅. **v.9** T*: τηρησητε, V: στησητε. **v.10** T*: μωσης, V: μωυσης.

ληθῇς· καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ 12
αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ· ἀκυροῦντες τὸν λόγον τοῦ θεοῦ 13
τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε καὶ παρόμοια τοιαῦτα
πολλὰ ποιεῖτε· καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον ἔ- 14
λεγεν αὐτοῖς ἀκούετέ μου πάντες καὶ συνίετε· οὐδέν ἐστιν 15
ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν ὃ δύναται
αὐτὸν˚ κοινῶσαι ἀλλὰ τὰ ἐκπορευόμενα˚ ἀπ᾽ αὐτοῦ ἐκεῖνά
ἐστιν τὰ κοινοῦντα τὸν ἄνθρωπον· εἴ˚ τις ἔχει ὦτα ἀκούειν 16
ἀκουέτω· καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου ἐπη- 17
ρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ˚ τῆς παραβολῆς· καὶ 18
λέγει αὐτοῖς οὕτως καὶ ὑμεῖς ἀσύνετοί ἐστε οὐ νοεῖτε ὅτι
πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύνα-
ται αὐτὸν κοινῶσαι· ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν 19
καρδίαν ἀλλ᾽ εἰς τὴν κοιλίαν καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπο-
ρεύεται καθαρίζον πάντα τὰ βρώματα· ἔλεγεν δὲ ὅτι τὸ ἐκ 20
τοῦ ἀνθρώπου ἐκπορευόμενον ἐκεῖνο κοινοῖ τὸν ἄνθρω-
πον· ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ δια- 21
λογισμοὶ οἱ κακοὶ ἐκπορεύονται μοιχεῖαι˚ πορνεῖαι φόνοι·
κλοπαὶ πλεονεξίαι πονηρίαι δόλος ἀσέλγεια ὀφθαλμὸς πο- 22
νηρὸς βλασφημία ὑπερηφανία ἀφροσύνη· πάντα ταῦτα 23
τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ τὸν ἄνθρωπον·
καὶ˚ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια τύρου καὶ˚ 24
σιδῶνος καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν οὐδένα ἤθελεν γνῶ-
ναι καὶ οὐκ ἠδυνήθη λαθεῖν· ἀκούσασα˚ γὰρ γυνὴ πε- 25
ρὶ αὐτοῦ ἧς εἶχεν τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον
ἐλθοῦσα προσέπεσεν πρὸς τοὺς πόδας αὐτοῦ· ἦν˚ δὲ ἡ 26
γυνὴ ἑλληνὶς συροφοίνισσα τῷ γένει καὶ ἠρώτα αὐτὸν ἵνα

**v.12** T*: και, V: ∅. **v.12** T*: αυτου, V: ∅. **v.14** T*: παντα, V: παλιν. **v.14** T*: ακουετε, V: ακουσατε. **v.14** T*: συνιετε, V: συνετε. **v.15** T*: αυτον κοινωσαι, V: κοινωσαι αυτον. **v.15** T*: εκπορευομενα απ αυτου εκεινα, V: εκ του ανθρωπου εκπορευομενα. **v.16** T*: ει . . . ακουετω, V: ∅. **v.17** T*: περι της παραβολης, V: την παραβολην. **v.19** T*: καθαριζον, V: καθαριζων. **v.21** T*: μοιχειαι πορνειαι, V: πορνειαι κλοπαι. **v.22** T*: κλοπαι, V: μοιχειαι. **v.24** T*: και εκειθεν, V: εκειθεν δε. **v.24** T*: μεθορια, V: ορια. **v.24** T*: και σιδωνος, V: ∅. **v.24** TK: την, MV: ∅. **v.25** T*: ακουσασα γαρ, V: αλλ ευθυς ακουσασα. **v.26** T*: ην δε η γυνη, V: η δε γυνη ην. **v.26** TK: συροφοινισσα, M: συραφοινικισσα, V: συροφοινικισσα.

27 τὸ δαιμόνιον ἐκβάλλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς ◦ ὁ δὲ ἰη-
σοῦς εἶπεν αὐτῇ ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα οὐ
γὰρ καλόν ἐστιν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν
28 τοῖς κυναρίοις ◦ ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ ναὶ κύριε
καὶ γὰρ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίει ἀπὸ τῶν
29 ψιχίων τῶν παιδίων ◦ καὶ εἶπεν αὐτῇ διὰ τοῦτον τὸν λό-
γον ὕπαγε ἐξελήλυθεν τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου ◦
30 καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρεν τὸ δαιμόνιον
ἐξεληλυθὸς καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης ◦
31 καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων τύρου καὶ σιδῶνος ἦλ-
θεν πρὸς τὴν θάλασσαν τῆς γαλιλαίας ἀνὰ μέσον τῶν ὁ-
32 ρίων δεκαπόλεως ◦ καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον
33 καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα ◦ καὶ
ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ᾽ ἰδίαν ἔβαλεν τοὺς
δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ καὶ πτύσας ἥψατο τῆς
34 γλώσσης αὐτοῦ ◦ καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐστένα-
35 ξεν καὶ λέγει αὐτῷ ἐφφαθὰ ὅ ἐστιν διανοίχθητι ◦ καὶ εὐ-
θέως διῃνοίχθησαν αὐτοῦ αἱ ἀκοαὶ καὶ ἐλύθη ὁ δεσμὸς
36 τῆς γλώσσης αὐτοῦ καὶ ἐλάλει ὀρθῶς ◦ καὶ διεστείλατο αὐ-
τοῖς ἵνα μηδενὶ εἴπωσιν ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο
37 μᾶλλον περισσότερον ἐκήρυσσον ◦ καὶ ὑπερπερισσῶς ἐξε-
πλήσσοντο λέγοντες καλῶς πάντα πεποίηκεν καὶ τοὺς κω-
φοὺς ποιεῖ ἀκούειν καὶ τοὺς ἀλάλους λαλεῖν ◦

**8** Ἐν ἐκείναις ταῖς ἡμέραις παμπόλλου ὄχλου ὄντος καὶ
μὴ ἐχόντων τί φάγωσιν προσκαλεσάμενος ὁ ἰησοῦς τοὺς
2 μαθητὰς αὐτοῦ λέγει αὐτοῖς ◦ σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον

---

**v.26** TK: εκβαλλη, MV: εκβαλη. **v.27** T*: ο δε ιησους ειπεν, V: και ελεγεν. **v.27** T*: καλον εστιν, V: εστιν καλον. **v.27** T*: βαλειν τοις κυναριοις, V: τοις κυναριοις βαλειν. **v.28** T*: ναι, V: ∅. **v.28** T*: γαρ, V: ∅. **v.28** T*: εσθιει, V: εσθιουσιν. **v.29** T*: το δαιμονιον εκ της θυγατρος σου, V: εκ της θυγατρος σου το δαιμονιον. **v.30** T*: το δαιμονιον εξεληλυθος και την θυγατερα βεβλημενην επι της κλινης, V: το παιδιον βεβλημενον επι την κλινην και το δαιμονιον εξεληλυθος. **v.31** T*: τυρου και σιδωνος ηλθεν προς, V: τυρου ηλθεν δια σιδωνος εις. **v.32** TK: μογιλαλον, M: μογγιλαλον, V: και μογιλαλον. **v.35** T*: διηνοιχθησαν, V: ηνοιγησαν. **v.36** T*: ειπωσιν, V: λεγωσιν. **v.36** T*: αυτος αυτοις διεστελλετο, V: αυτοις διεστελλετο αυτοι. **8. v.1** T*: παμπολλου, V: παλιν πολλου. **v.1** T*: ο ιησους, V: ∅. **v.1** T*: αυτου, V: ∅.

ὅτι ἤδη ἡμέρας˚ τρεῖς προσμένουσίν μοι καὶ οὐκ ἔχουσιν
τί φάγωσιν· καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον 3
αὐτῶν ἐκλυθήσονται ἐν τῇ ὁδῷ τινὲς˚ γὰρ αὐτῶν μακρόθεν
ἥκάσιν· καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ πόθεν 4
τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ᾽ ἐρημίας·
καὶ ἐπηρώτα αὐτοὺς πόσους ἔχετε ἄρτους οἱ δὲ εἶπόν ἑ- 5
πτά· καὶ παρήγγειλεν τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς καὶ 6
λαβὼν τοὺς ἑπτὰ ἄρτους εὐχαριστήσας ἔκλασεν καὶ ἐδί-
δου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παράθῶσιν καὶ παρέθηκαν
τῷ ὄχλῳ· καὶ εἶχον ἰχθύδια ὀλίγα καὶ εὐλογήσας˚ εἶπεν 7
παραθεῖναι καὶ αὐτά· ἔφαγον˚ δὲ καὶ ἐχορτάσθησαν καὶ 8
ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας· ἦσαν δὲ 9
οἱ˚ φαγόντες ὡς τετρακισχίλιοι καὶ ἀπέλυσεν αὐτούς· καὶ 10
εὐθέὼς ἐμβὰς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλ-
θεν εἰς τὰ μέρη˚ δαλμανουθά· καὶ ἐξῆλθον οἱ φαρισαῖοι 11
καὶ ἤρξαντο συζητεῖν αὐτῷ ζητοῦντες παρ᾽ αὐτοῦ σημεῖον
ἀπὸ τοῦ οὐρανοῦ πειράζοντες αὐτόν· καὶ ἀναστενάξας τῷ 12
πνεύματι αὐτοῦ λέγει τί ἡ γενεὰ αὕτη σημεῖον˚ ἐπιζητεῖ ἀ-
μὴν λέγω ὑμῖν εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον· καὶ 13
ἀφεὶς αὐτοὺς ἐμβὰς˚ πάλιν εἰς˚ τὸ πλοῖον ἀπῆλθεν εἰς τὸ
πέραν· καὶ ἐπελάθοντὸ λαβεῖν ἄρτους καὶ εἰ μὴ ἕνα ἄρτον 14
οὐκ εἶχον μεθ᾽ ἑαυτῶν ἐν τῷ πλοίῳ· καὶ διεστέλλετο αὐτοῖς 15
λέγων ὁρᾶτε βλέπετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ τῆς
ζύμης ἡρώδου· καὶ διελογίζοντο πρὸς ἀλλήλους λέγοντες 16
ὅτι ἄρτους οὐκ ἔχομεν· καὶ γνοὺς ὁ˚ ἰησοῦς λέγει αὐ- 17

---

**v.2** TK: ημερας τρεις προσμενουσιν μοι, MV: ημεραι τρεις προσμενουσιν μοι, B: ημεραι τρισιν προσμενουσιν μοι, D: ημεραι τρις εισιν απο τοτε ωδε εισιν. **v.3** T*: τινες γαρ, V: και τινες. **v.3** T*: μακροθεν, V: απο μακροθεν. **v.3** TKV: ηκασιν, M: ηκουσιν. **v.4** T*: ποθεν, V: οτι ποθεν. **v.5** T*: επηρωτα, V: ηρωτα. **v.5** T*: ειπον, V: ειπαν. **v.6** T*: παρηγγειλεν, V: παραγγελλει. **v.6** T*: παραθωσιν, V: παρατιθωσιν. **v.7** T*: ευλογησας ειπεν παραθειναι και αυτα, V: ευλογησας αυτα ειπεν και ταυτα παρατιθεναι, D: ευχαριστησας ειπεν και αυτους εκελευσεν παρατειθεναι. **v.8** T*: εφαγον δε, V: και εφαγον. **v.9** T*: οι φαγοντες, V: ∅. **v.10** T*: ευθεως, V: ευθυς. **v.10** E: μερη δαλμανουθα, D: ορια μελεγαδα. **v.12** T*: σημειον επιζητει, V: ζητει σημειον. **v.13** T*: εμβας παλιν, V: παλιν εμβας. **v.13** TK: εις το πλοιον, M: εις πλοιον, V: ∅. **v.14** TMV: επελαθοντο, K: επελαθοντο οι μαθηται. **v.16** T*: λεγοντες, V: ∅. **v.16** T*: εχομεν, V: εχουσιν. **v.17** T*: ο ιησους, V: ∅.

τοῖς τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε οὔπω νοεῖτε οὐδὲ
18 συνίετε ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν· ὀφθαλ-
μοὺς ἔχοντες οὐ βλέπετε καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε καὶ
19 οὐ μνημονεύετε· ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς
πεντακισχιλίους πόσους κοφίνους πλήρεις˚ κλασμάτων ἤ-
20 ρατε λέγουσιν αὐτῷ δώδεκα· ὅτε δὲ˚ τοὺς ἑπτὰ εἰς τοὺς
τετρακισχιλίους πόσων σπυρίδων πληρώματα κλασμάτων
21 ἤρατε οἱ˚ δὲ εἶπον ἑπτά· καὶ ἔλεγεν αὐτοῖς πῶς˚ οὐ συνί-
22 ετε· καὶ ἔρχεται εἰς βηθσαϊδὰν καὶ φέρουσιν αὐτῷ τυφλὸν
23 καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ ἅψηται· καὶ ἐπιλα-
βόμενος τῆς χειρὸς τοῦ τυφλοῦ ἐξήγαγεν αὐτὸν ἔξω τῆς
κώμης καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ ἐπιθεὶς τὰς χεῖρας
24 αὐτῷ ἐπηρώτα αὐτὸν εἴ τι βλέπει· καὶ ἀναβλέψας ἔλεγεν
βλέπω τοὺς ἀνθρώπους ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας·
25 εἶτα πάλιν ἐπέθηκεν τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐ-
τοῦ καὶ ἐποίησεν˚ αὐτὸν ἀναβλέψαι καὶ ἀπεκατεστάθη καὶ
26 ἐνέβλεψεν τηλαυγῶς ἅπαντας· καὶ ἀπέστειλεν αὐτὸν εἰς
τὸν οἶκον αὐτοῦ λέγων μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς μηδὲ˚
27 εἴπῃς τινὶ ἐν τῇ κώμῃ· καὶ ἐξῆλθεν ὁ ἰησοῦς καὶ οἱ μαθη-
ταὶ αὐτοῦ εἰς τὰς κώμας καισαρείας τῆς φιλίππου καὶ ἐν
τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων αὐτοῖς τίνα με
28 λέγουσιν οἱ ἄνθρωποι εἶναι· οἱ δὲ ἀπεκρίθησαν ἰωάννην
τὸν βαπτιστὴν καὶ ἄλλοι ἠλίαν ἄλλοι δὲ ἕνα τῶν προφητῶν·
29 καὶ αὐτὸς λέγει˚ αὐτοῖς ὑμεῖς δὲ τίνα με λέγετε εἶναι ἀπο-
30 κριθεὶς δὲ˚ ὁ πέτρος λέγει αὐτῷ σὺ εἶ ὁ χριστός· καὶ ἐπετί-
31 μησεν αὐτοῖς ἵνα μηδενὶ λέγωσιν περὶ αὐτοῦ· καὶ ἤρξατο
διδάσκειν αὐτοὺς ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ πα-

---

**v.17** T*: ετι, V: ∅. **v.19** T*: πληρεις κλασματων, V: κλασματων πληρεις. **v.20** T*: δε, V: ∅. **v.20** T*: οι δε ειπον, V: και λεγουσιν [αυτω]. **v.21** T*: πως ου, V: ουπω. **v.22** T*: ερχεται, V: ερχονται. **v.22** TMV: βηθσαιδαν, K: βηθσαιδα. **v.23** T*: εξηγαγεν, V: εξηνεγκεν. **v.23** T*: βλεπει, V: βλεπεις. **v.24** TMV: οτι, K: ∅. **v.24** TMV: ορω, K: ∅. **v.25** T*: εποιησεν αυτον αναβλεψαι, V: διεβλεψεν. **v.25** T*: αποκατεσταθη, V: απεκατεστη. **v.25** TK: ενεβλεψεν, M: ανεβλεψε, V: ενεβλεπεν. **v.25** T*: απαντας, V: απαντα. **v.26** T*: τον, V: ∅. **v.26** T*: μηδε ειπης τινι εν τη κωμη, V: ∅. **v.28** T*: απεκριθησαν, V: ειπαν αυτω λεγοντες [οτι]. **v.28** T*: ενα, V: οτι εις. **v.29** T*: λεγει αυτοις, V: επηρωτα αυτους. **v.29** T*: δε, V: ∅.

θεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων κὰι ἀρχιερέων κὰι γραμματέων καὶ ἀποκτανθῆναι καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι· καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει καὶ 32
προσλαβόμενος αὐτὸν ὁ πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ· ὁ 33
δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ ἐπετίμησεν τῷ πέτρῳ λέγων ὕπαγε ὀπίσω μου σατανᾶ ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων· καὶ προσκαλεσάμε- 34
νος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς ὅστις θέλει ὀπίσω μου ἐλθεῖν ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι· ὃς γὰρ ἂν θέλῃ 35
τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτὴν ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου οὗτος σώσει αὐτήν· τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν 36
κόσμον ὅλον καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ· ἢ τί δώσει 37
ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ· ὃς γὰρ ἂν ἐπαι- 38
σχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων·

Καὶ ἔλεγεν αὐτοῖς ἀμὴν λέγω ὑμῖν ὅτι εἰσίν τινες τῶν **9**
ὧδε ἑστηκότων οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴ- 2
δωσιν τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει· καὶ
μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ ἰησοῦς τὸν πέτρον καὶ τὸν ἰάκωβον καὶ τὸν ἰωάννην καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑ-
ψηλὸν κατ' ἰδίαν μόνους καὶ μετεμορφώθη ἔμπροσθεν αὐ-
τῶν· καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο στίλβοντα λευκὰ λίαν ὡς 3
χιὼν οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύνατὰι λευκᾶναι· καὶ 4

---

**v.31** T*: απο, V: υπο. **v.31** TK: και, MV: και των. **v.32** T*: αυτον ο πετρος, V: ο πετρος αυτον. **v.33** T*: τω πετρω λεγων, V: πετρω και λεγει. **v.34** T*: οστις, V: ει τις. **v.34** TK: ελθειν, MV: ακολουθειν. **v.35** T*: αν, V: εαν. **v.35** T*: απολεση, V: απολεσει. **v.35** TKV: την ψυχην αυτου, M: την εαυτου ψυχην. **v.35** T*: ουτος, V: ∅. **v.36** T*: ωφελησει, V: ωφελει. **v.36** T*: εαν κερδηση, V: κερδησαι. **v.36** T*: ζημιωθη, V: ζημιωθηναι. **v.37** T*: η τι δωσει, V: τι γαρ δοι. **v.38** TK: αν, MV: εαν. **9. v.1** T*: των ωδε, V: ωδε των. **v.2** T*: μεθ, V: μετα. **v.2** TKV: τον, M: ∅. **v.3** TKV: εγενετο, M: εγενοντο. **v.3** T*: ως χιων, V: ∅. **v.3** T*: δυναται, V: δυναται ουτως.

ὤφθη αὐτοῖς ἡλίας σὺν μωσεῖ καὶ ἦσαν συλλαλοῦντες τῷ
5 ἰησοῦ ⸰ καὶ ἀποκριθεὶς ὁ πέτρος λέγει τῷ ἰησοῦ ῥαββὶ κα-
λόν ἐστιν ἡμᾶς ὧδε εἶναι καὶ ποιήσωμεν σκηνὰς˚ τρεῖς σοὶ
6 μίαν καὶ μωσεῖ μίαν καὶ ἡλίᾳ μίαν ⸰ οὐ γὰρ ᾔδει τί λαλή-
7 σῃ˚ ἦσαν γὰρ ἔκφοβοι ⸰ καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα
αὐτοῖς καὶ ἦλθεν φωνὴ ἐκ τῆς νεφέλης λέγουσα οὗτός ἐστιν
8 ὁ υἱός μου ὁ ἀγαπητὸς αὐτοῦ˚ ἀκούετε ⸰ καὶ ἐξάπινα πε-
ριβλεψάμενοι οὐκέτι οὐδένα εἶδον ἀλλὰ τὸν ἰησοῦν μόνον
9 μεθ᾽ ἑαυτῶν ⸰ καταβαινόντων˚ δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους δι-
εστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται˚ ἃ εἶδον εἰ μὴ ὅταν
10 ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ ⸰ καὶ τὸν λόγον ἐ-
κράτησαν πρὸς ἑαυτοὺς συζητοῦντες τί ἐστιν τὸ ἐκ νεκρῶν
11 ἀναστῆναι ⸰ καὶ ἐπηρώτων αὐτὸν λέγοντες ὅτι λέγουσιν οἱ
12 γραμματεῖς ὅτι ἡλίαν δεῖ ἐλθεῖν πρῶτον ⸰ ὁ δὲ ἀποκριθεὶς˚
εἶπεν αὐτοῖς ἡλίας μὲν ἐλθὼν πρῶτον ἀποκαθιστᾷ πάντα
καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἵνα πολλὰ
13 πάθῃ καὶ ἐξουδενωθῇ ⸰ ἀλλὰ λέγω ὑμῖν ὅτι καὶ ἡλίας ἐλή-
λυθεν καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν καθὼς γέγραπται
14 ἐπ᾽ αὐτόν ⸰ καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς εἶδεν ὄχλον πο-
15 λὺν περὶ αὐτοὺς καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς ⸰ καὶ
εὐθέως πᾶς ὁ ὄχλος ἰδὼν˚ αὐτὸν ἐξεθαμβήθη καὶ προστρέ-
16 χοντες ἠσπάζοντο αὐτόν ⸰ καὶ ἐπηρώτησεν τοὺς˚ γραμμα-
17 τεῖς τί συζητεῖτε πρὸς αὐτούς ⸰ καὶ ἀπόκριθεὶς εἷς ἐκ τοῦ ὄ-
χλου εἶπεν διδάσκαλε ἤνεγκα τὸν υἱόν μου πρός σε ἔχοντα
18 πνεῦμα ἄλαλον ⸰ καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ ῥήσσει αὐ-
τὸν καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ καὶ ξηραί-

---

**v.4** TK: μωσει, M: μωση, V: μωυσει. **v.5** T*: σκηνας τρεις, V: τρεις σκηνας. **v.5** TK: μωσει, M: μωση, V: μωυσει. **v.6** TK: λαληση ησαν γαρ εκφοβοι, M: λαλησει ησαν γαρ εκφοβοι, V: αποκριθη εκφοβοι γαρ εγενοντο. **v.7** T*: ηλθεν, V: εγενετο. **v.7** TK: λεγουσα, MV: ∅. **v.7** T*: αυτου ακουετε, V: ακουετε αυτου. **v.9** T*: καταβαινοντων δε, V: και καταβαινοντων. **v.9** T*: απο, V: εκ. **v.9** T*: διηγησωνται α ειδον, V: α ειδον διηγησωνται. **v.12** T*: αποκριθεις ειπεν, V: εφη. **v.12** T*: αποκαθιστα, V: αποκαθιστανει. **v.12** T*: εξουδενωθη, V: εξουδενηθη. **v.13** T*: ηθελησαν, V: ηθελον. **v.14** T*: ελθων, V: ελθοντες. **v.14** T*: ειδεν, V: ειδον. **v.14** T*: αυτοις, V: προς αυτους. **v.15** T*: ευθεως, V: ευθυς. **v.15** T*: ιδων αυτον εξεθαμβηθη, V: ιδοντες αυτον εξεθαμβηθησαν. **v.16** T*: τους γραμματεις, V: αυτους. **v.17** T*: αποκριθεις, V: απεκριθη αυτω. **v.17** T*: ειπεν, V: ∅. **v.18** T*: αν, V: εαν. **v.18** T*: αυτου, V: ∅.

νεται καὶ εἶπὸν τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσιν καὶ
οὐκ ἴσχυσαν ⸰ ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει ὦ γενεὰ ἄπιστος 19
ἕως πότε πρὸς ὑμᾶς ἔσομαι ἕως πότε ἀνέξομαι ὑμῶν φέ-
ρετε αὐτὸν πρός με ⸰ καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτὸν καὶ 20
ἰδὼν αὐτὸν εὐθέως˚ τὸ πνεῦμα ἐσπάραξεν αὐτὸν καὶ πεσὼν
ἐπὶ τῆς γῆς ἐκυλίετο ἀφρίζων ⸰ καὶ ἐπηρώτησεν τὸν πατέρα 21
αὐτοῦ πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ ὁ δὲ εἶπεν
παιδιόθεν ⸰ καὶ πολλάκις αὐτὸν˚ καὶ εἰς πῦρ ἔβαλεν καὶ 22
εἰς ὕδατα ἵνα ἀπολέσῃ αὐτὸν ἀλλ᾽ εἴ τι δύνασαι βοήθησον
ἡμῖν σπλαγχνισθεὶς ἐφ᾽ ἡμᾶς ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτῷ τὸ 23
εἰ δύνασαι˚ πιστεῦσαι πάντα δυνατὰ τῷ πιστεύοντι ⸰ καὶ˚ 24
εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου μετὰ˚ δακρύων ἔλεγεν
πιστεύω κύριε βοήθει μου τῇ ἀπιστίᾳ ⸰ ἰδὼν δὲ ὁ ἰησοῦς 25
ὅτι ἐπισυντρέχει ὄχλος ἐπετίμησεν τῷ πνεύματι τῷ ἀκα-
θάρτῳ λέγων αὐτῷ τὸ˚ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν ἐγώ
σοι˚ ἐπιτάσσω ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐ-
τόν ⸰ καὶ κράξαν καὶ πολλὰ σπαράξαν˚ αὐτὸν ἐξῆλθεν καὶ 26
ἐγένετο ὡσεὶ νεκρὸς ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν ⸰
ὁ δὲ ἰησοῦς κρατήσας αὐτὸν˚ τῆς χειρὸς ἤγειρεν αὐτὸν 27
καὶ ἀνέστη ⸰ καὶ εἰσελθόντα˚ αὐτὸν εἰς οἶκον οἱ μαθηταὶ 28
αὐτοῦ ἐπηρώτων˚ αὐτὸν κατ᾽ ἰδίαν ὅτι ἡμεῖς οὐκ ἠδυνή-
θημεν ἐκβαλεῖν αὐτό ⸰ καὶ εἶπεν αὐτοῖς τοῦτο τὸ γένος ἐν 29
οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ καὶ˚ νηστείᾳ ⸰
καὶ˚ ἐκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς γαλιλαίας 30
καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ ⸰ ἐδίδασκεν γὰρ τοὺς μαθητὰς 31
αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παρα-

**v.18** T*: ειπον, V: ειπα. **v.19** T*: αυτω, V: αυτοις. **v.20** T*: ευθεως το πνευμα, V: το πνευμα ευθυς. **v.20** T*: εσπαραξεν, V: συνεσπαραξεν. **v.21** T*: παιδιοθεν, V: εκ παιδιοθεν. **v.22** TK: αυτον και εις πυρ, M: αυτον και εις το πυρ, V: και εις πυρ αυτον. **v.22** T*: δυνασαι, V: δυνη. **v.23** T*: δυνασαι πιστευσαι, V: δυνη. **v.24** T*: και ευθεως, V: ευθυς. **v.24** T*: μετα δακρυων, V: ∅. **v.24** T*: κυριε, V: ∅. **v.25** T*: το πνευμα το αλαλον και κωφον, V: το αλαλον και κωφον πνευμα. **v.25** T*: σοι επιτασσω, V: επιτασσω σοι. **v.26** T*: κραξαν, V: κραξας. **v.26** T*: σπαραξαν αυτον, V: σπαραξας. **v.26** T*: πολλους, V: τους πολλους. **v.27** T*: αυτον της χειρος, V: της χειρος αυτου. **v.28** T*: εισελθοντα αυτον, V: εισελθοντος αυτου. **v.28** T*: επηρωτων αυτον κατ ιδιαν, V: κατ ιδιαν επηρωτων αυτον. **v.29** T*: και νηστεια, V: ∅. **v.30** T*: και εκειθεν, V: κακειθεν. **v.30** T*: γνω, V: γνοι.

δίδοται εἰς χεῖρας ἀνθρώπων καὶ ἀποκτενοῦσιν αὐτὸν καὶ
32 ἀποκτανθεὶς τῇ˚ τρίτῃ ἡμέρᾳ ἀναστήσεται ⸰ οἱ δὲ ἠγνόουν
33 τὸ ῥῆμα καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι ⸰ καὶ ἦλθεν εἰς
καπ̔ερναοὺμ καὶ ἐν τῇ οἰκίᾳ γενόμενος ἐπηρώτα αὐτοὺς τί
34 ἐν τῇ ὁδῷ πρὸς˚ ἑαυτοὺς διελογίζεσθε ⸰ οἱ δὲ ἐσιώπων πρὸς
35 ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ τίς μείζων ⸰ καὶ κα-
θίσας ἐφώνησεν τοὺς δώδεκα καὶ λέγει αὐτοῖς εἴ τις θέλει
πρῶτος εἶναι ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος ⸰
36 καὶ λαβὼν παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν καὶ ἐναγ-
37 καλισάμενος αὐτὸ εἶπεν αὐτοῖς ⸰ ὃς ἐὰν̓ ἓν τῶν τοιούτων
παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου ἐμὲ δέχεται καὶ ὃς
ἐὰν̓ ἐμὲ δέξ̔ηται οὐκ ἐμὲ δέχεται ἀλλὰ τὸν ἀποστείλαντά
38 με ⸰ ἀπεκρίθη˚ δὲ αὐτῷ ὁ˚ ἰωάννης λέγων διδάσκαλε εἴ-
δομέν τινα τ̔ῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια ὃς˚ οὐκ
ἀκολουθεῖ ἡμῖν καὶ ἐκωλύ̔σαμεν αὐτὸν ὅτι οὐκ ἀκ̔ολουθεῖ
39 ἡμῖν ⸰ ὁ δὲ ἰησοῦς εἶπεν μὴ κωλύετε αὐτὸν οὐδεὶς γάρ ἐ-
στιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου καὶ δυνήσεται
40 ταχὺ κακολογῆσαί με ⸰ ὃς γὰρ οὐκ ἔστιν καθ̓ ὑμῶν ὑπὲρ
41 ὑμῶν ἐστιν ⸰ ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν
τ̔ῷ ὀνόματί μου ὅτι χριστοῦ ἐστε ἀμὴν λέγω ὑμῖν ὀὐ μὴ ἀ-
42 πολέσῃ τὸν μισθὸν αὐτοῦ ⸰ καὶ ὃς ἂν̓ σκανδαλίσῃ ἕνα τῶν
μικρῶν̓ τῶν πιστευόντων εἰς ἐμὲ καλόν ἐστιν αὐτῷ μᾶλλον
εἰ περίκειται λίθος˚ μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ καὶ
43 βέβληται εἰς τὴν θάλασσαν ⸰ καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ
σου ἀπόκοψον αὐτὴν καλόν σοί˚ ἐστιν κυλλὸν εἰς˚ τὴν ζωὴν
εἰσελθεῖν ἢ τὰς δύο χεῖρας ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν
44 εἰς τὸ πῦρ τὸ ἄσβεστον ⸰ ὅπου˚ ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ

---

**v.31** T*: τη τριτη ημερα, V: μετα τρεις ημερας. **v.33** T*: ηλθεν, V: ηλθον. **v.33** T*: καπερναουμ, V: καφαρναουμ. **v.33** T*: προς εαυτους, V: ∅. **v.37** T*: εαν, V: αν. **v.37** T*: δεξηται, V: δεχηται. **v.38** T*: απεκριθη δε, V: εφη. **v.38** TKV: ο, M: ∅. **v.38** T*: λεγων, V: ∅. **v.38** TM: τω, KV: εν τω. **v.38** T*: ος ουκ ακολουθει ημιν, V: ∅. **v.38** T*: εκωλυσαμεν, V: εκωλυομεν. **v.38** T*: ακολουθει, V: ηκολουθει. **v.40** TM: υμων, KV: ημων. **v.41** TK: τω, MV: ∅. **v.41** T*: μου, V: ∅. **v.41** T*: ου, V: οτι ου. **v.42** TKV: αν, M: εαν. **v.42** TM: μικρων, KV: μικρων τουτων. **v.42** T*: λιθος μυλικος, V: μυλος ονικος. **v.43** T*: σοι εστιν, V: εστιν σε. **v.43** T*: εις την ζωην εισελθειν, V: εισελθειν εις την ζωην. **v.44** T*: οπου . . . σβεννυται, V: ∅.

καὶ τὸ πῦρ οὐ σβέννυται ⸰ καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ 45
σε ἀπόκοψον αὐτὸν καλόν ἐστίν σοὶ εἰσελθεῖν εἰς τὴν ζωὴν
χωλὸν ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν
εἰς˚ τὸ πῦρ τὸ ἄσβεστον ⸰ ὅπου˚ ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ 46
καὶ τὸ πῦρ οὐ σβέννυται ⸰ καὶ ἐὰν ὁ ὀφθαλμός σου σκαν- 47
δαλίζῃ σε ἔκβαλε αὐτὸν καλόν σοί ἐστιν μονόφθαλμον εἰσ-
ελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ ἢ δύο ὀφθαλμοὺς ἔχοντα
βληθῆναι εἰς τὴν γέενναν τοῦ˚ πυρός ⸰ ὅπου ὁ σκώληξ αὐ- 48
τῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται ⸰ πᾶς γὰρ πυρὶ 49
ἁλισθήσεται καὶ˚ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται ⸰ καλὸν τὸ 50
ἅλας ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται ἐν τίνι αὐτὸ ἀρτύσετε
ἔχετε ἐν ἑαυτοῖς ἅλας˙ καὶ εἰρηνεύετε ἐν ἀλλήλοις ⸰

Κἀκεῖθεν ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια τῆς ἰουδαίας διὰ˚ **10**
τοῦ πέραν τοῦ ἰορδάνου καὶ συμπορεύονται πάλιν ὄχλοι
πρὸς αὐτὸν καὶ ὡς εἰώθει πάλιν ἐδίδασκεν αὐτούς ⸰ καὶ 2
προσελθόντες οἱ φαρισαῖοι ἐπηρώτησαν αὐτὸν εἰ ἔξεστιν
ἀνδρὶ γυναῖκα ἀπολῦσαι πειράζοντες αὐτόν ⸰ ὁ δὲ ἀποκρι- 3
θεὶς εἶπεν αὐτοῖς τί ὑμῖν ἐνετείλατο μωσῆς ⸰ οἱ δὲ εἶπόν 4
μωσῆς˚ ἐπέτρεψεν βιβλίον ἀποστασίου γράψαι καὶ ἀπο-
λῦσαι ⸰ καὶ˚ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν αὐτοῖς πρὸς τὴν 5
σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην ⸰
ἀπὸ δὲ ἀρχῆς κτίσεως ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς 6
ὁ˚ θεός ⸰ ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα 7
αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυ-
ναῖκα αὐτοῦ ⸰ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν ὥστε οὐ- 8
κέτι εἰσὶν δύο ἀλλὰ μία σάρξ ⸰ ὃ οὖν ὁ θεὸς συνέζευξεν 9
ἄνθρωπος μὴ χωριζέτω ⸰ καὶ ἐν˚ τῇ οἰκίᾳ πάλιν οἱ μαθη- 10
ταὶ αὐτοῦ περὶ τοῦ˚ αὐτοῦ ἐπηρώτησαν αὐτόν ⸰ καὶ λέγει 11

**v.45** T*: σοι, V: σε. **v.45** T*: εις το πυρ το ασβεστον, V: ∅. **v.46** T*: οπου . . . σβεννυται, V: ∅. **v.47** T*: σοι, V: σε. **v.47** T*: του πυρος, V: ∅. **v.49** T*: και πασα θυσια αλι αλισθησεται, V: ∅. **v.50** T*: αλας, V: αλα. **10. v.1** T*: κακειθεν, V: και εκειθεν. **v.1** T*: δια του, V: [και]. **v.2** TK: οι, MV: ∅. **v.2** T*: επηρωτησαν, V: επηρωτων. **v.3** T*: μωσης, V: μωυσης. **v.4** T*: ειπον, V: ειπαν. **v.4** T*: μωσης επετρεψεν, V: επετρεψεν μωυσης. **v.5** T*: και αποκριθεις ο, V: ο δε. **v.6** T*: ο θεος, V: ∅. **v.10** T*: εν τη οικια, V: εις την οικιαν. **v.10** T*: αυτου, V: ∅. **v.10** T*: του αυτου επηρωτησαν, V: τουτου επηρωτων.

αὐτοῖς ὃς ἐὰν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλ-
12 λην μοιχᾶται ἐπ᾽ αὐτήν ⸰ καὶ ἐὰν γυνὴ˚ ἀπολύσῃ τὸν ἄνδρα
13 αὐτῆς καὶ˚ γαμηθῇ ἄλλῳ μοιχᾶται ⸰ καὶ προσέφερον αὐ-
τῷ παιδία ἵνα ἅψηται˚ αὐτῶν οἱ δὲ μαθηταὶ ἐπετίμων˚ τοῖς
14 προσφέρουσιν ⸰ ἰδὼν δὲ ὁ ἰησοῦς ἠγανάκτησεν καὶ εἶπεν
αὐτοῖς ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με κἀὶ μὴ κωλύετε
15 αὐτὰ τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ ⸰ ἀμὴν
λέγω ὑμῖν ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς
16 παιδίον οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν ⸰ καὶ ἐναγκαλισάμενος
17 αὐτὰ ἐτιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτὰ ηὐλόγει˚ αὐτά ⸰ καὶ ἐκπο-
ρευομένου αὐτοῦ εἰς ὁδὸν προσδραμὼν εἷς καὶ γονυπε-
τήσας αὐτὸν ἐπηρώτα αὐτὸν διδάσκαλε ἀγαθὲ τί ποιήσω
18 ἵνα ζωὴν αἰώνιον κληρονομήσω ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτῷ
19 τί με λέγεις ἀγαθὸν οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός ⸰ τὰς
ἐντολὰς οἶδας μὴ˚ μοιχεύσῃς μὴ φονεύσῃς μὴ κλέψῃς μὴ
ψευδομαρτυρήσῃς μὴ ἀποστερήσῃς τίμα τὸν πατέρα σου
20 καὶ τὴν μητέρα ⸰ ὁ δὲ ἀποκριθεὶς˚ εἶπεν αὐτῷ διδάσκαλε
21 ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου ⸰ ὁ δὲ ἰησοῦς
ἐμβλέψας αὐτῷ ἠγάπησεν αὐτὸν καὶ εἶπεν αὐτῷ ἕν ὑοι ὑ-
στερεῖ ὕπαγε ὅσα ἔχεις πώλησον καὶ δὸς τοῖς πτωχοῖς καὶ
ἕξεις θησαυρὸν ἐν οὐρανῷ καὶ δεῦρο ἀκολούθει μοι ἄρας˚
22 τὸν σταυρόν ⸰ ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ ἀπῆλθεν λυπού-
23 μενος ἦν γὰρ ἔχων κτήματα πολλά ⸰ καὶ περιβλεψάμενος
ὁ ἰησοῦς λέγει τοῖς μαθηταῖς αὐτοῦ πῶς δυσκόλως οἱ τὰ
χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελεύσον-
24 ται ⸰ οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ ὁ δὲ
ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς τέκνα πῶς δύσκολόν
ἐστιν τοὺς˚ πεποιθότας ἐπὶ τοῖς χρήμασιν εἰς τὴν βασιλείαν

---

**v.11** T*: εαν, V: αν. **v.12** T*: γυνη απολυση, V: αυτη απολυσασα. **v.12** T*: και γαμηθη αλλω, V: γαμηση αλλον. **v.13** T*: αψηται αυτων, V: αυτων αψηται. **v.13** T*: επετιμων τοις προσφερουσιν, V: επετιμησαν αυτοις. **v.14** TK: και, MV: ∅. **v.15** T*: εαν, V: αν. **v.16** T*: τιθεις, V: κατευλογει τιθεις. **v.16** TK: ηυλογει αυτα, M: ευλογει αυτα, V: ∅. **v.19** T*: μη μοιχευσης μη φονευσης, V: μη φονευσης μη μοιχευσης. **v.20** T*: αποκριθεις ειπεν, V: εφη. **v.21** T*: σοι, V: σε. **v.21** TK: τοις, M: ∅, V: [τοις]. **v.21** T*: αρας τον σταυρον, V: ∅. **v.24** TK: τους πεποιθοτας επι τοις χρημασιν, M: τους πεποιθοτας επι χρημασιν, V: ∅.

τοῦ θεοῦ εἰσελθεῖν ◦ εὐκοπώτερόν ἐστιν κάμηλον διὰ τῆς 25
τρυμαλιᾶς τῆς ῥαφίδος ἐἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βα-
σιλείαν τοῦ θεοῦ εἰσελθεῖν ◦ οἱ δὲ περισσῶς ἐξεπλήσσοντο 26
λέγοντες πρὸς ἑἀυτοὺς καὶ τίς δύναται σωθῆναι ◦ ἐμβλέ- 27
ψας δὲ˚ αὐτοῖς ὁ ἰησοῦς λέγει παρὰ ἀνθρώποις ἀδύνατον
ἀλλ᾽ οὐ παρὰ ϯῷ θεῷ πάντα γὰρ δυνατά ἐὅτιν παρὰ τῷ θε-
ῷ ◦ καὶ ἤρξατο ὁ˚ πέτρος λέγειν αὐτῷ ἰδοὺ ἡμεῖς ἀφήκαμεν 28
πάντα καὶ ἠκολουθήὁαμέν σοι ◦ ἀποκριθεὶς˚ δὲ ὁ ἰησοῦς 29
εἶπεν ἀμὴν λέγω ὑμῖν οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ ἀ-
δελφοὺς ἢ ἀδελφὰς ἢ˚ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα
ἢ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου ◦ ἐὰν μὴ λάβῃ 30
ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ οἰϗίας καὶ ἀδελ-
φοὺς καὶ ἀδελφὰς καὶ μητέρας καὶ τέκνα καὶ ἀγροὺς μετὰ
διωγμῶν καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιοὐ ◦ πολ- 31
λοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ὁἱ ἔσχατοι πρῶτοι ◦ ἦσαν 32
δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς ἱεροσόλυμα καὶ ἦν προάγων
αὐτοὺς ὁ ἰησοῦς καὶ ἐθαμβοῦντο κἀὶ ἀκολουθοῦντες ἐφο-
βοῦντο καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα ἤρξατο αὐτοῖς
λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν ◦ ὅτι ἰδοὺ ἀναβαίνο- 33
μεν εἰς ἱεροσόλυμα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσε-
ται τοῖς ἀρχιερεῦσιν καὶ ϯοῖς γραμματεῦσιν καὶ κατακρι-
νοῦσιν αὐτὸν θανάτῳ καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνε-
σιν ◦ καὶ ἐμπαίξουσιν αὐτῷ καὶ˚ μαστιγώσουσιν αὐτὸν καὶ 34
ἐμπτύσουσιν αὐτῷ καὶ ἀποκτενοῦσιν αὐτὸν καὶ τῇ˚ τρίτῃ
ἡμέρᾳ ἀναστήσεται ◦ καὶ προσπορεύονται αὐτῷ ἰάκωβος 35

**v.25** TM: εισελθειν, KV: διελθειν. **v.26** E: εαυτους, ℵBC: αυτον. **v.27** T*: δε, V: ∅. **v.27** TK: τω, MV: ∅. **v.27** T*: εστιν, V: ∅. **v.28** TK: και, MV: ∅. **v.28** T*: ο πετρος λεγειν, V: λεγειν ο πετρος. **v.28** T*: ηκολουθησαμεν, V: ηκολουθηκαμεν. **v.29** T*: αποκριθεις δε ο ιησους ειπεν, V: εφη ο ιησους. **v.29** T*: η πατερα η μητερα η γυναικα, V: η μητερα η πατερα. **v.29** TK: και, MV: και ενεκεν. **v.30** E: οικιας και αδελφους και αδελφας και μητερας και τεκνα και αγρους μετα διωγμων και, D: ος δε αφηκεν οικιαν και αδελφας και αδελφους και μητερα και τεκνα και αγρους μετα διωγμων. **v.30** E: αιωνιον, D: αιωνιον λημψεται. **v.31** TK: οι, M: ∅, V: [οι]. **v.32** T*: και, V: οι δε. **v.33** TKV: τοις, M: ∅. **v.34** T*: και μαστιγωσουσιν αυτον και εμπτυσουσιν αυτω και αποκτενουσιν αυτον, V: και εμπτυσουσιν αυτω και μαστιγωσουσιν αυτον και αποκτενουσιν. **v.34** T*: τη τριτη ημερα, V: μετα τρεις ημερας.

καὶ ἰωάννης οἱ υἱοὶ ζεβεδαίου λέγοντες διδάσκαλε θέλομεν
36 ἵνα ὃ ἐὰν αἰτήσωμεν ποιήσῃς ἡμῖν ⸰ ὁ δὲ εἶπεν αὐτοῖς τί θέ-
37 λετε ποιῆσαί με ὑμῖν ⸰ οἱ δὲ εἶπόν αὐτῷ δὸς ἡμῖν ἵνα εἷς
ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ
38 δόξῃ σου ⸰ ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς οὐκ οἴδατε τί αἰτεῖσθε
δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω κἀὶ τὸ βάπτισμα ὃ
39 ἐγὼ βαπτίζομαι βαπτισθῆναι ⸰ οἱ δὲ εἶπόν αὐτῷ δυνάμεθα
ὁ δὲ ἰησοῦς εἶπεν αὐτοῖς τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πί-
εσθε καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε ⸰
40 τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου κἀὶ ἐξ εὐωνύμων μόυ οὐκ ἔ-
41 στιν ἐμὸν δοῦναι ἀλλ᾽ οἷς ἡτοίμασται ⸰ καὶ ἀκούσαντες οἱ
42 δέκα ἤρξαντο ἀγανακτεῖν περὶ ἰακώβου καὶ ἰωάννου ⸰ ὁ
δὲ ἰησοῦς προσκαλεσάμενος αὐτοὺς λέγει αὐτοῖς οἴδατε
ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν
43 καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν ⸰ οὐχ οὕτως
δὲ ἔστἀι ἐν ὑμῖν ἀλλ᾽ ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑ-
44 μῖν ἔσται διάκονος ὑμῶν ⸰ καὶ ὃς ἂν θέλῃ ὑμῶν γενέσθαι
45 πρῶτος ἔσται πάντων δοῦλος ⸰ καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώ-
που οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι
46 τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν ⸰ καὶ ἔρχονται εἰς
ἱεριχὼ καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ ἱεριχὼ καὶ τῶν μα-
θητῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ ὑἱὸς τιμαίου βαρτίμαιος ὁ
47 τυφλὸς ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν ⸰ καὶ ἀκούσας
ὅτι ἰησοῦς ὁ ναζῶραῖός ἐστιν ἤρξατο κράζειν καὶ λέγειν ὁ
48 υἱὸς δαβὶδ ἰησοῦ ἐλέησόν με ⸰ καὶ ἐπετίμων αὐτῷ πολλοὶ
ἵνα σιωπήσῃ ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν υἱὲ δαβὶδ ἐλέ-

---

**v.35** T*: λεγοντες, V: λεγοντες αυτω. **v.35** T*: αιτησωμεν, V: αιτησωμεν σε. **v.36** T*: ποιησαι με, V: [με] ποιησω. **v.37** T*: ειπον, V: ειπαν. **v.37** T*: εκ δεξιων σου και εις εξ ευωνυμων σου, V: σου εκ δεξιων και εις εξ αριστερων. **v.38** T*: και, V: η. **v.39** T*: ειπον, V: ειπαν. **v.39** T*: μεν, V: ∅. **v.40** T*: και, V: η. **v.40** TK: μου, MV: ∅. **v.42** T*: ο δε ιησους προσκαλεσαμενος αυτους, V: και προσκαλεσαμενος αυτους ο ιησους. **v.43** T*: εσται, V: εστιν. **v.43** T*: εαν, V: αν. **v.43** T*: γενεσθαι μεγας, V: μεγας γενεσθαι. **v.43** TK: διακονος υμων, MV: υμων διακονος. **v.44** TKV: αν, M: εαν. **v.44** T*: υμων γενεσθαι, V: εν υμιν ειναι. **v.46** T*: υιος, V: ο υιος. **v.46** T*: ο, V: ∅. **v.46** T*: εκαθητο παρα την οδον προσαιτων, V: προσαιτης εκαθητο παρα την οδον. **v.47** T*: ναζωραιος, V: ναζαρηνος. **v.47** T*: ο υιος δαβιδ, V: υιε δαυιδ. **v.48** T*: δαβιδ, V: δαυιδ.

ησόν με· καὶ στὰς ὁ ἰησοῦς εἶπεν αὐτὸν˚ φωνηθῆναι καὶ 49
φωνοῦσιν τὸν τυφλὸν λέγοντες αὐτῷ θάρσει ἔγειραὶ φωνεῖ
σε· ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀναστὰς ἦλθεν πρὸς 50
τὸν ἰησοῦν· καὶ ἀποκριθεὶς λέγει˚ αὐτῷ ὁ ἰησοῦς τί θέλεις˚ 51
ποιήσω σοὶ ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ ῥαββόνὶ ἵνα ἀναβλέψω·
ὁ˚ δὲ ἰησοῦς εἶπεν αὐτῷ ὕπαγε ἡ πίστις σου σέσωκέν σε 52
καὶ εὐθέὼς ἀνέβλεψεν καὶ ἠκολούθει τῷ˚ ἰησοῦ ἐν τῇ ὁδῷ·

Καὶ ὅτε ἐγγίζουσιν εἰς ἱεροὐσαλὴμ εἰς βηθφαγὴ καὶ βη- **11**
θανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν ἀποστέλλει δύο τῶν μα-
θητῶν αὐτοῦ· καὶ λέγει αὐτοῖς ὑπάγετε εἰς τὴν κώμην τὴν 2
κατέναντι ὑμῶν καὶ εὐθέὼς εἰσπορευόμενοι εἰς αὐτὴν εὑ-
ρήσετε πῶλον δεδεμένον ἐφ᾽ ὃν οὐδεὶς ἀνθρώπων˚ κεκά-
θικεν λύσαντες αὐτὸν ἀγάγετε· καὶ ἐάν τις ὑμῖν εἴπῃ τί 3
ποιεῖτε τοῦτο εἴπατε ὅτὶ ὁ κύριος αὐτοῦ χρείαν ἔχει καὶ
εὐθέὼς αὐτὸν ἀποστελὲῖ ὧδε· ἀπῆλθον˚ δὲ καὶ εὗρον τὸν 4
πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου καὶ
λύουσιν αὐτόν· καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐ- 5
τοῖς τί ποιεῖτε λύοντες τὸν πῶλον· οἱ δὲ εἶπὸν αὐτοῖς καθὼς 6
ἐνεἶείλατο ὁ ἰησοῦς καὶ ἀφῆκαν αὐτούς· καὶ ἤγαγον τὸν 7
πῶλον πρὸς τὸν ἰησοῦν καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐ-
τῶν καὶ ἐκάθισεν ἐπ᾽ αὐτῷ· πολλοὶ˚ δὲ τὰ ἱμάτια αὐτῶν 8
ἔστρωσαν εἰς τὴν ὁδὸν ἄλλοι δὲ στοιβάδας˚ ἔκοπτον ἐκ τῶν
δένδρων καὶ ἐστρώννυον εἰς τὴν ὁδόν· καὶ οἱ προάγοντες 9
καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες ὡσαννὰ εὐλογημέ-
νος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· εὐλογημένη ἡ ἐρχο- 10

**v.49** T*: αυτον φωνηθηναι, V: φωνησατε αυτον. **v.49** T*: εγειραι, V: εγειρε. **v.50** T*: αναστας, V: αναπηδησας. **v.51** T*: λεγει αυτω ο ιησους, V: αυτω ο ιησους ειπεν. **v.51** T*: θελεις ποιησω σοι, V: σοι θελεις ποιησω. **v.51** TK: ραββονι, MV: ραββουνι. **v.52** T*: ο δε, V: και ο. **v.52** T*: ευθεως, V: ευθυς. **v.52** T*: τω ιησου, V: αυτω. **11. v.1** T*: ιερουσαλημ, V: ιεροσολυμα. **v.1** TKV: βηθφαγη, M: βηθσφαγη. **v.2** T*: ευθεως, V: ευθυς. **v.2** T*: ανθρωπων κεκαθικεν λυσαντες αυτον αγαγετε, V: ουπω ανθρωπων εκαθισεν λυσατε αυτον και φερετε. **v.3** T*: οτι, V: ∅. **v.3** T*: ευθεως, V: ευθυς. **v.3** TK: αποστελει, M: αποστελλει, V: αποστελλει παλιν. **v.4** T*: απηλθον δε, V: και απηλθον. **v.4** TK: τον, MV: ∅. **v.4** T*: την, V: ∅. **v.6** T*: ειπον, V: ειπαν. **v.6** T*: ενετειλατο, V: ειπεν. **v.7** T*: ηγαγον, V: φερουσιν. **v.7** T*: επεβαλον, V: επιβαλλουσιν. **v.7** T*: αυτω, V: αυτον. **v.8** T*: πολλοι δε, V: και πολλοι. **v.8** T*: στοιβαδας εκοπτον εκ των δενδρων και εστρωννυον εις την οδον, V: στιβαδας κοψαντες εκ των αγρων. **v.9** T*: λεγοντες, V: ∅.

μένη βασιλεία ἐν̓ ὀνόματι κυρίου τοῦ πατρὸς ἡμῶν δαβὶδ
11 ὡσαννὰ ἐν τοῖς ὑψίστοις ◦ καὶ εἰσῆλθεν εἰς ἱεροσόλυμα ὁ˚
ἰησοῦς καὶ εἰς τὸ ἱερὸν καὶ περιβλεψάμενος πάντα ὀψίας
ἤδη οὔσης τῆς ὥρας ἐξῆλθεν εἰς βηθανίαν μετὰ τῶν δώ-
12 δεκα ◦ καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ βηθανίας
13 ἐπείνασεν ◦ καὶ ἰδὼν συκῆν μακρόθεν ἔχουσαν φύλλα ἦλ-
θεν εἰ ἄρα εὑρήσει˚ τι ἐν αὐτῇ καὶ ἐλθὼν ἐπ̓ αὐτὴν οὐδὲν
14 εὗρεν εἰ μὴ φύλλα οὐ˚ γὰρ ἦν καιρὸς σύκων ◦ καὶ ἀπο-
κριθεὶς ὁ˚ ἰησοῦς εἶπεν αὐτῇ μηκέτι ἐκ˚ σοῦ εἰς τὸν αἰῶνα
15 μηδεὶς καρπὸν φάγοι καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ ◦ καὶ
ἔρχονται εἰς ἱεροσόλυμα καὶ εἰσελθὼν ὁ˚ ἰησοῦς εἰς τὸ ἱερὸν
ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ
ἱερῷ καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας
16 τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψεν ◦ καὶ οὐκ ἤ-
17 φιεν ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ ◦ καὶ ἐδίδασκεν
λέγων αὐτοῖς οὐ γέγραπται ὅτι ὁ οἶκός μου οἶκος προσευ-
χῆς κληθήσεται πᾶσιν τοῖς ἔθνεσιν ὑμεῖς δὲ ἐποιήσατε αὐ-
18 τὸν σπήλαιον λῃστῶν ◦ καὶ ἤκουσαν οἱ γραμματεῖς˚ καὶ οἱ
ἀρχιερεῖς καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν ἐφοβοῦντο
γὰρ αὐτὸν ὅτι˚ πᾶς ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ
19 αὐτοῦ ◦ καὶ ὅτε ὀψὲ ἐγένετο ἐξεπορεύετο ἔξω τῆς πόλεως ◦
20 καὶ πρωῒ˚ παραπορευόμενοι εἶδον τὴν συκῆν ἐξηραμμένην
21 ἐκ ῥιζῶν ◦ καὶ ἀναμνησθεὶς ὁ πέτρος λέγει αὐτῷ ῥαββί ἴδε
22 ἡ συκῆ ἣν κατηράσω ἐξήρανται ◦ καὶ ἀποκριθεὶς ἰησοῦς
23 λέγει αὐτοῖς ἔχετε πίστιν θεοῦ ◦ ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι ὃς
ἂν εἴπῃ τῷ ὄρει τούτῳ ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασ-

---

**v.10** T*: εν ονοματι κυριου, V: ∅. **v.10** T*: δαβιδ, V: δαυιδ. **v.11** T*: ο ιησους και, V: ∅. **v.13** T*: μακροθεν, V: απο μακροθεν. **v.13** T*: ευρησει τι, V: τι ευρησει. **v.13** T*: ου γαρ ην καιρος, V: ο γαρ καιρος ουκ ην. **v.14** T*: ο ιησους, V: ∅. **v.14** T*: εκ σου εις τον αιωνα, V: εις τον αιωνα εκ σου. **v.15** T*: ο ιησους, V: ∅. **v.15** T*: αγοραζοντας, V: τους αγοραζοντας. **v.17** T*: λεγων, V: και ελεγεν. **v.17** T*: εποιησατε, V: πεποιηκατε. **v.18** T*: γραμματεις και οι αρχιερεις, V: αρχιερεις και οι γραμματεις. **v.18** TK: απολεσουσιν, MV: απολεσωσιν. **v.18** T*: οτι πας, V: πας γαρ. **v.19** T*: οτε, V: οταν. **v.19** T*: εξεπορευετο, V: εξεπορευοντο. **v.20** T*: πρωι παραπορευομενοι, V: παραπορευομενοι πρωι. **v.22** TK: ιησους, MV: ο ιησους. **v.22** E: εχετε, ℵD: ει εχετε. **v.23** T*: γαρ, V: ∅.

σαν καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ ἀλλὰ πιστεύῃ
ὅτι ἃ λέγει γίνεται ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ · διὰ τοῦτο λέγω 24
ὑμῖν πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε πιστεύετε ὅτι
λαμβάνετε καὶ ἔσται ὑμῖν · καὶ ὅταν στήκητε προσευχόμε- 25
νοι ἀφίετε εἴτι ἔχετε κατά τινος ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ
ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν · εἰ δὲ 26
ὑμεῖς οὐκ ἀφίετε οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς
ἀφήσει τὰ παραπτώματα ὑμῶν · καὶ ἔρχονται πάλιν εἰς ἰ- 27
εροσόλυμα καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ ἔρχονται
πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρε-
σβύτεροι · καὶ λέγουσιν αὐτῷ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς 28
καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν ἵνα ταῦτα ποιῇς · ὁ 29
δὲ ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς ἐπερωτήσω ὑμᾶς κἀγὼ
ἕνα λόγον καὶ ἀποκρίθητέ μοι καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξου-
σίᾳ ταῦτα ποιῶ · τὸ βάπτισμα ἰωάννου ἐξ οὐρανοῦ ἦν ἢ ἐξ 30
ἀνθρώπων ἀποκρίθητέ μοι · καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς 31
λέγοντες ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ ἐρεῖ διατί οὖν οὐκ ἐπι-
στεύσατε αὐτῷ · ἀλλ᾽ ἐὰν εἴπωμεν ἐξ ἀνθρώπων ἐφοβοῦντο 32
τὸν λαὸν ἅπαντες γὰρ εἶχον τὸν ἰωάννην ὅτι ὄντως προφή-
της ἦν · καὶ ἀποκριθέντες λέγουσιν τῷ ἰησοῦ οὐκ οἴδαμεν 33
καὶ ὁ ἰησοῦς ἀποκριθεὶς λέγει αὐτοῖς οὐδὲ ἐγὼ λέγω ὑμῖν
ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ ·

Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν ἀμπελῶνα ἐφύ- **12**
τευσεν ἄνθρωπος καὶ περιέθηκεν φραγμὸν καὶ ὤρυξεν ὑ-
πολήνιον καὶ ᾠκοδόμησεν πύργον καὶ ἐξέδοτο αὐτὸν γεωρ-
γοῖς καὶ ἀπεδήμησεν · καὶ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς 2

---

**v.23** T*: πιστευση, V: πιστευη. **v.23** T*: α λεγει, V: ο λαλει. **v.23** T*: ο εαν ειπη, V: ∅. **v.24** T*: αν προσευχομενοι, V: προσευχεσθε και. **v.24** TKV: αιτεισθε, M: αιτησθε. **v.24** T*: λαμβανετε, V: ελαβετε. **v.25** T*: στηκητε, V: στηκετε. **v.25** T: ειτι, KMV: ει τι. **v.26** T*: ει . . . παραπτωματα υμων, V: ∅. **v.28** T*: λεγουσιν, V: ελεγον. **v.28** T*: και, V: η. **v.28** T*: την εξουσιαν ταυτην εδωκεν, V: εδωκεν την εξουσιαν ταυτην. **v.29** T*: αποκριθεις, V: ∅. **v.29** TK: καγω, M: και εγω, V: ∅. **v.30** T*: ιωαννου, V: το ιωαννου. **v.31** T*: ελογιζοντο, V: διελογιζοντο. **v.31** TK: διατι, MV: δια τι. **v.32** TK: αλλ εαν, M: αλλ, V: αλλα. **v.32** T*: λαον, V: οχλον. **v.32** T*: οτι οντως, V: οντως οτι. **v.33** T*: λεγουσιν τω ιησου, V: τω ιησου λεγουσιν. **v.33** T*: αποκριθεις, V: ∅. **12. v.1** T*: λεγειν, V: λαλειν. **v.1** T*: εφυτευσεν ανθρωπος, V: ανθρωπος εφυτευσεν. **v.1** T*: εξεδοτο, V: εξεδετο.

τῷ καιρῷ δοῦλον ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ˙
3 καρποῦ τοῦ ἀμπελῶνος ◦ οἱ˙ δὲ λαβόντες αὐτὸν ἔδειραν καὶ
4 ἀπέστειλαν κενόν ◦ καὶ πάλιν ἀπέστειλεν πρὸς αὐτοὺς ἄλ-
λον δοῦλον κἀκεῖνον λιθοβολήσαντες˙ ἐκεφαλαίωσαν καὶ
5 ἀπέστειλαν ἠτιμωμένον ◦ καὶ πάλιν ἄλλον ἀπέστειλεν κἀ-
κεῖνον ἀπέκτειναν καὶ πολλοὺς ἄλλους τοὺς μὲν δέροντες
6 τοὺς δὲ ἀποκτείνοντες ◦ ἔτι οὖν ἕνα υἱὸν˙ ἔχων ἀγαπητὸν
αὐτοῦ˙ ἀπέστειλεν καὶ αὐτὸν πρὸς αὐτοὺς ἔσχατον λέγων
7 ὅτι ἐντραπήσονται τὸν υἱόν μου ◦ ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶ-
πον˙ πρὸς ἑαυτοὺς ὅτι οὗτός ἐστιν ὁ κληρονόμος δεῦτε
8 ἀποκτείνωμεν αὐτὸν καὶ ἡμῶν ἔσται ἡ κληρονομία ◦ καὶ
λαβόντες αὐτὸν˙ ἀπέκτειναν καὶ ἐξέβαλον ἔξω τοῦ ἀμπελῶ-
9 νος ◦ τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος ἐλεύσεται καὶ
ἀπολέσει τοὺς γεωργοὺς καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις ◦
10 οὐδὲ τὴν γραφὴν ταύτην ἀνέγνωτε λίθον ὃν ἀπεδοκίμα-
σαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας ◦
11 παρὰ κυρίου ἐγένετο αὕτη καὶ ἔστιν θαυμαστὴ ἐν ὀφθαλ-
12 μοῖς ἡμῶν ◦ καὶ ἐζήτουν αὐτὸν κρατῆσαι καὶ ἐφοβήθησαν
τὸν ὄχλον ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶ-
13 πεν καὶ ἀφέντες αὐτὸν ἀπῆλθον ◦ καὶ ἀποστέλλουσιν πρὸς
αὐτόν τινας τῶν φαρισαίων καὶ τῶν ἡρωδιανῶν ἵνα αὐτὸν ἀ-
14 γρεύσωσιν λόγῳ ◦ οἱ˙ δὲ ἐλθόντες λέγουσιν αὐτῷ διδάσκαλε
οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ οὐ μέλει σοι περὶ οὐδενὸς οὐ γὰρ
βλέπεις εἰς πρόσωπον ἀνθρώπων ἀλλ᾽ ἐπ᾽ ἀληθείας τὴν ὁ-
δὸν τοῦ θεοῦ διδάσκεις ἔξεστιν κῆνσον˙ καίσαρι δοῦναι ἢ
15 οὔ ◦ δῶμεν ἢ μὴ δῶμεν ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν
εἶπεν αὐτοῖς τί με πειράζετε φέρετέ μοι δηνάριον ἵνα ἴδω ◦
16 οἱ δὲ ἤνεγκαν καὶ λέγει αὐτοῖς τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ

---

**v.2** T*: του καρπου, V: των καρπων. **v.3** T*: οι δε, V: και. **v.4** T*: λιθοβολησαντες εκεφαλαιωσαν και απεστειλαν ητιμωμενον, V: εκεφαλιωσαν και ητιμασαν. **v.5** T*: παλιν, V: ∅. **v.5** T*: τους, V: ους. **v.5** TK: αποκτεινοντες, M: αποκτενοντες, V: αποκτεννοντες. **v.6** T*: ουν, V: ∅. **v.6** T*: υιον εχων, V: ειχεν υιον. **v.6** T*: αυτου απεστειλεν και αυτον προς αυτους εσχατον, V: απεστειλεν αυτον εσχατον προς αυτους. **v.7** T*: ειπον προς εαυτους, V: προς εαυτους ειπαν. **v.8** T*: αυτον απεκτειναν και εξεβαλον, V: απεκτειναν αυτον και εξεβαλον αυτον. **v.14** T*: οι δε, V: και. **v.14** T*: κηνσον καισαρι δουναι, V: δουναι κηνσον καισαρι.

ἐπιγραφὴ οἱ δὲ εἶπὸν αὐτῷ καίσαρος ◦ καὶ˚ ἀποκριθεὶς ὁ 17
ἰησοῦς εἶπεν αὐτοῖς ἀπόδοτε˚ τὰ καίσαρος καίσαρι καὶ τὰ
τοῦ θεοῦ τῷ θεῷ καὶ ἐθαύμαὸαν ἐπ᾽ αὐτῷ ◦ καὶ ἔρχονται 18
σαδδουκαῖοι πρὸς αὐτὸν οἵτινες λέγουσιν ἀνάστασιν μὴ
εἶναι καὶ ἐπηρώτηὸαν αὐτὸν λέγοντες ◦ διδάσκαλε μωὸῆς 19
ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ καὶ καταλί-
πῃ γυναῖκα καὶ τέκνα˚ μὴ ἀφῇ ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ
τὴν γυναῖκα αὐ῎τοῦ καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐ-
τοῦ ◦ ἑπ῎τὰ ἀδελφοὶ ἦσαν καὶ ὁ πρῶτος ἔλαβεν γυναῖκα καὶ 20
ἀποθνήσκων οὐκ ἀφῆκεν σπέρμα ◦ καὶ ὁ δεύτερος ἔλαβεν 21
αὐτὴν καὶ ἀπέθανεν καὶ˚ οὐδὲ αὐτὸς ἀφῆκεν σπέρμα καὶ
ὁ τρίτος ὡσαύτως ◦ καὶ ἔλαβον˚ αὐτὴν οἱ ἑπτὰ καὶ οὐκ ἀ- 22
φῆκαν σπέρμα ἐσχάτῃ πάντων ἀπέθανεν˚ καὶ ἡ γυνή ◦ ἐν 23
τῇ οὖ῎ν ἀναστάσει ὅταν ἀναστῶσιν τίνος αὐτῶν ἔσται γυνὴ
οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα ◦ καὶ˚ ἀποκριθεὶς ὁ ἰη- 24
σοῦς εἶπεν αὐτοῖς οὐ διὰ τοῦτο πλανᾶσθε μὴ εἰδότες τὰς
γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ ◦ ὅταν γὰρ ἐκ νεκρῶν 25
ἀναστῶσιν οὔτε γαμοῦσιν οὔτε γαμί῎σκονται ἀλλ᾽ εἰσὶν ὡς
ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς ◦ περὶ δὲ τῶν νεκρῶν ὅτι ἐγεί- 26
ρονται οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ μωὸέως ἐπὶ τῆ῍ς βάτου
ὡ῍ς εἶπεν αὐτῷ ὁ θεὸς λέγων ἐγὼ ὁ˚ θεὸς ἀ῍βραὰμ καὶ ὁ˚
θεὸς ἰσαὰκ καὶ ὁ˚ θεὸς ἰακώ῍β ◦ οὐκ ἔστιν ὁ˚ θεὸς νεκρῶν 27
ἀλλὰ θ῎εὸς ζώντων ὑμεῖς˚ οὖ῎ν πολὺ πλανᾶσθε ◦ καὶ προσ- 28
ελθὼν εἷ῍ς τῶν γραμματέων ἀκούσας αὐτῶν συζητούντων
εἰδὼ῍ς ὅτι καλῶς αὐτοῖς˚ ἀπεκρίθη ἐπηρώτησεν αὐτὸν ποία

---

**v.16** T*: ειπον, V: ειπαν. **v.17** T*: και αποκριθεις ο, V: ο δε. **v.17** T*: αποδοτε τα καισαρος, V: τα καισαρος αποδοτε. **v.17** T*: εθαυμασαν, V: εξεθαυμαζον. **v.18** T*: επηρωτησαν, V: επηρωτων. **v.19** T*: μωσης, V: μωυσης. **v.19** T*: τεκνα μη αφη, V: μη αφη τεκνον. **v.19** T*: αυτου, V: ∅. **v.20** TMV: επτα, K: επτα ουν. **v.21** T*: και ουδε αυτος αφηκεν, V: μη καταλιπων. **v.22** T*: ελαβον αυτην οι επτα και, V: οι επτα. **v.22** T*: εσχατη, V: εσχατον. **v.22** T*: απεθανεν και η γυνη, V: και η γυνη απεθανεν. **v.23** TK: ουν, MV: ∅. **v.24** T*: και αποκριθεις ο ιησους ειπεν αυτοις, V: εφη αυτοις ο ιησους. **v.25** T*: γαμισκονται, V: γαμιζονται. **v.25** T*: οι, V: ∅. **v.26** T*: μωσεως, V: μωυσεως. **v.26** TK: της, MV: του. **v.26** T*: ως, V: πως. **v.26** E: ο, D: ∅. **v.26** T*: ο, V: [ο], BD: ∅. **v.26** T*: ο, V: [ο], BD: ∅. **v.27** T*: ο, V: ∅. **v.27** T*: θεος, V: ∅. **v.27** T*: υμεις ουν, V: ∅. **v.28** T*: ειδως, V: ιδων. **v.28** T*: αυτοις απεκριθη, V: απεκριθη αυτοις.

29 ἐστὶν πρώτη˚ πασῶν ἐντολή. ὁ˚ δὲ ἰησοῦς ἀπεκρίθη αὐτῷ
ὅτι πρώτη πασῶν˚ τῶν ἐντολῶν ἄκουε ἰσραὴλ κύριος ὁ θεὸς
30 ἡμῶν κύριος εἷς ἐστίν. καὶ ἀγαπήσεις κύριον τὸν θεόν σου
ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ
ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου αὕτη˚
31 πρώτη ἐντολή. καὶ˚ δευτέρα ὁμοία αὕτη ἀγαπήσεις τὸν
πλησίον σου ὡς σεαυτὸν μείζων τούτων ἄλλη ἐντολὴ οὐκ
32 ἔστιν. καὶ εἶπεν αὐτῷ ὁ γραμματεὺς καλῶς διδάσκαλε ἐπ᾽
ἀληθείας εἶπας ὅτι εἷς ἐστιν θεὸς καὶ οὐκ ἔστιν ἄλλος πλὴν
33 αὐτοῦ. καὶ τὸ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ
ὅλης τῆς συνέσεως καὶ˚ ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς
ἰσχύος καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν πλεῖόν ἐστιν
34 πάντων τῶν ὁλοκαυτωμάτων καὶ τῶν θυσιῶν. καὶ ὁ ἰησοῦς
ἰδὼν αὐτὸν ὅτι νουνεχῶς ἀπεκρίθη εἶπεν αὐτῷ οὐ μακρὰν
εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ καὶ οὐδεὶς οὐκέτι ἐτόλμα
35 αὐτὸν ἐπερωτῆσαι. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς ἔλεγεν διδά-
σκων ἐν τῷ ἱερῷ πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι ὁ χριστὸς
36 υἱός ἐστιν˚ δαβίδ. αὐτὸς γὰρ δαβὶδ εἶπεν ἐν τῷ πνεύματι
τῷ ἁγίῳ εἶπεν ὁ˚ κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν
μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
37 σου. αὐτὸς οὖν δαβὶδ λέγει αὐτὸν κύριον καὶ πόθεν υἱ-
ὸς˚ αὐτοῦ ἐστιν καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως.
38 καὶ ἔλεγεν˚ αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ βλέπετε ἀπὸ τῶν
γραμματέων τῶν θελόντων ἐν στολαῖς περιπατεῖν καὶ ἀσπα-
39 σμοὺς ἐν ταῖς ἀγοραῖς. καὶ πρωτοκαθεδρίας ἐν ταῖς συνα-
40 γωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις. οἱ κατεσθίοντες
τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμε-

---

**v.28** ΤΚ: πρωτη πασων εντολη, Μ: πρωτη παντων εντολη, V: εντολη πρωτη παντων. **v.29** T*: ο δε ιησους απεκριθη αυτω, V: απεκριθη ο ιησους. **v.29** ΤΚ: πασων των εντολων, Μ: παντων των εντολων, V: εστιν. **v.30** T*: αυτη πρωτη εντολη, V: ∅. **v.31** T*: και δευτερα ομοια, V: δευτερα. **v.32** T*: ειπας, V: ειπες. **v.32** ΤΚ: θεος, ΜV: ∅. **v.33** T*: και εξ ολης της ψυχης, V: ∅. **v.33** T*: πλειον, V: περισσοτερον. **v.33** ΤΚ: των, ΜV: ∅. **v.35** T*: εστιν δαβιδ, V: δαυιδ εστιν. **v.36** T*: γαρ, V: ∅. **v.36** T*: δαβιδ, V: δαυιδ. **v.36** ΤΚV: τω, Μ: ∅. **v.36** ΤΚV: ειπεν, Μ: λεγει. **v.36** T*: ο, V: ∅. **v.36** T*: υποποδιον, V: υποκατω. **v.37** T*: ουν, V: ∅. **v.37** T*: δαβιδ, V: δαυιδ. **v.37** T*: υιος αυτου εστιν, V: αυτου εστιν υιος. **v.38** T*: ελεγεν αυτοις εν τη διδαχη αυτου, V: εν τη διδαχη αυτου ελεγεν.

νοι οὗτοι λήψονται περισσότερον κρίμα· καὶ καθίσας ὁ 41
Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου ἐθεώρει πῶς ὁ ὄχλος
βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον καὶ πολλοὶ πλούσιοι
ἔβαλλον πολλά· καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλεν λε- 42
πτὰ δύο ὅ ἐστιν κοδράντης· καὶ προσκαλεσάμενος τοὺς 43
μαθητὰς αὐτοῦ λέγει αὐτοῖς ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα
αὕτη ἡ πτωχὴ πλεῖον πάντων βέβληκεν τῶν βαλόντων εἰς
τὸ γαζοφυλάκιον· πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐ- 44
τοῖς ἔβαλον αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα
εἶχεν ἔβαλεν ὅλον τὸν βίον αὐτῆς·

Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ λέγει αὐτῷ εἷς **13**
τῶν μαθητῶν αὐτοῦ διδάσκαλε ἴδε ποταποὶ λίθοι καὶ ποτα-
παὶ οἰκοδομαί· καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ βλέ- 2
πεις ταύτας τὰς μεγάλας οἰκοδομὰς οὐ μὴ ἀφεθῇ λίθος°
ἐπὶ λίθῳ ὃς οὐ μὴ καταλυθῇ· καὶ καθημένου αὐτοῦ εἰς 3
τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ ἐπηρώτων αὐτὸν
κατ᾽ ἰδίαν πέτρος καὶ ἰάκωβος καὶ ἰωάννης καὶ ἀνδρέας·
εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ 4
πάντα° ταῦτα συντελεῖσθαι· ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς° αὐ- 5
τοῖς ἤρξατο λέγειν βλέπετε μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ 6
γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι
καὶ πολλοὺς πλανήσουσιν· ὅταν δὲ ἀκούσητε πολέμους 7
καὶ ἀκοὰς πολέμων μὴ θροεῖσθε δεῖ γὰρ γενέσθαι ἀλλ᾽
οὔπω τὸ τέλος· ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βα- 8
σιλεία ἐπὶ βασιλείαν κἀὶ ἔσονται σεισμοὶ κατὰ τόπους κἀὶ
ἔσονται λιμοὶ καὶ° ταραχαὶ ἀρχαὶ ὠδίνων ταῦτα· βλέπετε 9
δὲ ὑμεῖς ἑαυτοὺς παραδώσουσιν γὰρ ὑμᾶς εἰς συνέδρια
καὶ εἰς συναγωγὰς δαρήσεσθε καὶ ἐπὶ ἡγεμόνων καὶ βασι-

**v.40** T*: ληψονται, V: λημψονται. **v.41** T*: ο ιησους, V: ∅. **v.43** T*: λεγει, V: ειπεν. **v.43** T*: βεβληκεν, V: εβαλεν. **v.43** TK: βαλοντων, MV: βαλλοντων. **13. v.2** T*: αποκριθεις, V: ∅. **v.2** T*: λιθος επι λιθω, V: ωδε λιθος επι λιθον. **v.3** T*: επηρωτων, V: επηρωτα. **v.4** T*: ειπε, V: ειπον. **v.4** T*: παντα ταυτα συντελεισθαι, V: ταυτα συντελεισθαι παντα. **v.5** T*: αποκριθεις αυτοις ηρξατο λεγειν, V: ηρξατο λεγειν αυτοις. **v.6** T*: γαρ, V: ∅. **v.7** T*: γαρ, V: ∅. **v.8** T*: επι, V: επ. **v.8** T*: και, V: ∅. **v.8** T*: και, V: ∅. **v.8** T*: και ταραχαι αρχαι, V: αρχη. **v.9** T*: γαρ, V: ∅.

10 λέων ὁταθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς ◦ καὶ
εἰς πάντα τὰ ἔθνη δεῖ˚ πρῶτον κηρυχθῆναι τὸ εὐαγγέλιον ◦
11 ὅταν˚ δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες μὴ προμεριμνᾶτε τί
λαλήσητε μηδὲ˚ μελετᾶτε ἀλλ᾽ ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ
τῇ ὥρᾳ τοῦτο λαλεῖτε οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες ἀλλὰ
12 τὸ πνεῦμα τὸ ἅγιον ◦ παραδώσει˚ δὲ ἀδελφὸς ἀδελφὸν εἰς
θάνατον καὶ πατὴρ τέκνον καὶ ἐπαναστήσονται τέκνα ἐπὶ
13 γονεῖς καὶ θανατώσουσιν αὐτούς ◦ καὶ ἔσεσθε μισούμενοι
ὑπὸ πάντων διὰ τὸ ὄνομά μου ὁ δὲ ὑπομείνας εἰς τέλος οὗ-
14 τος σωθήσεται ◦ ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως
τὸ˚ ῥηθὲν ὑπὸ δανιὴλ τοῦ προφήτου ἑστὸς ὅπου οὐ δεῖ ὁ
ἀναγινώσκων νοείτῳ τότε οἱ ἐν τῇ ἰουδαίᾳ φευγέτωσαν εἰς
15 τὰ ὄρη ◦ ὁ δὲ ἐπὶ τοῦ δώματος μὴ καταβάτω εἰς˚ τὴν οἰκίαν
16 μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ ◦ καὶ ὁ εἰς τὸν
ἀγρὸν ὢν˙ μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον
17 αὐτοῦ ◦ οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλα-
18 ζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις ◦ προσεύχεσθε δὲ ἵνα μὴ
19 γένηται˚ ἡ φυγὴ ὑμῶν χειμῶνος ◦ ἔσονται γὰρ αἱ ἡμέραι
ἐκεῖναι θλίψις οἵα οὐ γέγονεν τοιαύτη ἀπ᾽ ἀρχῆς κτίσεως
20 ἧ˙ς ἔκτισεν ὁ θεὸς ἕως τοῦ νῦν καὶ οὐ μὴ γένηται ◦ καὶ εἰ μὴ
κύριος˚ ἐκολόβωσεν τὰς ἡμέρας οὐκ ἂν ἐσώθη πᾶσα σάρξ
ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο ἐκολόβωσεν τὰς ἡ-
21 μέρας ◦ καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ ἰδοὺ ὧδε ὁ χριστὸς ἢ˚
22 ἰδοὺ ἐκεῖ μὴ πιστεύσητε ◦ ἐγερθήσονται γὰρ ψευδόχριστοι
καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα καὶ τέρατα πρὸς
23 τὸ ἀποπλανᾶν εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς ◦ ὑμεῖς δὲ
24 βλέπετε ἰδοὺ προείρηκα ὑμῖν πάντα ◦ ἀλλ᾽ ἐν ἐκείναις ταῖς

---

**v.9** TMV: σταθησεσθε, K: αχθησεσθε. **v.10** T*: δει πρωτον, V: πρωτον δει. **v.11** T*: οταν δε αγαγωσιν, V: και οταν αγωσιν. **v.11** T*: μηδε μελετατε, V: ∅. **v.12** T*: παραδωσει δε, V: και παραδωσει. **v.14** T*: το ρηθεν υπο δανιηλ του προφητου, V: ∅. **v.14** T: εστος, MK: εστως, V: εστηκοτα. **v.14** E: νοειτω, D: νοειτω τι αναγινωσκει. **v.15** T*: εις την οικιαν, V: ∅. **v.15** T*: εισελθετω, V: εισελθατω. **v.16** T*: ων, V: ∅. **v.18** T*: γενηται η φυγη υμων χειμωνος, V: γενηται χειμωνος, D: χειμωνος γενωνται. **v.19** T*: ης, V: ην. **v.20** T*: κυριος εκολοβωσεν, V: εκολοβωσεν κυριος. **v.21** T*: ιδου, V: ιδε. **v.21** T*: η ιδου, V: ιδε. **v.21** TK: πιστευσητε, MV: πιστευετε. **v.22** T*: και, V: ∅. **v.23** T*: ιδου, V: ∅. **v.24** T*: αλλ, V: αλλα.

ἡμέραις μετὰ τὴν θλῖψιν ἐκείνην ὁ ἥλιος σκοτισθήσεται καὶ
ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς· καὶ οἱ ἀστέρες τοῦ 25
οὐρανοῦ ἔσονται ἐκπίπτοντες καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς
οὐρανοῖς σαλευθήσονται· καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ 26
ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως πολλῆς
καὶ δόξης· καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ καὶ 27
ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων
ἀπ᾽ ἄκρου γῆς ἕως ἄκρου οὐρανοῦ· ἀπὸ δὲ τῆς συκῆς 28
μάθετε τὴν παραβολήν· ὅταν αὐτῆς ἤδη ὁ κλάδος ἁπαλὸς
γένηται καὶ ἐκφύῃ τὰ φύλλα γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος
ἐστίν· οὕτως καὶ ὑμεῖς ὅταν ταῦτα ἴδητε γινόμενα γινώ- 29
σκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις· ἀμὴν λέγω ὑμῖν ὅτι οὐ 30
μὴ παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις οὗ πάντα ταῦτα γένη-
ται· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται οἱ δὲ λόγοι μου 31
οὐ μὴ παρέλθωσιν· περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς 32
ὥρας οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ οὐδὲ ὁ υἱ-
ὸς εἰ μὴ ὁ πατήρ· βλέπετε ἀγρυπνεῖτε καὶ προσεύχεσθε 33
οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν· ὡς ἄνθρωπος ἀπόδη- 34
μος ἀφεὶς τὴν οἰκίαν αὐτοῦ καὶ δοὺς τοῖς δούλοις αὐτοῦ
τὴν ἐξουσίαν καὶ ἑκάστῳ τὸ ἔργον αὐτοῦ καὶ τῷ θυρωρῷ
ἐνετείλατο ἵνα γρηγορῇ· γρηγορεῖτε οὖν οὐκ οἴδατε γὰρ 35
πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται ὀψὲ ἢ μεσονυκτίου ἢ
ἀλεκτοροφωνίας ἢ πρωΐ· μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς 36
καθεύδοντας· ἃ δὲ ὑμῖν λέγω πᾶσιν λέγω γρηγορεῖτε· 37

**14** Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας καὶ ἐ-
ζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ
κρατήσαντες ἀποκτείνωσιν· ἔλεγον δὲ μὴ ἐν τῇ ἑορτῇ μή- 2
ποτε θόρυβος ἔσται τοῦ λαοῦ· καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ 3

**v.25** T*: του ουρανου εσονται εκπιπτοντες, V: εσονται εκ του ουρανου πιπτοντες. **v.27** T*: αυτου, V: ∅. **v.28** T*: αυτης ηδη ο κλαδος, V: ηδη ο κλαδος αυτης. **v.29** T*: ταυτα ιδητε, V: ιδητε ταυτα. **v.30** T*: παντα ταυτα, V: ταυτα παντα. **v.31** ΤΚV: παρελευσονται, M: παρελευσεται. **v.31** T*: παρελθωσιν, V: παρελευσονται. **v.32** ΤΚ: και της, M: η, V: η της. **v.32** T*: οι, V: ∅. **v.33** T*: και προσευχεσθε, V: ∅. **v.34** T*: και, V: ∅. **v.35** T*: οψε η μεσονυκτιου, V: η οψε η μεσονυκτιον. **v.37** T*: α, V: ο. **14. v.2** T*: δε, V: γαρ. **v.2** T*: θορυβος εσται, V: εσται θορυβος.

ἐν τῇ οἰκίᾳ σίμωνος τοῦ λεπροῦ κατακειμένου αὐτοῦ ἦλθεν
γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτε-
λοῦς καὶ συντρίψασα τὸ ἀλάβαστρον κατέχεεν αὐτοῦ κατὰ
4 τῆς κεφαλῆς ◦ ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτοὺς
καὶ˚ λέγοντες εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν ◦
5 ἠδύνατο γὰρ τοῦτο πραθῆναι ἐπάνω τριακοσίων˚ δηναρίων
6 καὶ δοθῆναι τοῖς πτωχοῖς καὶ ἐνεβριμῶντο αὐτῇ ◦ ὁ δὲ ἰ-
ησοῦς εἶπεν ἄφετε αὐτὴν τί αὐτῇ κόπους παρέχετε καλὸν
7 ἔργον ἠργάσατο εἰς˚ ἐμέ ◦ πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε
μεθ᾽ ἑαυτῶν καὶ ὅταν θέλητε δύνασθε αὐτοὺς εὖ ποιῆσαι ἐ-
8 μὲ δὲ οὐ πάντοτε ἔχετε ◦ ὃ εἶχεν˚ αὕτη ἐποίησεν προέλαβεν
9 μυρίσαι μου˚ τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν ◦ ἀμὴν λέγω
ὑμῖν ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν
κόσμον καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυ-
10 νον αὐτῆς ◦ καὶ ὁ˚ ἰούδας ὁ ἰσκαριώτης εἷς τῶν δώδεκα ἀ-
11 πῆλθεν πρὸς τοὺς ἀρχιερεῖς ἵνα παραδῷ˚ αὐτὸν αὐτοῖς ◦ οἱ
δὲ ἀκούσαντες ἐχάρησαν καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον
12 δοῦναι καὶ ἐζήτει πῶς εὐκαίρως˚ αὐτὸν παραδῷ ◦ καὶ τῇ
πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων ὅτε τὸ πάσχα ἔθυον λέγουσιν αὐ-
τῷ οἱ μαθηταὶ αὐτοῦ ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν
13 ἵνα φάγῃς τὸ πάσχα ◦ καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐ-
τοῦ καὶ λέγει αὐτοῖς ὑπάγετε εἰς τὴν πόλιν καὶ ἀπαντήσει
ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων ἀκολουθήσατε
14 αὐτῷ ◦ καὶ ὅπου ἐὰν εἰσέλθῃ εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι
ὁ διδάσκαλος λέγει ποῦ ἐστιν τὸ κατάλυμά ὅπου τὸ πά-
15 σχα μετὰ τῶν μαθητῶν μου φάγω ◦ καὶ αὐτὸς ὑμῖν δείξει
ἀνώγεον μέγα ἐστρωμένον ἕτοιμον ἐκεῖ ἑτοιμάσατε ἡμῖν ◦

---

**v.3** T*: και, V: ∅. **v.3** T*: το, V: την. **v.3** T*: κατα, V: ∅. **v.4** T*: και λεγοντες, V: ∅. **v.5** T*: τουτο, V: τουτο το μυρον. **v.5** T*: τριακοσιων δηναριων, V: δηναριων τριακοσιων. **v.6** T*: ειργασατο, V: ηργασατο. **v.6** TK: εις εμε, MV: εν εμοι. **v.7** T*: αυτους, V: αυτοις. **v.8** TK: ειχεν αυτη, M: εσχεν αυτη, V: εσχεν. **v.8** T*: μου το σωμα, V: το σωμα μου. **v.9** TK: αμην, MV: αμην δε. **v.9** TK: αν, MV: εαν. **v.9** T*: τουτο, V: ∅. **v.10** T*: ο ιουδας ο ισκαριωτης, V: ιουδας ισκαριωθ ο. **v.10** T*: παραδω αυτον, V: αυτον παραδοι. **v.11** T*: ευκαιρως αυτον παραδω, V: αυτον ευκαιρως παραδοι. **v.12** TKV: ετοιμασωμεν, M: ετοιμασομεν. **v.14** T*: καταλυμα, V: καταλυμα μου. **v.15** T*: ανωγεον, V: αναγαιον. **v.15** T*: εκει, V: και εκει.

καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἦλθον εἰς τὴν πόλιν καὶ 16
εὗρον καθὼς εἶπεν αὐτοῖς καὶ ἡτοίμασαν τὸ πάσχα ⸰ καὶ 17
ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα ⸰ καὶ ἀνακειμέ- 18
νων αὐτῶν καὶ ἐσθιόντων εἶπεν˚ ὁ ἰησοῦς ἀμὴν λέγω ὑμῖν
ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με ὁ ἐσθίων μετ᾽ ἐμοῦ ⸰ οἱ˚ δὲ 19
ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς καθ᾽˚ εἷς μή τι ἐγὼ
καὶ ἄλλος μή τι ἐγώ ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς εἷς ἐκ 20
τῶν δώδεκα ὁ ἐμβαπτόμενος μετ᾽ ἐμοῦ εἰς τὸ τρυβλίον ⸰ ὁ˚ 21
μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐ-
τοῦ οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου
παραδίδοται καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος
ἐκεῖνος ⸰ καὶ ἐσθιόντων αὐτῶν λαβὼν ὁ˚ ἰησοῦς ἄρτον εὐλο- 22
γήσας ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς καὶ εἶπεν λάβετε φάγετε
τοῦτό ἐστιν τὸ σῶμά μου ⸰ καὶ λαβὼν τὸ ποτήριον εὐχα- 23
ριστήσας ἔδωκεν αὐτοῖς καὶ ἔπιον ἐξ αὐτοῦ πάντες ⸰ καὶ 24
εἶπεν αὐτοῖς τοῦτό ἐστιν τὸ αἷμά μου τὸ˚ τῆς καινῆς δια-
θήκης τὸ περὶ˚ πολλῶν ἐκχυνόμενον ⸰ ἀμὴν λέγω ὑμῖν ὅτι 25
οὐκέτι˚ οὐ μὴ πίω ἐκ τοῦ γενήματος τῆς ἀμπέλου ἕως
τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ
τοῦ θεοῦ ⸰ καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν ⸰ 26
καὶ λέγει αὐτοῖς ὁ ἰησοῦς ὅτι πάντες σκανδαλισθήσεσθε ἐν˚ 27
ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ ὅτι γέγραπται πατάξω τὸν ποιμένα
καὶ διασκορπισθήσεται˚ τὰ πρόβατα ⸰ ἀλλὰ μετὰ τὸ ἐγερ- 28
θῆναί με προάξω ὑμᾶς εἰς τὴν γαλιλαίαν ⸰ ὁ δὲ πέτρος ἔφη 29
αὐτῷ καὶ˚ εἰ πάντες σκανδαλισθήσονται ἀλλ᾽ οὐκ ἐγώ ⸰ καὶ 30
λέγει αὐτῷ ὁ ἰησοῦς ἀμὴν λέγω σοι ὅτι σήμερον ἐν˚ τῇ νυκτὶ

---

**v.16** T*: αυτου, V: ∅. **v.18** T*: ειπεν ο ιησους, V: ο ιησους ειπεν. **v.19** T*: οι δε, V: ∅. **v.19** TK: καθ εις μη τι εγω και αλλος μη τι, M: καθ εις μητι εγω και αλλος μητι, V: κατα εις μητι. **v.20** T*: αποκριθεις, V: ∅. **v.20** T*: εκ, V: ∅. **v.21** T*: ο, V: οτι ο. **v.21** T*: ην, V: ∅. **v.22** T*: ο ιησους, V: ∅. **v.22** T*: φαγετε, V: ∅. **v.23** T*: το, V: ∅. **v.24** T*: το της καινης, V: της. **v.24** T*: περι πολλων εκχυνομενον, V: εκχυννομενον υπερ πολλων. **v.25** E: ουκετι ου μη πιω, ℵC: ου μη πιω, D: ου μη προσθω πειν, F: ουκετι ου μη προσθωμεν πιειν. **v.25** TK: γεννηματος, MV: γενηματος. **v.27** T*: εν εμοι εν τη νυκτι ταυτη, V: ∅. **v.27** T*: διασκορπισθησεται τα προβατα, V: τα προβατα διασκορπισθησονται. **v.29** T*: και ει, V: ει και. **v.30** TK: οτι, MV: οτι συ. **v.30** T*: εν τη νυκτι ταυτη, V: ταυτη τη νυκτι.

31 ταύτῃ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ᾽ με ⸰ ὁ
δὲ ἐκ᾽ περισσοῦ ἔλεγεν μᾶλλον ἐάν με᾽ δέῃ συναποθανεῖν
σοι οὐ μή σε ἀπαρνήσ̣ο̣μαι ὡσαύτως δὲ καὶ πάντες ἔλεγον ⸰
32 καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα γεθσημανῆ καὶ λέ-
γει τοῖς μαθηταῖς αὐτοῦ καθίσατε ὧδε ἕως προσεύξωμαι ⸰
33 καὶ παραλαμβάνει τὸν πέτρον καὶ τὸν ἰάκωβον καὶ ἰ̣ω̣άννην
34 μεθ᾽᾽ ἑαυτοῦ καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν ⸰ καὶ
λέγει αὐτοῖς περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου μεί-
35 νατε ὧδε καὶ γρηγορεῖτε ⸰ καὶ προελθὼν μικρὸν ἔπεσεν ἐ-
πὶ τῆς γῆς καὶ προσηύχετο ἵνα εἰ δυνατόν ἐστιν παρέλθῃ
36 ἀπ᾽ αὐτοῦ ἡ ὥρα ⸰ καὶ ἔλεγεν ἀββᾶ ὁ πατὴρ πάντα δυνατά
σοι παρένεγκε τὸ ποτήριον ἀπ᾽᾽ ἐμοῦ τοῦτο ἀλλ᾽ οὐ τί ἐγὼ
37 θέλω ἀλλὰ τί σύ ⸰ καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύ-
δοντας καὶ λέγει τῷ πέτρῳ σίμων καθεύδεις οὐκ ἴσχυσας
38 μίαν ὥραν γρηγορῆσαι ⸰ γρηγορεῖτε καὶ προσεύχεσθε ἵνα
μὴ εἰσέλθητε εἰς πειρασμὸν τὸ μὲν πνεῦμα πρόθυμον ἡ δὲ
39 σὰρξ ἀσθενής ⸰ καὶ πάλιν ἀπελθὼν προσηύξατο τὸν αὐτὸν
40 λόγον εἰπών ⸰ καὶ ὑποστρέψας᾽ εὗρεν αὐτοὺς πάλιν κα-
θεύδοντας ἦσαν γὰρ οἱ᾽ ὀφθαλμοὶ αὐτῶν βεβαρημένοι καὶ
41 οὐκ ᾔδεισαν τί αὐτῷ᾽ ἀποκριθῶσιν ⸰ καὶ ἔρχεται τὸ τρίτον
καὶ λέγει αὐτοῖς καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε᾽ ἀ-
πέχει ἦλθεν ἡ ὥρα ἰδοὺ παραδίδοτ̣ὰ̣ι ὁ υἱὸς τοῦ ἀνθρώπου
42 εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν ⸰ ἐγείρεσθε ἄγωμεν ἰδοὺ ὁ
43 παραδιδούς με ἤγγικεν ⸰ καὶ εὐθέως ἔτι αὐτοῦ λαλοῦντ-
τος παραγίνεται ἰούδας εἷς ὢν̓ τῶν δώδεκα καὶ μετ᾽ αὐτοῦ
ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων παρὰ τῶν ἀρχιε-

---

**v.30** T*: απαρνηση με, V: με απαρνηση. **v.31** T*: εκ περισσου ελεγεν μαλλον, V: εκπερισσως ελαλει. **v.31** T*: με δεη, V: δεη με. **v.31** TKV: απαρνησομαι, M: απαρνησωμαι. **v.32** T*: γεθσημανη, V: γεθσημανι. **v.33** TK: τον, M: ∅, V: [τον]. **v.33** T*: ιωαννην, V: [τον] ιωαννην. **v.33** T*: μεθ εαυτου, V: μετ αυτου. **v.35** TKV: προελθων, M: προσελθων. **v.35** T*: επεσεν, V: επιπτεν. **v.36** T*: απ εμου τουτο, V: τουτο απ εμου. **v.38** T*: εισελθητε, V: ελθητε. **v.40** T*: υποστρεψας ευρεν αυτους παλιν, V: παλιν ελθων ευρεν αυτους. **v.40** T*: οι οφθαλμοι αυτων βεβαρημενοι, V: αυτων οι οφθαλμοι καταβαρυνομενοι. **v.40** T*: αυτω αποκριθωσιν, V: αποκριθωσιν αυτω. **v.41** TKV: το, M: ∅. **v.41** E: αναπαυεσθε απεχει ηλθεν η ωρα, D: αναπαεσθαι απεχει το τελος και η ωρα. **v.41** E: παραδιδοται, D: παραδιδοτε. **v.43** T*: ευθεως, V: ευθυς. **v.43** T*: ων, V: ∅. **v.43** T*: πολυς, V: ∅.

ρέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων ◦ δεδώκει 44
δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς λέγων ὃν ἂν φι-
λήσω αὐτός ἐστιν κρατήσατε αὐτὸν καὶ ἀπαγάγετε ἀσφα-
λῶς ◦ καὶ ἐλθὼν εὐθέως προσελθὼν αὐτῷ λέγει ῥαββὶ ῥαββὶ 45
καὶ κατεφίλησεν αὐτόν ◦ οἱ δὲ ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖ- 46
ρας αὐτῶν καὶ ἐκράτησαν αὐτόν ◦ εἷς δέ τις τῶν παρεστη- 47
κότων σπασάμενος τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ
ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον ◦ καὶ ἀποκριθεὶς ὁ 48
ἰησοῦς εἶπεν αὐτοῖς ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν
καὶ ξύλων συλλαβεῖν με ◦ καθ᾽ ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν 49
τῷ ἱερῷ διδάσκων καὶ οὐκ ἐκρατήσατέ με ἀλλ᾽ ἵνα πληρω-
θῶσιν αἱ γραφαί ◦ καὶ ἀφέντες αὐτὸν πάντες ἔφυγον ◦ καὶ 50, 51
εἷς τις νεανίσκος ἠκολούθει αὐτῷ περιβεβλημένος σινδόνα
ἐπὶ γυμνοῦ καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι ◦ ὁ δὲ κα- 52
ταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν ἀπ᾽ αὐτῶν ◦ καὶ ἀπή- 53
γαγον τὸν ἰησοῦν πρὸς τὸν ἀρχιερέα καὶ συνέρχονται αὐτῷ
πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς ◦ καὶ ὁ πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως 54
ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως καὶ ἦν συγκαθήμενος
μετὰ τῶν ὑπηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς ◦ οἱ 55
δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ ἰη-
σοῦ μαρτυρίαν εἰς τὸ θανατῶσαι αὐτὸν καὶ οὐχ ἥὑρισκον ◦
πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ᾽ αὐτοῦ καὶ ἴσαι αἱ μαρ- 56
τυρίαι οὐκ ἦσαν ◦ καί τινες ἀναστάντες ἐψευδομαρτύρουν 57
κατ᾽ αὐτοῦ λέγοντες ◦ ὅτι ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγον- 58
τος ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον
καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω ◦
καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν ◦ καὶ ἀναστὰς 59, 60

**v.44** T*: απαγαγετε, V: απαγετε. **v.45** T*: ευθεως, V: ευθυς. **v.45** TKV: λεγει, M: λεγει αυτω. **v.45** T*: ραββι, V: ∅. **v.46** T*: επ αυτον, V: ∅. **v.46** T*: αυτων, V: αυτω. **v.47** T*: ωτιον, V: ωταριον. **v.48** T*: εξηλθετε, V: εξηλθατε. **v.50** T*: παντες εφυγον, V: εφυγον παντες. **v.51** T*: εις τις νεανισκος, V: νεανισκος τις. **v.51** TK: ηκολουθει, M: ηκολουθησεν, V: συνηκολουθει. **v.51** T*: οι νεανισκοι, V: ∅. **v.52** T*: απ αυτων, V: ∅. **v.53** T*: αυτω, V: ∅. **v.53** E: οι πρεσβυτεροι και οι γραμματεις, D: γραμματεις και πρεσβυτεροι. **v.55** T*: ευρισκον, V: ηυρισκον.

ὁ ἀρχιερεὺς εἰς τὸ μέσον ἐπηρώτησεν τὸν ἰησοῦν λέγων
61 οὐκ ἀποκρίνῃ οὐδὲν τί οὗτοί σου καταμαρτυροῦσιν ◦ ὁ δὲ
ἐσιώπα καὶ οὐδὲν˚ ἀπεκρίνατο πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα
αὐτὸν καὶ λέγει αὐτῷ σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ εὐλογητοῦ ◦
62 ὁ δὲ ἰησοῦς εἶπεν ἐγώ εἰμι καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώ-
που καθήμενον˚ ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον
63 μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ◦ ὁ δὲ ἀρχιερεὺς διαρρήξας
τοὺς χιτῶνας αὐτοῦ λέγει τί ἔτι χρείαν ἔχομεν μαρτύρων ◦
64 ἠκούσατε τῆς βλασφημίας τί ὑμῖν φαίνεται οἱ δὲ πάντες
65 κατέκριναν αὐτὸν εἶναι˚ ἔνοχον θανάτου ◦ καὶ ἤρξαντό τι-
νες ἐμπτύειν αὐτῷ καὶ περικαλύπτειν τὸ˚ πρόσωπον αὐτοῦ
καὶ κολαφίζειν αὐτὸν καὶ λέγειν αὐτῷ προφήτευσον καὶ
66 οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλλον ◦ καὶ ὄντος τοῦ
πέτρου ἐν˚ τῇ αὐλῇ κάτω ἔρχεται μία τῶν παιδισκῶν τοῦ
67 ἀρχιερέως ◦ καὶ ἰδοῦσα τὸν πέτρον θερμαινόμενον ἐμβλέ-
ψασα αὐτῷ λέγει καὶ σὺ μετὰ τοῦ ναζαρηνοῦ ἰησοῦ˚ ἦσθα ◦
68 ὁ δὲ ἠρνήσατο λέγων οὐκ οἶδα οὐδὲ ἐπίσταμαι τί˚ σὺ λέγεις
καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον καὶ ἀλέκτωρ ἐφώνησεν ◦
69 καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν πάλιν˚ ἤρξατο λέγειν τοῖς πα-
70 ρεστῶσιν ὅτι οὗτος ἐξ αὐτῶν ἐστιν ◦ ὁ δὲ πάλιν ἠρνεῖτο
καὶ μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ πέτρῳ ἀ-
ληθῶς ἐξ αὐτῶν εἶ καὶ γὰρ γαλιλαῖος εἶ καὶ˚ ἡ λαλιά σου
71 ὁμοιάζει ◦ ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ
72 οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε ◦ καὶ ἐκ δευτέρου ἀ-
λέκτωρ ἐφώνησεν καὶ ἀνεμνήσθη ὁ πέτρος τοῦ˚ ῥήματος
οὗ εἶπεν αὐτῷ ὁ ἰησοῦς ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δὶς
ἀπαρνήσῃ˚ με τρὶς καὶ ἐπιβαλὼν ἔκλαιεν ◦

---

**v.60** TK: το, MV: ∅. **v.61** T*: ουδεν απεκρινατο, V: ουκ απεκρινατο ουδεν. **v.62** TK: καθημενον εκ δεξιων, MV: εκ δεξιων καθημενον. **v.64** T*: ειναι ενοχον, V: ενοχον ειναι. **v.65** T*: το προσωπον αυτου, V: αυτου το προσωπον. **v.65** T*: εβαλλον, V: ελαβον. **v.66** T*: εν τη αυλη κατω, V: κατω εν τη αυλη. **v.67** T*: ιησου ησθα, V: ησθα του ιησου. **v.68** T*: ουκ, V: ουτε. **v.68** TK: ουδε, MV: ουτε. **v.68** T*: τι συ, V: συ τι. **v.69** T*: παλιν ηρξατο, V: ηρξατο παλιν. **v.69** T*: παρεστηκοσιν, V: παρεστωσιν. **v.70** T*: και η λαλια σου ομοιαζει, V: ∅. **v.71** TK: ομνυειν, MV: ομνυναι. **v.72** T*: και, V: και ευθυς. **v.72** TK: του ρηματος ου, M: το ρημα ο, V: το ρημα ως. **v.72** T*: απαρνηση με τρις, V: τρις με απαρνηση.

Καὶ εὐθέως˚ ἐπὶ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρ- **15**
χιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων καὶ ὅλον τὸ
συνέδριον δήσαντες τὸν ἰησοῦν ἀπήνεγκαν καὶ παρέδωκαν
τῷ̃ πιλάτῳ. καὶ ἐπηρώτησεν αὐτὸν ὁ πιλάτος σὺ εἶ ὁ βασι- 2
λεὺς τῶν ἰουδαίων ὁ δὲ ἀποκριθεὶς εἶπεν˚ αὐτῷ̃ σὺ λέγεις.
καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πόλλά. ὁ δὲ πιλά- 3, 4
τος πάλιν ἐπηρώτη̃σεν αὐτὸν λέγων οὐκ ἀποκρίνῃ οὐδὲν
ἴδε πόσα σου καταμ̔αρτυροῦσιν. ὁ δὲ ἰησοῦς οὐκέτι οὐ- 5
δὲν ἀπεκρίθη ὥστε θαυμάζειν τὸν πιλάτον. κατὰ δὲ ἑορτὴν 6
ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον ὅνπερ˚ ἠτοῦντο. ἦν δὲ ὁ λεγό- 7
μενος βαραββᾶς μετὰ τῶν σ̔υστασιαστῶν δεδεμένος οἵτινες
ἐν τῇ̃ στάσει φόνον πεποιήκεισαν. καὶ ἀναβ̔ήσας ὁ ὄχλος 8
ἤρξατο αἰτεῖσθαι καθὼς ἀεὶ ἐποίει αὐτοῖς. ὁ δὲ πιλάτος 9
ἀπεκρίθη αὐτοῖς λέγων θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα
τῶν ἰουδαίων. ἐγίνωσκεν γὰρ ὅτι διὰ φθόνον παραδεδώ- 10
κεισαν αὐτὸν οἱ ἀρχιερεῖς. οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν 11
ὄχλον ἵνα μᾶλλον τὸν βαραββᾶν ἀπολύσῃ αὐτοῖς. ὁ δὲ 12
πιλάτος ἀποκριθεὶς˚ πάλιν εἶπεν αὐτοῖς τί οὖν θέλετε ποι-
ήσω ὃν λέγετε βᾰσιλέα τῶν ἰουδαίων. οἱ δὲ πάλιν ἔκραξαν 13
σταύρωσον αὐτόν. ὁ δὲ πιλάτος ἔλεγεν αὐτοῖς τί γὰρ κα- 14
κὸν˚ ἐποίησεν οἱ δὲ περισσοτ̔έρως ἔκραξαν σταύρωσον αὐ-
τόν. ὁ δὲ πιλάτος βουλόμενος τῷ̃ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι 15
ἀπέλυσεν αὐτοῖς τὸν βαραββᾶν καὶ παρέδωκεν τὸν ἰησοῦν
φραγελλώσας ἵνα σταυρωθῇ̃. οἱ δὲ στρατιῶται ἀπήγαγον 16
αὐτὸν ἔσω τῆς αὐλῆς ὅ ἐστιν πραιτώριον καὶ συγκαλοῦ-
σιν ὅλην τὴν σπεῖραν. καὶ ἐνδύ̔ουσιν αὐτὸν πορφύραν καὶ 17
περιτιθέασιν αὐτῷ̃ πλέξαντες ἀκάνθινον στέφανον. καὶ ἤρ- 18
ξαντο ἀσπάζεσθαι αὐτὸν χαῖρε βᾰσιλεῦ τῶν ἰουδαίων. καὶ 19

**15. v.1** T*: ευθεως επι το, V: ευθυς. **v.1** T*: τω, V: ∅. **v.2** T*: ειπεν αυτω, V: αυτω λεγει. **v.3** TMV: πολλα, K: πολλα αυτος δε ουδεν απεκρινατο. **v.4** T*: επηρωτησεν, V: επηρωτα. **v.4** T*: καταμαρτυρουσιν, V: κατηγορουσιν. **v.6** T*: ονπερ ητουντο, V: ον παρητουντο. **v.7** T*: συστασιαστων, V: στασιαστων. **v.8** T*: αναβοησας, V: αναβας. **v.8** T*: αει, V: ∅. **v.12** T*: αποκριθεις παλιν ειπεν, V: παλιν αποκριθεις ελεγεν. **v.12** T*: βασιλεα, V: τον βασιλεα. **v.14** T*: κακον εποιησεν, V: εποιησεν κακον. **v.14** T*: περισσοτερως, V: περισσως. **v.17** T*: ενδυουσιν, V: ενδιδυσκουσιν. **v.18** TKV: βασιλευ, M: ο βασιλευς.

ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ
20 καὶ τιθέντες τὰ γόνατα προσεκύνουν αὐτῷ ◦ καὶ ὅτε ἐνέ-
παιξαν αὐτῷ ἐξέδυσαν αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν
αὐτὸν τὰ ἱμάτια τὰ˚ ἴδια καὶ ἐξάγουσιν αὐτὸν ἵνα σταυρώ-
21 σωσιν αὐτόν ◦ καὶ ἀγγαρεύουσιν παράγοντά τινα σίμωνα
κυρηναῖον ἐρχόμενον ἀπ᾽ ἀγροῦ τὸν πατέρα ἀλεξάνδρου
22 καὶ ῥούφου ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ ◦ καὶ φέρουσιν
αὐτὸν ἐπὶ γολγοθᾶ τόπον ὅ ἐστιν μεθερμηνευόμενον κρα-
23 νίου τόπος ◦ καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον
24 ὁ˚ δὲ οὐκ ἔλαβεν ◦ καὶ σταυρώσαντες αὐτὸν διεμέριζον τὰ
25 ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἐπ᾽ αὐτὰ τίς τί ἄρῃ ◦ ἦν
26 δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν ◦ καὶ ἦν ἡ ἐπιγραφὴ
τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη ὁ βασιλεὺς τῶν ἰουδαίων ◦
27 καὶ σὺν αὐτῷ σταυροῦσιν δύο λῃστὰς ἕνα ἐκ δεξιῶν καὶ ἕνα
28 ἐξ εὐωνύμων αὐτοῦ ◦ καὶ˚ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα
29 καὶ μετὰ ἀνόμων ἐλογίσθη ◦ καὶ οἱ παραπορευόμενοι ἐ-
βλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέ-
γοντες οὐὰ ὁ καταλύων τὸν ναὸν καὶ ἐν˚ τρισὶν ἡμέραις
30 οἰκοδομῶν ◦ σῶσον σεαυτὸν καὶ˚ κατάβα ἀπὸ τοῦ σταυ-
31 ροῦ ◦ ὁμοίως δὲ˚ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλή-
λους μετὰ τῶν γραμματέων ἔλεγον ἄλλους ἔσωσεν ἑαυτὸν
32 οὐ δύναται σῶσαι ◦ ὁ χριστὸς ὁ βασιλεὺς τοῦ ἰσραὴλ κα-
ταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ ἵνα ἴδωμεν καὶ πιστεύσωμεν
33 καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνείδιζον αὐτόν ◦ γενομέ-
νης˚ δὲ ὥρας ἕκτης σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως
34 ὥρας ἐνάτης ◦ καὶ τῇ ὥρᾳ˚ τῇ ἐννάτῃ ἐβόησεν ὁ ἰησοῦς
φωνῇ μεγάλῃ λέγων ἐλωΐ ἐλωΐ λαμμᾶ σαβαχθανὶ ὅ ἐστιν με-

---

**v.20** T*: τα ιδια, V: αυτου. **v.22** T*: γολγοθα, V: τον γολγοθαν. **v.23** T*: πιειν, V: ∅. **v.23** T*: ο, V: ος. **v.24** T*: σταυρωσαντες, V: σταυρουσιν. **v.24** TK: διεμεριζον, M: διαμεριζονται, V: και διαμεριζονται. **v.28** T*: και . . . ελογισθη, V: ∅. **v.29** T*: εν τρισιν ημεραις οικοδομων, V: οικοδομων εν τρισιν ημεραις. **v.30** T*: και καταβα, V: καταβας. **v.31** TK: δε, MV: ∅. **v.32** T*: του, V: ∅. **v.32** TKV: πιστευσωμεν, M: πιστευσωμεν αυτω. **v.32** T*: αυτω, V: συν αυτω. **v.33** T*: γενομενης δε, V: και γενομενης. **v.33** TK: εννατης, MV: ενατης. **v.34** TK: ωρα τη εννατη, M: ωρα τη ενατη, V: ενατη ωρα. **v.34** T*: λεγων, V: ∅. **v.34** TK: λαμμα, M: λιμα, V: λεμα.

θερμηνευόμενον ὁ θεός μου ὁ θεός μου εἰς τί με˚ ἐγκατέλιπες ⸰ καί τινες τῶν παρεστηκότων ἀκούσαντες ἔλεγον ἰδοὺ 35
ἠλίαν φωνεῖ ⸰ δραμὼν δὲ ἐῖς καὶ γεμίσας σπόγγον ὄξους 36
περιθείς τε καλάμῳ ἐπότιζεν αὐτὸν λέγων ἄφετε ἴδωμεν εἰ
ἔρχεται ἠλίας καθελεῖν αὐτόν ⸰ ὁ δὲ ἰησοῦς ἀφεὶς φωνὴν 37
μεγάλην ἐξέπνευσεν ⸰ καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχί- 38
σθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως κάτω ⸰ ἰδὼν δὲ ὁ κεντυρίων ὁ 39
παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ ὅτι οὕτως κρᾶξας ἐξέπνευ-
σεν εἶπεν ἀληθῶς ὁ˚ ἄνθρωπος οὗτος υἱὸς ἦν θεοῦ ⸰ ἦσαν 40
δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι ἐν αἷς ἦν καὶ
μαρία ἡ μαγδαληνὴ καὶ μαρία ἡ τοῦ ἰακώβου τοῦ μικροῦ
καὶ ἰωσῆ μήτηρ καὶ σαλώμη ⸰ αἳ καὶ ὅτε ἦν ἐν τῇ γαλιλαίᾳ 41
ἠκολούθουν αὐτῷ καὶ διηκόνουν αὐτῷ καὶ ἄλλαι πολλαὶ
αἱ συναναβᾶσαι αὐτῷ εἰς ἱεροσόλυμα ⸰ καὶ ἤδη ὀψίας γε- 42
νομένης ἐπεὶ ἦν παρασκευὴ ὅ ἐστιν προσάββατον ⸰ ἦλθεν 43
ἰωσὴφ ὁ ἀπὸ ἀριμαθαίας εὐσχήμων βουλευτὴς ὃς καὶ αὐ-
τὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ τολμήσας
εἰσῆλθεν πρὸς πιλάτον καὶ ᾐτήσατο τὸ σῶμα τοῦ ἰησοῦ ⸰ ὁ 44
δὲ πιλάτος ἐθαύμασεν εἰ ἤδη τέθνηκεν καὶ προσκαλεσάμε-
νος τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν ⸰
καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ σῶμα τῷ ἰω- 45
σήφ ⸰ καὶ ἀγοράσας σινδόνα καὶ καθελὼν αὐτὸν ἐνείλησεν 46
τῇ σινδόνι καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ ὃ ἦν λελατο-
μημένον ἐκ πέτρας καὶ προσεκύλισεν λίθον ἐπὶ τὴν θύραν
τοῦ μνημείου ⸰ ἡ δὲ μαρία ἡ μαγδαληνὴ καὶ μαρία ἰωσῆ 47
ἐθεώρουν ποῦ τίθεται ⸰

Καὶ διαγενομένου τοῦ σαββάτου μαρία ἡ μαγδαληνὴ **16**
καὶ μαρία ἡ˚ τοῦ ἰακώβου καὶ σαλώμη ἠγόρασαν ἀρώ-

**v.34** T*: με εγκατελιπες, V: εγκατελιπες με. **v.35** T*: ιδου, V: ιδε. **v.36** T*: εις, V: τις. **v.36** T*: τε, V: ∅. **v.38** T*: απο, V: απ. **v.39** T*: κραξας, V: ∅. **v.39** T*: ο ανθρωπος ουτος υιος ην θεου, V: ουτος ο ανθρωπος υιος θεου ην. **v.40** T*: ην, V: ∅. **v.40** T*: του, V: ∅. **v.40** T*: ιωση, V: ιωσητος. **v.41** T*: και, V: ∅. **v.43** T*: ηλθεν, V: ελθων. **v.43** T*: πιλατον, V: τον πιλατον. **v.44** E: παλαι, D: ηδη. **v.45** T*: σωμα, V: πτωμα. **v.46** T*: και, V: ∅. **v.46** T*: κατεθηκεν, V: εθηκεν. **v.47** T*: ιωση, V: η ιωσητος. **v.47** T*: τιθεται, V: τεθειται. **16. v.1** ΤΚ: η του, M: ∅, V: η [του].

2 ματα ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν ◦ καὶ λίαν πρωῒ τῆς˚
μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον ἀνατείλαντος τοῦ
3 ἡλίου ◦ καὶ ἔλεγον πρὸς ἑαυτὰς τίς ἀποκυλίσει ἡμῖν τὸν
4 λίθον ἐκ τῆς θύρας τοῦ μνημείου ◦ καὶ ἀναβλέψασαι θεω-
ροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος ἦν γὰρ μέγας σφόδρα ◦
5 καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμε-
νον ἐν τοῖς δεξιοῖς περιβεβλημένον στολὴν λευκὴν καὶ ἐξ-
6 εθαμβήθησαν ◦ ὁ δὲ λέγει αὐταῖς μὴ ἐκθαμβεῖσθε ἰησοῦν
ζητεῖτε τὸν ναζαρηνὸν τὸν ἐσταυρωμένον ἠγέρθη οὐκ ἔστιν
7 ὧδε ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν ◦ ἀλλ᾽ ὑπάγετε εἴπατε
τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ πέτρῳ ὅτι προάγει ὑμᾶς εἰς τὴν
8 γαλιλαίαν ἐκεῖ αὐτὸν ὄψεσθε καθὼς εἶπεν ὑμῖν ◦ καὶ ἐξελ-
θοῦσαι ταχὺ ἔφυγον ἀπὸ τοῦ μνημείου εἶχεν δὲ˚ αὐτὰς τρό-
μος καὶ ἔκστασις καὶ οὐδενὶ οὐδὲν εἶπόν ἐφοβοῦντο γάρ ◦
9 ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον μαρίᾳ τῇ
10 μαγδαληνῇ ἀφ˚ ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια ◦ ἐκείνη πο-
ρευθεῖσα ἀπήγγειλεν τοῖς μετ᾽ αὐτοῦ γενομένοις πενθοῦ-
11 σιν καὶ κλαίουσιν ◦ κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη
12 ὑπ᾽ αὐτῆς ἠπίστησαν ◦ μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν πε-
ριπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ πορευομένοις εἰς
13 ἀγρόν ◦ κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς οὐ-
14 δὲ ἐκείνοις ἐπίστευσαν ◦ ὕστερον᾽ ἀνακειμένοις αὐτοῖς τοῖς
ἕνδεκα ἐφανερώθη καὶ ὠνείδισεν τὴν ἀπιστίαν αὐτῶν καὶ
σκληροκαρδίαν ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον
15 οὐκ ἐπίστευσαν ◦ καὶ˚ εἶπεν αὐτοῖς πορευθέντες εἰς τὸν

---

**v.2** T*: της μιας, V: τη μια των. **v.7** T*: αλλ, V: αλλα. **v.8** TK: ταχυ, MV: ∅. **v.8** T*: δε, V: γαρ. **v.8** T*: ειπον, V: ειπαν. **v.8** T*: γαρ, V: γαρ [παντα δε τα παρηγγελμενα τοις περι τον πετρον συντομως εξηγγειλαν μετα δε ταυτα και αυτος ο ιησους απο ανατολης και αχρι δυσεως εξαπεστειλεν δι αυτων το ιερον και αφθαρτον κηρυγμα της αιωνιου σωτηριας αμην]. **v.9** T*: αφ, V: παρ. **v.14** T*: υστερον, V: υστερον [δε]. **v.15** E: και ειπεν αυτοις, F: κἀκεῖνοι ἀπελογοῦντο λέγοντες ὅτι ὁ αἰὼν οὗτος τῆς ἀνομίας καὶ τῆς ἀπιστίας ὑπὸ τὸν σατανᾶν ἐστιν, ὁ μὴ ἐῶν τὰ ὑπὸ τῶν πνευμάτων ἀκάθαρτα τὴν ἀλήθειαν τοῦ θεοῦ καταλαβέσθαι δύναμιν· διὰ τοῦτο ἀποκάλυψον σοῦ τὴν δικαιοσύνην ἤδη. ἐκεῖνοι ἔλεγον τῷ χριστῷ, καὶ ὁ χριστὸς ἐκείνοις προσέλεγεν ὅτι πεπλήρωται ὁ ὅρος τῶν ἐτῶν τῆς ἐξουσίας τοῦ σατανᾶ, ἀλλὰ ἐγγίζει ἄλλα δεινὰ καὶ ὑπὲρ ὧν ἐγὼ ἁμαρτησάντων παρεδόθην εἰς θάνατον ἵνα ὑποστρέψωσιν εἰς τὴν ἀλήθειαν καὶ μηκέτι ἁμαρτήσωσιν· ἵνα τὴν ἐν τῷ οὐρανῷ πνευματικὴν καὶ ἄφθαρτον τῆς δικαιοσύνης δόξαν κληρονομήσωσιν. ἀλλά.

κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει ⸰
ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται ὁ δὲ ἀπιστήσας κα- 16
τακριθήσεται ⸰ σημεῖα δὲ τοῖς πιστεύσασιν ταῦτα παρακο- 17
λουθήσει ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσιν γλώσ-
σαις λαλήσουσιν καιναῖς ⸰ ὄφεις ἀροῦσιν κἂν θανάσιμόν 18
τι πίωσιν οὐ μὴ αὐτοὺς βλάψει ἐπὶ ἀρρώστους χεῖρας ἐ-
πιθήσουσιν καὶ καλῶς ἕξουσιν ⸰ ὁ μὲν οὖν κύριος μετὰ τὸ 19
λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ
δεξιῶν τοῦ θεοῦ ⸰ ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν παντα- 20
χοῦ τοῦ κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος
διὰ τῶν ἐπακολουθούντων σημείων ἀμήν ⸰

**v.18** T*: οφεις, V: [και εν ταις χερσιν] οφεις. **v.18** TK: βλαψει, MV: βλαψη. **v.19** T*: κυριος, V: κυριος ιησους. **v.19** T*: ανεληφθη, V: ανελημφθη. **v.20** T*: αμην, V: ∅.

# ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ
## ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ˚

**1** Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν
2 περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων ⸰ καθὼς
παρέδοσαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενό-
3 μενοι τοῦ λόγου ⸰ ἔδοξεν κἀμοὶ παρηκολουθηκότι ἄνωθεν
4 πᾶσιν ἀκριβῶς καθεξῆς σοι γράψαι κράτιστε Θεόφιλε ⸰ ἵνα
5 ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν ⸰ ἐγέ-
νετο ἐν ταῖς ἡμέραις ἡρώδου τοῦ βασιλέως τῆς ἰουδαίας
ἱερεύς τις ὀνόματι ζαχαρίας ἐξ ἐφημερίας ἀβιὰ καὶ ἡ˚ γυ-
νὴ αὐτοῦ ἐκ τῶν θυγατέρων ἀαρὼν καὶ τὸ ὄνομα αὐτῆς
6 ἐλισάβετ ⸰ ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ θεοῦ
πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασιν τοῦ
7 κυρίου ἄμεμπτοι ⸰ καὶ οὐκ ἦν αὐτοῖς τέκνον καθότι ἡ˚ ἐ-
λισάβετ ἦν στεῖρα καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡ-
8 μέραις αὐτῶν ἦσαν ⸰ ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν
9 τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ θεοῦ ⸰ κατὰ τὸ
ἔθος τῆς ἱερατείας ἔλαχεν τοῦ θυμιάσαι εἰσελθὼν εἰς τὸν
10 ναὸν τοῦ κυρίου ⸰ καὶ πᾶν τὸ πλῆθος τοῦ˚ λαοῦ ἦν προσ-
11 ευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος ⸰ ὤφθη δὲ αὐτῷ
ἄγγελος κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυ-
12 μιάματος ⸰ καὶ ἐταράχθη ζαχαρίας ἰδὼν καὶ φόβος ἐπέπε-
13 σεν ἐπ᾽ αὐτόν ⸰ εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἄγγελος μὴ φοβοῦ
ζαχαρία διότι εἰσηκούσθη ἡ δέησίς σου καὶ ἡ γυνή σου
ἐλισάβετ γεννήσει υἱόν σοι καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
14 ἰωάννην ⸰ καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις καὶ πολλοὶ
15 ἐπὶ τῇ γενέσει αὐτοῦ χαρήσονται ⸰ ἔσται γὰρ μέγας ἐν-
ώπιον τοῦ κυρίου καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ καὶ

---

T: ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ, K: ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ, MV: ΚΑΤΑ ΛΟΥΚΑΝ. **1. v.5** T$^{*}$: του, V: ∅. **v.5** T$^{*}$: η γυνη αυτου, V: γυνη αυτω. **v.6** T$^{*}$: ενωπιον, V: εναντιον. **v.7** T$^{*}$: η ελισαβετ ην, V: ην η ελισαβετ. **v.10** TK: του λαου ην, MV: ην του λαου. **v.14** T$^{*}$: γεννησει, V: γενεσει.

πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐ-
τοῦ ⸰ καὶ πολλοὺς τῶν υἱῶν ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον 16
τὸν θεὸν αὐτῶν ⸰ καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ 17
ἐν πνεύματι καὶ δυνάμει ἡλίου ἐπιστρέψαι καρδίας πατέ-
ρων ἐπὶ τέκνα καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων ἑτοιμάσαι
κυρίῳ λαὸν κατεσκευασμένον ⸰ καὶ εἶπεν ζαχαρίας πρὸς 18
τὸν ἄγγελον κατὰ τί γνώσομαι τοῦτο ἐγὼ γάρ εἰμι πρεσβύ-
της καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς ⸰
καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ ἐγώ εἰμι γαβριὴλ 19
ὁ παρεστηκὼς ἐνώπιον τοῦ θεοῦ καὶ ἀπεστάλην λαλῆσαι
πρός σε καὶ εὐαγγελίσασθαί σοι ταῦτα ⸰ καὶ ἰδοὺ ἔσῃ σι- 20
ωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται
ταῦτα ἀνθ᾽ ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου οἵτινες πλη-
ρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν ⸰ καὶ ἦν ὁ λαὸς προσ- 21
δοκῶν τὸν ζαχαρίαν καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτόν˚
ἐν τῷ ναῷ ⸰ ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς καὶ 22
ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ καὶ αὐτὸς ἦν
διανεύων αὐτοῖς καὶ διέμενεν κωφός ⸰ καὶ ἐγένετο ὡς ἐ- 23
πλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ ἀπῆλθεν εἰς
τὸν οἶκον αὐτοῦ ⸰ μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν ἐ- 24
λισάβετ ἡ γυνὴ αὐτοῦ καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε
λέγουσα ⸰ ὅτι οὕτως μοι πεποίηκεν ὁ˚ κύριος ἐν ἡμέραις 25
αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις ⸰ ἐν δὲ τῷ 26
μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος γαβριὴλ ὑπὸ τοῦ θεοῦ
εἰς πόλιν τῆς γαλιλαίας ᾗ ὄνομα ναζαρέτ ⸰ πρὸς παρθένον 27
μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα ἰωσὴφ ἐξ οἴκου δαβὶδ καὶ
τὸ ὄνομα τῆς παρθένου μαριάμ ⸰ καὶ εἰσελθὼν ὁ˚ ἄγγελος 28
πρὸς αὐτὴν εἶπεν χαῖρε κεχαριτωμένη ὁ κύριος μετὰ σοῦ
εὐλογημένη˚ σὺ ἐν γυναιξίν ⸰ ἡ δὲ ἰδοῦσα˚ διεταράχθη ἐπὶ 29
τῷ λόγῳ αὐτοῦ καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς

**v.21** T*: αυτον εν τω ναω, V: εν τω ναω αυτον. **v.22** T*: ηδυνατο, V: εδυνατο. **v.25** T*: ο, V: ∅. **v.25** T*: το, V: ∅. **v.26** T*: υπο, V: απο. **v.26** TM: ναζαρετ, KV: ναζαρεθ. **v.27** T*: μεμνηστευμενην, V: εμνηστευμενην. **v.27** T*: δαβιδ, V: δαυιδ. **v.28** T*: ο αγγελος, V: ∅. **v.28** T*: ευλογημενη συ εν γυναιξιν, V: ∅. **v.29** T*: ιδουσα διεταραχθη επι τω λογω αυτου, V: επι τω λογω διεταραχθη.

30 οὗτος ⸰ καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ μὴ φοβοῦ μαριὰμ εὗρες
31 γὰρ χάριν παρὰ τῷ θεῷ ⸰ καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ
32 τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἰησοῦν ⸰ οὗτος ἔ-
σται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται καὶ δώσει αὐτῷ
33 κύριος ὁ θεὸς τὸν θρόνον δαβὶδ τοῦ πατρὸς αὐτοῦ ⸰ καὶ
βασιλεύσει ἐπὶ τὸν οἶκον ἰακὼβ εἰς τοὺς αἰῶνας καὶ τῆς
34 βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος ⸰ εἶπεν δὲ μαριὰμ πρὸς
35 τὸν ἄγγελον πῶς ἔσται τοῦτο ἐπεὶ ἄνδρα οὐ γινώσκω ⸰ καὶ
ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ πνεῦμα ἅγιον ἐπελεύσε-
ται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι διὸ καὶ τὸ
36 γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ ⸰ καὶ ἰδοὺ ἐλισά-
βετ ἡ συγγενίς σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρᾳ
αὐτῆς καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στεί-
37, 38 ρᾳ ⸰ ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ˚ θεῷ πᾶν ῥῆμα ⸰ εἶπεν
δὲ μαριὰμ ἰδοὺ ἡ δούλη κυρίου γένοιτό μοι κατὰ τὸ ῥῆ-
39 μά σου καὶ ἀπῆλθεν ἀπ᾽ αὐτῆς ὁ ἄγγελος ⸰ ἀναστᾶσα δὲ
μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς τὴν ὀρεινὴν
40 μετὰ σπουδῆς εἰς πόλιν ἰούδα ⸰ καὶ εἰσῆλθεν εἰς τὸν οἶκον
41 ζαχαρίου καὶ ἠσπάσατο τὴν ἐλισάβετ ⸰ καὶ ἐγένετο ὡς ἤ-
κουσεν ἡ˚ ἐλισάβετ τὸν ἀσπασμὸν τῆς μαρίας ἐσκίρτησεν
τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς καὶ ἐπλήσθη πνεύματος ἁ-
42 γίου ἡ ἐλισάβετ ⸰ καὶ ἀνεφώνησεν φωνῇ μεγάλῃ καὶ εἶπεν
εὐλογημένη σὺ ἐν γυναιξὶν καὶ εὐλογημένος ὁ καρπὸς τῆς
43 κοιλίας σου ⸰ καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ
44 κυρίου μου πρός μὲ ⸰ ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ
ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου ἐσκίρτησεν ἐν˚ ἀγαλλιάσει
45 τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου ⸰ καὶ μακαρία ἡ πιστεύσασα
ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου ⸰
46, 47 καὶ εἶπεν μαριὰμ μεγαλύνει ἡ ψυχή μου τὸν κύριον ⸰ καὶ

---

**v.31** T*: συλληψη, V: συλλημψη. **v.32** T*: δαβιδ, V: δαυιδ. **v.35** TMV: γεννωμενον, K: γεννωμενον εκ σου. **v.36** T*: συγγενης, V: συγγενις. **v.36** T*: συνειληφυια, V: συνειληφεν. **v.36** TK: γηρα, MV: γηρει. **v.36** TKV: τη, M: ∅. **v.37** T*: τω θεω, V: του θεου. **v.41** T*: η ελισαβετ τον ασπασμον της μαριας, V: τον ασπασμον της μαριας η ελισαβετ. **v.42** T*: φωνη, V: κραυγη. **v.43** T*: με, V: εμε. **v.44** TKV: εν αγαλλιασει το βρεφος, M: το βρεφος εν αγαλλιασει.

ἠγαλλίασεν τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου ⸰ ὅτι 48
ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ ἰδοὺ γὰρ
ἀπὸ τοῦ νῦν μακαριοῦσίν με πᾶσαι αἱ γενεαί ⸰ ὅτι ἐποίη- 49
σέν μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ ⸰ καὶ 50
τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φοβουμένοις αὐτόν ⸰
ἐποίησεν κράτος ἐν βραχίονι αὐτοῦ διεσκόρπισεν ὑπερη- 51
φάνους διανοίᾳ καρδίας αὐτῶν ⸰ καθεῖλεν δυνάστας ἀπὸ 52
θρόνων καὶ ὕψωσεν ταπεινούς ⸰ πεινῶντας ἐνέπλησεν ἀ- 53
γαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς ⸰ ἀντελάβετο 54
ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους ⸰ καθὼς ἐλάλησεν 55
πρὸς τοὺς πατέρας ἡμῶν τῷ ἀβραὰμ καὶ τῷ σπέρματι αὐ-
τοῦ εἰς τὸν αἰῶνα ⸰ ἔμεινεν δὲ μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας 56
τρεῖς καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς ⸰ τῇ δὲ ἐλισάβετ 57
ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτὴν καὶ ἐγέννησεν υἱόν ⸰
καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμε- 58
γάλυνεν κύριος τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς καὶ συνέχαιρον
αὐτῇ ⸰ καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ˚ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ 59
παιδίον καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐ-
τοῦ ζαχαρίαν ⸰ καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν οὐχὶ 60
ἀλλὰ κληθήσεται ἰωάννης ⸰ καὶ εἶπὸν πρὸς αὐτὴν ὅτι οὐ- 61
δείς ἐστιν ἐν˚ τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι τού-
τῳ ⸰ ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι καλεῖσθαι 62
αὐτόν̊ ⸰ καὶ αἰτήσας πινακίδιον ἔγραψεν λέγων ἰωάννης ἐ- 63
στὶν τὸ ὄνομα αὐτοῦ καὶ ἐθαύμασαν πάντες ⸰ ἀνεῴχθη δὲ 64
τὸ στόμα αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ καὶ ἐλά-
λει εὐλογῶν τὸν θεόν ⸰ καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς 65
περιοικοῦντας αὐτοὺς καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς ἰουδαίας
διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα ⸰ καὶ ἔθεντο πάντες οἱ 66
ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν λέγοντες τί ἄρα τὸ παιδίον
τοῦτο ἔσται κἀὶ χεὶρ κυρίου ἦν μετ᾽ αὐτοῦ ⸰ καὶ ζαχαρίας ὁ 67

**v.49** T*: μεγαλεια, V: μεγαλα. **v.50** T*: γενεων, V: και γενεας. **v.56** T*: ωσει, V: ως. **v.59** T*: ογδοη ημερα, V: ημερα τη ογδοη. **v.61** T*: ειπον, V: ειπαν. **v.61** T*: εν τη συγγενεια, V: εκ της συγγενειας. **v.62** T*: αυτον, V: αυτο. **v.63** T*: το, V: ∅. **v.66** T*: και, V: και γαρ.

πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου καὶ προέφήτευσεν
68 λέγων ⸰ εὐλογητὸς κύριος ὁ θεὸς τοῦ ἰσραὴλ ὅτι ἐπεσκέ-
69 ψατο καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ αὐτοῦ ⸰ καὶ ἤγειρεν
κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ δαβὶδ τοῦ παιδὸς αὐτοῦ ⸰
70 καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων τῶν ἀπ᾽ αἰῶνος
71 προφητῶν αὐτοῦ ⸰ σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χει-
72 ρὸς πάντων τῶν μισούντων ἡμᾶς ⸰ ποιῆσαι ἔλεος μετὰ τῶν
73 πατέρων ἡμῶν καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ ⸰ ὅρ-
κον ὃν ὤμοσεν πρὸς ἀβραὰμ τὸν πατέρα ἡμῶν τοῦ δοῦ-
74 ναι ἡμῖν ⸰ ἀφόβως ἐκ χειρὸς τῶν˚ ἐχθρῶν ἡμῶν ῥυσθέντας
75 λατρεύειν αὐτῷ ⸰ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐ-
76 τοῦ πάσας˚ τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν ⸰ καὶ σὺ παιδίον
προφήτης ὑψίστου κληθήσῃ προπορεύσῃ γὰρ πρὸ˚ προσ-
77 ώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ ⸰ τοῦ δοῦναι γνῶσιν
78 σωτηρίας τῷ λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν ⸰ διὰ
σπλάγχνα ἐλέους θεοῦ ἡμῶν ἐν οἷς ἐπεσκέψατό ἡμᾶς ἀνα-
79 τολὴ ἐξ ὕψους ⸰ ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου
καθημένοις τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰ-
80 ρήνης ⸰ τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι
καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς
τὸν ἰσραήλ ⸰

**2** ᾽Εγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα πα-
ρὰ καίσαρος αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκου-
2 μένην ⸰ αὕτη ἡ˚ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος
3 τῆς συρίας κυρηνίου ⸰ καὶ ἐπορεύοντο πάντες ἀπογράφε-
4 σθαι ἕκαστος εἰς τὴν ἰδίαν πόλιν ⸰ ἀνέβη δὲ καὶ ἰωσὴφ ἀ-
πὸ τῆς γαλιλαίας ἐκ πόλεως ναζαρὲτ εἰς τὴν ἰουδαίαν εἰς
πόλιν δαβὶδ ἥτις καλεῖται βηθλεὲμ διὰ τὸ εἶναι αὐτὸν ἐξ
5 οἴκου καὶ πατριᾶς δαβίδ ⸰ ἀπογράψασθαι σὺν μαριὰμ τῇ

---

**v.67** T*: προεφητευσεν, V: επροφητευσεν. **v.69** T*: τω, V: ∅. **v.69** T*: δαβιδ, V: δαυιδ. **v.69** T*: του, V: ∅. **v.70** T*: των, V: ∅. **v.74** T*: των εχθρων ημων, V: εχθρων. **v.75** T*: πασας τας ημερας της ζωης, V: πασαις ταις ημεραις. **v.76** T*: συ, V: συ δε. **v.76** T*: προ προσωπου, V: ενωπιον. **v.78** T*: επεσκεψατο, V: επισκεψεται. **2. v.2** T*: η, V: ∅. **v.3** T*: ιδιαν, V: εαυτου. **v.4** TM: ναζαρετ, KV: ναζαρεθ. **v.4** T*: δαβιδ, V: δαυιδ.

μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ ⸓ ἐγένετο δὲ ἐν 6
τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐ-
τήν ⸓ καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον καὶ ἐσπαρ- 7
γάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ διότι οὐκ
ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι ⸓ καὶ ποιμένες ἦσαν ἐν 8
τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς
τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν ⸓ καὶ ἰδοὺ ἄγγελος κυ- 9
ρίου ἐπέστη αὐτοῖς καὶ δόξα κυρίου περιέλαμψεν αὐτοὺς
καὶ ἐφοβήθησαν φόβον μέγαν ⸓ καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος 10
μὴ φοβεῖσθε ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην
ἥτις ἔσται παντὶ τῷ λαῷ ⸓ ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ 11
ὅς ἐστιν χριστὸς κύριος ἐν πόλει δαβίδ ⸓ καὶ τοῦτο ὑμῖν τὸ 12
σημεῖον εὑρήσετε βρέφος ἐσπαργανωμένον κείμενον˚ ἐν τῇ
φάτνῃ ⸓ καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρα- 13
τιᾶς οὐρανίου αἰνούντων τὸν θεὸν καὶ λεγόντων ⸓ δόξα ἐν 14
ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκίᾶ ⸓
καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγ- 15
γελοι καὶ˚ οἱ ἄνθρωποι οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους
διέλθωμεν δὴ ἕως βηθλεὲμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γε-
γονὸς ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν ⸓ καὶ ἦλθὸν σπεύσαντες 16
καὶ ἀνεῦρὸν τήν τε μαριὰμ καὶ τὸν ἰωσὴφ καὶ τὸ βρέφος
κείμενον ἐν τῇ φάτνῃ ⸓ ἰδόντες δὲ διἐγνώρισαν περὶ τοῦ 17
ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου ⸓
καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων 18
ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς ⸓ ἡ δὲ μαριὰμ πάντα συνε- 19
τήρει τὰ ῥήματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς ⸓
καὶ ἐπέστρεψαν οἱ ποιμένες δοξάζοντες καὶ αἰνοῦντες τὸν 20
θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον καθὼς ἐλαλήθη πρὸς
αὐτούς ⸓ καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν 21

---

**v.5** T*: μεμνηστευμενη, V: εμνηστευμενη. **v.5** T*: γυναικι, V: ∅. **v.7** T*: τη, V: ∅. **v.9** T*: ιδου, V: ∅. **v.11** T*: δαβιδ, V: δαυιδ. **v.12** T*: κειμενον εν, V: και κειμενον. **v.12** TK: τη, MV: ∅. **v.14** T*: ευδοκια, V: ευδοκιας. **v.15** T*: και οι ανθρωποι, V: ∅. **v.15** T*: ειπον, V: ελαλουν. **v.16** T*: ηλθον, V: ηλθαν. **v.16** T*: ανευρον, V: ανευραν. **v.17** T*: διεγνωρισαν, V: εγνωρισαν. **v.20** TK: επεστρεψαν, MV: υπεστρεψαν.

τὸ˚ παιδίον καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ ἰησοῦς τὸ κληθὲν
ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ ◦
22 καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν˙ κα-
τὰ τὸν νόμον μωσέως ἀνήγαγον αὐτὸν εἰς ἱεροσόλυμα πα-
23 ραστῆσαι τῷ κυρίῳ ◦ καθὼς γέγραπται ἐν νόμῳ κυρίου ὅτι
πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ κυρίῳ κληθήσεται ◦
24 καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου
25 ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν ◦ καὶ ἰδοὺ˚
ἦν ἄνθρωπος ἐν ἱερουσαλὴμ ᾧ ὄνομα σὺμεὼν καὶ ὁ ἄν-
θρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς προσδεχόμενος παρά-
26 κλησιν τοῦ ἰσραὴλ καὶ πνεῦμα ἅγιον˚ ἦν ἐπ᾽ αὐτόν ◦ καὶ
ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου
27 μὴ ἰδεῖν θάνατον πρὶν ἢ˚ ἴδῃ τὸν χριστὸν κυρίου ◦ καὶ ἦλ-
θεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερὸν καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς
γονεῖς τὸ παιδίον ἰησοῦν τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰ-
28 θισμένον τοῦ νόμου περὶ αὐτοῦ ◦ καὶ αὐτὸς ἐδέξατο αὐτὸ
εἰς τὰς ἀγκάλας αὐτοῦ καὶ εὐλόγησεν τὸν θεὸν καὶ εἶπεν ◦
29 νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου
30 ἐν εἰρήνῃ ◦ ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου ◦
31, 32 ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν ◦ φῶς εἰς
33 ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου ἰσραήλ ◦ καὶ ἦν
ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμέ-
34 νοις περὶ αὐτοῦ ◦ καὶ εὐλόγησεν αὐτοὺς σὺμεὼν καὶ εἶπεν
πρὸς μαριὰμ τὴν μητέρα αὐτοῦ ἰδοὺ οὗτος κεῖται εἰς πτῶ-
σιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ ἰσραὴλ καὶ εἰς σημεῖον
35 ἀντιλεγόμενον ◦ καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται
ῥομφαία ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν δι-
36 αλογισμοί ◦ καὶ ἦν ἄννα προφῆτις θυγάτηρ φανουὴλ ἐκ
φυλῆς ἀσὴρ αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς ζή-

---

**v.21** ΤΚ: το παιδιον, ΜV: αυτον. **v.21** T*: συλληφθηναι, V: συλλημφθηναι. **v.22** ΤΜV: αυτων, Κ: αυτης, D: αυτου. **v.22** T*: μωσεως, V: μωυσεως. **v.24** T*: νομω, V: τω νομω. **v.24** T*: νεοσσους, V: νοσσους. **v.25** T*: ιδου ην ανθρωπος, V: ιδου ανθρωπος ην, D: ην ανθρωπος. **v.25** ΤΜV: συμεων, Κ: σιμεων. **v.25** ΤΚ: αγιον ην, ΜV: ην αγιον. **v.26** ΤΚV: πνευματος, Μ: πνευματι. **v.26** T*: η, V: [η] αν. **v.28** T*: αυτου, V: ∅. **v.33** T*: ιωσηφ, V: ο πατηρ αυτου. **v.33** T*: αυτου, V: ∅. **v.34** ΤΜV: συμεων, Κ: σιμεων.

σασα ἔτη˚ μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς· καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοηκονταἑσσάρων ἡ οὐκ ἀφί- 37
στατο ἀπὸ τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσιν λατρεύουσα νύκτα καὶ ἡμέραν· καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀν- 38
θωμολογεῖτο τῷ κυρίῳ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσιν τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἰερουσαλήμ· καὶ ὡς ἐτέλε- 39
σαν ἅπαντα τὰ κατὰ τὸν νόμον κυρίου ὑπέστρεψαν εἰς τὴν γαλιλαίαν εἰς τὴν πόλιν ἀυτῶν ναζαρέτ· τὸ δὲ παιδίον ηὔ- 40
ξανεν καὶ ἐκραταιοῦτο πνεύματι˚ πληρούμενον σοφίας καὶ χάρις θεοῦ ἦν ἐπ᾽ αὐτό· καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ 41
κατ᾽ ἔτος εἰς Ἰερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα· καὶ ὅτε ἐγέ- 42
νετο ἐτῶν δώδεκα ἀναβάντων αὐτῶν εἰς˚ Ἰεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς· καὶ τελειωσάντων τὰς ἡμέρας ἐν τῷ 43
ὑποστρέφειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἰερουσαλὴμ καὶ οὐκ ἔγνω˚ Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ· νομίσαντες 44
δὲ αὐτὸν ἐν˚ τῇ συνοδίᾳ εἶναι ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνε-
ζήτουν αὐτὸν ἐν τοῖς συγγενέσιν καὶ ἐν τοῖς γνωστοῖς· καὶ 45
μὴ εὑρόντες αὐτὸν ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ζητοῦντες αὐτόν· καὶ ἐγένετο μεθ᾽ ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ 46
ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς· ἐξίσταντο δὲ πάντες οἱ ἀ- 47
κούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ· καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν καὶ πρὸς˚ αὐτὸν ἡ 48
μήτηρ αὐτοῦ εἶπεν τέκνον τί ἐποίησας ἡμῖν οὕτως ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε· καὶ εἶπεν 49
πρὸς αὐτοὺς τί ὅτι ἐζητεῖτέ με οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ

**v.36** T*: ετη μετα ανδρος, V: μετα ανδρος ετη. **v.37** T*: ως, V: εως. **v.37** TK: ογδοηκοντατεσσαρων, MV: ογδοηκοντα τεσσαρων. **v.37** T*: απο, V: ∅. **v.38** T*: αυτη, V: ∅. **v.38** T*: κυριω, V: θεω. **v.38** T*: εν, V: ∅. **v.39** T*: απαντα, V: παντα. **v.39** T*: υπεστρεψαν, V: επεστρεψαν. **v.39** T*: την, V: ∅. **v.39** TK: αυτων, MV: εαυτων. **v.39** TM: ναζαρετ, KV: ναζαρεθ. **v.40** T*: πνευματι πληρουμενον σοφιας, V: πληρουμενον σοφια. **v.42** T*: αναβαντων, V: αναβαινοντων. **v.42** T*: εις ιεροσολυμα, V: ∅. **v.43** T*: εγνω ιωσηφ και η μητηρ, V: εγνωσαν οι γονεις. **v.44** T*: εν τη συνοδια ειναι, V: ειναι εν τη συνοδια. **v.44** T*: συγγενεσιν, V: συγγενευσιν. **v.44** T*: εν, V: ∅. **v.45** T*: αυτον, V: ∅. **v.45** T*: ζητουντες, V: αναζητουντες. **v.46** T*: μεθ, V: μετα. **v.48** T*: προς αυτον η μητηρ αυτου ειπεν, V: ειπεν προς αυτον η μητηρ αυτου.

50 πατρός μου δεῖ εἶναί με ⸰ καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα
51 ὃ ἐλάλησεν αὐτοῖς ⸰ καὶ κατέβη μετ᾽ αὐτῶν καὶ ἦλθεν εἰς
ναζαρὲτ καὶ ἦν ὑποτασσόμενος αὐτοῖς καὶ ἡ μήτηρ αὐτοῦ
52 διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς ⸰ καὶ
ἰησοῦς προέκοπτεν ὀσοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ θεῷ
καὶ ἀνθρώποις ⸰

**3** Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας τιβερίου καί-
σαρος ἡγεμονεύοντος ποντίου πιλάτου τῆς ἰουδαίας καὶ
τετρᾶρχοῦντος τῆς γαλιλαίας ἡρῴδου φιλίππου δὲ τοῦ ἀ-
δελφοῦ αὐτοῦ τετρᾶρχοῦντος τῆς ἰτουραίας καὶ τραχωνί-
τιδος χώρας καὶ λυσανίου τῆς ἀβιληνῆς τετρᾶρχοῦντος ⸰
2 ἐπ᾽ ὀ ἀρχιερέων ἄννα καὶ καϊάφα ἐγένετο ῥῆμα θεοῦ ἐπὶ
3 ἰωάννην τὸν τοῦ ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ ⸰ καὶ ἦλθεν
εἰς πᾶσαν τὴν περίχωρον τοῦ ἰορδάνου κηρύσσων βάπτι-
4 σμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν ⸰ ὡς γέγραπται ἐν βί-
βλῳ λόγων ἡσαΐου τοῦ προφήτου λέγοντος φωνὴ βοῶντος
ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν κυρίου εὐθείας ποιεῖτε
5 τὰς τρίβους αὐτοῦ ⸰ πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν
ὄρος καὶ βουνὸς ταπεινωθήσεται καὶ ἔσται τὰ σκολιὰ εἰς
6 εὐθείαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας ⸰ καὶ ὄψεται πᾶσα
7 σὰρξ τὸ σωτήριον τοῦ θεοῦ ⸰ ἔλεγεν οὖν τοῖς ἐκπορευομέ-
νοις ὄχλοις βαπτισθῆναι ὑπ᾽ αὐτοῦ γεννήματα ἐχιδνῶν τίς
8 ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς ⸰ ποιή-
σατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας καὶ μὴ ἄρξησθε
λέγειν ἐν ἑαυτοῖς πατέρα ἔχομεν τὸν ἀβραὰμ λέγω γὰρ ὑ-
μῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ
9 ἀβραάμ ⸰ ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων
κεῖται πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτε-
10 ται καὶ εἰς πῦρ βάλλεται ⸰ καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι
11 λέγοντες τί οὖν ποιήσομεν ⸰ ἀποκριθεὶς δὲ λέγει αὐτοῖς ὁ
ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι καὶ ὁ ἔχων βρώ-

**v.51** TM: ναζαρετ, KV: ναζαρεθ. **v.51** T*: ταυτα, V: ∅. **v.52** T*: σοφια, V: [εν τη] σοφια. **3. v.1** T*: τετραρχουντος, V: τετραarχουντος. **v.2** TK: επ αρχιερεων, MV: επι αρχιερεως. **v.2** TK: του, MV: ∅. **v.4** T*: λεγοντος, V: ∅. **v.10** TK: ποιησομεν, MV: ποιησωμεν. **v.11** T*: λεγει, V: ελεγεν.

ματα ὁμοίως ποιείτω ◦ ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι 12
καὶ εἶπὸν πρὸς αὐτὸν διδάσκαλε τί ποιήσὸμεν ◦ ὁ δὲ εἶ- 13
πεν πρὸς αὐτοὺς μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν
πράσσετε ◦ ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγον- 14
τες καὶ˚ ἡμεῖς τί ποιήσομεν καὶ εἶπεν πρὸς˚ αὐτοὺς μηδένα
διασείσητε μηδὲ συκοφαντήσητε καὶ ἀρκεῖσθε τοῖς ὀψωνί-
οις ὑμῶν ◦ προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων 15
πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ ἰωάννου μήποτε
αὐτὸς εἴη ὁ χριστός ◦ ἀπεκρίνατο ὁ˚ ἰωάννης ἅπασιν λέ- 16
γων ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς ἔρχεται δὲ ὁ ἰσχυρότερός
μου οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων
αὐτοῦ αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί ◦
οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ˚ διακαθαριεῖ τὴν ἅλωνα 17
αὐτοῦ καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ τὸ
δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ ◦ πολλὰ μὲν οὖν καὶ 18
ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν ◦ ὁ δὲ ἡρώδης ὁ 19
τετράρχης ἐλεγχόμενος ὑπ᾽ αὐτοῦ περὶ ἡρωδιάδος τῆς γυ-
ναικὸς φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ καὶ περὶ πάντων ὧν
ἐποίησεν πονηρῶν ὁ ἡρώδης ◦ προσέθηκεν καὶ τοῦτο ἐπὶ 20
πᾶσιν καὶ κατέκλεισεν τὸν ἰωάννην ἐν τῇ φυλακῇ ◦ ἐγένετο 21
δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν καὶ ἰησοῦ βαπτι-
σθέντος καὶ προσευχομένου ἀνεῳχθῆναι τὸν οὐρανόν ◦ καὶ 22
καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡσεὶ περι-
στερὰν ἐπ᾽ αὐτὸν καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι λέγουσαν
σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν σοὶ ἠὐδόκησα ◦ καὶ αὐτὸς 23
ἦν ὁ˚ ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος ὢν ὡς ἐνομί-
ζετο υἱὸς ἰωσὴφ τοῦ ἡλί ◦ τοῦ ματθὰτ τοῦ λευΐ τοῦ μελχὶ 24

**v.12** T*: ειπον, V: ειπαν. **v.12** TK: ποιησομεν, MV: ποιησωμεν. **v.14** TK: και ημεις τι ποιησομεν, M: και ημεις τι ποιησωμεν, V: τι ποιησωμεν και ημεις. **v.14** T*: προς αυτους, V: αυτοις. **v.16** T*: ο ιωαννης απασιν λεγων, V: λεγων πασιν ο ιωαννης. **v.17** T*: και διακαθαριει, V: διακαθαραι. **v.17** T*: συναξει, V: συναγαγειν. **v.19** T*: τετραρχης, V: τετρααρχης. **v.19** TK: φιλιππου, MV: ∅. **v.20** T*: τη, V: ∅. **v.22** T*: ωσει, V: ως. **v.22** T*: λεγουσαν, V: ∅. **v.22** TK: ηυδοκησα, MV: ευδοκησα. **v.23** T*: ο ιησους ωσει ετων τριακοντα αρχομενος ων ως ενομιζετο υιος, V: ιησους αρχομενος ωσει ετων τριακοντα ων υιος ως ενομιζετο. **v.24** T*: ματθατ, V: μαθθατ.

25 τοῦ ἰαὶννὰ τοῦ ἰωσὴφ ◦ τοῦ ματταθίου τοῦ ἀμὼς τοῦ ναοὺμ
26 τοῦ ἐσλὶ τοῦ ναγγαί ◦ τοῦ μαὰθ τοῦ ματταθίου τοῦ σεμεΐ
27 τοῦ ἰωσὴφ τοῦ ἰούδα ◦ τοῦ ἰωαννᾶ τοῦ ῥησὰ τοῦ ζοροβά-
28 βελ τοῦ σαλαθιὴλ τοῦ νηρί ◦ τοῦ μελχὶ τοῦ ἀδδὶ τοῦ κωσὰμ
29 τοῦ ἐλμωδὰμ τοῦ ἤρ ◦ τοῦ ἰὼσὴ τοῦ ἐλιέζερ τοῦ ἰωρεὶμ τοῦ
30 ματθὰτ τοῦ λευΐ ◦ τοῦ σὺμεὼν τοῦ ἰούδα τοῦ ἰωσὴφ τοῦ ἰ-
31 ωνὰν τοῦ ἐλιακεὶμ ◦ τοῦ μελεᾶ τοῦ μαϊνὰν τοῦ ματταθὰ
32 τοῦ ναθὰν τοῦ δαβίδ ◦ τοῦ ἰεσσαὶ τοῦ ὠβὴδ τοῦ βοὸζ τοῦ
33 σαλμὼν τοῦ ναασσών ◦ τοῦ ἀμιναδὰβ τοῦ ἀρὰμ τοῦ ἐσρὼμ
34 τοῦ φαρὲς τοῦ ἰούδα ◦ τοῦ ἰακὼβ τοῦ ἰσαὰκ τοῦ ἀβραὰμ
35 τοῦ θάρα τοῦ ναχώρ ◦ τοῦ σάρουχ τοῦ ῥαγαῦ τοῦ φαλὲκ
36 τοῦ ἔβερ τοῦ σαλά ◦ τοῦ καϊνὰν τοῦ ἀρφαξὰδ τοῦ σὴμ τοῦ
37 νῶε τοῦ λάμεχ ◦ τοῦ μαθουσάλα τοῦ ἐνὼχ τοῦ ἰαρὲδ τοῦ
38 μαλελεὴλ τοῦ καϊνάν ◦ τοῦ ἐνὼς τοῦ σὴθ τοῦ ἀδὰμ τοῦ
θεοῦ ◦

**4** Ἰησοῦς δὲ πνεύματος˚ ἁγίου πλήρης ὑπέστρεψεν ἀπὸ
τοῦ ἰορδάνου καὶ ἤγετο ἐν τῷ πνεύματι εἰς˚ τὴν ἔρημον ◦
2 ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου καὶ
οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις καὶ συντελε-
3 σθεισῶν αὐτῶν ὕστερον ἐπείνασεν ◦ καὶ˚ εἶπεν αὐτῷ ὁ δι-
άβολος εἰ υἱὸς εἶ τοῦ θεοῦ εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται
4 ἄρτος ◦ καὶ ἀπεκρίθη ἰησοῦς˚ πρὸς αὐτὸν λέγων γέγραπται
ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ὁ˚ ἄνθρωπος ἀλλ᾽˚ ἐπὶ παντὶ
5 ῥήματι θεοῦ ◦ καὶ ἀναγαγὼν αὐτὸν ὁ˚ διάβολος εἰς ὄρος

---

**v.24** T*: ιαννα, V: ιανναι. **v.26** TK: σεμει, M: σεμεει, V: σεμειν. **v.26** T*: ιωσηφ, V: ιωσηχ. **v.26** T*: ιουδα, V: ιωδα. **v.27** TK: ιωαννα, MV: ιωαναν. **v.28** T*: ελμωδαμ, V: ελμαδαμ. **v.29** T*: ιωση, V: ιησου. **v.29** T*: ιωρειμ, V: ιωριμ. **v.29** T*: ματθατ, V: μαθθατ. **v.30** TMV: συμεων, K: σιμεων. **v.30** T*: ιωναν, V: ιωναμ. **v.30** T*: ελιακειμ, V: ελιακιμ. **v.31** TM: μαιναν, K: μεναμ, V: μεννα. **v.31** T*: ναθαν, V: ναθαμ. **v.31** T*: δαβιδ, V: δαυιδ. **v.32** T*: ωβηδ, V: ιωβηδ. **v.32** T*: βοοζ, V: βοος. **v.32** T*: σαλμων, V: σαλα. **v.33** TK: αραμ, M: αραμ του ιωραμ, V: αδμιν του αρνι. **v.34** TKV: θαρα, M: θαρρα. **v.35** TK: σαρουχ, MV: σερουχ. **v.35** TKV: φαλεκ, M: φαλεγ. **v.36** T*: καιναν, V: καιναμ. **v.37** T*: ιαρεδ, V: ιαρετ. **v.37** T*: καιναν, V: καιναμ. **4. v.1** T*: πνευματος αγιου πληρης, V: πληρης πνευματος αγιου. **v.1** T*: εις την ερημον, V: εν τη ερημω. **v.2** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.2** E: διαβολου, D: σατανα. **v.2** T*: υστερον, V: ∅. **v.3** T*: και ειπεν, V: ειπεν δε. **v.4** T*: ιησους προς αυτον λεγων, V: προς αυτον ο ιησους. **v.4** TKV: ο, M: ∅. **v.4** T*: αλλ επι παντι ρηματι θεου, V: ∅. **v.5** T*: ο διαβολος εις ορος υψηλον, V: ∅.

ὑψηλὸν ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης
ἐν στιγμῇ χρόνου ⸰ καὶ εἶπεν αὐτῷ ὁ διάβολος σοὶ δώσω τὴν 6
ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν ὅτι ἐμοὶ πα-
ραδέδοται καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν ⸰ σὺ οὖν ἐὰν προσ- 7
κυνήσῃς ἐνώπιόν μου ἔσται σου πάντα ⸰ καὶ ἀποκριθεὶς 8
αὐτῷ˚ εἶπεν ὁ ἰησοῦς ὕπαγε ὀπίσω μου σατανᾶ γέγραπται
γὰρ προσκυνήσεις˚ κύριον τὸν θεόν σου καὶ αὐτῷ μόνῳ λα-
τρεύσεις ⸰ καὶ˚ ἤγαγεν αὐτὸν εἰς ἱερουσαλὴμ καὶ ἔστησεν 9
αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ εἶπεν αὐτῷ εἰ ὁ˚ υἱὸς
εἶ τοῦ θεοῦ βάλε σεαυτὸν ἐντεῦθεν κάτω ⸰ γέγραπται γὰρ 10
ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλά-
ξαι σε ⸰ καὶ ὅτι ἐπὶ χειρῶν ἀροῦσίν σε μήποτε προσκόψῃς 11
πρὸς λίθον τὸν πόδα σου ⸰ καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ ἰη- 12
σοῦς ὅτι εἴρηται οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου ⸰ καὶ 13
συντελέσας πάντα πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ᾽ αὐτοῦ
ἄχρι καιροῦ ⸰ καὶ ὑπέστρεψεν ὁ ἰησοῦς ἐν τῇ δυνάμει τοῦ 14
πνεύματος εἰς τὴν γαλιλαίαν καὶ φήμη ἐξῆλθεν καθ᾽ ὅλης
τῆς περιχώρου περὶ αὐτοῦ ⸰ καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς 15
συναγωγαῖς αὐτῶν δοξαζόμενος ὑπὸ πάντων ⸰ καὶ ἦλθεν 16
εἰς τὴν ναζαρὲτ οὗ ἦν τεθραμμένος καὶ εἰσῆλθεν κατὰ τὸ
εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγὴν
καὶ ἀνέστη ἀναγνῶναι ⸰ καὶ ἐπεδόθη αὐτῷ βιβλίον ἡσαΐου˚ 17
τοῦ προφήτου καὶ ἀναπτύξας τὸ βιβλίον εὗρεν τὸν τόπον οὗ
ἦν γεγραμμένον ⸰ πνεῦμα κυρίου ἐπ᾽ ἐμὲ οὗ ἕνεκεν ἔχρι- 18
σέν με εὐαγγελίζεσθαι πτωχοῖς ἀπέσταλκέν με ἰάσασθαι˚
τοὺς συντετριμμένους τὴν καρδίαν κηρύξαι αἰχμαλώτοις
ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν ἀποστεῖλαι τεθραυσμένους
ἐν ἀφέσει ⸰ κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν ⸰ καὶ πτύξας 19, 20

---

**v.7** ΤΚ: μου, ΜV: εμου. **v.7** ΤΚ: παντα, ΜV: πασα. **v.8** T*: αυτω ειπεν ο ιησους υπαγε οπισω μου σατανα, V: ο ιησους ειπεν αυτω. **v.8** ΤΚ: γαρ, ΜV: ∅. **v.8** T*: προσκυνησεις κυριον τον θεον σου, V: κυριον τον θεον σου προσκυνησεις. **v.9** T*: και ηγαγεν, V: ηγαγεν δε. **v.9** T*: αυτον, V: ∅. **v.9** ΤΚ: ο, ΜV: ∅. **v.11** ΤΚV: οτι, Μ: ∅. **v.16** T*: την, V: ∅. **v.16** ΤΜ: ναζαρετ, Κ: ναζαρεθ, V: ναζαρα. **v.17** T*: ησαιου του προφητου, V: του προφητου ησαιου. **v.18** ΤΚ: ενεκεν, ΜV: εινεκεν. **v.18** ΤΚ: ευαγγελιζεσθαι, ΜV: ευαγγελισασθαι. **v.18** T*: ιασασθαι τους συντετριμμενους την καρδιαν, V: ∅.

τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισεν καὶ πάντων ἐν˚
21 τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ ◦ ἤρξατο
δὲ λέγειν πρὸς αὐτοὺς ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ
22 αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν ◦ καὶ πάντες ἐμαρτύρουν αὐτῷ καὶ
ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομέ-
νοις ἐκ τοῦ στόματος αὐτοῦ καὶ ἔλεγον οὐχ˚ οὗτός ἐστιν
23 ὁ υἱὸς ἰωσήφ ◦ καὶ εἶπεν πρὸς αὐτοὺς πάντως ἐρεῖτέ μοι
τὴν παραβολὴν ταύτην ἰατρὲ θεράπευσον σεαυτὸν ὅσα ἠ-
κούσαμεν γενόμενα ἐν˚ τῇ καπερναοὺμ ποίησον καὶ ὧδε
24 ἐν τῇ πατρίδι σου ◦ εἶπεν δὲ ἀμὴν λέγω ὑμῖν ὅτι οὐδεὶς
25 προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ ◦ ἐπ᾽ ἀληθείας
δὲ λέγω ὑμῖν πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις ἠλίου ἐν
τῷ ἰσραὴλ ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆ-
26 νας ἓξ ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν ◦ καὶ
πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη ἠλίας εἰ μὴ εἰς σάρεπτα
27 τῆς σιδῶνὸς πρὸς γυναῖκα χήραν ◦ καὶ πολλοὶ λεπροὶ ἦ-
σαν ἐπὶ˚ ἐλισσαίου τοῦ προφήτου ἐν τῷ ἰσραὴλ καὶ οὐδεὶς
28 αὐτῶν ἐκαθαρίσθη εἰ μὴ νέεμὰν ὁ σύρος ◦ καὶ ἐπλήσθησαν
29 πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα ◦ καὶ ἀνα-
στάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως καὶ ἤγαγον αὐτὸν
ἕως ὗῆς ὀφρύος τοῦ ὄρους ἐφ᾽ οὗ ἡ πόλις αὐτῶν˚ ᾠκοδό-
30 μητο εἰς τὸ κατακρημνίσαι αὐτόν ◦ αὐτὸς δὲ διελθὼν διὰ
31 μέσου αὐτῶν ἐπορεύετο ◦ καὶ κατῆλθεν εἰς καπερναοὺμ
πόλιν τῆς γαλιλαίας καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάβ-
32 βασιν ◦ καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ ὅτι ἐν ἐξου-
33 σίᾳ ἦν ὁ λόγος αὐτοῦ ◦ καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος
ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου καὶ ἀνέκραξεν φωνῇ
34 μεγάλῃ ◦ λέγων ἔα τί ἡμῖν καὶ σοὶ ἰησοῦ ναζαρηνὲ ἦλθες
35 ἀπολέσαι ἡμᾶς οἶδά σε τίς εἶ ὁ ἅγιος τοῦ θεοῦ ◦ καὶ ἐπετί-

---

**v.20** T*: εν τη συναγωγη οι οφθαλμοι, V: οι οφθαλμοι εν τη συναγωγη. **v.22** T*: ουχ ουτος εστιν ο υιος ιωσηφ, V: ουχι υιος εστιν ιωσηφ ουτος. **v.23** T*: εν τη καπερναουμ, V: εις την καφαρναουμ. **v.26** T*: σιδωνος, V: σιδωνιας. **v.27** T*: επι ελισσαιου του προφητου εν τω ισραηλ, V: εν τω ισραηλ επι ελισαιου του προφητου. **v.27** T*: νεεμαν, V: ναιμαν. **v.29** TK: της, MV: ∅. **v.29** T*: αυτων ωκοδομητο εις το, V: ωκοδομητο αυτων ωστε. **v.31** T*: καπερναουμ, V: καφαρναουμ. **v.34** T*: λεγων, V: ∅.

μησεν αὐτῷ ὁ ἰησοῦς λέγων φιμώθητι καὶ ἔξελθε ἐξ᾽ αὐτοῦ
καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον ἐξῆλθεν ἀπ᾽
αὐτοῦ μηδὲν βλάψαν αὐτόν ⸰ καὶ ἐγένετο θάμβος ἐπὶ πάν- 36
τας καὶ συνελάλουν πρὸς ἀλλήλους λέγοντες τίς ὁ λόγος
οὗτος ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρ-
τοις πνεύμασιν καὶ ἐξέρχονται ⸰ καὶ ἐξεπορεύετο ἦχος περὶ 37
αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου ⸰ ἀναστὰς δὲ ἐκ τῆς 38
συναγωγῆς εἰσῆλθεν εἰς τὴν οἰκίαν σίμωνος ἡ᾽ πενθερὰ δὲ
τοῦ σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ καὶ ἠρώτησαν
αὐτὸν περὶ αὐτῆς ⸰ καὶ ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησεν 39
τῷ πυρετῷ καὶ ἀφῆκεν αὐτὴν παραχρῆμα δὲ ἀναστᾶσα δι-
ηκόνει αὐτοῖς ⸰ δύνοντος δὲ τοῦ ἡλίου ἅπάντες ὅσοι εἶχον 40
ἀσθενοῦντας νόσοις ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτὸν
ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς᾽ ἐθεράπευσεν αὐ-
τούς ⸰ ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν κῥάζοντα καὶ 41
λέγοντα ὅτι σὺ εἶ ὁ᾽ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ καὶ ἐπιτιμῶν
οὐκ εἴα αὐτὰ λαλεῖν ὅτι ᾔδεισαν τὸν χριστὸν αὐτὸν εἶναι ⸰
γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον 42
καὶ οἱ ὄχλοι ἐζήτουν αὐτὸν καὶ ἦλθον ἕως αὐτοῦ καὶ κατεῖ-
χον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ᾽ αὐτῶν ⸰ ὁ δὲ εἶπεν πρὸς 43
αὐτοὺς ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ
τὴν βασιλείαν τοῦ θεοῦ ὅτι εἰς᾽ τοῦτο ἀπέσταλμαι ⸰ καὶ ἦν 44
κηρύσσων ἐν᾽ ταῖς συναγωγαῖς τῆς γαλιλαίας ⸰

**5** Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τὸ῀ ἀκούειν
τὸν λόγον τοῦ θεοῦ καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην
γεννησαρέτ ⸰ καὶ εἶδεν δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην 2
οἱ δὲ ἁλιεῖς ἀποβάντες᾽ ἀπ᾽ αὐτῶν ἀπέπλυναν τὰ δίκτυα ⸰
ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων ὃ ἦν τοῦ σίμωνος ἠρώτησεν 3

**v.35** T*: εξ, V: απ. **v.35** TKV: το, M: ∅. **v.38** T*: εκ, V: απο. **v.38** TK: η, MV: ∅. **v.40** T*: παντες, V: απαντες. **v.40** T*: επιθεις εθεραπευσεν, V: επιτιθεις εθεραπευεν. **v.41** T*: κραζοντα, V: κρ[αυγ]αζοντα. **v.41** T*: ο χριστος, V: ∅. **v.42** TK: εζητουν, MV: επεζητουν. **v.43** T*: εις τουτο απεσταλμαι, V: επι τουτο απεσταλην. **v.44** T*: εν ταις συναγωγαις της γαλιλαιας, V: εις τας συναγωγας της ιουδαιας. **5. v.1** T*: του, V: και. **v.2** T*: αποβαντες απ αυτων απεπλυναν, V: απ αυτων αποβαντες επλυνον. **v.3** T*: του, V: ∅.

αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον καὶ˚ καθίσας ἐδί-
4 δασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους ⸰ ὡς δὲ ἐπαύσατο λαλῶν
εἶπεν πρὸς τὸν σίμωνα ἐπανάγαγε εἰς τὸ βάθος καὶ χαλά-
5 σατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν ⸰ καὶ ἀποκριθεὶς ὁ˚ σίμων
εἶπεν αὐτῷ ἐπιστάτα δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐ-
δὲν ἐλάβομεν ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ˚ δίκτυον ⸰
6 καὶ τοῦτο ποιήσαντες συνέκλεισαν ἰχθύων˚ πλῆθος πολὺ
7 διερρήγνυτο˚ δὲ τὸ δίκτυον αὐτῶν ⸰ καὶ κατένευσαν τοῖς
μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι
αὐτοῖς καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα ὥστε
8 βυθίζεσθαι αὐτά ⸰ ἰδὼν δὲ σίμων πέτρος προσέπεσεν τοῖς
γόνασιν ἰοῦ ἰησοῦ λέγων ἔξελθε ἀπ᾽ ἐμοῦ ὅτι ἀνὴρ ἁμαρτω-
9 λός εἰμι κύριε ⸰ θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας
10 τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ἣ˚ συνέλαβον ⸰ ὁ-
μοίως δὲ καὶ ἰάκωβον καὶ ἰωάννην υἱοὺς ζεβεδαίου οἳ ἦσαν
κοινωνοὶ τῷ σίμωνι καὶ εἶπεν πρὸς τὸν σίμωνα ὁ ἰησοῦς μὴ
11 φοβοῦ ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν ⸰ καὶ καταγα-
γόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν ἀφέντες ἅπαντα ἠκολούθησαν
12 αὐτῷ ⸰ καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων
καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας καὶ˚ ἰδὼν τὸν ἰησοῦν πε-
σὼν ἐπὶ πρόσωπον ἐδεήθη αὐτοῦ λέγων κύριε ἐὰν θέλῃς
13 δύνασαί με καθαρίσαι ⸰ καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐ-
τοῦ εἰπὼν θέλω καθαρίσθητι καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν
14 ἀπ᾽ αὐτοῦ ⸰ καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν ἀλ-
λὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ καὶ προσένεγκε περὶ
τοῦ καθαρισμοῦ σου καθὼς προσέταξεν μωσῆς εἰς μαρτύ-
15 ριον αὐτοῖς ⸰ διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ καὶ
συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν καὶ θεραπεύεσθαι ὑπ᾽˚
16 αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν ⸰ αὐτὸς δὲ ἦν ὑποχωρῶν

---

**v.3** T*: και καθισας εδιδασκεν εκ του πλοιου, V: καθισας δε εκ του πλοιου εδιδασκεν. **v.5** T*: ο, V: ∅. **v.5** T*: αυτω, V: ∅. **v.5** T*: της, V: ∅. **v.5** T*: το δικτυον, V: τα δικτυα. **v.6** TK: ιχθυων πληθος, MV: πληθος ιχθυων. **v.6** T*: διερρηγνυτο δε το δικτυον, V: διερρησσετο δε τα δικτυα. **v.7** T*: τοις, V: ∅. **v.8** TK: του, MV: ∅. **v.9** T*: η, V: ων. **v.11** T*: απαντα, V: παντα. **v.12** T*: και ιδων, V: ιδων δε. **v.13** T*: ειπων, V: λεγων. **v.14** T*: μωσης, V: μωυσης. **v.15** T*: υπ αυτου, V: ∅.

ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος ◦ καὶ ἐγένετο ἐν μιᾷ 17
τῶν ἡμερῶν καὶ αὐτὸς ἦν διδάσκων καὶ ἦσαν καθήμενοι
φαρισαῖοι καὶ νομοδιδάσκαλοι οἳ ἦσαν ἐληλυθότες ἐκ πά-
σης κώμης τῆς γαλιλαίας καὶ ἰουδαίας καὶ ἱερουσαλὴμ καὶ
δύναμις κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς ◦ καὶ ἰδοὺ ἄνδρες 18
φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος καὶ
ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι ἐνώπιον αὐτοῦ ◦ καὶ 19
μὴ εὑρόντες διὰ ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον
ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων καθῆκαν αὐτὸν
σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ ἰησοῦ ◦ καὶ 20
ἰδὼν τὴν πίστιν αὐτῶν εἶπεν αὐτῷ ἄνθρωπε ἀφέωνταί σοι αἱ
ἁμαρτίαι σου ◦ καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς 21
καὶ οἱ φαρισαῖοι λέγοντες τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφη-
μίας τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ θεός ◦
ἐπιγνοὺς δὲ ὁ ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν ἀποκριθεὶς 22
εἶπεν πρὸς αὐτοὺς τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν ◦
τί ἐστιν εὐκοπώτερον εἰπεῖν ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου 23
ἢ εἰπεῖν ἔγειραι καὶ περιπάτει ◦ ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν 24
ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας
εἶπεν τῷ παραλελυμένῳ σοὶ λέγω ἔγειραι καὶ ἆρας τὸ κλι-
νίδιόν σου πορεύου εἰς τὸν οἶκόν σου ◦ καὶ παραχρῆμα 25
ἀναστὰς ἐνώπιον αὐτῶν ἆρας ἐφ᾽ ᾧ κατέκειτο ἀπῆλθεν εἰς
τὸν οἶκον αὐτοῦ δοξάζων τὸν θεόν ◦ καὶ ἔκστασις ἔλαβεν 26
ἅπαντας καὶ ἐδόξαζον τὸν θεὸν καὶ ἐπλήσθησαν φόβου λέ-
γοντες ὅτι εἴδομεν παράδοξα σήμερον ◦ καὶ μετὰ ταῦτα ἐξ- 27
ἦλθεν καὶ ἐθεάσατο τελώνην ὀνόματι λευῒν καθήμενον ἐπὶ
τὸ τελώνιον καὶ εἶπεν αὐτῷ ἀκολούθει μοι ◦ καὶ καταλιπὼν 28
ἅπαντα ἀναστὰς ἠκολούθησεν αὐτῷ ◦ καὶ ἐποίησεν δοχὴν 29
μεγάλην ὁ λευῒς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ ἦν ὄχλος

**v.17** T*: αυτους, V: αυτον. **v.18** T*: ενωπιον, V: [αυτον] ενωπιον. **v.19** TK: δια, MV: ∅. **v.20** T*: αυτω, V: ∅. **v.21** T*: αφιεναι αμαρτιας, V: αμαρτιας αφειναι. **v.23** T*: εγειραι, V: εγειρε. **v.24** T*: εξουσιαν εχει ο υιος του ανθρωπου, V: ο υιος του ανθρωπου εξουσιαν εχει. **v.24** T*: εγειραι, V: εγειρε. **v.25** TK: ω, MV: ο. **v.28** T*: απαντα αναστας ηκολουθησεν, V: παντα αναστας ηκολουθει. **v.29** TK: ο, MV: ∅.

τελωνῶν˚ πολὺς καὶ ἄλλων οἳ ἦσαν μετ᾽ αὐτῶν κατακείμε-
30 νοι ◦ καὶ ἐγόγγυζον οἱ γραμματεῖς˚ αὐτῶν καὶ οἱ φαρισαῖοι
πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες διατὶ μετὰ τελωνῶν καὶ
31 ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε ◦ καὶ ἀποκριθεὶς ὁ ἰησοῦς
εἶπεν πρὸς αὐτοὺς οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰα-
32 τροῦ ἀλλ᾽ οἱ κακῶς ἔχοντες ◦ οὐκ ἐλήλυθα καλέσαι δικαί-
33 ους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν ◦ οἱ δὲ εἶπόν πρὸς
αὐτὸν διατὶ οἱ μαθηταὶ ἰωάννου νηστεύουσιν πυκνὰ καὶ
δεήσεις ποιοῦνται ὁμοίως καὶ οἱ τῶν φαρισαίων οἱ δὲ σοὶ
34 ἐσθίουσιν καὶ πίνουσιν ◦ ὁ δὲ˚ εἶπεν πρὸς αὐτοὺς μὴ δύ-
νασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν
35 ἐστιν ποιῆσαι νηστεύειν ◦ ἐλεύσονται δὲ ἡμέραι καὶ ὅταν
ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος τότε νηστεύσουσιν ἐν ἐκεί-
36 ναις ταῖς ἡμέραις ◦ ἔλεγεν δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς
ὅτι οὐδεὶς ἐπίβλημα ἱματίου˚ καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον
παλαιὸν εἰ δὲ μήγε καὶ τὸ καινὸν σχίζει καὶ τῷ παλαιῷ οὐ
37 συμφωνεῖ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ ◦ καὶ οὐδεὶς βάλλει
οἶνον νέον εἰς ἀσκοὺς παλαιοὺς εἰ δὲ μήγε ῥήξει ὁ˚ νέος
οἶνος τοὺς ἀσκοὺς καὶ αὐτὸς ἐκχυθήσεται καὶ οἱ ἀσκοὶ ἀ-
38 πολοῦνται ◦ ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον
39 καὶ˚ ἀμφότεροι συντηροῦνται ◦ καὶ οὐδεὶς πιὼν παλαιὸν
εὐθέως θέλει νέον λέγει γὰρ ὁ παλαιὸς χρηστότερός ἐστιν ◦

**6** Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι
αὐτὸν διὰ τῶν σπορίμων καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ
2 τοὺς˚ στάχυας καὶ ἤσθιον ψώχοντες ταῖς χερσίν ◦ τινὲς δὲ
τῶν φαρισαίων εἶπον˚ αὐτοῖς τί ποιεῖτε ὃ οὐκ ἔξεστιν ποι-

---

**v.29** T*: τελωνων πολυς, V: πολυς τελωνων. **v.30** T*: γραμματεις αυτων και οι φαρισαιοι, V: φαρισαιοι και οι γραμματεις αυτων. **v.30** TK: διατι, MV: δια τι. **v.30** TK: τελωνων, MV: των τελωνων. **v.31** T*: αλλ, V: αλλα. **v.33** T*: ειπον, V: ειπαν. **v.33** TK: διατι, M: δια τι, V: ∅. **v.34** T*: δε, V: δε ιησους. **v.34** T*: νηστευειν, V: νηστευσαι. **v.36** T*: ιματιου καινου, V: απο ιματιου καινου σχισας. **v.36** TK: μηγε, MV: μη γε. **v.36** T*: σχιζει, V: σχισει. **v.36** T*: συμφωνει, V: συμφωνησει. **v.36** TK: επιβλημα, M: ∅, V: το επιβλημα. **v.37** TK: μηγε, MV: μη γε. **v.37** T*: ο νεος οινος, V: ο οινος ο νεος. **v.38** T*: και αμφοτεροι συντηρουνται, V: ∅. **v.39** T*: ευθεως, V: ∅. **v.39** T*: χρηστοτερος, V: χρηστος. **6. v.1** T*: δευτεροπρωτω, V: ∅. **v.1** T*: των, V: ∅. **v.1** T*: τους σταχυας και ησθιον, V: και ησθιον τους σταχυας. **v.2** T*: ειπον αυτοις, V: ειπαν.

εἶν˚ ἐν τοῖς σάββασιν ⸰ καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν 3
ὁ ἰησοῦς οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησεν δαβὶδ ὁ᷈τότε ἐ-
πείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες ⸰ ὡς εἰσῆλθεν εἰς 4
τὸν οἶκον τοῦ θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλα-
βεν˚ καὶ ἔφαγεν καὶ ἔδωκεν κἀὶ τοῖς μετ᾽ αὐτοῦ οὓς οὐκ
ἔξεστιν φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς ⸰ καὶ ἔλεγεν αὐ- 5
τοῖς ὅτι κύριός ἐστιν ὁ˚ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββά-
του ⸰ ἐγένετο δὲ κἀὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς 6
τὴν συναγωγὴν καὶ διδάσκειν καὶ ἦν ἐκεῖ˚ ἄνθρωπος καὶ
ἡ χειὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά ⸰ παρετήρουν᾽ δὲ αὐ᷈τὸν οἱ 7
γραμματεῖς καὶ οἱ φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει
ἵνα εὕρωσιν κατηγορίἀν αὐτοῦ ⸰ αὐτὸς δὲ ᾔδει τοὺς διαλο- 8
γισμοὺς αὐτῶν καὶ˚ εἶπεν τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν
χεῖρα ἔγειρἀι καὶ στῆθι εἰς τὸ μέσον ὁ˚ δὲ ἀναστὰς ἔστη ⸰
εἶπεν ὂῦν ὁ ἰησοῦς πρὸς αὐτοὺς ἐπερωτήσω˚ ὑμᾶς τί ἔξεστιν 9
τοῖς σάββασιν ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι ψυχὴν σῶσαι
ἢ ἀπολέσἀι ⸰ καὶ περιβλεψάμενος πάντας αὐτοὺς εἶ᷈πεν 10
τῷ˚ ἀνθρώπῳ ἔκτεινον τὴν χεῖρά σου ὁ δὲ ἐποίησεν οὕ᷈τως
καὶ ἀπόκατεστάθη ἡ χειὶρ αὐτοῦ ὑγιὴς˚ ὡς ἡ ἄλλη ⸰ αὐτοὶ 11
δὲ ἐπλήσθησαν ἀνοίας καὶ διελάλουν πρὸς ἀλλήλους τί ἂν
ποιήσἐιαν τῷ ἰησοῦ ⸰ ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις 12
ἐξῆλθἐν εἰς τὸ ὄρος προσεύξασθαι καὶ ἦν διανυκτερεύων
ἐν τῇ προσευχῇ τοῦ θεοῦ ⸰ καὶ ὅτε ἐγένετο ἡμέρα προσε- 13
φώνησεν τοὺς μαθητὰς αὐτοῦ καὶ ἐκλεξάμενος ἀπ᾽ αὐτῶν

**v.2** T*: ποιειν εν, V: ∅. **v.3** T*: δαβιδ, V: δαυιδ. **v.3** T*: οποτε, V: οτε. **v.4** T*: ελαβεν και, V: λαβων. **v.4** T*: και, V: ∅. **v.4** E: ιερεις, D: ιερεις τη αυτη ημερα θεασαμενος τινα εργαζομενον τω σαββατω ειπεν αυτω ανθρωπε ει μεν οιδας τι ποιεις μακαριος ει ει δε μη οιδας επικαταρατος και παραβατης ει του νομου (and omits verse 5). **v.5** T*: οτι, V: ∅. **v.5** T*: ο υιος του ανθρωπου και του σαββατου, V: του σαββατου ο υιος του ανθρωπου. **v.6** T*: και, V: ∅. **v.6** T*: εκει ανθρωπος, V: ανθρωπος εκει. **v.7** T*: παρετηρουν, V: παρετηρουντο. **v.7** TKV: αυτον, M: ∅. **v.7** T*: θεραπευσει, V: θεραπευει. **v.7** T*: κατηγοριαν, V: κατηγορειν. **v.8** T*: και ειπεν τω ανθρωπω, V: ειπεν δε τω ανδρι. **v.8** T*: εγειραι, V: εγειρε. **v.8** T*: ο δε, V: και. **v.9** T*: ουν, V: δε. **v.9** T*: επερωτησω υμας τι εξεστιν τοις σαββασιν, V: επερωτω υμας ει εξεστιν τω σαββατω. **v.9** TKV: απολεσαι, M: αποκτειναι. **v.10** E: ειπεν, D: εν οργη λεγει. **v.10** TK: τω ανθρωπω, MV: αυτω. **v.10** TK: ουτως, MV: ∅. **v.10** T*: αποκατεσταθη, V: απεκατεσταθη. **v.10** T*: υγιης ως η αλλη, V: ∅. **v.11** T*: ποιησειαν, V: ποιησαιεν. **v.12** T*: εξηλθεν, V: εξελθειν αυτον.

14 δώδεκα οὓς καὶ ἀποστόλους ὠνόμασεν ⸰ σίμωνα ὃν καὶ ὠ-
νόμασεν πέτρον καὶ ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ ἰάκωβον˚
15 καὶ ἰωάννην φίλιππον καὶ βαρθολομαῖον ⸰ ματθαῖον˚ καὶ
θωμᾶν ἰάκωβον τὸν τοῦ ἁλφαίου καὶ σίμωνα τὸν καλού-
16 μενον ζηλωτήν ⸰ ἰούδαν ἰακώβου καὶ ἰούδαν ἰσκαριώτην˚
17 ὃς καὶ ἐγένετο προδότης ⸰ καὶ καταβὰς μετ᾽ αὐτῶν ἔστη ἐ-
πὶ τόπου πεδινοῦ καὶ ὄχλος μαθητῶν αὐτοῦ καὶ πλῆθος
πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς ἰουδαίας καὶ ἱερουσαλὴμ
καὶ τῆς παραλίου τύρου καὶ σιδῶνος οἳ ἦλθον ἀκοῦσαι
18 αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν ⸰ καὶ οἱ ὀχλού-
19 μενοι˚ ὑπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο ⸰ καὶ
πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ ὅτι δύναμις παρ᾽ αὐτοῦ
20 ἐξήρχετο καὶ ἰᾶτο πάντας ⸰ καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλ-
μοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγεν μακάριοι οἱ
21 πτωχοὶ ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ ⸰ μακάριοι
οἱ πεινῶντες νῦν ὅτι χορτασθήσεσθε μακάριοι οἱ κλαίοντες
22 νῦν ὅτι γελάσετε ⸰ μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ
ἄνθρωποι καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσιν καὶ
ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ
23 ἀνθρώπου ⸰ χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε ἰ-
δοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ κατὰ ταῦτα
24 γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν ⸰ πλὴν οὐ-
αὶ ὑμῖν τοῖς πλουσίοις ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν ⸰
25 οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι ὅτι˚ πεινάσετε οὐαὶ ὑμῖν οἱ
26 γελῶντες νῦν ὅτι πενθήσετε καὶ κλαύσετε ⸰ οὐαὶ ὑμῖν ὅταν
καλῶς˚ ὑμᾶς εἴπωσιν πάντες οἱ ἄνθρωποι κατὰ ταῦτα γὰρ
27 ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν ⸰ ἀλλ᾽ ὑμῖν
λέγω τοῖς ἀκούουσιν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καλῶς

---

**v.14** T*: ιακωβον και ιωαννην, V: και ιακωβον και ιωαννην και. **v.15** T*: ματθαιον και θωμαν ιακωβον τον του, V: και μαθθαιον και θωμαν και ιακωβον. **v.16** T*: ιουδαν, V: και ιουδαν. **v.16** T*: ισκαριωτην ος και, V: ισκαριωθ ος. **v.17** T*: οχλος, V: οχλος πολυς. **v.18** T*: οχλουμενοι υπο, V: ενοχλουμενοι απο. **v.19** T*: εζητει, V: εζητουν. **v.23** TK: χαιρετε, MV: χαρητε. **v.23** T*: ταυτα, V: τα αυτα. **v.25** T*: οτι πεινασετε ουαι υμιν, V: νυν οτι πεινασετε ουαι. **v.26** TK: υμιν, MV: ∅. **v.26** T*: καλως υμας, V: υμας καλως. **v.26** TKV: παντες, M: ∅. **v.26** T*: ταυτα, V: τα αυτα. **v.27** T*: αλλ, V: αλλα.

ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς ◦ εὐλογεῖτε τοὺς καταρωμένους 28
ὑμῖν καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς ◦ τῷ 29
τύπτοντί σε ἐπὶ τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην καὶ ἀπὸ
τοῦ αἴροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα μὴ κωλύσῃς ◦
παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ 30
μὴ ἀπαίτει ◦ καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρω- 31
ποι καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως ◦ καὶ εἰ ἀγαπᾶτε τοὺς 32
ἀγαπῶντας ὑμᾶς ποία ὑμῖν χάρις ἐστὶν καὶ γὰρ οἱ ἁμαρ-
τωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσιν ◦ καὶ ἐὰν ἀγαθο- 33
ποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς ποία ὑμῖν χάρις ἐστὶν
καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσιν ◦ καὶ ἐὰν δανείζητε 34
παρ᾽ ὧν ἐλπίζετε ἀπολαβεῖν ποία ὑμῖν χάρις ἐστὶν καὶ γὰρ
οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν ἵνα ἀπολάβωσιν τὰ
ἴσα ◦ πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ ἀγαθοποιεῖτε 35
καὶ δανείζετε μηδὲν ἀπελπίζοντες καὶ ἔσται ὁ μισθὸς ὑ-
μῶν πολὺς καὶ ἔσεσθε υἱοὶ τοῦ ὑψίστου ὅτι αὐτὸς χρηστός
ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς ◦ γίνεσθε οὖν οἰ- 36
κτίρμονες καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν ◦ καὶ 37
μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε μὴ καταδικάζετε καὶ οὐ μὴ
καταδικασθῆτε ἀπολύετε καὶ ἀπολυθήσεσθε ◦ δίδοτε καὶ 38
δοθήσεται ὑμῖν μέτρον καλὸν πεπιεσμένον καὶ σεσαλευμέ-
νον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν
τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν ◦
εἶπεν δὲ παραβολὴν αὐτοῖς μήτι δύναται τυφλὸς τυφλὸν 39
ὁδηγεῖν οὐχὶ ἀμφότεροι εἰς βόθυνον πεσοῦνται ◦ οὐκ ἔ- 40
στιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον αὐτοῦ κατηρτισμένος
δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ ◦ τί δὲ βλέπεις τὸ 41
κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου τὴν δὲ δοκὸν

**v.28** T*: υμιν, V: υμας. **v.28** TK: και, MV: ∅. **v.28** T*: υπερ, V: περι. **v.30** T*: δε τω, V: ∅. **v.31** T*: και υμεις, V: ∅. **v.33** T*: και, V: και [γαρ]. **v.33** T*: γαρ, V: ∅. **v.34** T*: δανειζητε, V: δανισητε. **v.34** TMV: ελπιζετε, K: ελπιζητε. **v.34** T*: απολαβειν, V: λαβειν. **v.34** TK: γαρ οι, M: γαρ, V: ∅. **v.34** T*: δανειζουσιν, V: δανιζουσιν. **v.35** T*: δανειζετε, V: δανιζετε. **v.35** TK: του, MV: ∅. **v.36** T*: ουν, V: ∅. **v.37** TMV: και, K: ∅. **v.37** T*: μη, V: και μη. **v.38** T*: και, V: ∅. **v.38** T*: υπερεκχυνομενον, V: υπερεκχυννομενον. **v.38** T*: τω γαρ αυτω μετρω ω, V: ω γαρ μετρω. **v.39** T*: δε, V: δε και. **v.39** T*: πεσουνται, V: εμπεσουνται. **v.40** T*: αυτου, V: ∅.

42 τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ κατανοεῖς· ἢ˚ πῶς δύνασαι
λέγειν τῷ ἀδελφῷ σου ἀδελφὲ ἄφες ἐκβάλω τὸ κάρφος τὸ
ἐν τῷ ὀφθαλμῷ σου αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δο-
κὸν οὐ βλέπων ὑποκριτὰ ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ
ὀφθαλμοῦ σου καὶ τότε διαβλέψεις ἐκβαλεῖν˚ τὸ κάρφος
43 τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου· οὐ γάρ ἐστιν δέν-
δρον καλὸν ποιοῦν καρπὸν σαπρὸν οὐδὲ δένδρον σαπρὸν
44 ποιοῦν καρπὸν καλόν· ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου
καρποῦ γινώσκεται οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα
45 οὐδὲ ἐκ βάτου τρυγῶσιν˚ σταφυλήν· ὁ ἀγαθὸς ἄνθρωπος
ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ
ἀγαθὸν καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυ-
ροῦ˚ τῆς καρδίας αὐτοῦ προφέρει τὸ πονηρὸν ἐκ γὰρ τοῦ
46 περισσεύματος τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ· τί δέ
47 με καλεῖτε κύριε κύριε καὶ οὐ ποιεῖτε ἃ λέγω· πᾶς ὁ ἐρ-
χόμενος πρός με καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν
48 αὐτοὺς ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος· ὅμοιός ἐστιν ἀν-
θρώπῳ οἰκοδομοῦντι οἰκίαν ὃς ἔσκαψεν καὶ ἐβάθυνεν καὶ
ἔθηκεν θεμέλιον ἐπὶ τὴν πέτραν πλημμύρας δὲ γενομένης
προσέρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἴσχυσεν
49 σαλεῦσαι αὐτὴν τεθεμελίωτο˚ γὰρ ἐπὶ τὴν πέτραν· ὁ δὲ
ἀκούσας καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδο-
μήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου ᾗ προσέρρηξεν
ὁ ποταμὸς καὶ εὐθέως˚ ἔπεσεν καὶ ἐγένετο τὸ ῥῆγμα τῆς
οἰκίας ἐκείνης μέγα·

**7** Ἐπεὶ˚ δὲ ἐπλήρωσεν πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀ-
2 κοὰς τοῦ λαοῦ εἰσῆλθεν εἰς Καπερναούμ· ἑκατοντάρχου

---

**v.42** T*: η, V: ∅. **v.42** T*: εκβαλειν το καρφος το εν τω οφθαλμω του αδελφου σου, V: το καρφος το εν τω οφθαλμω του αδελφου σου εκβαλειν. **v.43** T*: ουδε, V: ουδε παλιν. **v.44** T*: τρυγωσιν σταφυλην, V: σταφυλην τρυγωσιν. **v.45** T*: αυτου, V: ∅. **v.45** T*: ανθρωπος, V: ∅. **v.45** T*: θησαυρου της καρδιας αυτου, V: ∅. **v.45** T*: του, V: ∅. **v.45** T*: της, V: ∅. **v.48** T*: πλημμυρας, V: πλημμυρης. **v.48** T*: προσερρηξεν, V: προσερηξεν. **v.48** T*: τεθεμελιωτο γαρ επι την πετραν, V: δια το καλως οικοδομησθαι αυτην. **v.49** T*: προσερρηξεν, V: προσερηξεν. **v.49** T*: ευθεως επεσεν, V: ευθυς συνεπεσεν. **7. v.1** T*: επει δε, V: επειδη. **v.1** T*: καπερναουμ, V: καφαρναουμ.

δέ τινος δοῦλος κακῶς ἔχων ἤμελλεν τελευτᾶν ὃς ἦν αὐτῷ
ἔντιμος· ἀκούσας δὲ περὶ τοῦ ἰησοῦ ἀπέστειλεν πρὸς αὐ- 3
τὸν πρεσβυτέρους τῶν ἰουδαίων ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν
διασώσῃ τὸν δοῦλον αὐτοῦ· οἱ δὲ παραγενόμενοι πρὸς τὸν 4
ἰησοῦν παρεκάλουν αὐτὸν σπουδαίως λέγοντες ὅτι ἄξιός ἐ-
στιν ᾧ παρέξῃ τοῦτο· ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν καὶ τὴν 5
συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν· ὁ δὲ ἰησοῦς ἐπορεύ- 6
ετο σὺν αὐτοῖς ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ
τῆς οἰκίας ἔπεμψεν πρὸς˚ αὐτὸν ὁ ἑκατόνταρχος φίλους
λέγων αὐτῷ κύριε μὴ σκύλλου οὐ γάρ εἰμι˚ ἱκανὸς ἵνα ὑ-
πὸ˚ τὴν στέγην μου εἰσέλθῃς· διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα 7
πρός σε ἐλθεῖν ἀλλὰ εἰπὲ λόγῳ καὶ ἰαθήσεται ὁ παῖς μου·
καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος ἔ- 8
χων ὑπ᾽ ἐμαυτὸν στρατιώτας καὶ λέγω τούτῳ πορεύθητι καὶ
πορεύεται καὶ ἄλλῳ ἔρχου καὶ ἔρχεται καὶ τῷ δούλῳ μου
ποίησον τοῦτο καὶ ποιεῖ· ἀκούσας δὲ ταῦτα ὁ ἰησοῦς ἐ- 9
θαύμασεν αὐτὸν καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ
εἶπεν λέγω ὑμῖν οὐδὲ ἐν τῷ ἰσραὴλ τοσαύτην πίστιν εὗρον·
καὶ ὑποστρέψαντες οἱ˚ πεμφθέντες εἰς τὸν οἶκον εὗρον τὸν 10
ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα· καὶ ἐγένετο ἐν τῇ ἑξῆς ἐ- 11
πορεύετο εἰς πόλιν καλουμένην ναΐν καὶ συνεπορεύοντο
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ καὶ ὄχλος πολύς· ὡς δὲ 12
ἤγγισεν τῇ πύλῃ τῆς πόλεως καὶ ἰδοὺ ἐξεκομίζετο τεθνη-
κὼς υἱὸς˚ μονογενὴς τῇ μητρὶ αὐτοῦ καὶ αὕτη ἦν χήρα
καὶ ὄχλος τῆς πόλεως ἱκανὸς ὄυν αὐτῇ· καὶ ἰδὼν αὐτὴν ὁ 13
κύριος ἐσπλαγχνίσθη ἐπ᾽ αὐτῇ καὶ εἶπεν αὐτῇ μὴ κλαῖε·
καὶ προσελθὼν ἥψατο τῆς σοροῦ οἱ δὲ βαστάζοντες ἔστη- 14
σαν καὶ εἶπεν νεανίσκε σοὶ λέγω ἐγέρθητι· καὶ ἀνεκάθι- 15

**v.2** TKV: ημελλεν, M: εμελλεν. **v.4** T*: παρεξει, V: παρεξη. **v.6** T*: προς αυτον ο εκατονταρχος φιλους, V: φιλους ο εκατονταρχης. **v.6** T*: ειμι ικανος, V: ικανος ειμι. **v.6** TKV: υπο την στεγην μου, M: μου υπο την στεγην. **v.7** TKV: αλλα, M: αλλ. **v.7** T*: ιαθησεται, V: ιαθητω. **v.9** TKV: ουδε, M: ουτε. **v.10** T*: οι πεμφθεντες εις τον οικον, V: εις τον οικον οι πεμφθεντες. **v.10** T*: ασθενουντα, V: ∅. **v.11** TK: τη, MV: τω. **v.11** T*: επορευετο, V: επορευθη. **v.11** T*: ικανοι, V: ∅. **v.12** T*: υιος μονογενης, V: μονογενης υιος. **v.12** TKV: ην, M: ∅. **v.12** TM: συν, KV: ην συν.

σεν ὁ νεκρὸς καὶ ἤρξατο λαλεῖν καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ
16 αὐτοῦ ◦ ἔλαβεν δὲ φόβος ἅπαντας καὶ ἐδόξαζον τὸν θεὸν
λέγοντες ὅτι προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν καὶ ὅτι ἐ-
17 πεσκέψατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ ◦ καὶ ἐξῆλθεν ὁ λόγος
οὗτος ἐν ὅλῃ τῇ ἰουδαίᾳ περὶ αὐτοῦ καὶ ἐν πάσῃ τῇ πε-
18 ριχώρῳ ◦ καὶ ἀπήγγειλαν ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ
19 πάντων τούτων ◦ καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μα-
θητῶν αὐτοῦ ὁ ἰωάννης ἔπεμψεν πρὸς τὸν ἰησοῦν λέγων
20 σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν ◦ παραγενόμενοι
δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπόν ἰωάννης ὁ βαπτιστὴς ἀ-
πέστᾶλκεν ἡμᾶς πρός σε λέγων σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον
21 προσδοκῶμεν ◦ ἐν αὐτῇ˚ δὲ τῇ ὥρᾳ ἐθεράπευσεν πολλοὺς
ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν καὶ τυ-
22 φλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν ◦ καὶ ἀποκριθεὶς ὁ˚
ἰησοῦς εἶπεν αὐτοῖς πορευθέντες ἀπαγγείλατε ἰωάννῃ ἃ
εἴδετε καὶ ἠκούσατε ὅτι τυφλοὶ ἀναβλέπουσιν χωλοὶ πε-
ριπατοῦσιν λεπροὶ καθαρίζονται κωφοὶ ἀκούουσιν νεκροὶ
23 ἐγείρονται πτωχοὶ εὐαγγελίζονται ◦ καὶ μακάριός ἐστιν ὃς
24 ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί ◦ ἀπελθόντων δὲ τῶν ἀγγέλων
ἰωάννου ἤρξατο λέγειν πρὸς˚ τοὺς ὄχλους περὶ ἰωάννου τί
ἐξελήλύθατε εἰς τὴν ἔρημον θεάσασθαι κάλαμον ὑπὸ ἀνέ-
25 μου σαλευόμενον ◦ ἀλλὰ τί ἐξελήλύθατε ἰδεῖν ἄνθρωπον ἐν
μαλακοῖς ἱματίοις ἠμφιεσμένον ἰδοὺ οἱ ἐν ἱματισμῷ˚ ἐνδό-
26 ξῳ καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς βασιλείοις εἰσίν ◦ ἀλλὰ
τί ἐξελήλύθατε ἰδεῖν προφήτην ναὶ λέγω ὑμῖν καὶ περισ-
27 σότερον προφήτου ◦ οὗτός ἐστιν περὶ οὗ˜ γέγραπται ἰδοὺ
ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου ὃς
28 κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου ◦ λέγω γὰρ ὑ-

**v.16** ΤΚ: απαντας, ΜV: παντας. **v.16** T*: εγηγερται, V: ηγερθη. **v.17** T*: εν, V: ∅. **v.19** T*: ιησουν, V: κυριον. **v.20** T*: ειπον, V: ειπαν. **v.20** T*: απεσταλκεν, V: απεστειλεν. **v.21** T*: αυτη δε, V: εκεινη. **v.21** T*: το, V: ∅. **v.22** T*: ο ιησους, V: ∅. **v.22** T*: οτι, V: ∅. **v.22** T*: κωφοι, V: και κωφοι. **v.24** ΤΚV: προς τους οχλους, M: τοις οχλοις. **v.24** T*: εξεληλυθατε, V: εξηλθατε. **v.25** T*: εξεληλυθατε, V: εξηλθατε. **v.26** T*: εξεληλυθατε, V: εξηλθατε. **v.27** T*: εγω, V: ∅. **v.28** T*: γαρ, V: ∅.

μῖν μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης˚ ἰωάννου τοῦ
βαπτιστοῦ οὐδείς ἐστιν ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ
θεοῦ μείζων αὐτοῦ ἐστιν ⸰ καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ 29
τελῶναι ἐδικαίωσαν τὸν θεὸν βαπτισθέντες τὸ βάπτισμα ἰ-
ωάννου ⸰ οἱ δὲ φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ 30
θεοῦ ἠθέτησαν εἰς ἑαυτοὺς μὴ βαπτισθέντες ὑπ᾽ αὐτοῦ ⸰
εἶπεν˚ δὲ ὁ κύριος τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς 31
γενεᾶς ταύτης καὶ τίνι εἰσὶν ὅμοιοι ⸰ ὅμοιοί εἰσιν παιδίοις 32
τοῖς ἐν ἀγορᾷ καθημένοις καὶ προσφωνοῦσιν ἀλλήλοις καὶ˚
λέγουσιν ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε ἐθρηνήσα-
μεν ὑμῖν καὶ οὐκ ἐκλαύσατε ⸰ ἐλήλυθεν γὰρ ἰωάννης ὁ 33
βαπτιστὴς μήτε˚ ἄρτον ἐσθίων μήτε οἶνον πίνων καὶ λέγετε
δαιμόνιον ἔχει ⸰ ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ 34
πίνων καὶ λέγετε ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης τε-
λωνῶν˚ φίλος καὶ ἁμαρτωλῶν ⸰ καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ 35
τῶν˚ τέκνων αὐτῆς πάντων ⸰ ἠρώτα δέ τις αὐτὸν τῶν φαρι- 36
σαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ καὶ εἰσελθὼν εἰς τὴν˚ οἰκίαν τοῦ
φαρισαίου ἀνέκλίθη ⸰ καὶ ἰδοὺ γυνὴ ἐν˚ τῇ πόλει ἥτις ἦν 37
ἁμαρτωλὸς ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ φα-
ρισαίου κομίσασα ἀλάβαστρον μύρου ⸰ καὶ στᾶσα παρὰ˚ 38
τοὺς πόδας αὐτοῦ ὀπίσω κλαίουσα ἤρξατο˚ βρέχειν τοὺς
πόδας αὐτοῦ τοῖς δάκρυσιν καὶ ταῖς θριξὶν τῆς κεφαλῆς
αὐτῆς ἐξέμασσεν καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλει-
φεν τῷ μύρῳ ⸰ ἰδὼν δὲ ὁ φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν 39
ἐν ἑαυτῷ λέγων οὗτος εἰ ἦν προφήτης ἐγίνωσκεν ἂν τίς καὶ
ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ ὅτι ἁμαρτωλός ἐστιν ⸰
καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν πρὸς αὐτὸν σίμων ἔχω σοί 40

---

**v.28** T*: προφητης ιωαννου του βαπτιστου, V: ιωαννου. **v.31** TK: ειπεν δε ο κυριος, MV: ∅. **v.32** T*: και λεγουσιν, V: α λεγει. **v.32** T*: υμιν, V: ∅. **v.33** T*: μητε αρτον εσθιων μητε οινον πινων, V: μη εσθιων αρτον μητε πινων οινον. **v.34** TK: τελωνων φιλος, MV: φιλος τελωνων. **v.35** T*: των τεκνων αυτης παντων, V: παντων των τεκνων αυτης, ℵ: παντων των εργων αυτης. **v.36** T*: την οικιαν, V: τον οικον. **v.36** T*: ανεκλιθη, V: κατεκλιθη. **v.37** T*: εν τη πολει ητις ην, V: ητις ην εν τη πολει. **v.37** T*: επιγνουσα, V: και επιγνουσα. **v.37** T*: ανακειται, V: κατακειται. **v.38** T*: παρα τους ποδας αυτου οπισω, V: οπισω παρα τους ποδας αυτου. **v.38** T*: ηρξατο βρεχειν τους ποδας αυτου τοις δακρυσιν, V: τοις δακρυσιν ηρξατο βρεχειν τους ποδας αυτου.

41 τι εἰπεῖν ὁ δέ φησιν˚ διδάσκαλε εἰπέ· δύο χρεῶφειλέται
ἦσαν δανὲιστῇ τινι ὁ εἷς ὤφειλεν δηνάρια πεντακόσια ὁ
42 δὲ ἕτερος πεντήκοντα· μὴ ἐχόντων δὲ˚ αὐτῶν ἀποδοῦναι
ἀμφοτέροις ἐχαρίσατο τίς οὖν αὐτῶν εἰπὲ πλεῖον αὐτὸν˚ ἀ-
43 γαπήσει· ἀποκριθεὶς δὲ˚ ὁ σίμων εἶπεν ὑπολαμβάνω ὅτι ᾧ
44 τὸ πλεῖον ἐχαρίσατο ὁ δὲ εἶπεν αὐτῷ ὀρθῶς ἔκρινας· καὶ
στραφεὶς πρὸς τὴν γυναῖκα τῷ σίμωνι ἔφη βλέπεις ταύτην
τὴν γυναῖκα εἰσῆλθόν σου εἰς τὴν οἰκίαν ὕδωρ ἐπὶ˚ τοὺς
πόδας μου οὐκ ἔδωκας αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέν μου
τοὺς πόδας καὶ ταῖς θριξὶν τῆς˚ κεφαλῆς αὐτῆς ἐξέμαξεν·
45 φίλημά μοι οὐκ ἔδωκας αὕτη δὲ ἀφ᾽ ἧς εἰσῆλθον οὐ διέ-
46 λιπεν καταφιλοῦσά μου τοὺς πόδας· ἐλαίῳ τὴν κεφαλήν
μου οὐκ ἤλειψας αὕτη δὲ μύρῳ ἤλειψέν μου˚ τοὺς πόδας·
47 οὗ χάριν λέγω σοι ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαὶ
48 ὅτι ἠγάπησεν πολὺ ᾧ δὲ ὀλίγον ἀφίεται ὀλίγον ἀγαπᾷ· εἶ-
49 πεν δὲ αὐτῇ ἀφέωνταί σου αἱ ἁμαρτίαι· καὶ ἤρξαντο οἱ
συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς τίς οὗτός ἐστιν ὃς καὶ ἁ-
50 μαρτίας ἀφίησιν· εἶπεν δὲ πρὸς τὴν γυναῖκα ἡ πίστις σου
σέσωκέν σε πορεύου εἰς εἰρήνην·

**8** Καὶ ἐγένετο ἐν τῷ καθεξῆς καὶ αὐτὸς διώδευεν κατὰ πό-
λιν καὶ κώμην κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασι-
2 λείαν τοῦ θεοῦ καὶ οἱ δώδεκα σὺν αὐτῷ· καὶ γυναῖκές τι-
νες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ
ἀσθενειῶν μαρία ἡ καλουμένη μαγδαληνὴ ἀφ᾽ ἧς δαιμό-
3 νια ἑπτὰ ἐξεληλύθει· καὶ ἰωάννα γυνὴ χουζᾶ ἐπιτρόπου
ἡρώδου καὶ σουσάννα καὶ ἕτεραι πολλαὶ αἵτινες διηκόνουν
4 αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς· συνιόντος δὲ ὄχλου
πολλοῦ καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν
5 εἶπεν διὰ παραβολῆς· ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν

---

**v.40** T*: φησιν διδασκαλε ειπε, V: διδασκαλε ειπε φησιν. **v.41** T*: χρεωφειλεται, V: χρεοφειλεται. **v.41** T*: δανειστη, V: δανιστη. **v.42** T*: δε, V: ∅. **v.42** T*: ειπε, V: ∅. **v.42** T*: αυτον αγαπησει, V: αγαπησει αυτον. **v.43** T*: δε ο, V: ∅. **v.44** T*: επι τους ποδας μου, V: μοι επι ποδας. **v.44** T*: της κεφαλης, V: ∅. **v.46** T*: μου τους ποδας, V: τους ποδας μου. **8. v.3** TKV: σουσαννα, M: σωσαννα. **v.3** TK: αυτω, MV: αυτοις. **v.3** T*: απο, V: εκ.

σπόρον αὐτοῦ καὶ ἐν τῷ σπείρειν αὐτὸν ὃ μὲν ἔπεσεν παρὰ
τὴν ὁδὸν καὶ κατεπατήθη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κα-
τέφαγεν αὐτό ◦ καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν καὶ φυὲν 6
ἐξηράνθη διὰ τὸ μὴ ἔχειν ἰκμάδα ◦ καὶ ἕτερον ἔπεσεν ἐν 7
μέσῳ τῶν ἀκανθῶν καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν
αὐτό ◦ καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν καὶ φυὲν 8
ἐποίησεν καρπὸν ἑκατονταπλασίονα ταῦτα λέγων ἐφώνει ὁ
ἔχων ὦτα ἀκούειν ἀκουέτω ◦ ἐπηρώτων δὲ αὐτὸν οἱ μαθη- 9
ταὶ αὐτοῦ λέγοντες˚ τίς εἴη ἡ παραβολὴ αὕτη ◦ ὁ δὲ εἶπεν 10
ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ θεοῦ
τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς ἵνα βλέποντες μὴ βλέπωσιν
καὶ ἀκούοντες μὴ συνιῶσιν ◦ ἔστιν δὲ αὕτη ἡ παραβολή ὁ 11
σπόρος ἐστὶν ὁ λόγος τοῦ θεοῦ ◦ οἱ δὲ παρὰ τὴν ὁδὸν εἰσὶν 12
οἱ ἀκούοντες εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον
ἀπὸ τῆς καρδίας αὐτῶν ἵνα μὴ πιστεύσαντες σωθῶσιν ◦ οἱ 13
δὲ ἐπὶ τῆς πέτρας οἵ ὅταν ἀκούσωσιν μετὰ χαρᾶς δέχον-
ται τὸν λόγον καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν οἱ πρὸς καιρὸν
πιστεύουσιν καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται ◦ τὸ δὲ 14
εἰς τὰς ἀκάνθας πεσὸν οὗτοί εἰσιν οἱ ἀκούσαντες καὶ ὑπὸ
μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι
συμπνίγονται καὶ οὐ τελεσφοροῦσιν ◦ τὸ δὲ ἐν τῇ καλῇ γῇ 15
οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες
τὸν λόγον κατέχουσιν καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ ◦
οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν σκεύει ἢ ὑποκάτω 16
κλίνης τίθησιν ἀλλ᾽ ἐπὶ λυχνίας ἐπιτίθησιν ἵνα οἱ εἰσπο-
ρευόμενοι βλέπωσιν τὸ φῶς ◦ οὐ γάρ ἐστιν κρυπτὸν ὃ οὐ 17
φανερὸν γενήσεται οὐδὲ ἀπόκρυφον ὃ οὐ γνωσθήσεται καὶ
εἰς φανερὸν ἔλθῃ ◦ βλέπετε οὖν πῶς ἀκούετε ὃς γὰρ˚ ἂν 18
ἔχῃ δοθήσεται αὐτῷ καὶ ὃς ἂν μὴ ἔχῃ καὶ ὃ δοκεῖ ἔχειν
ἀρθήσεται ἀπ᾽ αὐτοῦ ◦ παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μή- 19

**v.6** T*: επεσεν, V: κατεπεσεν. **v.8** TK: επι, MV: εις. **v.9** T*: λεγοντες τις ειη η παραβολη αυτη, V: τις αυτη ειη η παραβολη. **v.12** T*: ακουοντες, V: ακουσαντες. **v.16** T*: επιτιθησιν, V: τιθησιν. **v.17** T*: γνωσθησεται, V: μη γνωσθη. **v.18** TK: γαρ αν, M: γαρ εαν, V: αν γαρ. **v.18** TKV: αν, M: εαν. **v.19** T*: παρεγενοντο, V: παρεγενετο.

τηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐ-
20 τῷ διὰ τὸν ὄχλον ⸰ καὶ˚ ἀπηγγέλη αὐτῷ λέγοντων ἡ μήτηρ
σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω ἰδεῖν σε˚ θέλοντες ⸰
21 ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς αὐτοὺς μήτηρ μου καὶ ἀδελφοί
μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες καὶ ποι-
22 οῦντες αὐτόν ⸰ καὶ˚ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς
ἐνέβη εἰς πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ εἶπεν πρὸς αὐ-
τοὺς διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης καὶ ἀνήχθησαν ⸰
23 πλεόντων δὲ αὐτῶν ἀφύπνωσεν καὶ κατέβη λαῖλαψ ἀνέ-
μου εἰς τὴν λίμνην καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον ⸰
24 προσελθόντες δὲ διήγειραν αὐτὸν λέγοντες ἐπιστάτα ἐπι-
στάτα ἀπολλύμεθα ὁ δὲ ἐγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ
τῷ κλύδωνι τοῦ ὕδατος καὶ ἐπαύσαντο καὶ ἐγένετο γαλήνη ⸰
25 εἶπεν δὲ αὐτοῖς ποῦ ἐστιν ἡ πίστις ὑμῶν φοβηθέντες δὲ ἐ-
θαύμασαν λέγοντες πρὸς ἀλλήλους τίς ἄρα οὗτός ἐστιν ὅτι
καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι καὶ ὑπακούουσιν
26 αὐτῷ ⸰ καὶ κατέπλευσαν εἰς τὴν χώραν τῶν γαδαρηνῶν ἥ-
27 τις ἐστὶν ἀντιπέραν τῆς γαλιλαίας ⸰ ἐξελθόντι δὲ αὐτῷ ἐπὶ
τὴν γῆν ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως ὃς˚ εἶχεν
δαιμόνια ἐκ˚ χρόνων ἱκανῶν καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο
28 καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν ἀλλ᾽ ἐν τοῖς μνήμασιν ⸰ ἰδὼν δὲ
τὸν ἰησοῦν κἀὶ ἀνακράξας προσέπεσεν αὐτῷ καὶ φωνῇ με-
γάλῃ εἶπεν τί ἐμοὶ καὶ σοὶ ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου
29 δέομαί σου μή με βασανίσῃς ⸰ παρήγγελλεν γὰρ τῷ πνεύ-
ματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου πολλοῖς γὰρ
χρόνοις συνηρπάκει αὐτὸν καὶ ἐδεσμεῖτο ἁλύσεσιν καὶ πέ-
δαις φυλασσόμενος καὶ διαρρήσσων τὰ δεσμὰ ἠλαύνετο
30 ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους ⸰ ἐπηρώτησεν δὲ αὐτὸν

---

**v.20** T*: και απηγγελη αυτω λεγοντων, V: απηγγελη δε αυτω. **v.20** T*: σε θελοντες, V: θελοντες σε. **v.21** T*: αυτον, V: ∅. **v.22** T*: και εγενετο, V: εγενετο δε. **v.24** T*: εγερθεις, V: διεγερθεις. **v.25** T*: εστιν, V: ∅. **v.26** T*: γαδαρηνων, V: γερασηνων. **v.26** T*: αντιπεραν, V: αντιπερα. **v.27** T*: αυτω, V: ∅. **v.27** T*: ος ειχεν, V: εχων. **v.27** T*: εκ χρονων ικανων και ιματιον ουκ ενεδιδυσκετο, V: και χρονω ικανω ουκ ενεδυσατο ιματιον. **v.28** T*: και, V: ∅. **v.29** T: παρηγγελλεν, KMV: παρηγγειλεν. **v.29** T*: εδεσμειτο, V: εδεσμευετο. **v.29** T*: δαιμονος, V: δαιμονιου.

ὁ ἰησοῦς λέγων τί σοί ἐστιν˚ ὄνομα ὁ δὲ εἶπεν λεγεὼν ὅτι
δαιμόνια˚ πολλὰ εἰσῆλθεν εἰς αὐτόν· καὶ παρεκάλει αὐ- 31
τὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν· ἦν δὲ 32
ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει καὶ πα-
ρεκάλουν αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν
καὶ ἐπέτρεψεν αὐτοῖς· ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ 33
ἀνθρώπου εἰσῆλθεν εἰς τοὺς χοίρους καὶ ὥρμησεν ἡ ἀγέλη
κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην καὶ ἀπεπνίγη· ἰδόντες 34
δὲ οἱ βόσκοντες τὸ γεγενημένον ἔφυγον καὶ ἀπελθόντες
ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς· ἐξῆλθον 35
δὲ ἰδεῖν τὸ γεγονὸς καὶ ἦλθον πρὸς τὸν ἰησοῦν καὶ εὗρον
καθήμενον τὸν ἄνθρωπον ἀφ᾽ οὗ τὰ δαιμόνια ἐξελήλύθει
ἱματισμένον καὶ σωφρονοῦντα παρὰ τοὺς πόδας τοῦ ἰη-
σοῦ καὶ ἐφοβήθησαν· ἀπήγγειλαν δὲ αὐτοῖς κἀι οἱ ἰδόντες 36
πῶς ἐσώθη ὁ δαιμονισθείς· καὶ ἠρώτησἀν αὐτὸν ἅπαν τὸ 37
πλῆθος τῆς περιχώρου τῶν γἀδαρηνῶν ἀπελθεῖν ἀπ᾽ αὐ-
τῶν ὅτι φόβῳ μεγάλῳ συνείχοντο αὐτὸς δὲ ἐμβὰς εἰς τὸ
πλοῖον ὑπέστρεψεν· ἐδέἐτο δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ᾽ οὗ ἐξε- 38
ληλύθει τὰ δαιμόνια εἶναι σὺν αὐτῷ ἀπέλυσεν δὲ αὐτὸν ὁ˚
ἰησοῦς λέγων· ὑπόστρεφε εἰς τὸν οἶκόν σου καὶ διηγοῦ 39
ὅσα ἐποίησέν˚ σοι ὁ θεὸς καὶ ἀπῆλθεν καθ᾽ ὅλην τὴν πό-
λιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ ἰησοῦς· ἐγένετο˚ δὲ ἐν 40
τῷ ὑποστρέψαι τὸν ἰησοῦν ἀπεδέξατο αὐτὸν ὁ ὄχλος ἦσαν
γὰρ πάντες προσδοκῶντες αὐτόν· καὶ ἰδοὺ ἦλθεν ἀνὴρ ᾧ 41
ὄνομα ἰἀἐιρος καὶ ἀὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχεν
καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ ἰησοῦ παρεκάλει αὐτὸν
εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ· ὅτι θυγάτηρ μονογενὴς ἦν 42

---

**v.30** T*: λεγων, V: ∅. **v.30** T*: εστιν ονομα, V: ονομα εστιν. **v.30** T*: λεγεων, V: λεγιων. **v.30** T*: δαιμονια πολλα εισηλθεν, V: εισηλθεν δαιμονια πολλα. **v.31** TM: παρεκαλει, KV: παρεκαλουν. **v.32** T*: βοσκομενων, V: βοσκομενη. **v.32** T*: παρεκαλουν, V: παρεκαλεσαν. **v.33** TK: εισηλθεν, MV: εισηλθον. **v.34** T*: γεγενημενον, V: γεγονος. **v.34** TK: απελθοντες, MV: ∅. **v.35** T*: εξεληλυθει, V: εξηλθεν. **v.36** T*: και, V: ∅. **v.37** T*: ηρωτησαν, V: ηρωτησεν. **v.37** T*: γαδαρηνων, V: γερασηνων. **v.37** T*: το, V: ∅. **v.38** T*: εδεετο, V: εδειτο. **v.38** T*: ο ιησους, V: ∅. **v.39** T*: εποιησεν σοι, V: σοι εποιησεν. **v.40** T*: εγενετο δε εν τω υποστρεψαι, V: εν δε τω υποστρεφειν. **v.41** T*: ιαειρος, V: ιαιρος. **v.41** T*: αυτος, V: ουτος.

αὐτῷ ὡς ἐτῶν δώδεκα καὶ αὕτη ἀπέθνησκεν ἐν δὲ τῷ ὑπά-
43 γειν αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν ◦ καὶ γυνὴ οὖσα ἐν
ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα ἥτις ἰατροὺς προσανα-
λώσασα ὅλον τὸν βίον οὐκ ἴσχυσεν ὑπ᾽ οὐδενὸς θεραπευ-
44 θῆναι ◦ προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ
ἱματίου αὐτοῦ καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος
45 αὐτῆς ◦ καὶ εἶπεν ὁ ἰησοῦς τίς ὁ ἁψάμενός μου ἀρνουμέ-
νων δὲ πάντων εἶπεν ὁ πέτρος καὶ᾽ οἱ μετ᾽ αὐτοῦ ἐπιστάτα
οἱ ὄχλοι συνέχουσίν σε καὶ ἀποθλίβουσιν καὶ᾽ λέγεις τίς ὁ
46 ἁψάμενός μου ◦ ὁ δὲ ἰησοῦς εἶπεν ἥψατό μου τίς ἐγὼ γὰρ
47 ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ᾽ ἐμοῦ ◦ ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι
οὐκ ἔλαθεν τρέμουσα ἦλθεν καὶ προσπεσοῦσα αὐτῷ δι᾽ ἣν
αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ
48 λαοῦ καὶ ὡς ἰάθη παραχρῆμα ◦ ὁ δὲ εἶπεν αὐτῇ θάρσει᾽
θύγατερ ἡ πίστις σου σέσωκέν σε πορεύου εἰς εἰρήνην ◦
49 ἔτι αὐτοῦ λαλοῦντος ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου
λέγων αὐτῷ ὅτι τέθνηκεν ἡ θυγάτηρ σου μὴ σκύλλε τὸν
50 διδάσκαλον ◦ ὁ δὲ ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ λέγων
51 μὴ φοβοῦ μόνον πίστευε καὶ σωθήσεται ◦ εἰσελθὼν δὲ εἰς
τὴν οἰκίαν οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα εἰ μὴ πέτρον καὶ᾽
ἰάκωβον καὶ ἰωάννην καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν
52 μητέρα ◦ ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτὴν ὁ δὲ εἶ-
53 πεν μὴ κλαίετε οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει ◦ καὶ κατε-
54 γέλων αὐτοῦ εἰδότες ὅτι ἀπέθανεν ◦ αὐτὸς δὲ ἐκβαλὼν᾽ ἔξω
πάντας καὶ κρατήσας τῆς χειρὸς αὐτῆς ἐφώνησεν λέγων ἡ
55 παῖς ἐγείρου ◦ καὶ ἐπέστρεψεν τὸ πνεῦμα αὐτῆς καὶ ἀνέ-
56 στη παραχρῆμα καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν ◦ καὶ
ἐξέστησαν οἱ γονεῖς αὐτῆς ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ

---

**v.43** ΤΚ: εις ιατρους, ΜV: ιατροις. **v.43** T*: υπ, V: απ. **v.45** T*: και οι μετ αυτου, V: ∅. **v.45** T*: και λεγεις τις ο αψαμενος μου, V: ∅. **v.46** T*: εξελθουσαν, V: εξεληλυθυιαν. **v.47** T*: αυτω, V: ∅. **v.48** T*: θαρσει θυγατερ, V: θυγατηρ. **v.49** T*: αυτω, V: ∅. **v.49** T*: μη, V: μηκετι. **v.50** T*: λεγων, V: ∅. **v.50** T*: πιστευε, V: πιστευσον. **v.51** ΤΚ: εισελθων, ΜV: ελθων. **v.51** T*: ουδενα, V: τινα συν αυτω. **v.51** ΤΚ: και ιακωβον και ιωαννην, ΜV: και ιωαννην και ιακωβον. **v.52** T*: ουκ, V: ου γαρ. **v.54** T*: εκβαλων εξω παντας και, V: ∅. **v.54** T*: εγειρου, V: εγειρε.

εἰπεῖν τὸ γεγονός ⸰

Συγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθητὰς˚ αὐτοῦ ἔδω- **9**
κεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ
νόσους θεραπεύειν ⸰ καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν 2
βασιλείαν τοῦ θεοῦ καὶ ἰᾶσθαι τοὺς˚ ἀσθενοῦντας ⸰ καὶ εἶ- 3
πεν πρὸς αὐτούς μηδὲν αἴρετε εἰς τὴν ὁδὸν μήτε ῥάβδους
μήτε πήραν μήτε ἄρτον μήτε ἀργύριον μήτε ἀνὰ δύο χιτῶ-
νας ἔχειν ⸰ καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε ἐκεῖ μένετε καὶ 4
ἐκεῖθεν ἐξέρχεσθε ⸰ καὶ ὅσοι ἂν˙ μὴ δέξ˙ωνται ὑμᾶς ἐξερχό- 5
μενοι ἀπὸ τῆς πόλεως ἐκείνης κἀὶ τὸν κονιορτὸν ἀπὸ τῶν
ποδῶν ὑμῶν ἀποτιν˙άξατε εἰς μαρτύριον ἐπ᾽ αὐτούς ⸰ ἐξερ- 6
χόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι καὶ
θεραπεύοντες πανταχοῦ ⸰ ἤκουσεν δὲ ἡρώδης ὁ τετράρχης 7
τὰ γινόμενα ὑπ᾽˚ αὐτοῦ πάντα καὶ διηπόρει διὰ τὸ λέγεσθαι
ὑπό τινων ὅτι ἰωάννης ἐγήγερται ἐκ νεκρῶν ⸰ ὑπό τινων δὲ 8
ὅτι ἡλίας ἐφάνη ἄλλων δὲ ὅτι προφήτης ἐῖς τῶν ἀρχαίων ἀ-
νέστη ⸰ καὶ˚ εἶπεν ὁ ἡρώδης ἰωάννην ἐγὼ ἀπεκεφάλισα τίς 9
δέ ἐστιν οὗτος περὶ οὗ ἐγὼ ἀκούω τοιαῦτα καὶ ἐζήτει ἰδεῖν
αὐτόν ⸰ καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ 10
ὅσα ἐποίησαν καὶ παραλαβὼν αὐτοὺς ὑπεχώρησεν κατ᾽ ἰ-
δίαν εἰς τόπον˚ ἔρημον πόλεως καλουμένης βῆθσαϊδά ⸰ οἱ 11
δὲ ὄχλοι γνόντες ἠκολούθησαν αὐτῷ καὶ δεξάμενος αὐτοὺς
ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ θεοῦ καὶ τοὺς χρείαν
ἔχοντας θεραπείας ἰᾶτο ⸰ ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν προσ- 12
ελθόντες δὲ οἱ δώδεκα εἶπὸν αὐτῷ ἀπόλυσον τὸν ὄχλον ἵνα
ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας καὶ τὸὺς ἀγροὺς κατα-
λύσωσιν καὶ εὕρωσιν ἐπισιτισμὸν ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ
ἐσμέν ⸰ εἶπεν δὲ πρὸς αὐτούς δότε αὐτοῖς ὑμεῖς φαγεῖν οἱ 13

**9. v.1** ΤΚ: μαθητας αυτου, ΜV: ∅. **v.2** T*: τους ασθενουντας, V: [τους ασθενεις]. **v.3** T*: ραβδους, V: ραβδον. **v.5** ΤΚV: αν, Μ: εαν. **v.5** T*: δεξωνται, V: δεχωνται. **v.5** T*: και, V: ∅. **v.5** T*: αποτιναξατε, V: αποτινασσετε. **v.7** T*: τετραρχης, V: τετρααρχης. **v.7** T*: υπ αυτου, V: ∅. **v.7** T*: εγηγερται, V: ηγερθη. **v.8** T*: εις, V: τις. **v.9** ΤΚ: και ειπεν ο, Μ: και ειπεν, V: ειπεν δε. **v.9** T*: εγω, V: ∅. **v.10** T*: τοπον ερημον πολεως καλουμενης, V: πολιν καλουμενην. **v.10** ΤΚV: βηθσαιδα, Μ: βηθσαιδαν. **v.11** T*: δεξαμενος, V: αποδεξαμενος. **v.12** T*: ειπον, V: ειπαν. **v.12** T*: απελθοντες, V: πορευθεντες. **v.12** T*: τους, V: ∅.

δὲ εἶπόν οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ πέντε˚ ἄρτοι καὶ δύο˚
ἰχθύες εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσωμεν εἰς πάντα
14 τὸν λαὸν τοῦτον βρώματα ◦ ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντα-
κισχίλιοι εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ κατακλίνατε
15 αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα ◦ καὶ ἐποίησαν οὕτως καὶ
16 ἀνέκλιναν ἅπαντας ◦ λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς
δύο ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν αὐτοὺς
καὶ κατέκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς παραϯιθέναι τῷ
17 ὄχλῳ ◦ καὶ ἔφαγον καὶ ἐχορτάσθησαν πάντες καὶ ἤρθη τὸ
18 περισσεῦσαν αὐτοῖς κλασμάτων κόφινοι δώδεκα ◦ καὶ ἐγέ-
νετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον καταμόνας συνῆσαν
αὐτῷ οἱ μαθηταὶ καὶ ἐπηρώτησεν αὐτοὺς λέγων τίνα με λέ-
19 γουσιν οἱ ὄχλοι εἶναι ◦ οἱ δὲ ἀποκριθέντες εἶπόν ἰωάννην
τὸν βαπτιστὴν ἄλλοι δὲ ἠλίαν ἄλλοι δὲ ὅτι προφήτης τις
20 τῶν ἀρχαίων ἀνέστη ◦ εἶπεν δὲ αὐτοῖς ὑμεῖς δὲ τίνα με λέ-
γετε εἶναι ἀποκριθεὶς˚ δὲ ὁ πέτρος εἶπεν τὸν χριστὸν τοῦ
21 θεοῦ ◦ ὁ δὲ ἐπιτιμήσας αὐτοῖς παρήγγειλεν μηδενὶ εἰπεῖν
22 τοῦτο ◦ εἰπὼν ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν
καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσϐυτέρων καὶ ἀρχιερέων
καὶ γραμματέων καὶ ἀποκτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐ-
23 γερθῆναι ◦ ἔλεγεν δὲ πρὸς πάντας εἴ τις θέλει ὀπίσω μου
ἐλθεῖν˚ ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐ-
24 τοῦ καθ᾽˚ ἡμέραν καὶ ἀκολουθείτω μοι ◦ ὃς γὰρ ἂν θέλῃ
τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτὴν ὃς δ᾽ ἂν ἀπολέσῃ
25 τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ οὗτος σώσει αὐτήν ◦ τί γὰρ
ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον ἑαυτὸν δὲ
26 ἀπολέσας ἢ ζημιωθείς ◦ ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς
ἐμοὺς λόγους τοῦτον ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσε-
ται ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τῶν

---

**v.13** T*: ειπον, V: ειπαν. **v.13** T*: πεντε αρτοι, V: αρτοι πεντε. **v.13** TK: δυο ιχθυες, MV: ιχθυες δυο. **v.14** T*: ανα, V: [ωσει] ανα. **v.15** T*: ανεκλιναν, V: κατεκλιναν. **v.16** T*: παρατιθεναι, V: παραθειναι. **v.18** T*: καταμονας, V: κατα μονας. **v.19** T*: ειπον, V: ειπαν. **v.20** T*: αποκριθεις δε ο πετρος, V: πετρος δε αποκριθεις. **v.21** T*: ειπειν, V: λεγειν. **v.23** T*: ελθειν απαρνησασθω, V: ερχεσθαι αρνησασθω. **v.23** TKV: καθ ημεραν, M: ∅. **v.24** TKV: αν, M: εαν.

ἁγίων ἀγγέλων· λέγω δὲ ὑμῖν ἀληθῶς εἰσίν τινες τῶν ὧδε˚ 27
ἑστηκότων οἳ οὐ μὴ γεύσῶνται θανάτου ἕως ἂν ἴδωσιν τὴν
βασιλείαν τοῦ θεοῦ· ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους 28
ὡσεὶ ἡμέραι ὀκτὼ καὶ παραλαβὼν τὸν πέτρον καὶ ἰωάννην
καὶ ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἐγένετο 29
ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ
ἕτερον καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων· καὶ 30
ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ οἵτινες ἦσαν μωσῆς καὶ
ἠλίας· οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ ἣν 31
ἔμελλεν πληροῦν ἐν ἰερουσαλήμ· ὁ δὲ πέτρος καὶ οἱ σὺν 32
αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ διαγρηγορήσαντες δὲ εἶδον
τὴν δόξαν αὐτοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας
αὐτῷ· καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ᾽ αὐτοῦ 33
εἶπεν ὁ˚ πέτρος πρὸς τὸν ἰησοῦν ἐπιστάτα καλόν ἐστιν ἡ-
μᾶς ὧδε εἶναι καὶ ποιήσωμεν σκηνὰς τρεῖς μίαν σοὶ καὶ
μωσεῖ˚ μίαν καὶ μίαν ἡλίᾳ μὴ εἰδὼς ὃ λέγει· ταῦτα δὲ 34
αὐτοῦ λέγοντος ἐγένετο νεφέλη καὶ ἐπεσκίαζεν αὐτοὺς ἐ-
φοβήθησαν δὲ ἐν τῷ ἐκείνους˚ εἰσελθεῖν εἰς τὴν νεφέλην·
καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα οὗτός ἐστιν ὁ 35
υἱός μου ὁ ἀγαπητὸς αὐτοῦ ἀκούετε· καὶ ἐν τῷ γενέσθαι 36
τὴν φωνὴν εὑρέθη ὁ˚ ἰησοῦς μόνος καὶ αὐτοὶ ἐσίγησαν καὶ
οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑω-
ράκασιν· ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ κατελθόντων αὐτῶν 37
ἀπὸ τοῦ ὄρους συνήντησεν αὐτῷ ὄχλος πολύς· καὶ ἰδοὺ 38
ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησεν λέγων διδάσκαλε δέομαί
σου ἐπίβλεψόν ἐπὶ τὸν υἱόν μου ὅτι μονογενής ἐστίν˚ μοι·
καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτὸν καὶ ἐξαίφνης κράζει καὶ 39
σπαράσσει αὐτὸν μετὰ ἀφροῦ καὶ μόγις ἀποχωρεῖ ἀπ᾽ αὐ-

**v.27** TK: ωδε εστηκοτων, M: ωδε εστωτων, V: αυτου εστηκοτων. **v.27** TK: γευσονται, MV: γευσωνται. **v.28** TK: τον, MV: ∅. **v.30** T*: μωσης, V: μωυσης. **v.31** T*: εμελλεν, V: ημελλεν. **v.33** TKV: ο, M: ∅. **v.33** TK: μωσει μιαν, M: μιαν μωσει, V: μιαν μωυσει. **v.34** T*: επεσκιασεν, V: επεσκιαζεν. **v.34** T*: εκεινους εισελθειν, V: εισελθειν αυτους. **v.35** T*: αγαπητος, V: εκλελεγμενος. **v.36** T*: ο, V: ∅. **v.36** T*: εωρακασιν, V: εωρακαν. **v.37** T*: εν, V: ∅. **v.38** T*: ανεβοησεν, V: εβοησεν. **v.38** TK: επιβλεψον, MV: επιβλεψαι. **v.38** T*: εστιν μοι, V: μοι εστιν.

40 τοῦ συντρίβον αὐτόν ⸰ καὶ ἐδεήθην τῶν μαθητῶν σου ἵνα
41 ἐκβάλλῶσιν αὐτὸ καὶ οὐκ ἠδυνήθησαν ⸰ ἀποκριθεὶς δὲ ὁ
ἰησοῦς εἶπεν ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη ἕως πότε
ἔσομαι πρὸς ὑμᾶς καὶ ἀνέξομαι ὑμῶν προσάγαγε ὧδε˚ τὸν
42 υἱόν σου ⸰ ἔτι δὲ προσερχομένου αὐτοῦ ἔρρηξεν αὐτὸν τὸ
δαιμόνιον καὶ συνεσπάραξεν ἐπετίμησεν δὲ ὁ ἰησοῦς τῷ
πνεύματι τῷ ἀκαθάρτῳ καὶ ἰάσατο τὸν παῖδα καὶ ἀπέδωκεν
43 αὐτὸν τῷ πατρὶ αὐτοῦ ⸰ ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ με-
γαλειότητι τοῦ θεοῦ πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς
44 ἐποίησεν˚ ὁ ἰησοῦς εἶπεν πρὸς τοὺς μαθητὰς αὐτοῦ ⸰ θέ-
σθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους ὁ γὰρ υἱὸς
τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων ⸰
45 οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο καὶ ἦν παρακεκαλυμμένον
ἀπ᾽ αὐτῶν ἵνα μὴ αἴσθωνται αὐτὸ καὶ ἐφοβοῦντο ἐρωτῆσαι
46 αὐτὸν περὶ τοῦ ῥήματος τούτου ⸰ εἰσῆλθεν δὲ διαλογισμὸς
47 ἐν αὐτοῖς τὸ τίς ἂν εἴη μείζων αὐτῶν ⸰ ὁ δὲ ἰησοῦς ἰδὼν
τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν ἐπιλαβόμενος παιδίου
48 ἔστησεν αὐτὸ παρ᾽ ἑαυτῷ ⸰ καὶ εἶπεν αὐτοῖς ὃς ἐὰν δέξηται
τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου ἐμὲ δέχεται καὶ ὃς ἐὰν
ἐμὲ δέξηται δέχεται τὸν ἀποστείλαντά με ὁ γὰρ μικρότερος
49 ἐν πᾶσιν ὑμῖν ὑπάρχων οὗτος ἔστἀι μέγας ⸰ ἀποκριθεὶς δὲ
ὁ˚ ἰωάννης εἶπεν ἐπιστάτα εἴδομέν τινα ἐπ᾽ὶ τῷ ὀνόματί σου
ἐκβάλλοντα τἀ δαιμόνια καὶ ἐκωλύσ᾽αμεν αὐτὸν ὅτι οὐκ ἀ-
50 κολουθεῖ μεθ᾽ ἡμῶν ⸰ καὶ˚ εἶπεν πρὸς αὐτὸν ὁ ἰησοῦς μὴ
51 κωλύετε ὃς γὰρ οὐκ ἔστιν καθ᾽ ἡμῶν ὑπὲρ ἡμῶν ἐστιν ⸰ ἐγέ-
νετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως
αὐτοῦ καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ˚ ἐστήριξεν τοῦ πο-
52 ρεύεσθαι εἰς ἱερουσαλήμ ⸰ καὶ ἀπέστειλεν ἀγγέλους πρὸ
προσώπου αὐτοῦ καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην σα-

---

**v.40** ΤΚ: εκβαλλωσιν, ΜV: εκβαλωσιν. **v.41** ΤΚV: ωδε τον υιον σου, Μ: τον υιον σου ωδε. **v.43** T*: εποιησεν ο ιησους, V: εποιει. **v.47** T*: ιδων, V: ειδως. **v.47** T*: παιδιου, V: παιδιον. **v.48** T*: εαν, V: αν. **v.48** T*: εσται, V: εστιν. **v.49** T*: ο, V: ∅. **v.49** T*: επι, V: εν. **v.49** ΤΚ: τα, ΜV: ∅. **v.49** T*: εκωλυσαμεν, V: εκωλυομεν. **v.50** T*: και ειπεν, V: ειπεν δε. **v.50** T*: ημων, V: υμων. **v.51** T*: αναληψεως, V: αναλημψεως. **v.51** T*: αυτου εστηριξεν, V: εστηρισεν.

μαρειτῶν˚ ὥστε ἑτοιμάσαι αὐτῷ· καὶ οὐκ ἐδέξαντο αὐτὸν 53
ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς ἱερουσαλήμ·
ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἰάκωβος καὶ ἰωάννης εἶπόν 54
κύριε θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ
ἀναλῶσαι αὐτοὺς ὡς˚ καὶ ἠλίας ἐποίησεν· στραφεὶς δὲ ἐ- 55
πετίμησεν αὐτοῖς καὶ˚ εἶπεν οὐκ οἰδατε οἵου πνεύματός
ἐστε ὑμεῖς· ὁ˚ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν ψυχὰς 56
ἀνθρώπων ἀπολέσαι ἀλλὰ σῶσαι καὶ ἐπορεύθησαν εἰς ἑ-
τέραν κώμην· ἐγένετο˚ δὲ πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ 57
εἶπέν τις πρὸς αὐτὸν ἀκολουθήσω σοι ὅπου ἂν˚ ἀπέρχῃ
κύριε· καὶ εἶπεν αὐτῷ ὁ ἰησοῦς αἱ ἀλώπεκες φωλεοὺς ἔ- 58
χουσιν καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις ὁ δὲ
υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ· εἶ- 59
πεν δὲ πρὸς ἕτερον ἀκολούθει μοι ὁ δὲ εἶπεν κύριε ἐπίτρε-
ψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου· εἶπεν 60
δὲ αὐτῷ ὁ˚ ἰησοῦς ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν
νεκροὺς σὺ δὲ ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ θε-
οῦ· εἶπεν δὲ καὶ ἕτερος ἀκολουθήσω σοι κύριε πρῶτον δὲ 61
ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου· εἶπεν 62
δὲ πρὸς˚ αὐτὸν ὁ ἰησοῦς οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ
ἐπ᾽ ἄροτρον καὶ βλέπων εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς˚ τὴν
βασιλείαν τοῦ θεοῦ·

Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ κύριος κἀὶ ἑτέρους ἑβδο- **10**
μήκοντἀ καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύὸ πρὸ προσώπου
αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἔμελλεν αὐτὸς ἔρχε-
σθαι· ἔλεγεν ὀῦν πρὸς αὐτοὺς ὁ μὲν θερισμὸς πολὺς οἱ δὲ 2
ἐργάται ὀλίγοι δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως
ἐκβάλλῃ˚ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ· ὑπάγετε ἰδοὺ 3

**v.52** T*: σαμαρειτων ωστε, V: σαμαριτων ως. **v.54** T*: αυτου, V: ∅. **v.54** T*: ειπον, V: ειπαν. **v.54** T*: ως και ηλιας εποιησεν, V: ∅. **v.55** T*: και . . . υμεις, V: ∅. **v.56** T*: ο . . . σωσαι, V: ∅. **v.57** T*: εγενετο δε, V: και. **v.57** T*: αν απερχη κυριε, V: εαν απερχη. **v.60** T*: ο ιησους, V: ∅. **v.62** TK: προς αυτον ο ιησους, M: ο ιησους προς αυτον, V: [προς αυτον] ο ιησους. **v.62** T*: αυτου, V: ∅. **v.62** T*: εις την βασιλειαν, V: τη βασιλεια. **10. v.1** T*: και, V: ∅. **v.1** T*: εβδομηκοντα, V: εβδομηκοντα [δυο]. **v.1** T*: δυο, V: δυο [δυο]. **v.1** T*: εμελλεν, V: ημελλεν. **v.2** T*: ουν, V: δε. **v.2** TK: εκβαλλη εργατας, M: εκβαλη εργατας, V: εργατας εκβαλη.

4 ἐΫ́ὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων ◦ μὴ βα-
στάζετε βᾰλάντιον μὴ πήραν μῆδὲ ὑποδήματα καὶ μηδένα
5 κατὰ τὴν ὁδὸν ἀσπάσησθε ◦ εἰς ἣν δ᾽ ἂν οἰκίαν᾽ εἰσέρχη-
6 σθε πρῶτον λέγετε εἰρήνη τῷ οἴκῳ τούτῳ ◦ καὶ ἐὰν μὲν᾽ ᾖ
ἐκεῖ υἱὸς εἰρήνης ἐπαναπᾰ́υσεται ἐπ᾽ αὐτὸν ἡ εἰρήνη ὑ-
7 μῶν εἰ δὲ μήΫ́ε ἐφ᾽ ὑμᾶς ἀνακάμψει ◦ ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ
μένετε ἐσθίοντες καὶ πίνοντες τὰ παρ᾽ αὐτῶν ἄξιος γὰρ ὁ
ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστιν μὴ μεταβαίνετε ἐξ οἰκίας
8 εἰς οἰκίαν ◦ καὶ εἰς ἣν δ᾽᾽ ἂν πόλιν εἰσέρχησθε καὶ δέχων-
9 ται ὑμᾶς ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν ◦ καὶ θεραπεύετε
τοὺς ἐν αὐτῇ ἀσθενεῖς καὶ λέγετε αὐτοῖς ἤΫ́γικεν ἐφ᾽ ὑ-
10 μᾶς ἡ βασιλεία τοῦ θεοῦ ◦ εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε
καὶ μὴ δέχωνται ὑμᾶς ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς
11 εἴπατε ◦ καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἐκ τῆς πό-
λεως ὑμῶν᾽ ἀπομασσόμεθα ὑμῖν πλὴν τοῦτο γινώσκετε ὅτι
12 ἤΫ́γικεν ἐφ᾽᾽ ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ ◦ λέγω δὲ᾽ ὑμῖν ὅτι
σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται ἢ τῇ πόλει
13 ἐκείνῃ ◦ οὐαί σοι χῶραζὶν οὐαί σοι βηθσαϊδὰ ὅτι εἰ ἐν τύρῳ
καὶ σιδῶνι ἐγένῶντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν πά-
14 λαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμενᾰ̀ι μετενόησαν ◦ πλὴν
τύρῳ καὶ σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει ἢ ὑμῖν ◦
15 καὶ σὺ καπερναοὺμ᾽ ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα ἕως ᾅ-
16 δου καταβιβασθήσῃ ◦ ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει καὶ ὁ
ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀπο-
17 στείλαντά με ◦ ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντᾰ́ μετὰ χαρᾶς
λέγοντες κύριε καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ
18 ὀνόματί σου ◦ εἶπεν δὲ αὐτοῖς ἐθεώρουν τὸν σατανᾶν ὡς

---

**v.3** T*: εγω, V: ∅. **v.4** T*: βαλαντιον, V: βαλλαντιον. **v.4** T*: μηδε, V: μη. **v.5** T*: οικιαν εισερχησθε, V: εισελθητε οικιαν. **v.6** T: μεν η εκει, K: μεν η εκει ο, M: η εκει, V: εκει η. **v.6** T*: επαναπαυσεται, V: επαναπαησεται. **v.6** TK: μηγε, MV: μη γε. **v.7** T*: εστιν, V: ∅. **v.8** TK: δ, MV: ∅. **v.10** T*: εισερχησθε, V: εισελθητε. **v.11** T*: υμων, V: υμων εις τους ποδας. **v.11** T*: εφ υμας, V: ∅. **v.12** TK: δε, MV: ∅. **v.13** TK: χωραζιν, MV: χοραζιν. **v.13** T*: εγενοντο, V: εγενηθησαν. **v.13** T*: καθημεναι, V: καθημενοι. **v.15** T*: καπερναουμ η εως του ουρανου υψωθεισα εως αδου καταβιβασθηση, V: καφαρναουμ μη εως ουρανου υψωθηση εως του αδου καταβηση. **v.17** T*: εβδομηκοντα, V: εβδομηκοντα [δυο].

ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα ⸰ ἰδοὺ δίδωμι ὑμῖν τὴν 19
ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ
πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀ-
δικήσῃ ⸰ πλὴν ἐν τούτῳ μὴ χαίρετε ὅτι τὰ πνεύματα ὑ- 20
μῖν ὑποτάσσεται χαίρετε δὲ μᾶλλον ὅτι τὰ ὀνόματα ὑμῶν
ἐγράφη ἐν τοῖς οὐρανοῖς ⸰ ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο 21
τῷ˚ πνεύματι ὁ ἰησοῦς καὶ εἶπεν ἐξομολογοῦμαί σοι πάτερ
κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς ὅτι ἀπέκρυψας ταῦτα ἀ-
πὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις ναὶ
ὁ πατὴρ ὅτι οὕτως ἐγένετο˚ εὐδοκία ἔμπροσθέν σου ⸰ καὶ˚ 22
στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπεν πάντα παρεδόθη˚ μοι
ὑπὸ τοῦ πατρός μου καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱὸς εἰ
μὴ ὁ πατὴρ καὶ τίς ἐστιν ὁ πατὴρ εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν
βούληται ὁ υἱὸς ἀποκαλύψαι ⸰ καὶ στραφεὶς πρὸς τοὺς μα- 23
θητὰς κατ᾽ ἰδίαν εἶπεν μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες
ἃ βλέπετε ⸰ λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βα- 24
σιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε καὶ οὐκ εἶδὸν καὶ
ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν ⸰ καὶ ἰδοὺ νομικός 25
τις ἀνέστη ἐκπειράζων αὐτὸν κἀι λέγων διδάσκαλε τί ποιή-
σας ζωὴν αἰώνιον κληρονομήσω ⸰ ὁ δὲ εἶπεν πρὸς αὐτὸν ἐν 26
τῷ νόμῳ τί γέγραπται πῶς ἀναγινώσκεις ⸰ ὁ δὲ ἀποκριθεὶς 27
εἶπεν ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας
σου καὶ ἐξ˚ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου
καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ τὸν πλησίον σου ὡς σεαυ-
τόν ⸰ εἶπεν δὲ αὐτῷ ὀρθῶς ἀπεκρίθης τοῦτο ποίει καὶ ζήσῃ ⸰ 28
ὁ δὲ θέλων δικαιοῦν ἑαυτὸν εἶπεν πρὸς τὸν ἰησοῦν καὶ τίς 29
ἐστίν μου πλησίον ⸰ ὑπολαβὼν δὲ˚ ὁ ἰησοῦς εἶπεν ἄνθρω- 30
πός τις κατέβαινεν ἀπὸ ἱερουσαλὴμ εἰς ἱεριχὼ καὶ λῃσταῖς

**v.19** T*: διδωμι, V: δεδωκα. **v.19** TMV: αδικηση, K: αδικησει. **v.20** TK: μαλλον, MV: ∅. **v.20** T*: εγραφη, V: εγγεγραπται. **v.21** T*: τω πνευματι ο ιησους, V: [εν] τω πνευματι τω αγιω. **v.21** T*: εγενετο ευδοκια, V: ευδοκια εγενετο. **v.22** TM: και . . . ειπεν, KV: ∅. **v.22** TK: παρεδοθη μοι, MV: μοι παρεδοθη. **v.24** T*: ειδον, V: ειδαν. **v.25** T*: και, V: ∅. **v.27** T*: εξ ολης της ψυχης σου και εξ ολης της ισχυος σου και εξ ολης της διανοιας, V: εν ολη τη ψυχη σου και εν ολη τη ισχυι σου και εν ολη τη διανοια. **v.29** T*: δικαιουν, V: δικαιωσαι. **v.30** T*: δε, V: ∅.

περιέπεσεν οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες
31 ἀπῆλθον ἀφέντες ἡμιθανῆ τυγχάνοντα. κατὰ συγκυρίαν
δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ καὶ ἰδὼν αὐτὸν
32 ἀντιπαρῆλθεν. ὁμοίως δὲ καὶ λευΐτης γενόμενος κατὰ τὸν
33 τόπον ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλθεν. σαμαρείτης δέ τις ὁ-
34 δεύων ἦλθεν κατ᾽ αὐτὸν καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη. καὶ
προσελθὼν κατέδησεν τὰ τραύματα αὐτοῦ ἐπιχέων ἔλαιον
καὶ οἶνον ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος ἤγαγεν
35 αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη αὐτοῦ. καὶ ἐπὶ τὴν
αὔριον ἐξελθών˚ ἐκβαλὼν δύο δηνάρια ἔδωκεν τῷ πανδοχεῖ
καὶ εἶπεν αὐτῷ˙ ἐπιμελήθητι αὐτοῦ καὶ ὅ τι ἂν προσδαπα-
36 νήσῃς ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. τίς οὖν
τούτων τῶν τριῶν δοκεῖ˚ σοι πλησίον γεγονέναι τοῦ ἐμπε-
37 σόντος εἰς τοὺς λῃστάς. ὁ δὲ εἶπεν ὁ ποιήσας τὸ ἔλεος
μετ᾽ αὐτοῦ εἶπεν οὖν αὐτῷ ὁ ἰησοῦς πορεύου καὶ σὺ ποίει
38 ὁμοίως. ἐγένετο˚ δὲ ἐν τῷ πορεύεσθαι αὐτοὺς κἀὶ αὐτὸς
εἰσῆλθεν εἰς κώμην τινὰ γυνὴ δέ τις ὀνόματι μάρθα ὑπε-
39 δέξατο αὐτὸν εἰς˚ τὸν οἶκον αὐτῆς. καὶ τῇδε ἦν ἀδελφὴ
καλουμένη μαρίᾳ ἣ καὶ παρακαθίσασα˚ παρὰ τοὺς πόδας
40 τοῦ ἰησοῦ ἤκουεν τὸν λόγον αὐτοῦ. ἡ δὲ μάρθα περιε-
σπᾶτο περὶ πολλὴν διακονίαν ἐπιστᾶσα δὲ εἶπεν κύριε οὐ
μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπεν διακονεῖν
41 εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται. ἀποκριθεὶς δὲ εἶ-
πεν αὐτῇ ὁ ἰησοῦς μάρθα μάρθα μεριμνᾷς καὶ τυρβάζῃ
42 περὶ πολλά. ἑνὸς δέ ἐστιν χρεία μαρία˚ δὲ τὴν ἀγαθὴν
μερίδα ἐξελέξατο ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ˚ αὐτῆς.

**11** Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμε-
νον ὡς ἐπαύσατο εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτὸν

---

**v.30** T*: τυγχανοντα, V: ∅. **v.33** T*: σαμαρειτης, V: σαμαριτης. **v.33** T*: αυτον, V: ∅. **v.35** T*: εξελθων εκβαλων δυο δηναρια εδωκεν, V: εκβαλων εδωκεν δυο δηναρια. **v.35** T*: αυτω, V: ∅. **v.36** T*: ουν, V: ∅. **v.36** TK: δοκει σοι πλησιον, MV: πλησιον δοκει σοι. **v.37** T*: ουν, V: δε. **v.38** T*: εγενετο δε εν, V: εν δε. **v.38** T*: και, V: ∅. **v.38** T*: εις τον οικον αυτης, V: ∅. **v.39** T*: μαρια, V: μαριαμ. **v.39** T*: παρακαθισασα παρα, V: παρακαθεσθεισα προς. **v.39** T*: ιησου, V: κυριου. **v.40** TKV: κατελιπεν, M: κατελειπεν. **v.41** T*: ιησους, V: κυριος. **v.41** T*: τυρβαζη, V: θορυβαζη. **v.42** T*: μαρια δε, V: μαριαμ γαρ. **v.42** T*: απ, V: ∅.

κύριε δίδαξον ἡμᾶς προσεύχεσθαι καθὼς καὶ ἰωάννης ἐ-
δίδαξεν τοὺς μαθητὰς αὐτοῦ ⸰ εἶπεν δὲ αὐτοῖς ὅταν προσ- 2
εύχησθε λέγετε πάτερ ἡμῶν˚ ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω
τὸ ὄνομά σου ἐλθέτω˚ ἡ βασιλεία σου γενηθήτω˚ τὸ θέλη-
μά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς ⸰ τὸν ἄρτον ἡμῶν 3
τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ᾽ ἡμέραν ⸰ καὶ ἄφες ἡμῖν 4
τὰς ἁμαρτίας ἡμῶν καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι
ἡμῖν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν ἀλλὰ˚ ῥῦσαι
ἡμᾶς ἀπὸ τοῦ πονηροῦ ⸰ καὶ εἶπεν πρὸς αὐτοὺς τίς ἐξ ὑ- 5
μῶν ἕξει φίλον καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου
καὶ εἴπῃ αὐτῷ φίλε χρῆσόν μοι τρεῖς ἄρτους ⸰ ἐπειδὴ φίλος 6
μοῦ παρεγένετο ἐξ ὁδοῦ πρός με καὶ οὐκ ἔχω ὃ παραθήσω
αὐτῷ ⸰ κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ μή μοι κόπους 7
πάρεχε ἤδη ἡ θύρα κέκλεισται καὶ τὰ παιδία μου μετ᾽ ἐ-
μοῦ εἰς τὴν κοίτην εἰσὶν οὐ δύναμαι ἀναστὰς δοῦναί σοι ⸰
λέγω ὑμῖν εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς διὰ τὸ εἶναι αὐ- 8
τοῦ˚ φίλον διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς δώσει αὐτῷ
ὅσῶν χρῄζει ⸰ κἀγὼ ὑμῖν λέγω αἰτεῖτε καὶ δοθήσεται ὑμῖν 9
ζητεῖτε καὶ εὑρήσετε κρούετε καὶ ἀνοιγήσεται ὑμῖν ⸰ πᾶς 10
γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρού-
οντι ἀνοιγήσεται ⸰ τίνα δὲ ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς 11
ἄρτον˚ μὴ λίθον ἐπιδώσει αὐτῷ ἢ καὶ ἰχθὺν μὴ ἀντὶ ἰχθύος
ὄφιν ἐπιδώσει˚ αὐτῷ ⸰ ἢ καὶ ἐὰν˚ αἰτήσῃ ᾠὸν μὴ ἐπιδώσει 12
αὐτῷ σκορπίον ⸰ εἰ οὖν ὑμεῖς πονηροὶ ὑπάρχοντες οἴδατε 13
ἀγαθὰ˚ δόματα διδόναι τοῖς τέκνοις ὑμῶν πόσῳ μᾶλλον
ὁ πατὴρ ὁ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν
αὐτόν ⸰ καὶ ἦν ἐκβάλλων δαιμόνιον καὶ αὐτὸ ἦν κωφὸν ἐ- 14
γένετο δὲ τοῦ δαιμονίου ἐξελθόντος ἐλάλησεν ὁ κωφὸς καὶ

**11. v.2** T*: ημων ο εν τοις ουρανοις, V: ∅. **v.2** E: ελθετω η βασιλεια σου, D: εφ ημας ελθετω σου η βασιλεια. **v.2** T*: γενηθητω . . . γης, V: ∅. **v.4** T*: αφιεμεν, V: αφιομεν. **v.4** T*: αλλα . . . πονηρου, V: ∅. **v.6** TKV: μου, M: ∅. **v.8** T*: αυτου φιλον, V: φιλον αυτου. **v.8** TKV: οσων, M: οσον. **v.11** T*: υμων, V: εξ υμων. **v.11** T*: αρτον μη λιθον επιδωσει αυτω, V: ∅. **v.11** TK: ει, M: η, V: ∅. **v.11** T*: και, V: ∅. **v.11** T*: μη, V: και. **v.11** T*: επιδωσει αυτω, V: αυτω επιδωσει. **v.12** T*: εαν αιτηση ων μη, V: αιτησει ων. **v.13** TK: αγαθα δοματα, MV: δοματα αγαθα.

15 ἐθαύμασαν οἱ ὄχλοι· τινὲς δὲ ἐξ αὐτῶν εἶπον ἐν βεελζε-
16 βοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια· ἕτεροι
δὲ πειράζοντες σημεῖον παρ᾽ αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ·
17 αὐτὸς δὲ εἰδὼς αὐτῶν τὰ διανοήματα εἶπεν αὐτοῖς πᾶσα
βασιλεία ἐφ᾽ ἑαυτὴν διαμερισθεῖσα ἐρημοῦται καὶ οἶκος ἐ-
18 πὶ οἶκον πίπτει· εἰ δὲ καὶ ὁ σατανᾶς ἐφ᾽ ἑαυτὸν διεμερίσθη
πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ ὅτι λέγετε ἐν βεελζεβοὺλ
19 ἐκβάλλειν με τὰ δαιμόνια· εἰ δὲ ἐγὼ ἐν βεελζεβοὺλ ἐκ-
βάλλω τὰ δαιμόνια οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν διὰ
20 τοῦτο κριταὶ ὑμῶν αὐτοὶ ἔσονται· εἰ δὲ ἐν δακτύλῳ θε-
οῦ ἐκβάλλω τὰ δαιμόνια ἄρα ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία
21 τοῦ θεοῦ· ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν ἑ-
22 αυτοῦ αὐλὴν ἐν εἰρήνῃ ἐστὶν τὰ ὑπάρχοντα αὐτοῦ· ἐπὰν
δὲ ὁ᾽ ἰσχυρότερος αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτὸν τὴν παν-
οπλίαν αὐτοῦ αἴρει ἐφ᾽ ᾗ ἐπεποίθει καὶ τὰ σκῦλα αὐτοῦ
23 διαδίδωσιν· ὁ μὴ ὢν μετ᾽ ἐμοῦ κατ᾽ ἐμοῦ ἐστιν καὶ ὁ μὴ
24 συνάγων μετ᾽ ἐμοῦ σκορπίζει· ὅταν τὸ ἀκάθαρτον πνεῦμα
ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου διέρχεται δι᾽ ἀνύδρων τόπων ζη-
τοῦν ἀνάπαυσιν καὶ μὴ εὑρίσκον λέγει ὑποστρέψω εἰς τὸν
25 οἶκόν μου ὅθεν ἐξῆλθον· καὶ ἐλθὸν εὑρίσκει σεσαρωμένον
26 καὶ κεκοσμημένον· τότε πορεύεται καὶ παραλαμβάνει ἑ-
πτὰ᾽ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ καὶ εἰσελθόντα
κατοικεῖ ἐκεῖ καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκεί-
27 νου χείρονα τῶν πρώτων· ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν
ταῦτα ἐπάρασά τις γυνὴ᾽ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ
μακαρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ μαστοὶ οὓς ἐθή-
28 λασας· αὐτὸς δὲ εἶπεν μενοῦνγε μακάριοι οἱ ἀκούοντες
29 τὸν λόγον τοῦ θεοῦ καὶ φυλάσσοντες αὐτόν· τῶν δὲ ὄ-

**v.15** T*: αρχοντι, V: τω αρχοντι. **v.16** T*: παρ αυτου εζητουν εξ ουρανου, V: εξ ουρανου εζητουν παρ αυτου. **v.19** T*: κριται υμων αυτοι, V: αυτοι υμων κριται. **v.20** T*: εκβαλλω, V: [εγω] εκβαλλω. **v.22** T*: ο, V: ∅. **v.24** T*: λεγει, V: [τοτε] λεγει. **v.25** E: σεσαρωμενον, BC: σχολαζοντα σεσαρωμενον. **v.26** T*: επτα ετερα πνευματα πονηροτερα εαυτου, V: ετερα πνευματα πονηροτερα εαυτου επτα. **v.26** TKV: εισελθοντα, M: ελθοντα. **v.27** T*: γυνη φωνην, V: φωνην γυνη. **v.28** T*: μενουνγε, V: μενουν. **v.28** T*: αυτον, V: ∅.

χλων ἐπαθροιζομένων ἤρξατο λέγειν ἡ γενεὰ αὕτη πονηρά
ἐστιν σημεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ
μὴ τὸ σημεῖον ἰωνᾶ τοῦ προφήτου· καθὼς γὰρ ἐγένετο 30
ἰωνᾶς σημεῖον τοῖς νινευίταις οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ
ἀνθρώπου τῇ γενεᾷ ταύτῃ· βασίλισσα νότου ἐγερθήσεται 31
ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης καὶ κατα-
κρινεῖ αὐτούς ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι
τὴν σοφίαν σολομῶντος καὶ ἰδοὺ πλεῖον σολομῶντος ὧδε·
ἄνδρες νινευῖ ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς 32
ταύτης καὶ κατακρινοῦσιν αὐτὴν ὅτι μετενόησαν εἰς τὸ κή-
ρυγμα ἰωνᾶ καὶ ἰδοὺ πλεῖον ἰωνᾶ ὧδε· οὐδεὶς δὲ λύχνον 33
ἅψας εἰς κρυπτὸν τίθησιν οὐδὲ ὑπὸ τὸν μόδιον ἀλλ᾽ ἐπὶ
τὴν λυχνίαν ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος βλέπωσιν· ὁ 34
λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός ὅταν οὖν ὁ ὀφθαλ-
μός σου ἁπλοῦς ᾖ καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν
ἐπὰν δὲ πονηρὸς ᾖ καὶ τὸ σῶμά σου σκοτεινόν· σκόπει 35
οὖν μὴ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν· εἰ οὖν τὸ σῶμά σου 36
ὅλον φωτεινὸν μὴ ἔχον τι μέρος σκοτεινὸν ἔσται φωτεινὸν
ὅλον ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε· ἐν δὲ τῷ 37
λαλῆσαι ἠρώτα αὐτὸν φαρισαῖός τις ὅπως ἀριστήσῃ παρ᾽
αὐτῷ εἰσελθὼν δὲ ἀνέπεσεν· ὁ δὲ φαρισαῖος ἰδὼν ἐθαύμα- 38
σεν ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου· εἶπεν δὲ ὁ 39
κύριος πρὸς αὐτόν νῦν ὑμεῖς οἱ φαρισαῖοι τὸ ἔξωθεν τοῦ
ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε τὸ δὲ ἔσωθεν ὑμῶν
γέμει ἁρπαγῆς καὶ πονηρίας· ἄφρονες οὐχ ὁ ποιήσας τὸ 40
ἔξωθεν καὶ τὸ ἔσωθεν ἐποίησεν· πλὴν τὰ ἐνόντα δότε ἐλε- 41
ημοσύνην καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἐστιν· ἀλλ᾽ οὐαὶ 42
ὑμῖν τοῖς φαρισαίοις ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ
τὸ πήγανον καὶ πᾶν λάχανον καὶ παρέρχεσθε τὴν κρίσιν

**v.29** T*: πονηρα, V: γενεα πονηρα. **v.29** T*: επιζητει, V: ζητει. **v.29** T*: του προφητου, V: ∅. **v.30** T*: σημειον τοις νινευιταις, V: τοις νινευιταις σημειον. **v.31** TK: σολομωντος, MV: σολομωνος. **v.32** TK: νινευι, M: νινευη, V: νινευιται. **v.33** T*: δε, V: ∅. **v.33** TK: κρυπτον, MV: κρυπτην. **v.33** T*: φεγγος, V: φως. **v.34** T*: οταν ουν, V: σου οταν. **v.36** T*: τι μερος, V: μερος τι. **v.37** T*: ηρωτα, V: ερωτα. **v.37** T*: τις, V: ∅. **v.42** T*: αλλ, V: αλλα.

καὶ τὴν ἀγάπην τοῦ θεοῦ ταῦτά ἔδει ποιῆσαι κἀκεῖνα μὴ
43 ἀφιέναι ⸰ οὐαὶ ὑμῖν τοῖς φαρισαίοις ὅτι ἀγαπᾶτε τὴν πρω-
τοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς καὶ τοὺς ἀσπασμοὺς ἐν
44 ταῖς ἀγοραῖς ⸰ οὐαὶ ὑμῖν γραμματεῖς˚ καὶ φαρισαῖοι ὑπο-
κριταί ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα καὶ οἱ ἄνθρωποι
45 οἱ περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν ⸰ ἀποκριθεὶς δέ τις
τῶν νομικῶν λέγει αὐτῷ διδάσκαλε ταῦτα λέγων καὶ ἡμᾶς
46 ὑβρίζεις ⸰ ὁ δὲ εἶπεν καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ ὅτι φορτί-
ζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα καὶ αὐτοὶ ἑνὶ τῶν
47 δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις ⸰ οὐαὶ ὑμῖν
ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν οἱ δὲ πατέρες
48 ὑμῶν ἀπέκτειναν αὐτούς ⸰ ἄρα μαρτυρεῖτε καὶ συνευδο-
κεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν ὅτι αὐτοὶ μὲν ἀπέκτει-
49 ναν αὐτοὺς ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν˚ τὰ μνημεῖα ⸰ διὰ
τοῦτο καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν ἀποστελῶ εἰς αὐτοὺς
προφήτας καὶ ἀποστόλους καὶ ἐξ αὐτῶν ἀποκτενοῦσιν καὶ
50 ἐκδιώξουσιν ⸰ ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν
τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς
51 ταύτης ⸰ ἀπὸ τοῦ αἵματος ἄβελ ἕως τοῦ αἵματος ζαχαρίου
τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου
52 ναὶ λέγω ὑμῖν ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης ⸰ οὐαὶ
ὑμῖν τοῖς νομικοῖς ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως αὐτοὶ
53 οὐκ εἰσήλθετε καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε ⸰ λέγον-
τος˚ δὲ αὐτοῦ ταῦτα πρὸς αὐτοὺς ἤρξαντο οἱ γραμματεῖς
καὶ οἱ φαρισαῖοι δεινῶς ἐνέχειν καὶ ἀποστοματίζειν αὐτὸν
54 περὶ πλειόνων ⸰ ἐνεδρεύοντες αὐτὸν καὶ˚ ζητοῦντες θηρεῦ-
σαί τι ἐκ τοῦ στόματος αὐτοῦ ἵνα˚ κατηγορήσωσιν αὐτοῦ ⸰

**12** Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου ὥστε
καταπατεῖν ἀλλήλους ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς

---

**v.42** T*: ταυτα, V: ταυτα δε. **v.42** T*: αφιεναι, V: παρειναι. **v.44** T*: γραμματεις και φαρισαιοι υποκριται, V: ∅. **v.44** TK: οι, M: ∅, V: [οι]. **v.48** T*: μαρτυρειτε, V: μαρτυρες εστε. **v.48** T*: αυτων τα μνημεια, V: ∅. **v.49** T*: εκδιωξουσιν, V: διωξουσιν. **v.50** T*: εκχυνομενον, V: εκκεχυμενον. **v.51** T*: του, V: ∅. **v.52** T*: εισηλθετε, V: εισηλθατε. **v.53** T*: λεγοντος δε αυτου ταυτα προς αυτους, V: κακειθεν εξελθοντος αυτου. **v.54** TK: και ζητουντες, M: ζητουντες, V: ∅. **v.54** T*: ινα κατηγορησωσιν αυτου, V: ∅.

αὐτοῦ πρῶτον προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν˚ φα-
ρισαίων ἥτις ἐστὶν ὑπόκρισις ⸰ οὐδὲν δὲ συγκεκαλυμμένον 2
ἐστὶν ὃ οὐκ ἀποκαλυφθήσεται καὶ κρυπτὸν ὃ οὐ γνωσθή-
σεται ⸰ ἀνθ᾽ ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτὶ ἀκου- 3
σθήσεται καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις
κηρυχθήσεται ἐπὶ τῶν δωμάτων ⸰ λέγω δὲ ὑμῖν τοῖς φίλοις 4
μου μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεἰνόντων τὸ σῶμα καὶ με-
τὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι ⸰ ὑποδείξω 5
δὲ ὑμῖν τίνα φοβηθῆτε φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι
ἐξουσίαν˚ ἔχοντα ἐμβαλεῖν εἰς τὴν γέενναν ναὶ λέγω ὑμῖν
τοῦτον φοβήθητε ⸰ οὐχὶ πέντε στρουθία πωλεῖται ἀσσαρίων 6
δύο καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ
θεοῦ ⸰ ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρί- 7
θμηνται μὴ οὖν φοβεῖσθε πολλῶν στρουθίων διαφέρετε ⸰
λέγω δὲ ὑμῖν πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν 8
τῶν ἀνθρώπων καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν
αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ ⸰ ὁ δὲ ἀρνησάμε- 9
νός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν
ἀγγέλων τοῦ θεοῦ ⸰ καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ 10
ἀνθρώπου ἀφεθήσεται αὐτῷ τῷ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλα-
σφημήσαντι οὐκ ἀφεθήσεται ⸰ ὅταν δὲ ἠροσφέρωσιν ὑμᾶς 11
ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας μὴ με-
ριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε ἢ τί εἴπητε ⸰ τὸ γὰρ ἅγιον 12
πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν ⸰ εἶπεν 13
δέ τις αὐτῷ˚ ἐκ τοῦ ὄχλου διδάσκαλε εἰπὲ τῷ ἀδελφῷ μου
μερίσασθαι μετ᾽ ἐμοῦ τὴν κληρονομίαν ⸰ ὁ δὲ εἶπεν αὐτῷ 14
ἄνθρωπε τίς με κατέστησεν δικαστὴν ἢ μεριστὴν ἐφ᾽ ὑμᾶς ⸰
εἶπεν δὲ πρὸς αὐτοὺς ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλε- 15
ονεξίας ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ

**12. v.1** T*: των φαρισαιων ητις εστιν υποκρισις, V: ητις εστιν υποκρισις των φαρισαιων. **v.4** TKV: αποκτεινοντων, M: αποκτενοντων. **v.5** T*: εξουσιαν εχοντα, V: εχοντα εξουσιαν. **v.6** T*: πωλειται, V: πωλουνται. **v.7** T*: ουν, V: ∅. **v.11** T*: προσφερωσιν, V: εισφερωσιν. **v.11** T*: μεριμνατε, V: μεριμνησητε. **v.13** T*: αυτω εκ του οχλου, V: εκ του οχλου αυτω. **v.14** T*: δικαστην, V: κριτην. **v.15** T*: της, V: πασης. **v.15** TKV: αυτου, M: αυτω.

16 τῶν ὑπαρχόντων αὐτοῦ ◦ εἶπεν δὲ παραβολὴν πρὸς αὐτοὺς
17 λέγων ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα ◦ καὶ
διελογίζετο ἐν ἑαυτῷ λέγων τί ποιήσω ὅτι οὐκ ἔχω ποῦ συν-
18 άξω τοὺς καρπούς μου ◦ καὶ εἶπεν τοῦτο ποιήσω καθελῶ
μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω καὶ συνάξω
19 ἐκεῖ πάντα τὰ˚ γενήματά μου καὶ τὰ ἀγαθά μου ◦ καὶ ἐ-
ρῶ τῇ ψυχῇ μου ψυχὴ ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη
20 πολλὰ ἀναπαύου φάγε πίε εὐφραίνου ◦ εἶπεν δὲ αὐτῷ ὁ
θεὸς ἄφρων ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ
21 σοῦ ἃ δὲ ἡτοίμασας τίνι ἔσται ◦ οὕτως ὁ θησαυρίζων ἑαυ-
22 τῷ καὶ μὴ εἰς θεὸν πλουτῶν ◦ εἶπεν δὲ πρὸς τοὺς μαθητὰς
αὐτοῦ διὰ τοῦτο ὑμῖν˚ λέγω μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί
23 φάγητε μηδὲ τῷ σώματι τί ἐνδύσησθε ◦ ἡ˚ ψυχὴ πλεῖόν ἐ-
24 στιν τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος ◦ κατανοήσατε
τοὺς κόρακας ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οἷς οὐκ
ἔστιν ταμεῖον οὐδὲ ἀποθήκη καὶ ὁ θεὸς τρέφει αὐτοὺς πό-
25 σῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν ◦ τίς δὲ ἐξ ὑμῶν
μεριμνῶν δύναται προσθεῖναι˚ ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆ-
26 χυν ἕνα ◦ εἰ οὖν οὐτε ἐλάχιστον δύνασθε τί περὶ τῶν λοιπῶν
27 μεριμνᾶτε ◦ κατανοήσατε τὰ κρίνα πῶς αὐξάνει οὐ κοπιᾷ
οὐδὲ νήθει λέγω δὲ ὑμῖν οὐδὲ σολομὼν ἐν πάσῃ τῇ δόξῃ
28 αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων ◦ εἰ δὲ τὸν˚ χόρτον ἐν τῷ
ἀγρῷ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ
θεὸς οὕτως ἀμφιέννυσιν πόσῳ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι ◦
29 καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε ἢ˚ τί πίητε καὶ μὴ μετεωρίζε-
30 σθε ◦ ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ ὑμῶν
31 δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων ◦ πλὴν ζητεῖτε τὴν βα-
σιλείαν τοῦ˚ θεοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν ◦
32 μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον ὅτι εὐδόκησεν ὁ πατὴρ ὑ-

**v.15** T*: αυτου, V: αυτω. **v.18** T*: τα γενηματα μου, V: τον σιτον. **v.20** TV: αφρων, KM: αφρον. **v.22** T*: υμιν λεγω, V: λεγω υμιν. **v.22** T*: υμων, V: ∅. **v.23** T*: η, V: η γαρ. **v.25** T*: προσθειναι επι την ηλικιαν αυτου πηχυν ενα, V: επι την ηλικιαν αυτου προσθειναι πηχυν. **v.26** T*: ουτε, V: ουδε. **v.28** T*: τον χορτον εν τω αγρω σημερον οντα, V: εν αγρω τον χορτον οντα σημερον. **v.28** T*: αμφιεννυσιν, V: αμφιεζει. **v.29** T*: η, V: και. **v.30** T*: επιζητει, V: επιζητουσιν. **v.31** T*: του θεου, V: αυτου. **v.31** T*: παντα, V: ∅.

μῶν δοῦναι ὑμῖν τὴν βασιλείαν ◦ πωλήσατε τὰ ὑπάρχοντα 33
ὑμῶν καὶ δότε ἐλεημοσύνην ποιήσατε ἑαυτοῖς βαλάντια
μὴ παλαιούμενα θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς
ὅπου κλέπτης οὐκ ἐγγίζει οὐδὲ σὴς διαφθείρει ◦ ὅπου γάρ 34
ἐστιν ὁ θησαυρὸς ὑμῶν ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται ◦
ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιο- 35
μένοι ◦ καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν 36
κύριον ἑαυτῶν πότε ἀναλύσει ἐκ τῶν γάμων ἵνα ἐλθόντος
καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ ◦ μακάριοι οἱ δοῦ- 37
λοι ἐκεῖνοι οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας ἀμὴν λέγω ὑμῖν ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτοὺς καὶ
παρελθὼν διακονήσει αὐτοῖς ◦ καὶ˚ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ 38
φυλακῇ καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ καὶ εὕρῃ οὕτως μακάριοί εἰσιν οἱ˚ δοῦλοι ἐκεῖνοι ◦ τοῦτο δὲ γινώσκετε ὅτι εἰ 39
ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται ἐγρηγόρησεν˚ ἂν καὶ οὐκ ἂν ἀφῆκεν διορυχθῆναι τὸν οἶκον αὐτοῦ ◦
καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱ- 40
ὸς τοῦ ἀνθρώπου ἔρχεται ◦ εἶπεν δὲ αὐτῷ ὁ πέτρος κύριε 41
πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις ἢ καὶ πρὸς πάντας ◦ εἶπεν˚ δὲ ὁ κύριος τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος 42
καὶ φρόνιμος ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας
αὐτοῦ τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον ◦ μακάριος ὁ 43
δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα
οὕτως ◦ ἀληθῶς λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν 44
αὐτοῦ καταστήσει αὐτόν ◦ ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν 45
τῇ καρδίᾳ αὐτοῦ χρονίζει ὁ κύριός μου ἔρχεσθαι καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας ἐσθίειν τε καὶ
πίνειν καὶ μεθύσκεσθαι ◦ ἥξει ὁ κύριος τοῦ δούλου ἐκεί- 46
νου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει
καὶ διχοτομήσει αὐτὸν καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπί-

**v.33** T*: βαλαντια, V: βαλλαντια. **v.36** T*: αναλυσει, V: αναλυση. **v.38** T*: και εαν ελθη εν τη δευτερα φυλακη και, V: καν εν τη δευτερα καν. **v.38** T*: οι δουλοι, V: ∅. **v.39** T*: εγρηγορησεν αν και, V: ∅. **v.39** T*: διορυγηναι, V: διορυχθηναι. **v.40** T*: ουν, V: ∅. **v.41** T*: αυτω, V: ∅. **v.42** T*: ειπεν δε, V: και ειπεν. **v.42** T*: και, V: ο.

47 στων θήσει ◦ ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ
κυρίου ἑαυτοῦ καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ
48 θέλημα αὐτοῦ δαρήσεται πολλάς ◦ ὁ δὲ μὴ γνοὺς ποιήσας
δὲ ἄξια πληγῶν δαρήσεται ὀλίγας παντὶ δὲ ᾧ ἐδόθη πολὺ
πολὺ ζητηθήσεται παρ᾽ αὐτοῦ καὶ ᾧ παρέθεντο πολὺ πε-
49 ρισσότερον αἰτήσουσιν αὐτόν ◦ πῦρ ἦλθον βαλεῖν εἰς τὴν
50 γῆν καὶ τί θέλω εἰ ἤδη ἀνήφθη ◦ βάπτισμα δὲ ἔχω βαπτι-
51 σθῆναι καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ ◦ δοκεῖτε ὅτι
εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ οὐχὶ λέγω ὑμῖν ἀλλ᾽
52 ἢ διαμερισμόν ◦ ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ˚
ἐνὶ διαμεμερισμένοι τρεῖς ἐπὶ δυσὶν καὶ δύο ἐπὶ τρισίν ◦
53 διαμερισθήσεται πατὴρ ἐφ᾽˚ υἱῷ καὶ υἱὸς ἐπὶ πατρὶ μήτηρ
ἐπὶ θυγατρὶ καὶ θυγάτηρ ἐπὶ μητρὶ πενθερὰ ἐπὶ τὴν νύμ-
54 φην αὐτῆς καὶ νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς ◦ ἔλεγεν δὲ
καὶ τοῖς ὄχλοις ὅταν ἴδητε τὴν νεφέλην ἀνατέλλουσαν ἀπὸ
δυσμῶν εὐθέως λέγετε ὄμβρος ἔρχεται καὶ γίνεται οὕτως ◦
55 καὶ ὅταν νότον πνέοντα λέγετε ὅτι καύσων ἔσται καὶ γί-
56 νεται ◦ ὑποκριταὶ τὸ πρόσωπον τῆς˚ γῆς καὶ τοῦ οὐρανοῦ
οἴδατε δοκιμάζειν τὸν˚ δὲ καιρὸν τοῦτον πῶς˚ οὐ δοκιμά-
57, 58 ζετε ◦ τί˚ δὲ καὶ ἀφ᾽ ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον ◦ ὡς γὰρ
ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ᾽ ἄρχοντα ἐν τῇ ὁδῷ
δὸς ἐργασίαν ἀπηλλάχθαι ἀπ᾽ αὐτοῦ μήποτε κατασύρῃ σε
πρὸς τὸν κριτὴν καὶ ὁ κριτής σε παρἀδῷ τῷ πράκτορι καὶ ὁ
59 πράκτωρ σε βἀλλῃ εἰς φυλακήν ◦ λέγω σοι οὐ μὴ ἐξέλθῃς
ἐκεῖθεν ἕως οὗ καὶ τὸ ἔσχατον λεπτὸν ἀποδῷς ◦

**13** Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐ-
τῷ περὶ τῶν γαλιλαίων ὧν τὸ αἷμα πιλάτος ἔμιξεν μετὰ τῶν

---

**v.47** T*: εαυτου, V: αυτου. **v.47** T*: μηδε, V: η. **v.49** T*: εις, V: επι. **v.50** T*: ου, V: οτου. **v.52** T*: οικω ενι, V: ενι οικω. **v.53** T*: διαμερισθησεται, V: διαμερισθησονται. **v.53** TK: εφ, MV: επι. **v.53** T*: θυγατρι, V: την θυγατερα. **v.53** T*: μητρι, V: την μητερα. **v.53** T*: αυτης, V: ∅. **v.54** T*: απο, V: επι. **v.54** T*: λεγετε, V: λεγετε οτι. **v.56** TMV: της γης και του ουρανου, K: του ουρανου και της γης. **v.56** T*: τον δε καιρον, V: τον καιρον δε, D: πλην τον καιρον. **v.56** T*: πως ου δοκιμαζετε, V: πως ουκ οιδατε δοκιμαζειν, D: ου δοκιμαζετε. **v.57** E: τι δε, D: ∅. **v.58** T*: παραδω, V: παραδωσει. **v.58** TK: βαλλη, M: βαλη, V: βαλει. **v.59** T*: ου, V: ∅. **v.59** TKV: το, M: τον.

θυσιῶν αὐτῶν ⸰ καὶ ἀποκριθεὶς ὁ˚ ἰησοῦς εἶπεν αὐτοῖς δο- 2
κεῖτε ὅτι οἱ γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς
γαλιλαίους ἐγένοντο ὅτι τὸιαῦτα πεπόνθασιν ⸰ οὐχὶ λέγω 3
ὑμῖν ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε πάντες ὡσ̀αύτως ἀπολεῖσθε ⸰
ἢ ἐκεῖνοι οἱ δέκα˚ καὶ ὀκτὼ ἐφ᾽ οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ 4
σιλωὰμ καὶ ἀπέκτεινεν αὐτοὺς δοκεῖτε ὅτι ὁῦτοι ὀφειλέται
ἐγένοντο παρὰ πάντας ἀν̀θρώπους τοὺς κατοικοῦντας ἐν̀
ἱερουσαλήμ ⸰ οὐχὶ λέγω ὑμῖν ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε πάν- 5
τες ὁμ̀οίως ἀπολεῖσθε ⸰ ἔλεγεν δὲ ταύτην τὴν παραβολὴν 6
συκῆν εἶχέν τις ἐν˚ τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην καὶ
ἦλθεν καρπὸν˚ ζητῶν ἐν αὐτῇ καὶ οὐχ εὗρεν ⸰ εἶπεν δὲ πρὸς 7
τὸν ἀμπελουργὸν ἰδοὺ τρία ἔτη ἔρ̀χομαι ζητῶν καρπὸν ἐν
τῇ συκῇ ταύτῃ καὶ οὐχ εὑρίσκω ἔκκοψοῦ αὐτὴν ἱναῖ̀ι καὶ
τὴν γῆν καταργεῖ ⸰ ὁ δὲ ἀποκριθεὶς λέγει αὐτῷ κύριε ἄφες 8
αὐτὴν καὶ τοῦτο τὸ ἔτος ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ
βάλω κοπρίαν̀ ⸰ κἂν μὲν ποιήσῃ καρπὸν εἰ˚ δὲ μήγε εἰς τὸ 9
μέλλον ἐκκόψεις αὐτήν ⸰ ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συνα- 10
γωγῶν ἐν τοῖς σάββασιν ⸰ καὶ ἰδοὺ γυνὴ ἦν̀ πνεῦμα ἔχουσα 11
ἀσθενείας ἔτη δέκα˚ καὶ ὀκτὼ καὶ ἦν συγκύπτουσα καὶ μὴ
δυναμένη ἀνακύψαι εἰς τὸ παντελές ⸰ ἰδὼν δὲ αὐτὴν ὁ ἰη- 12
σοῦς προσεφώνησεν καὶ εἶπεν αὐτῇ γύναι ἀπολέλυσαι τῆς
ἀσθενείας σοῦ ⸰ καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας καὶ παρα- 13
χρῆμα ἀνωρθώθη καὶ ἐδόξαζεν τὸν θεόν ⸰ ἀποκριθεὶς δὲ 14
ὁ ἀρχισυνάγωγος ἀγανακτῶν ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν
ὁ ἰησοῦς ἔλεγεν τῷ ὄχλῳ ἓξ̣ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργά-
ζεσθαι ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε καὶ μὴ τῇ
ἡμέρᾳ τοῦ σαββάτου ⸰ ἀπεκρίθη ὁῦν αὐτῷ ὁ κύριος καὶ εἶ- 15

**13. v.2** T*: ο ιησους, V: ∅. **v.2** T*: τοιαυτα, V: ταυτα. **v.3** T*: ωσαυτως, V: ομοιως. **v.4** T*: δεκα και οκτω, V: δεκαοκτω. **v.4** T*: ουτοι, V: αυτοι. **v.4** T*: ανθρωπους, V: τους ανθρωπους. **v.4** T*: εν, V: ∅. **v.5** T*: ομοιως, V: ωσαυτως. **v.6** T*: εν τω αμπελωνι αυτου πεφυτευμενην, V: πεφυτευμενην εν τω αμπελωνι αυτου. **v.6** TK: καρπον ζητων, MV: ζητων καρπον. **v.7** T*: ερχομαι, V: αφ ου ερχομαι. **v.7** T*: εκκοψον, V: εκκοψον [ουν]. **v.7** TKV: ινατι, M: ινα τι. **v.8** TK: κοπριαν, MV: κοπρια. **v.9** T*: ει δε μηγε εις το μελλον, V: εις το μελλον ει δε μη γε. **v.11** T*: ην, V: ∅. **v.11** T*: δεκα και οκτω, V: δεκαοκτω. **v.14** T*: εξ, V: οτι εξ. **v.14** T*: ταυταις, V: αυταις. **v.15** T*: ουν, V: δε.

πεν ὑποκριτὰ ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν
αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει ◦
16 ταύτην δὲ θυγατέρα ἀβραὰμ οὖσαν ἣν ἔδησεν ὁ σατανᾶς
ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ
17 τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου ◦ καὶ ταῦτα λέγοντος αὐτοῦ
κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ καὶ πᾶς ὁ ὄχλος
ἔχαιρεν ἐπὶ πᾶσιν τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ᾽ αὐτοῦ ◦
18 ἔλεγεν δὲ˚ τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ καὶ τίνι ὁ-
19 μοιώσω αὐτήν ◦ ὁμοία ἐστὶν κόκκῳ σινάπεως ὃν λαβὼν ἄν-
θρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ καὶ ηὔξησεν καὶ ἐγένετο
εἰς δένδρον μέγα καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνω-
20 σεν ἐν τοῖς κλάδοις αὐτοῦ ◦ κἀι πάλιν εἶπεν τίνι ὁμοιώσω
21 τὴν βασιλείαν τοῦ θεοῦ ◦ ὁμοία ἐστὶν ζύμῃ ἣν λαβοῦσα γυ-
νὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον ◦
22 καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων καὶ πο-
23 ρείαν ποιούμενος εἰς ἱεροὺσαλήμ ◦ εἶπεν δέ τις αὐτῷ κύριε
24 εἰ ὀλίγοι οἱ σωζόμενοι ὁ δὲ εἶπεν πρὸς αὐτούς ◦ ἀγωνίζεσθε
εἰσελθεῖν διὰ τῆς στενῆς πύλης ὅτι πολλοὶ λέγω ὑμῖν ζητή-
25 σουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσιν ◦ ἀφ᾽ οὗ ἂν ἐγερθῇ ὁ
οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύραν καὶ ἄρξησθε ἔξω
ἑστάναι καὶ κρούειν τὴν θύραν λέγοντες κύριε κύριε ἄνοι-
ξον ἡμῖν καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν οὐκ οἶδα ὑμᾶς πόθεν
26 ἐστέ ◦ τότε ἄρξεσθε λέγειν ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπί-
27 ομεν καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας ◦ καὶ ἐρεῖ λέγω
ὑμῖν οὐκ οἶδα ὑμᾶς πόθεν ἐστὲ ἀπόστητε ἀπ᾽ ἐμοῦ πάν-
28 τες οἱ˚ ἐργάται τῆς ἀδικίας ◦ ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ
βρυγμὸς τῶν ὀδόντων ὅταν ὄψησθε ἀβραὰμ καὶ ἰσαὰκ καὶ
ἰακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ
29 ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω ◦ καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν
καὶ δυσμῶν καὶ ἀπὸ βορρᾶ καὶ νότου καὶ ἀνακλιθήσονται

---

**v.15** ΤΚ: υποκριτα, ΜV: υποκριται. **v.18** T*: δε, V: ουν. **v.19** T*: μεγα, V: ∅. **v.20** ΤΚV: και, Μ: ∅. **v.21** T*: ενεκρυψεν, V: [εν]εκρυψεν. **v.22** T*: ιερουσαλημ, V: ιεροσολυμα. **v.24** T*: πυλης, V: θυρας. **v.25** T*: κυριε, V: ∅. **v.27** T*: λεγω, V: λεγων. **v.27** T*: οι εργαται της, V: εργαται. **v.29** ΤΚV: απο, Μ: ∅.

ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ ◦ καὶ ἰδοὺ εἰσὶν ἔσχατοι οἳ ἔσον- 30
ται πρῶτοι καὶ εἰσὶν πρῶτοι οἳ ἔσονται ἔσχατοι ◦ ἐν αὐτῇ 31
τῇ ἡμέρᾳ˚ προσῆλθόν τινες φαρισαῖοι λέγοντες αὐτῷ ἔξ-
ελθε καὶ πορεύου ἐντεῦθεν ὅτι ἡρώδης θέλει σε ἀποκτεῖ-
ναι ◦ καὶ εἶπεν αὐτοῖς πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύ- 32
τῃ ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ
αὔριον καὶ τῇ τρίτῃ τελειοῦμαι ◦ πλὴν δεῖ με σήμερον καὶ 33
αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι ὅτι οὐκ ἐνδέχεται προ-
φήτην ἀπολέσθαι ἔξω ἱερουσαλήμ ◦ ἱερουσαλὴμ ἱερουσα- 34
λὴμ ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς
ἀπεσταλμένους πρὸς αὐτὴν ποσάκις ἠθέλησα ἐπισυνάξαι
τὰ τέκνα σου ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς
πτέρυγας καὶ οὐκ ἠθελήσατε ◦ ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος 35
ὑμῶν ἔρημος ἀμὴν˚ δὲ λέγω ὑμῖν ὅτι˚ οὐ μή με ἴδητε ἕως
ἂν ἥξῃ˚ ὅτε εἴπητε εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι
κυρίου ◦

Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόν- **14**
των τῶν φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον καὶ αὐτοὶ ἦσαν
παρατηρούμενοι αὐτόν ◦ καὶ ἰδοὺ ἄνθρωπός τις ἦν ὑδρω- 2
πικὸς ἔμπροσθεν αὐτοῦ ◦ καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπεν 3
πρὸς τοὺς νομικοὺς καὶ φαρισαίους λέγων ἐἰ ἔξεστιν τῷ
σαββάτῳ θεραπεύειν ◦ οἱ δὲ ἡσύχασαν καὶ ἐπιλαβόμενος 4
ἰάσατο αὐτὸν καὶ ἀπέλυσεν ◦ καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς 5
εἶπεν τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται καὶ οὐκ
εὐθέως ἀναspάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου ◦ καὶ 6
οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα ◦ ἔλεγεν δὲ 7
πρὸς τοὺς κεκλημένους παραβολὴν ἐπέχων πῶς τὰς πρω-
τοκλισίας ἐξελέγοντο λέγων πρὸς αὐτούς ◦ ὅταν κληθῇς ὑ- 8
πό τινος εἰς γάμους μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν

---

**v.31** T*: ημερα προσηλθον, V: ωρα προσηλθαν. **v.32** T*: επιτελω, V: αποτελω. **v.34** TKV: αποκτεινουσα, M: αποκτενουσα. **v.35** T*: ερημος, V: ∅. **v.35** TK: αμην δε λεγω, M: λεγω δε, V: λεγω [δε]. **v.35** T*: οτι ου μη με ιδητε, V: ου μη ιδητε με. **v.35** T*: αν, V: ∅. **v.35** T*: ηξη οτε, V: [ηξει οτε]. **14. v.3** T*: ει, V: ∅. **v.3** T*: θεραπευειν, V: θεραπευσαι η ου. **v.5** T*: αποκριθεις, V: ∅. **v.5** TK: ονος, MV: υιος. **v.5** T*: εμπεσειται, V: πεσειται. **v.5** T*: τη, V: ∅. **v.6** T*: αυτω, V: ∅.

9 μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ ⸰ καὶ ἐλ-
θὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ σοι δὸς τούτῳ τόπον καὶ
10 τότε ἄρξῃ μετ᾽ αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν ⸰ ἀλλ᾽
ὅταν κληθῇς πορευθεὶς ἀνάπεσὸν εἰς τὸν ἔσχατον τόπον
ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε εἴπῃ σοι φίλε προσανάβηθι
ἀνώτερον τότε ἔσται σοι δόξα ἐνώπιον τῶν συνανακειμένων
11 σοι ⸰ ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται καὶ ὁ ταπεινῶν
12 ἑαυτὸν ὑψωθήσεται ⸰ ἔλεγεν δὲ καὶ τῷ κεκληκότι αὐτὸν ὅ-
ταν ποιῇς ἄριστον ἢ δεῖπνον μὴ φώνει τοὺς φίλους σου
μηδὲ τοὺς ἀδελφούς σου μηδὲ τοὺς συγγενεῖς σου μηδὲ
γείτονας πλουσίους μήποτε καὶ αὐτοί σε˚ ἀντικαλέσωσιν
13 καὶ γένηταί σοι˚ ἀνταπόδομα ⸰ ἀλλ᾽ ὅταν ποιῇς˚ δοχὴν κά-
14 λει πτωχοὺς ἀναπήρους χωλοὺς τυφλούς ⸰ καὶ μακάριος
ἔσῃ ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι ἀνταποδοθήσεται
15 γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων ⸰ ἀκούσας δέ τις τῶν
συνανακειμένων ταῦτα εἶπεν αὐτῷ μακάριος ὃς φάγεται
16 ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ ⸰ ὁ δὲ εἶπεν αὐτῷ ἄνθρωπός
17 τις ἐποίησεν δεῖπνον μέγα καὶ ἐκάλεσεν πολλούς ⸰ καὶ ἀ-
πέστειλεν τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς
18 κεκλημένοις ἔρχεσθε ὅτι ἤδη ἕτοιμά ἐστιν πάντα ⸰ καὶ ἤρ-
ξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι˚ πάντες ὁ πρῶτος εἶπεν αὐτῷ
ἀγρὸν ἠγόρασα καὶ ἔχω ἀνάγκην ἐξελθεῖν˚ καὶ ἰδεῖν αὐ-
19 τὸν ἐρωτῶ σε ἔχε με παρῃτημένον ⸰ καὶ ἕτερος εἶπεν ζεύγη
βοῶν ἠγόρασα πέντε καὶ πορεύομαι δοκιμάσαι αὐτὰ ἐ-
20 ρωτῶ σε ἔχε με παρῃτημένον ⸰ καὶ ἕτερος εἶπεν γυναῖκα
21 ἔγημα καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν ⸰ καὶ παραγενό-
μενος ὁ δοῦλος ἐκεῖνος ἀπήγγειλεν τῷ κυρίῳ αὐτοῦ ταῦτα
τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπεν τῷ δούλῳ αὐτοῦ ἔξ-
ελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως καὶ

---

**v.9** T*: μετ, V: μετα. **v.10** TK: αναπεσον, MV: αναπεσε. **v.10** T*: ειπη, V: ερει. **v.10** T*: των, V: παντων των. **v.12** T*: σε αντικαλεσωσιν, V: αντικαλεσωσιν σε. **v.12** T*: σοι ανταποδομα, V: ανταποδομα σοι. **v.13** T*: ποιης δοχην, V: δοχην ποιης. **v.13** T*: αναπηρους, V: αναπειρους. **v.15** T*: ος, V: οστις. **v.15** TKV: αρτον, M: αριστον. **v.16** T*: εποιησεν, V: εποιει. **v.17** T*: παντα, V: ∅. **v.18** T*: παραιτεισθαι παντες, V: παντες παραιτεισθαι. **v.18** T*: εξελθειν και, V: εξελθων. **v.21** T*: εκεινος, V: ∅.

τοὺς πτωχοὺς καὶ ἀναπήρους˚ καὶ χωλοὺς καὶ τυφλοὺς
εἰσάγαγε ὧδε· καὶ εἶπεν ὁ δοῦλος κύριε γέγονεν ὡς ἐπέ- 22
ταξας καὶ ἔτι τόπος ἐστίν· καὶ εἶπεν ὁ κύριος πρὸς τὸν 23
δοῦλον ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς καὶ ἀνάγκα-
σον εἰσελθεῖν ἵνα γεμισθῇ ὁ˚ οἶκός μου· λέγω γὰρ ὑμῖν 24
ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί
μου τοῦ δείπνου· συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοὶ 25
καὶ στραφεὶς εἶπεν πρὸς αὐτούς· εἴ τις ἔρχεται πρός με 26
καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ τὴν μητέρα καὶ τὴν
γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς
ἔτι δὲ˚ καὶ τὴν ἑαυτοῦ˚ ψυχὴν οὐ δύναταί μου˚ μαθητὴς
εἶναι· κἀὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν ἀὐτοῦ καὶ ἔρ- 27
χεται ὀπίσω μου οὐ δύναταί μου˚ εἶναι μαθητής· τίς γὰρ 28
ἐξ ὑμῶν θέλὼν πύργον οἰκοδομῆσαι οὐχὶ πρῶτον καθίσας
ψηφίζει τὴν δαπάνην εἰ ἔχει τὰ˚ πρὸς ἀπαρτισμόν· ἵνα μή- 29
ποτε θέντος αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύοντος ἐκτελέσαι
πάντες οἱ θεωροῦντες ἄρξωνται ἐμπαίζειν˚ αὐτῷ· λέγοντες 30
ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν
ἐκτελέσαι· ἢ τίς βασιλεὺς πορευόμενος συμβαλεῖν˚ ἑτέρῳ 31
βασιλεῖ εἰς πόλεμον οὐχὶ καθίσας πρῶτον βουλεύεται εἰ
δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι
χιλιάδων ἐρχομένῳ ἐπ᾽ αὐτόν· εἰ δὲ μήγε ἔτι αὐτοῦ˚ πόρρω 32
ὄντος πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην· οὕ- 33
τως οὖν πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται πᾶσιν τοῖς ἑαυτοῦ
ὑπάρχουσιν οὐ δύναταί μου˚ εἶναι μαθητής· καλὸν τὸ ἅ- 34
λας ἐὰν δὲ τὸ ἅλας μωρανθῇ ἐν τίνι ἀρτυθήσεται· οὔτε εἰς 35
γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν ἔξω βάλλουσιν αὐτὸ ὁ

---

**v.21** T*: αναπηρους και χωλους και τυφλους, V: αναπειρους και τυφλους και χωλους. **v.22** T*: ως, V: ο. **v.23** T*: ο οικος μου, V: μου ο οικος. **v.26** TKV: εαυτου, M: αυτου. **v.26** T*: δε, V: τε. **v.26** T*: εαυτου ψυχην, V: ψυχην εαυτου. **v.26** T*: μου μαθητης ειναι, V: ειναι μου μαθητης. **v.27** T*: και, V: ∅. **v.27** T*: αυτου, V: εαυτου. **v.27** TK: μου ειναι, MV: ειναι μου. **v.28** TKV: θελων, M: ο θελων. **v.28** TK: τα προς, M: τα εις, V: εις. **v.29** T*: εμπαιζειν αυτω, V: αυτω εμπαιζειν. **v.31** T*: συμβαλειν ετερω βασιλει, V: ετερω βασιλει συμβαλειν. **v.31** T*: βουλευεται, V: βουλευσεται. **v.31** T*: απαντησαι, V: υπαντησαι. **v.32** TK: μηγε, MV: μη γε. **v.32** TKV: αυτου πορρω, M: πορρω αυτου. **v.33** T*: μου ειναι, V: ειναι μου. **v.34** T*: καλον, V: καλον ουν. **v.34** T*: το, V: και το.

ἔχων ὦτα ἀκούειν ἀκουέτω ◦

**15** ⁷Ησαν δὲ ἐγγίζοντες˚ αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁ-
2 μαρτωλοὶ ἀκούειν αὐτοῦ ◦ καὶ διεγόγγυζον οἵ φαρισαῖοι
καὶ οἱ γραμματεῖς λέγοντες ὅτι οὗτος ἁμαρτωλοὺς προσ-
3 δέχεται καὶ συνεσθίει αὐτοῖς ◦ εἶπεν δὲ πρὸς αὐτοὺς τὴν
4 παραβολὴν ταύτην λέγων ◦ τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑ-
κατὸν πρόβατα καὶ ἀπολέσας ἓν˚ ἐξ αὐτῶν οὐ καταλείπει
τὰ ἐννενηκονταἐννέα ἐν τῇ ἐρήμῳ καὶ πορεύεται ἐπὶ τὸ ἀ-
5 πολωλὸς ἕως εὕρῃ αὐτό ◦ καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς
6 ὤμους ἑαὐτοῦ χαίρων ◦ καὶ ἐλθὼν εἰς τὸν οἶκον συγκαλεῖ
τοὺς φίλους καὶ τοὺς γείτονας λέγων αὐτοῖς συγχάρητέ μοι
7 ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός ◦ λέγω ὑμῖν ὅτι
οὕτως χαρὰ ἔσται˚ ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετα-
νοοῦντι ἢ ἐπὶ ἐννενηκονταἐννέα δικαίοις οἵτινες οὐ χρείαν
8 ἔχουσιν μετανοίας ◦ ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα ἐὰν
ἀπολέσῃ δραχμὴν μίαν οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν
9 οἰκίαν καὶ ζητεῖ ἐπιμελῶς ἕως ὅτου εὕρῃ ◦ καὶ εὑροῦσα
συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας λέγουσα συγχά-
10 ρητέ μοι ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα ◦ οὕτως λέγω
ὑμῖν χαρὰ˚ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ
11 ἁμαρτωλῷ μετανοοῦντι ◦ εἶπεν δὲ ἄνθρωπός τις εἶχεν δύο
12 υἱούς ◦ καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρὶ πάτερ δός μοι
τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας κἀὶ διεῖλεν αὐτοῖς τὸν βίον ◦
13 καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος
υἱὸς ἀπεδήμησεν εἰς χώραν μακρὰν καὶ ἐκεῖ διεσκόρπισεν
14 τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως ◦ δαπανήσαντος δὲ αὐτοῦ
πάντα ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην καὶ
15 αὐτὸς ἤρξατο ὑστερεῖσθαι ◦ καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ
τῶν πολιτῶν τῆς χώρας ἐκείνης καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς

**15. v.1** T*: εγγιζοντες αυτω, V: αυτω εγγιζοντες. **v.2** T*: οι, V: οι τε. **v.4** T*: εν εξ αυτων, V: εξ αυτων εν. **v.4** TK: εννενηκονταεννεα, MV: ενενηκοντα εννεα. **v.5** T*: εαυτου, V: αυτου. **v.7** T*: εσται εν τω ουρανω, V: εν τω ουρανω εσται. **v.7** TK: εννενηκονταεννεα, MV: ενενηκοντα εννεα. **v.8** T*: οτου, V: ου. **v.9** T*: συγκαλειται, V: συγκαλει. **v.9** T*: τας, V: ∅. **v.10** T*: χαρα γινεται, V: γινεται χαρα. **v.12** T*: και, V: ο δε. **v.13** T*: απαντα, V: παντα. **v.14** T*: ισχυρος, V: ισχυρα.

ἀγροὺς αὐτοῦ βόσκειν χοίρους ⸰ καὶ ἐπεθύμει γεμίσαι˚ τὴν 16
κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι καὶ
οὐδεὶς ἐδίδου αὐτῷ ⸰ εἰς ἑαυτὸν δὲ ἐλθὼν εἶπεν πόσοι μί- 17
σθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων ἐγὼ δὲ λιμῷ
ἀπόλλυμαι ⸰ ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου 18
καὶ ἐρῶ αὐτῷ πάτερ ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν
σου ⸰ κἀὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου ποίησόν με 19
ὡς ἕνα τῶν μισθίων σου ⸰ καὶ ἀναστὰς ἦλθεν πρὸς τὸν πα- 20
τέρα ἑἀυτοῦ ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος εἶδεν αὐτὸν ὁ
πατὴρ αὐτοῦ καὶ ἐσπλαγχνίσθη καὶ δραμὼν ἐπέπεσεν ἐπὶ
τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν αὐτόν ⸰ εἶπεν δὲ αὐ- 21
τῷ˚ ὁ υἱὸς πάτερ ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου
κἀὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου ⸰ εἶπεν δὲ ὁ πατὴρ 22
πρὸς τοὺς δούλους αὐτοῦ ἐξενέγκατε˚ τὴν στολὴν τὴν πρώ-
την καὶ ἐνδύσατε αὐτὸν καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα
αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς πόδας ⸰ καὶ ἐνέγκαντες τὸν 23
μόσχον τὸν σιτευτὸν θύσατε καὶ φαγόντες εὐφρανθῶμεν ⸰
ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν καὶ˚ ἀπολω- 24
λὼς ἦν καὶ εὑρέθη καὶ ἤρξαντο εὐφραίνεσθαι ⸰ ἦν δὲ ὁ υἱὸς 25
αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ καὶ ὡς ἐρχόμενος ἤγγισεν
τῇ οἰκίᾳ ἤκουσεν συμφωνίας καὶ χορῶν ⸰ καὶ προσκαλε- 26
σάμενος ἕνα τῶν παίδων αὐτοῦ ἐπυνθάνετο τί εἴη ταῦτα ⸰ ὁ 27
δὲ εἶπεν αὐτῷ ὅτι ὁ ἀδελφός σου ἥκει καὶ ἔθυσεν ὁ πατήρ
σου τὸν μόσχον τὸν σιτευτὸν ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλα-
βεν ⸰ ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν εἰσελθεῖν ὁ οὖν πατὴρ 28
αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν ⸰ ὁ δὲ ἀποκριθεὶς εἶπεν 29
τῷ πατρὶ ἰδοὺ τοσαῦτα ἔτη δουλεύω σοι καὶ οὐδέποτε ἐν-
τολήν σου παρῆλθον καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ἵνα
μετὰ τῶν φίλων μου εὐφρανθῶ ⸰ ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ 30

---

**v.16** T*: γεμισαι την κοιλιαν αυτου απο, V: χορτασθηναι εκ. **v.17** T*: ειπεν, V: εφη. **v.17** T*: περισσευουσιν, V: περισσευονται. **v.17** T*: λιμω, V: λιμω ωδε. **v.19** T*: και, V: ∅. **v.20** TKV: εαυτου, M: αυτου. **v.21** T*: αυτω ο υιος, V: ο υιος αυτω. **v.21** T*: και, V: ∅. **v.22** T*: εξενεγκατε την, V: ταχυ εξενεγκατε. **v.23** T*: ενεγκαντες, V: φερετε. **v.24** T*: και απολωλως ην, V: ην απολωλως. **v.26** T: αυτου, KMV: ∅. **v.26** T*: τι, V: τι αν. **v.28** T*: ουν, V: δε. **v.29** T*: πατρι, V: πατρι αυτου.

καταφαγών σου τὸν βίον μετὰ πορνῶν ἦλθεν ἔθυσας αὐτῷ
31 τὸν˚ μόσχον τὸν σιτευτόν ◦ ὁ δὲ εἶπεν αὐτῷ τέκνον σὺ πάν-
32 τοτε μετ᾽ ἐμοῦ εἶ καὶ πάντα τὰ ἐμὰ σά ἐστιν ◦ εὐφρανθῆναι
δὲ καὶ χαρῆναι ἔδει ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν καὶ
ἀνέζησεν καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη ◦

**16** Ἔλεγεν δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ ἄνθρωπός τις
ἦν πλούσιος ὃς εἶχεν οἰκονόμον καὶ οὗτος διεβλήθη αὐτῷ
2 ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ ◦ καὶ φωνήσας αὐ-
τὸν εἶπεν αὐτῷ τί τοῦτο ἀκούω περὶ σοῦ ἀπόδος τὸν λόγον
3 τῆς οἰκονομίας σου οὐ γὰρ δύνηθῃ ἔτι οἰκονομεῖν ◦ εἶπεν
δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος τί ποιήσω ὅτι ὁ κύριός μου ἀφαι-
ρεῖται τὴν οἰκονομίαν ἀπ᾽ ἐμοῦ σκάπτειν οὐκ ἰσχύω ἐπαι-
4 τεῖν αἰσχύνομαι ◦ ἔγνων τί ποιήσω ἵνα ὅταν μετασταθῶ τῆς
5 οἰκονομίας δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν ◦ καὶ προσ-
καλεσάμενος ἕνα ἕκαστον τῶν χρεωφειλετῶν τοῦ κυρίου
6 ἑαυτοῦ ἔλεγεν τῷ πρώτῳ πόσον ὀφείλεις τῷ κυρίῳ μου ◦ ὁ
δὲ εἶπεν ἑκατὸν βάτους ἐλαίου κἀι εἶπεν αὐτῷ δέξαι σου τὸ˚
7 γράμμα καὶ καθίσας ταχέως γράψον πεντήκοντα ◦ ἔπειτα
ἑτέρῳ εἶπεν σὺ δὲ πόσον ὀφείλεις ὁ δὲ εἶπεν ἑκατὸν κό-
ρους σίτου κἀι λέγει αὐτῷ δέξαι σου τὸ˚ γράμμα καὶ γρά-
8 ψον ὀγδοήκοντα ◦ καὶ ἐπήνεσεν ὁ κύριος τὸν οἰκονόμον
τῆς ἀδικίας ὅτι φρονίμως ἐποίησεν ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος
τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν
9 γενεὰν τὴν ἑαυτῶν εἰσιν ◦ κἀγὼ ὑμῖν λέγω ποιήσατε˚ ἑαυ-
τοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας ἵνα ὅταν ἐκλίπητε
10 δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς ◦ ὁ πιστὸς ἐν ἐλα-
χίστῳ καὶ ἐν πολλῷ πιστός ἐστιν καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος
11 καὶ ἐν πολλῷ ἄδικός ἐστιν ◦ εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πι-
12 στοὶ οὐκ ἐγένεσθε τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει ◦ καὶ εἰ ἐν

---

**v.30** T*: τον μοσχον τον σιτευτον, V: τον σιτευτον μοσχον. **v.32** T*: ανεζησεν, V: εζησεν. **v.32** T*: ην, V: ∅. **16. v.1** T*: αυτου, V: ∅. **v.2** T*: δυνηση, V: δυνη. **v.4** T*: της, V: εκ της. **v.5** T*: χρεωφειλετων, V: χρεοφειλετων. **v.6** T*: και, V: ο δε. **v.6** T*: το γραμμα, V: τα γραμματα. **v.7** T*: και, V: ∅. **v.7** T*: το γραμμα, V: τα γραμματα. **v.8** TMV: την, K: ∅. **v.9** T*: καγω, V: και εγω. **v.9** T*: ποιησατε εαυτοις, V: εαυτοις ποιησατε. **v.9** TK: εκλιπητε, M: εκληπητε, V: εκλιπη.

τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε τὸ ὑμέτερον τίς ὑμῖν δώ-
σει ◦ οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν ἢ γὰρ 13
τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει ἢ ἑνὸς ἀνθέξεται
καὶ τοῦ ἑτέρου καταφρονήσει οὐ δύνασθε θεῷ δουλεύειν
καὶ μαμωνᾷ ◦ ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ φαρισαῖοι φι- 14
λάργυροι ὑπάρχοντες καὶ ἐξεμυκτήριζον αὐτόν ◦ καὶ εἶπεν 15
αὐτοῖς ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀν-
θρώπων ὁ δὲ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν ὅτι τὸ ἐν
ἀνθρώποις ὑψηλὸν βδέλυγμα ἐνώπιον τοῦ θεοῦ ἐστὶν ◦ ὁ 16
νόμος καὶ οἱ προφῆται ἕως ἰωάννου ἀπὸ τότε ἡ βασιλεία
τοῦ θεοῦ εὐαγγελίζεται καὶ πᾶς εἰς αὐτὴν βιάζεται ◦ εὐ- 17
κοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ
τοῦ νόμου μίαν κεραίαν πεσεῖν ◦ πᾶς ὁ ἀπολύων τὴν γυ- 18
ναῖκα αὐτοῦ καὶ γαμῶν ἑτέραν μοιχεύει καὶ ἅπᾶς ὁ ἀπολε-
λυμένην ἀπὸ ἀνδρὸς γαμῶν μοιχεύει ◦ ἄνθρωπος δέ τις ἦν 19
πλούσιος καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραι-
νόμενος καθ᾽ ἡμέραν λαμπρῶς ◦ πτωχὸς δέ τις ἦν᾽ ὀνόματι 20
λάζαρος ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος ◦
καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν˚ ψιχίων τῶν πιπτόν- 21
των ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου ἀλλὰ καὶ οἱ κύνες
ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ ◦ ἐγένετο δὲ ἀποθα- 22
νεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων
εἰς τὸν κόλπον τοῦ ἀβραὰμ ἀπέθανεν δὲ καὶ ὁ πλούσιος
καὶ ἐτάφη ◦ καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ 23
ὑπάρχων ἐν βασάνοις ὁρᾷ τὸν ἀβραὰμ ἀπὸ μακρόθεν καὶ
λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ ◦ καὶ αὐτὸς φωνήσας εἶπεν 24
πάτερ ἀβραὰμ ἐλέησόν με καὶ πέμψον λάζαρον ἵνα βάψῃ
τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν
γλῶσσάν μου ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ ◦ εἶπεν δὲ 25
ἀβραὰμ τέκνον μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν

**v.12** Ε: υμετερον, Β: ημετερον. **v.14** T*: και, V: ∅. **v.15** ΤΚ: εστιν, ΜV: ∅. **v.16** T*: εως, V: μεχρι. **v.18** T*: πας, V: ∅. **v.20** T*: ην, V: ∅. **v.20** T*: ος, V: ∅. **v.20** T*: ηλκωμενος, V: ειλκωμενος. **v.21** T*: των ψιχιων, V: ∅. **v.21** T*: απελειχον, V: επελειχον. **v.22** ΤΚ: του, ΜV: ∅. **v.23** T*: τον, V: ∅. **v.25** T*: συ, V: ∅.

τῇ ζωῇ σου καὶ λάζαρος ὁμοίως τὰ κακὰ νῦν δὲ ὅδε παρα-
26 καλεῖται σὺ δὲ ὀδυνᾶσαι ◦ καὶ ἐπὶ πᾶσιν τούτοις μεταξὺ
ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται ὅπως οἱ θέλοντες
διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς μὴ δύνωνται μηδὲ ὁἱ ἐκεῖ-
27 θεν πρὸς ἡμᾶς διαπερῶσιν ◦ εἶπεν δὲ ἐρωτῶ οὖν˚ σε πάτερ
28 ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου ◦ ἔχω γὰρ
πέντε ἀδελφοὺς ὅπως διαμαρτύρηται αὐτοῖς ἵνα μὴ καὶ
29 αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου ◦ λέγει
αὐτῷ ἀβραὰμ ἔχουσιν μωσέα καὶ τοὺς προφήτας ἀκουσά-
30 τωσαν αὐτῶν ◦ ὁ δὲ εἶπεν οὐχὶ πάτερ ἀβραὰμ ἀλλ᾽ ἐάν τις
31 ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτοὺς μετανοήσουσιν ◦ εἶπεν
δὲ αὐτῷ εἰ μωσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν οὐδὲ
ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται ◦

**17** Εἶπεν δὲ πρὸς τοὺς μαθητὰς˚ ἀνένδεκτόν ἐστιν τοῦ μὴ˚
2 ἐλθεῖν τὰ σκάνδαλα οὐαὶ δὲ δι᾽ οὗ ἔρχεται ◦ λυσιτελεῖ αὐτῷ
εἰ μύλος˚ ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ καὶ
ἔρριπται εἰς τὴν θάλασσαν ἢ ἵνα σκανδαλίσῃ ἕνα˚ τῶν μι-
3 κρῶν τούτων ◦ προσέχετε ἑαυτοῖς ἐὰν δὲ˚ ἁμάρτῃ εἰς σὲ ὁ
ἀδελφός σου ἐπιτίμησον αὐτῷ καὶ ἐὰν μετανοήσῃ ἄφες αὐ-
4 τῷ ◦ καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ καὶ ἑπτάκις
τῆς˚ ἡμέρας ἐπιστρέψῃ ἐπὶ˚ σὲ λέγων μετανοῶ ἀφήσεις αὐ-
5 τῷ ◦ καὶ εἶπὸν οἱ ἀπόστολοι τῷ κυρίῳ πρόσθες ἡμῖν πίστιν ◦
6 εἶπεν δὲ ὁ κύριος εἰ ἔἴχετε πίστιν ὡς κόκκον σινάπεως ἐ-
λέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ ἐκριζώθητι καὶ φυτεύθητι ἐν
7 τῇ θαλάσσῃ καὶ ὑπήκουσεν ἂν ὑμῖν ◦ τίς δὲ ἐξ ὑμῶν δοῦ-
λον ἔχων ἀροτριῶντα ἢ ποιμαίνοντα ὃς εἰσελθόντι ἐκ τοῦ
8 ἀγροῦ ἐρεῖ εὐθέως παρελθὼν ἀνάπεσαι ◦ ἀλλ᾽ οὐχὶ ἐρεῖ

---

**v.25** TK: οδε, MV: ωδε. **v.26** T*: επι, V: εν. **v.26** TK: εντευθεν, MV: ενθεν. **v.26** T*: οι, V: ∅. **v.27** T*: ουν σε, V: σε ουν. **v.29** T*: αυτω, V: δε. **v.29** T*: μωσεα, V: μωυσεα. **v.31** T*: μωσεως, V: μωυσεως. **v.31** T*: ουδε, V: ουδ. **17. v.1** T*: μαθητας, V: μαθητας αυτου. **v.1** T*: μη ελθειν τα σκανδαλα ουαι δε, V: τα σκανδαλα μη ελθειν πλην ουαι. **v.2** T*: μυλος ονικος, V: λιθος μυλικος. **v.2** T*: ενα των μικρων τουτων, V: των μικρων τουτων ενα. **v.3** T*: δε αμαρτη εις σε, V: αμαρτη. **v.4** T*: αμαρτη, V: αμαρτηση. **v.4** T*: της ημερας, V: ∅. **v.4** TK: επι σε, M: ∅, V: προς σε. **v.5** T*: ειπον, V: ειπαν. **v.6** TK: ειχετε, MV: εχετε. **v.7** T*: ερει, V: ερει αυτω. **v.7** TK: αναπεσαι, MV: αναπεσε.

αὐτῷ ἑτοίμασον τί δειπνήσω καὶ περιζωσάμενος διακόνει
μοι ἕως φάγω καὶ πίω καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι
σύ ⸰ μὴ χάριν᾽ ἔχει τῷ δούλῳ ἐκεῖνῳ ὅτι ἐποίησεν τὰ δια- 9
ταχθέντα αὐτῷ᾽ οὐ δοκῶ ⸰ οὕτως καὶ ὑμεῖς ὅταν ποιήσητε 10
πάντα τὰ διαταχθέντα ὑμῖν λέγετε ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν
ὅτι ὃ ὠφείλομεν ποιῆσαι πεποιήκαμεν ⸰ καὶ ἐγένετο ἐν τῷ 11
πορεύεσθαι αὐτὸν εἰς ἰερουσαλὴμ καὶ αὐτὸς διήρχετο διὰ
μέσοῦ σαμαρείας καὶ γαλιλαίας ⸰ καὶ εἰσερχομένου αὐτοῦ 12
εἴς τινα κώμην ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες οἳ ἔ-
στησαν πόρρωθεν ⸰ καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες ἰησοῦ 13
ἐπιστάτα ἐλέησον ἡμᾶς ⸰ καὶ ἰδὼν εἶπεν αὐτοῖς πορευθέν- 14
τες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσιν καὶ ἐγένετο ἐν τῷ ὑπά-
γειν αὐτοὺς ἐκαθαρίσθησαν ⸰ εἷς δὲ ἐξ αὐτῶν ἰδὼν ὅτι ἰάθη 15
ὑπέστρεψεν μετὰ φωνῆς μεγάλης δοξάζων τὸν θεόν ⸰ καὶ 16
ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν
αὐτῷ καὶ αὐτὸς ἦν σαμαρείτης ⸰ ἀποκριθεὶς δὲ ὁ ἰησοῦς 17
εἶπεν οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν οἱ δὲ ἐννέα ποῦ ⸰ οὐχ 18
εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ θεῷ εἰ μὴ ὁ
ἀλλογενὴς οὗτος ⸰ καὶ εἶπεν αὐτῷ ἀναστὰς πορεύου ἡ πί- 19
στις σου σέσωκέν σε ⸰ ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν φαρισαίων 20
πότε ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ ἀπεκρίθη αὐτοῖς καὶ εἶ-
πεν οὐκ ἔρχεται ἡ βασιλεία τοῦ θεοῦ μετὰ παρατηρήσεως ⸰
οὐδὲ ἐροῦσιν ἰδοὺ ὧδε ἢ ἰδοὺ ἐκεῖ ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ 21
θεοῦ ἐντὸς ὑμῶν ἐστίν ⸰ εἶπεν δὲ πρὸς τοὺς μαθητὰς ἐλεύ- 22
σονται ἡμέραι ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ
τοῦ ἀνθρώπου ἰδεῖν καὶ οὐκ ὄψεσθε ⸰ καὶ ἐροῦσιν ὑμῖν ἰ- 23
δοὺ ὧδε᾽ ἢ ἰδοὺ ἐκεῖ μὴ ἀπέλθητε μηδὲ διώξητε ⸰ ὥσπερ 24
γὰρ ἡ ἀστραπὴ ἡ᾽ ἀστράπτουσα ἐκ τῆς ὑπ᾽ οὐρανὸν εἰς τὴν
ὑπ᾽ οὐρανὸν λάμπει οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου
ἐν᾽ τῇ ἡμέρᾳ αὐτοῦ ⸰ πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν 25

---

**v.9** T*: χαριν εχει, V: εχει χαριν. **v.9** T*: εκεινω, V: ∅. **v.9** TK: αυτω ου δοκω, M: ου δοκω, V: ∅. **v.10** T*: οτι, V: ∅. **v.11** T*: αυτον, V: ∅. **v.11** T*: μεσου, V: μεσον. **v.16** T*: σαμαρειτης, V: σαμαριτης. **v.21** T*: ιδου, V: ∅. **v.23** T*: ωδε η ιδου εκει, V: εκει [η] ιδου ωδε. **v.24** T*: η, V: ∅. **v.24** T*: υπ, V: υπο τον. **v.24** TK: και, MV: ∅. **v.24** T*: εν τη ημερα αυτου, V: [εν τη ημερα αυτου], BD: ∅.

26 καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης ⸰ καὶ καθὼς
ἐγένετο ἐν ταῖς ἡμέραις τοῦ νῶε οὕτως ἔσται καὶ ἐν ταῖς
27 ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου ⸰ ἤσθιον ἔπινον ἐγάμουν
ἐξἐγαμίζοντο ἄχρι ἧς ἡμέρας εἰσῆλθεν νῶε εἰς τὴν κιβωτὸν
28 καὶ ἦλθεν ὁ κατακλυσμὸς καὶ ἀπώλεσεν ἅπαντας ⸰ ὁμοίως
καὶ˚ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις λὼτ ἤσθιον ἔπινον ἠγόρα-
29 ζον ἐπώλουν ἐφύτευον ᾠκοδόμουν ⸰ ᾗ δὲ ἡμέρᾳ ἐξῆλθεν
λὼτ ἀπὸ σοδόμων ἔβρεξεν πῦρ καὶ θεῖον ἀπ᾽ οὐρανοῦ καὶ
30 ἀπώλεσεν ἅπαντας ⸰ κατὰ τἀῦτα ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ
31 ἀνθρώπου ἀποκαλύπτεται ⸰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται
ἐπὶ τοῦ δώματος καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ μὴ κατα-
βάτω ἆραι αὐτὰ καὶ ὁ ἐν τῷ ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω
32, 33 εἰς τὰ ὀπίσω ⸰ μνημονεύετε τῆς γυναικὸς λώτ ⸰ ὃς ἐὰν ζη-
τήσῃ τὴν ψυχὴν αὐτοῦ ὀῶσαι ἀπολέσει αὐτὴν καὶ˚ ὃς ἐὰν
34 ἀπολέσῃ αὐ῎τὴν ζωογονήσει αὐτήν ⸰ λέγω ὑμῖν ταύτῃ τῇ νυ-
κτὶ ἔσονται δύο ἐπὶ κλίνης μιᾶς ὁ˚ εἷς παραληφθήσεται καὶ
35 ὁ ἕτερος ἀφεθήσεται ⸰ δύο˚ ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτὸ
37 μ῎ία παραληφθήσεται καὶ˚ ἡ ἑτέρα ἀφεθήσετα῎ι ⸰ καὶ ἀπο-
κριθέντες λέγουσιν αὐτῷ ποῦ κύριε ὁ δὲ εἶπεν αὐτοῖς ὅπου
τὸ σῶμα ἐκεῖ συναχθήσονται˚ οἱ ἀετοί ⸰

**18** ῎Ελεγεν δὲ κἀ῎ι παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε
2 προσεύχεσθαι καὶ˚ μὴ ἐκκακεῖν ⸰ λέγων κριτής τις ἦν ἔν
τινι πόλει τὸν θεὸν μὴ φοβούμενος καὶ ἄνθρωπον μὴ ἐντρε-
3 πόμενος ⸰ χήρα δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ καὶ ἤρχετο πρὸς
4 αὐτὸν λέγουσα ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου ⸰ καὶ
οὐκ ἠθέλησεν ἐπὶ χρόνον μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ εἰ

---

**v.26** ΤΚ: του, ΜV: ∅. **v.27** T*: εξεγαμιζοντο, V: εγαμιζοντο. **v.27** T*: απαντας, V: παντας. **v.28** T*: και ως, V: καθως. **v.29** T*: απαντας, V: παντας. **v.30** T*: ταυτα, V: τα αυτα. **v.31** T*: τω, V: ∅. **v.33** T*: σωσαι, V: περιποιησασθαι. **v.33** T*: και ος εαν, V: ος δ αν. **v.33** T*: αυτην, V: ∅. **v.34** ΤΚV: ο, M: ∅. **v.34** T*: παραληφθησεται, V: παραλημφθησεται. **v.35** T*: δυο εσονται, V: εσονται δυο. **v.35** ΤM: μια, KV: η μια. **v.35** T*: παραληφθησεται, V: παραλημφθησεται. **v.35** T*: και η, V: η δε. **v.35** ΤMV: αφεθησεται, K: αφεθησεται + v.36 δυο εσονται εν τω αγρω ο εις παραληφθησεται και ο ετερος αφεθησεται. **v.37** T*: συναχθησονται οι αετοι, V: και οι αετοι επισυναχθησονται. **18. v.1** T*: και, V: ∅. **v.1** T*: και μη εκκακειν, V: αυτους και μη εγκακειν. **v.4** T*: ηθελησεν, V: ηθελεν.

καὶ τὸν θεὸν οὐ φοβοῦμαι καὶ˚ ἄνθρωπον οὐκ ἐντρέπομαι ⸰
διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην ἐκδικήσω 5
αὐτὴν ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπῶπιάζῃ με ⸰ εἶπεν δὲ 6
ὁ κύριος ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει ⸰ ὁ δὲ θε- 7
ὸς οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν
βοώντων πρὸς˚ αὐτὸν ἡμέρας καὶ νυκτὸς καὶ μακροθυμῶν
ἐπ᾽ αὐτοῖς ⸰ λέγω ὑμῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν 8
τάχει πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα εὑρήσει τὴν
πίστιν ἐπὶ τῆς γῆς ⸰ εἶπεν δὲ καὶ πρός τινας τοὺς πεποι- 9
θότας ἐφ᾽ ἑαυτοῖς ὅτι εἰσὶν δίκαιοι καὶ ἐξουθενοῦντας τοὺς
λοιποὺς τὴν παραβολὴν ταύτην ⸰ ἄνθρωποι δύο ἀνέβησαν 10
εἰς τὸ ἱερὸν προσεύξασθαι ὁ εἷς φαρισαῖος καὶ ὁ ἕτερος
τελώνης ⸰ ὁ φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσ- 11
ηύχετο ὁ θεὸς εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ
τῶν ἀνθρώπων ἅρπαγες ἄδικοι μοιχοὶ ἢ καὶ ὡς οὗτος ὁ τε-
λώνης ⸰ νηστεύω δὶς τοῦ σαββάτου ἀποδεκατῶ πάντα ὅσα 12
κτῶμαι ⸰ καὶ˚ ὁ τελώνης μακρόθεν ἑστὼς οὐκ ἤθελεν οὐδὲ 13
τοὺς ὀφθαλμοὺς εἰς˚ τὸν οὐρανὸν ἐπᾶραι ἀλλ᾽ ἔτυπτεν εἰς
τὸ στῆθος αὐτοῦ λέγων ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτω-
λῷ ⸰ λέγω ὑμῖν κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον 14
αὐτοῦ ἢ˚ ἐκεῖνος ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται
ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται ⸰ προσέφερον δὲ αὐτῷ 15
καὶ τὰ βρέφη ἵνα αὐτῶν ἅπτηται ἰδόντες δὲ οἱ μαθηταὶ
ἐπετίμησαν αὐτοῖς ⸰ ὁ δὲ ἰησοῦς προσκαλεσάμενος αὐτὰ 16
εἶπεν ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με καὶ μὴ κωλύετε
αὐτὰ τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ ⸰ ἀμὴν 17
λέγω ὑμῖν ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς
παιδίον οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν ⸰ καὶ ἐπηρώτησέν τις αὐ- 18
τὸν ἄρχων λέγων διδάσκαλε ἀγαθὲ τί ποιήσας ζωὴν αἰώνιον

---

**v.4** T*: και ανθρωπον ουκ, V: ουδε ανθρωπον. **v.5** TKV: υπωπιαζη, M: υποπιαζη. **v.7** TK: ποιησει, MV: ποιηση. **v.7** T*: προς αυτον, V: αυτω. **v.7** T*: μακροθυμων, V: μακροθυμει. **v.9** TKV: και, M: ∅. **v.13** T*: και ο, V: ο δε. **v.13** T*: εις τον ουρανον επαραι, V: επαραι εις τον ουρανον. **v.13** T*: εις, V: ∅. **v.14** TK: η εκεινος, M: η γαρ εκεινος, V: παρ εκεινον. **v.15** T*: επετιμησαν, V: επετιμων. **v.16** T*: προσκαλεσαμενος, V: προσεκαλεσατο. **v.16** T*: ειπεν, V: λεγων. **v.17** T*: εαν, V: αν.

19 κληρονομήσω ⸰ εἶπεν δὲ αὐτῷ ὁ ἰησοῦς τί με λέγεις ἀγα-
20 θὸν οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός ⸰ τὰς ἐντολὰς οἶδας μὴ
μοιχεύσῃς μὴ φονεύσῃς μὴ κλέψῃς μὴ ψευδομαρτυρήσῃς
21 τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σοῦ ⸰ ὁ δὲ εἶπεν ταῦτα
22 πάντα ἐφυλαξάμην ἐκ νεότητός μου ⸰ ἀκούσας δὲ ταῦτα
ὁ ἰησοῦς εἶπεν αὐτῷ ἔτι ἕν σοι λείπει πάντα ὅσα ἔχεις πώ-
λησον καὶ διάδος πτωχοῖς καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ
23 καὶ δεῦρο ἀκολούθει μοι ⸰ ὁ δὲ ἀκούσας ταῦτα περίλυπος
24 ἐγένετο ἦν γὰρ πλούσιος σφόδρα ⸰ ἰδὼν δὲ αὐτὸν ὁ ἰησοῦς
περίλυπον γενόμενον εἶπεν πῶς δυσκόλως οἱ τὰ χρήματα
25 ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ θεοῦ ⸰ εὐκο-
πώτερον γάρ ἐστιν κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσ-
ελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν ⸰
26, 27 εἶπόν δὲ οἱ ἀκούσαντες καὶ τίς δύναται σωθῆναι ⸰ ὁ δὲ εἶ-
πεν τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατά ἐστιν παρὰ τῷ
28 θεῷ ⸰ εἶπεν δὲ ὁ πέτρος ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ
29 ἠκολουθήσαμέν σοι ⸰ ὁ δὲ εἶπεν αὐτοῖς ἀμὴν λέγω ὑμῖν
ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ γονεῖς ἢ ἀδελφοὺς ἢ
30 γυναῖκα ἢ τέκνα ἕνεκεν τῆς βασιλείας τοῦ θεοῦ ⸰ ὃς οὐ μὴ
ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ καὶ ἐν τῷ αἰῶνι
31 τῷ ἐρχομένῳ ζωὴν αἰώνιον ⸰ παραλαβὼν δὲ τοὺς δώδεκα
εἶπεν πρὸς αὐτοὺς ἰδοὺ ἀναβαίνομεν εἰς ἱεροσόλυμα καὶ
τελεσθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ
32 υἱῷ τοῦ ἀνθρώπου ⸰ παραδοθήσεται γὰρ τοῖς ἔθνεσιν καὶ
33 ἐμπαιχθήσεται καὶ ὑβρισθήσεται καὶ ἐμπτυσθήσεται ⸰ καὶ
μαστιγώσαντες ἀποκτενοῦσιν αὐτὸν καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ
34 ἀναστήσεται ⸰ καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν καὶ ἦν τὸ

---

**v.20** T*: σου, V: ∅. **v.21** T*: εφυλαξαμην, V: εφυλαξα. **v.21** T*: μου, V: ∅. **v.22** T*: ταυτα, V: ∅. **v.22** T*: ουρανω, V: [τοις] ουρανοις. **v.23** T*: εγενετο, V: εγενηθη. **v.24** T*: εισελευσονται εις την βασιλειαν του θεου, V: εις την βασιλειαν του θεου εισπορευονται. **v.25** T*: τρυμαλιας ραφιδος, V: τρηματος βελονης. **v.26** T*: ειπον, V: ειπαν. **v.27** T*: εστιν παρα τω θεω, V: παρα τω θεω εστιν. **v.28** TKV: ο, M: ∅. **v.28** T*: αφηκαμεν παντα και, V: αφεντες τα ιδια. **v.29** T*: η γονεις η αδελφους η γυναικα, V: η γυναικα η αδελφους η γονεις. **v.29** E: τεκνα, D: τεκνα εν τω καιρω τουτω. **v.30** T*: ου, V: ουχι. **v.30** T*: απολαβη πολλαπλασιονα, V: [απο]λαβη πολλαπλασιονα, D: λαβη επταπλασιονα. **v.31** T*: ιεροσολυμα, V: ιερουσαλημ.

ῥῆμα τοῦτο κεκρυμμένον ἀπ᾽ αὐτῶν καὶ οὐκ ἐγίνωσκον τὰ
λεγόμενα ⸰ ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς ἱεριχὼ τυ- 35
φλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν ⸰ ἀκούσας δὲ 36
ὄχλου διαπορευομένου ἐπυνθάνετο τί εἴη τοῦτο ⸰ ἀπήγγει- 37
λαν δὲ αὐτῷ ὅτι ἰησοῦς ὁ ναζωραῖος παρέρχεται ⸰ καὶ ἐβόη- 38
σεν λέγων ἰησοῦ υἱὲ δαβὶδ ἐλέησόν με ⸰ καὶ οἱ προάγοντες 39
ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκρα-
ζεν υἱὲ δαβὶδ ἐλέησόν με ⸰ σταθεὶς δὲ ὁ ἰησοῦς ἐκέλευσεν 40
αὐτὸν ἀχθῆναι πρὸς αὐτὸν ἐγγίσαντος δὲ αὐτοῦ ἐπηρώτη-
σεν αὐτόν ⸰ λέγων τί σοι θέλεις ποιήσω ὁ δὲ εἶπεν κύριε ἵνα 41
ἀναβλέψω ⸰ καὶ ὁ ἰησοῦς εἶπεν αὐτῷ ἀνάβλεψον ἡ πίστις 42
σου σέσωκέν σε ⸰ καὶ παραχρῆμα ἀνέβλεψεν καὶ ἠκολού- 43
θει αὐτῷ δοξάζων τὸν θεὸν καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν
αἶνον τῷ θεῷ ⸰

Καὶ εἰσελθὼν διήρχετο τὴν ἱεριχώ ⸰ καὶ ἰδοὺ ἀνὴρ ὀνό- **19**, 2
ματι καλούμενος ζακχαῖος καὶ αὐτὸς ἦν ἀρχιτελώνης καὶ
οὗτος˚ ἦν πλούσιος ⸰ καὶ ἐζήτει ἰδεῖν τὸν ἰησοῦν τίς ἐστιν 3
καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν ⸰
καὶ προδραμὼν ἔμπροσθεν ἀνέβη ἐπὶ συκομῶραίαν ἵνα ἴ- 4
δῃ αὐτὸν ὅτι δι᾽˚ ἐκείνης ἤμελλεν διέρχεσθαι ⸰ καὶ ὡς ἦλ- 5
θεν ἐπὶ τὸν τόπον ἀναβλέψας ὁ ἰησοῦς εἶδεν˚ αὐτὸν καὶ
εἶπεν πρὸς αὐτὸν ζακχαῖε σπεύσας κατάβηθι σήμερον γὰρ
ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι ⸰ καὶ σπεύσας κατέβη καὶ 6
ὑπεδέξατο αὐτὸν χαίρων ⸰ καὶ ἰδόντες ἅπαντες διεγόγγυ- 7
ζον λέγοντες ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθεν καταλῦ-
σαι ⸰ σταθεὶς δὲ ζακχαῖος εἶπεν πρὸς τὸν κύριον ἰδοὺ τὰ 8
ἡμίση˚ τῶν ὑπαρχόντων μου κύριε δίδωμι τοῖς πτωχοῖς καὶ
εἴ τινός τι ἐσυκοφάντησα ἀποδίδωμι τετραπλοῦν ⸰ εἶπεν δὲ 9
πρὸς αὐτὸν ὁ ἰησοῦς ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ

---

**v.35** T*: προσαιτων, V: επαιτων. **v.38** T*: δαβιδ, V: δαυιδ. **v.39** T*: σιωπηση, V: σιγηση. **v.39** T*: δαβιδ, V: δαυιδ. **v.41** T*: λεγων, V: ∅. **19. v.2** T*: ουτος ην, V: αυτος. **v.4** T*: εμπροσθεν, V: εις το εμπροσθεν. **v.4** T*: συκομωραιαν, V: συκομορεαν. **v.4** TK: δι, MV: ∅. **v.4** TKV: ημελλεν, M: εμελλεν. **v.5** T*: ειδεν αυτον και, V: ∅. **v.7** TK: απαντες, MV: παντες. **v.8** T*: ημιση των υπαρχοντων μου κυριε διδωμι τοις πτωχοις, V: ημισια μου των υπαρχοντων κυριε τοις πτωχοις διδωμι.

10 ἐγένετο καθότι καὶ αὐτὸς υἱὸς ἀβραάμ ἐστιν ◦ ἦλθεν γὰρ
11 ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός ◦ ἀ-
κουόντων δὲ αὐτῶν ταῦτα προσθεὶς εἶπεν παραβολὴν διὰ τὸ
ἐγγὺς αὐτὸν˚ εἶναι ἱερουσαλὴμ καὶ δοκεῖν αὐτοὺς ὅτι πα-
12 ραχρῆμα μέλλει ἡ βασιλεία τοῦ θεοῦ ἀναφαίνεσθαι ◦ εἶπεν
οὖν ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λα-
13 βεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι ◦ καλέσας δὲ δέκα
δούλους ἑαυτοῦ ἔδωκεν αὐτοῖς δέκα μνᾶς καὶ εἶπεν πρὸς
14 αὐτοὺς πραγματεύσασθε ἕως ἔρχομαι ◦ οἱ δὲ πολῖται αὐ-
τοῦ ἐμίσουν αὐτὸν καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ
15 λέγοντες οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ᾽ ἡμᾶς ◦ καὶ ἐ-
γένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν καὶ
εἶπεν φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους οἷς ἔδωκεν
16 τὸ ἀργύριον ἵνα γνῷ˚ τίς τί διεπραγματεύσατο ◦ παρεγέ-
νετο δὲ ὁ πρῶτος λέγων κύριε ἡ μνᾶ σου προσειργάσατο˚
17 δέκα μνᾶς ◦ καὶ εἶπεν αὐτῷ ἓῦ ἀγαθὲ δοῦλε ὅτι ἐν ἐλαχίστῳ
18 πιστὸς ἐγένου ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων ◦ καὶ
ἦλθεν ὁ δεύτερος λέγων κύριε˚ ἡ μνᾶ σου ἐποίησεν πέντε
19 μνᾶς ◦ εἶπεν δὲ καὶ τούτῳ καὶ σὺ γίνου˚ ἐπάνω πέντε πό-
20 λεων ◦ καὶ ἕτερος ἦλθεν λέγων κύριε ἰδοὺ ἡ μνᾶ σου ἣν
21 εἶχον ἀποκειμένην ἐν σουδαρίῳ ◦ ἐφοβούμην γάρ σε ὅτι
ἄνθρωπος αὐστηρὸς εἶ αἴρεις ὃ οὐκ ἔθηκας καὶ θερίζεις ὃ
22 οὐκ ἔσπειρας ◦ λέγει δὲ˚ αὐτῷ ἐκ τοῦ στόματός σου κρινῶ
σε πονηρὲ δοῦλε ᾔδεις ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι
23 αἴρων ὃ οὐκ ἔθηκα καὶ θερίζων ὃ οὐκ ἔσπειρα ◦ καὶ διατὶ
οὐκ ἔδωκας τὸ˚ ἀργύριόν μου ἐπὶ τὴν τράπεζαν καὶ˚ ἐγὼ
24 ἐλθὼν σὺν τόκῳ ἂν ἔπραξα˚ αὐτό ◦ καὶ τοῖς παρεστῶσιν εἶ-
πεν ἄρατε ἀπ᾽ αὐτοῦ τὴν μνᾶν καὶ δότε τῷ τὰς δέκα μνᾶς

---

**v.11** T*: αυτον ειναι ιερουσαλημ, V: ειναι ιερουσαλημ αυτον. **v.13** T*: εως, V: εν ω. **v.15** T*: εδωκεν, V: δεδωκει. **v.15** T*: γνω τις τι διεπραγματευσατο, V: γνοι τι διεπραγματευσαντο. **v.16** T*: προσειργασατο δεκα, V: δεκα προσηργασατο. **v.17** T*: ευ, V: ευγε. **v.18** T*: κυριε η μνα σου, V: η μνα σου κυριε. **v.19** T*: γινου επανω, V: επανω γινου. **v.20** T*: ετερος, V: ο ετερος. **v.22** T*: δε, V: ∅. **v.23** TK: διατι, MV: δια τι. **v.23** T*: το αργυριον μου, V: μου το αργυριον. **v.23** TK: την, MV: ∅. **v.23** T*: και εγω, V: καγω. **v.23** T*: επραξα αυτο, V: αυτο επραξα.

ἔχοντι· καὶ εἶπὸν αὐτῷ κύριε ἔχει δέκα μνᾶς· λέγω γὰρ 25, 26
ὑμῖν ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται ἀπὸ δὲ τοῦ μὴ ἔχον-
τος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ· πλὴν τοὺς ἐχθρούς 27
μου ἐκείνους τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ᾽ αὐ-
τοὺς ἀγάγετε ὧδε καὶ κατασφάξατὲ ἔμπροσθέν μου· καὶ 28
εἰπὼν ταῦτα ἐπορεύετο ἔμπροσθεν ἀναβαίνων εἰς ἱεροσό-
λυμα· καὶ ἐγένετο ὡς ἤγγισεν εἰς βηθφαγὴ καὶ βηθανίαν 29
πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν ἀπέστειλεν δύο τῶν
μαθητῶν αὐτοῦ· εἰπὼν ὑπάγετε εἰς τὴν κατέναντι κώμην 30
ἐν ᾗ εἰσπορευόμενοι εὑρήσετε πῶλον δεδεμένον ἐφ᾽ ὃν οὐ-
δεὶς πώποτε ἀνθρώπων ἐκάθισεν λύσαντες αὐτὸν ἀγάγετε·
καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ διατὶ λύετε οὕτως ἐρεῖτε αὐτῷ ὅτι 31
ὁ κύριος αὐτοῦ χρείαν ἔχει· ἀπελθόντες δὲ οἱ ἀπεσταλ- 32
μένοι εὗρον καθὼς εἶπεν αὐτοῖς· λυόντων δὲ αὐτῶν τὸν 33
πῶλον εἶπὸν οἱ κύριοι αὐτοῦ πρὸς αὐτοὺς τί λύετε τὸν πῶ-
λον· οἱ δὲ εἶπὸν ὁ κύριος αὐτοῦ χρείαν ἔχει· καὶ ἤγαγον 34, 35
αὐτὸν πρὸς τὸν ἰησοῦν καὶ ἐπιρρίψαντες᾽ ἑαυτῶν τὰ ἱμά-
τια ἐπὶ τὸν πῶλον ἐπεβίβασαν τὸν ἰησοῦν· πορευομένου 36
δὲ αὐτοῦ ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ· ἐγ- 37
γίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν
ἐλαιῶν ἤρξαντο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες
αἰνεῖν τὸν θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυ-
νάμεων· λέγοντες εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν 38
ὀνόματι κυρίου εἰρήνη᾽ ἐν οὐρανῷ καὶ δόξα ἐν ὑψίστοις·
καί τινες τῶν φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπὸν πρὸς αὐτὸν 39
διδάσκαλε ἐπιτίμησον τοῖς μαθηταῖς σου· καὶ ἀποκριθεὶς 40
εἶπεν αὐτοῖς λέγω ὑμῖν ὅτι ἐὰν οὗτοι σιωπήσωσιν οἱ λίθοι

**v.25** T*: ειπον, V: ειπαν. **v.26** T*: γαρ, V: ∅. **v.26** T*: απ αυτου, V: ∅. **v.27** T*: εκεινους, V: τουτους. **v.27** T*: κατασφαξατε, V: κατασφαξατε αυτους. **v.29** TKV: βηθφαγη, M: βηθσφαγη. **v.29** T*: βηθανιαν, V: βηθανια[ν]. **v.29** T*: αυτου, V: ∅. **v.30** T*: ειπων, V: λεγων. **v.30** T*: εκαθισεν, V: εκαθισεν και. **v.31** TK: διατι, MV: δια τι. **v.31** T*: αυτω, V: ∅. **v.33** T*: ειπον, V: ειπαν. **v.34** T*: ειπον, V: ειπαν οτι. **v.35** T*: επιρριψαντες εαυτων, V: επιριψαντες αυτων. **v.38** T*: βασιλευς, V: ο βασιλευς. **v.38** T*: ειρηνη εν ουρανω, V: εν ουρανω ειρηνη. **v.39** T*: ειπον, V: ειπαν. **v.40** T*: αυτοις, V: ∅. **v.40** T*: οτι, V: ∅. **v.40** T*: σιωπησωσιν, V: σιωπησουσιν.

41 ϗκεκράξονται ◦ καὶ ὡς ἤγγισεν ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ᾽
42 αὐτῇ̃ ◦ λέγων ὅτι εἰ ἔγνως καὶ˚ σὺ καὶ γε ἐν τῇ̃ ἡμέρᾳ σου
ταύτῃ τὰ πρὸς εἰρήνην σοῦ νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν
43 σου ◦ ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ καὶ πέριβαλοῦσιν οἱ ἐχθροί
σου χάρακά σοι καὶ περικυκλώσουσίν σε καὶ συνέξουσίν
44 σε πάντοθεν ◦ καὶ ἐδαφιοῦσίν σε καὶ τὰ τέκνα σου ἐν σοὶ
καὶ οὐκ ἀφήσουσιν ἐν˚ σοὶ λίθον ἐπὶ λίθῳ ἀνθ᾽ ὧν οὐκ ἔ-
45 γνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου ◦ καὶ εἰσελθὼν εἰς τὸ
ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν˚ αὐτῷ̃ καὶ ἀ-
46 γοράζοντας ◦ λέγων αὐτοῖς γέγραπται ὁ˚ οἶκός μου οἶκος
προσευχῆς ἐστὶν ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃ-
47 στῶν ◦ καὶ ἦν διδάσκων τὸ καθ᾽ ἡμέραν ἐν τῷ̃ ἱερῷ̃ οἱ δὲ
ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι καὶ
48 οἱ πρῶτοι τοῦ λαοῦ ◦ καὶ οὐχ εὕρισκον τὸ τί ποιήσωσιν ὁ
λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων ◦

**20** Καὶ ἐγένετο ἐν μιᾷ̃ τῶν ἡμερῶν ἐκ̃είνων διδάσκοντος
αὐτοῦ τὸν λαὸν ἐν τῷ̃ ἱερῷ̃ καὶ εὐαγγελιζομένου ἐπέστη-
σαν οἱ ἀρχ̃ιερεῖς καὶ οἱ γραμματεῖς σὺν τοῖς πρεσβυτέροις ◦
2 καὶ εἶπὸν˚ πρὸς αὐτὸν λέγοντες εἰπὲ ἡμῖν ἐν ποίᾳ ἐξουσίᾳ
ταῦτα ποιεῖς ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην ◦
3 ἀποκριθεὶς δὲ εἶπεν πρὸς αὐτοὺς ἐρωτήσω ὑμᾶς κἀγὼ ἕν̃α
4 λόγον καὶ εἴπατέ μοι ◦ τὸ βάπτισμα ἰωάννου ἐξ οὐρανοῦ ἦν
5 ἢ ἐξ ἀνθρώπων ◦ οἱ δὲ συνελογίσαντο πρὸς ἑαυτοὺς λέγον-
τες ὅτι ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ ἐρεῖ διατ̀ὶ οὖν οὐκ ἐπιστεύ-
6 σατε αὐτῷ̃ ◦ ἐὰν δὲ εἴπωμεν ἐξ ἀνθρώπων πᾶς˚ ὁ λαὸς κα-
ταλιθάσει ἡμᾶς πεπεισμένος γάρ ἐστιν ἰωάννην προφήτην
7, 8 εἶναι ◦ καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν ◦ καὶ ὁ ἰησοῦς
εἶπεν αὐτοῖς οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα

---

**v.40** T*: κεκραξονται, V: κραξουσιν. **v.41** T*: αυτη, V: αυτην. **v.42** T*: και συ και γε εν τη ημερα σου ταυτη, V: εν τη ημερα ταυτη και συ. **v.42** T*: σου, V: ∅. **v.43** T*: περιβαλουσιν, V: παρεμβαλουσιν. **v.44** T*: εν σοι λιθον επι λιθω, V: λιθον επι λιθον εν σοι. **v.45** T*: εν αυτω και αγοραζοντας, V: ∅. **v.46** T*: ο οικος μου οικος προσευχης εστιν, V: και εσται ο οικος μου οικος προσευχης. **20. v.1** T*: εκεινων, V: ∅. **v.1** TKV: αρχιερεις, M: ιερεις. **v.2** T*: ειπον προς αυτον λεγοντες ειπε, V: ειπαν λεγοντες προς αυτον ειπον. **v.3** T*: ενα, V: ∅. **v.5** TK: διατι ουν, MV: δια τι. **v.6** T*: πας ο λαος, V: ο λαος απας.

ποιῶ ◦ ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύ- 9
την ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα καὶ ἐξέδοτο αὐτὸν
γεωργοῖς καὶ ἀπεδήμησεν χρόνους ἱκανούς ◦ καὶ ἐν καιρῷ 10
ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς δοῦλον ἵνα ἀπὸ τοῦ καρ-
ποῦ τοῦ ἀμπελῶνος δῶσιν αὐτῷ οἱ δὲ γεωργοὶ δείραντες˚
αὐτὸν ἐξαπέστειλαν κενόν ◦ καὶ προσέθετο πέμψαι˚ ἕτερον 11
δοῦλον οἱ δὲ κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες ἐξαπέ-
στειλαν κενόν ◦ καὶ προσέθετο πέμψαι˚ τρίτον οἱ δὲ καὶ 12
τοῦτον τραυματίσαντες ἐξέβαλον ◦ εἶπεν δὲ ὁ κύριος τοῦ 13
ἀμπελῶνος τί ποιήσω πέμψω τὸν υἱόν μου τὸν ἀγαπητὸν
ἴσως τοῦτον ἰδόντες ἐντραπήσονται ◦ ἰδόντες δὲ αὐτὸν οἱ 14
γεωργοὶ διελογίζοντο πρὸς ἑαυτοὺς λέγοντες οὗτός ἐστιν ὁ
κληρονόμος δεῦτε ἀποκτείνωμεν αὐτὸν ἵνα ἡμῶν γένηται ἡ
κληρονομία ◦ καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος ἀ- 15
πέκτειναν τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος ◦
ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους καὶ δώ- 16
σει τὸν ἀμπελῶνα ἄλλοις ἀκούσαντες δὲ εἶπόν μὴ γένοιτο ◦
ὁ δὲ ἐμβλέψας αὐτοῖς εἶπεν τί οὖν ἐστιν τὸ γεγραμμένον 17
τοῦτο λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐ-
γενήθη εἰς κεφαλὴν γωνίας ◦ πᾶς ὁ πεσὼν ἐπ᾽ ἐκεῖνον τὸν 18
λίθον συνθλασθήσεται ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ λικμήσει αὐτόν ◦
καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς˚ καὶ οἱ γραμματεῖς ἐπιβαλεῖν ἐπ᾽ 19
αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ καὶ ἐφοβήθησαν τὸν˚ λα-
ὸν ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν˚ παραβολὴν ταύτην
εἶπεν ◦ καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους ὑπο- 20
κρινομένους ἑαυτοὺς δικαίους εἶναι ἵνα ἐπιλάβωνται αὐ-
τοῦ λόγου εἰς˚ τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ
τοῦ ἡγεμόνος ◦ καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες διδάσκαλε 21

**v.9** TK: τις, M: ∅, V: [τις]. **v.9** T*: εξεδοτο, V: εξεδετο. **v.10** T*: εν, V: ∅. **v.10** T*: δωσιν, V: δωσουσιν. **v.10** T*: δειραντες αυτον εξαπεστειλαν, V: εξαπεστειλαν αυτον δειραντες. **v.11** T*: πεμψαι ετερον, V: ετερον πεμψαι. **v.12** T*: πεμψαι τριτον, V: τριτον πεμψαι. **v.13** T*: ιδοντες, V: ∅. **v.14** T*: εαυτους, V: αλληλους. **v.14** T*: δευτε, V: ∅. **v.16** T*: ειπον, V: ειπαν. **v.19** T*: αρχιερεις και οι γραμματεις, V: γραμματεις και οι αρχιερεις. **v.19** TKV: τον λαον, M: ∅. **v.19** T*: την παραβολην ταυτην ειπεν, V: ειπεν την παραβολην ταυτην. **v.20** T*: εις το, V: ωστε.

οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις καὶ οὐ λαμβάνεις
πρόσωπον ἀλλ᾽ ἐπ᾽ ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις ·
22, 23 ἔξεστιν ἡμῖν καίσαρι φόρον δοῦναι ἢ οὔ · κατανοήσας δὲ
αὐτῶν τὴν πανουργίαν εἶπεν πρὸς αὐτούς τί με πειράζετε ·
24 ἐπιδείξατέ μοι δηνάριον τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν
25 ἀποκριθέντες δὲ εἶπον καίσαρος · ὁ δὲ εἶπεν αὐτοῖς ἀπό-
δοτε τοίνυν τὰ καίσαρος καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ ·
26 καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον τοῦ
λαοῦ καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ ἐσίγησαν ·
27 προσελθόντες δέ τινες τῶν σαδδουκαίων οἱ ἀντιλέγοντες ἀ-
28 νάστασιν μὴ εἶναι ἐπηρώτησαν αὐτόν · λέγοντες διδάσκαλε
μωσῆς ἔγραψεν ἡμῖν ἐάν τινος ἀδελφὸς ἀποθάνῃ ἔχων γυ-
ναῖκα καὶ οὗτος ἄτεκνος ἀποθάνῃ ἵνα λάβῃ ὁ ἀδελφὸς αὐ-
τοῦ τὴν γυναῖκα καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐ-
29 τοῦ · ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν καὶ ὁ πρῶτος λαβὼν γυναῖκα
30 ἀπέθανεν ἄτεκνος · καὶ ἔλαβεν ὁ δεύτερος τὴν γυναῖκα
31 καὶ οὗτος ἀπέθανεν ἄτεκνος · καὶ ὁ τρίτος ἔλαβεν αὐτήν
ὡσαύτως δὲ καὶ οἱ ἑπτὰ οὐ κατέλιπον τέκνα καὶ ἀπέθανον ·
32, 33 ὕστερον δὲ πάντων ἀπέθανεν καὶ ἡ γυνή · ἐν τῇ οὖν ἀ-
ναστάσει τίνος αὐτῶν γίνεται γυνή οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν
34 γυναῖκα · καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὁ ἰησοῦς οἱ υἱοὶ τοῦ
35 αἰῶνος τούτου γαμοῦσιν καὶ ἐκγαμίσκονται · οἱ δὲ καταξι-
ωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως τῆς
36 ἐκ νεκρῶν οὔτε γαμοῦσιν οὔτε ἐκγαμίσκονται · οὔτε γὰρ
ἀποθανεῖν ἔτι δύνανται ἰσάγγελοι γάρ εἰσιν καὶ υἱοί εἰσιν
37 τοῦ θεοῦ τῆς ἀναστάσεως υἱοὶ ὄντες · ὅτι δὲ ἐγείρονται οἱ
νεκροὶ καὶ μωσῆς ἐμήνυσεν ἐπὶ τῆς βάτου ὡς λέγει κύριον

---

**v.22** T*: ημιν, V: ημας. **v.23** T*: τι με πειραζετε, V: ∅. **v.24** T*: επιδειξατε, V: δειξατε. **v.24** T*: αποκριθεντες δε ειπον, V: οι δε ειπαν. **v.25** T*: αυτοις αποδοτε τοινυν, V: προς αυτους τοινυν αποδοτε. **v.27** T*: αντιλεγοντες, V: [αντι]λεγοντες, ℵBCD: λεγοντες. **v.28** T*: μωσης, V: μωυσης. **v.28** T*: αποθανη, V: η. **v.30** T*: ελαβεν ο δευτερος την γυναικα και ουτος απεθανεν ατεκνος, V: ο δευτερος. **v.31** TMV: ου, K: και ου. **v.32** TM: δε, KV: ∅. **v.32** T*: παντων απεθανεν και η γυνη, V: και η γυνη απεθανεν. **v.33** T*: εν τη ουν, V: η γυνη ουν εν τη. **v.34** T*: αποκριθεις, V: ∅. **v.34** T*: εκγαμισκονται, V: γαμισκονται. **v.35** TK: εκγαμισκονται, M: εκγαμιζονται, V: γαμιζονται. **v.36** T*: ουτε, V: ουδε. **v.36** T*: του, V: ∅. **v.37** T*: μωσης, V: μωυσης.

τὸν θεὸν ἀβραὰμ καὶ τὸν θεὸν ἰσαὰκ καὶ τὸν θεὸν ἰακώβ ⸰
θεὸς δὲ οὐκ ἔστιν νεκρῶν ἀλλὰ ζώντων πάντες γὰρ αὐτῷ 38
ζῶσιν ⸰ ἀποκριθέντες δέ τινες τῶν γραμματέων εἶπόν διδά- 39
σκαλε καλῶς εἶπας ⸰ οὐκέτι δὲ ἐτόλμων ἐπερωτᾶν αὐτὸν 40
οὐδέν ⸰ εἶπεν δὲ πρὸς αὐτούς πῶς λέγουσιν τὸν χριστὸν 41
υἱὸν δαβὶδ εἶναι ⸰ καὶ αὐτὸς δαβὶδ λέγει ἐν βίβλῳ ψαλ- 42
μῶν εἶπεν ὁ κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν μου ⸰
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου ⸰ 43
δαβὶδ οὖν κύριον αὐτὸν καλεῖ καὶ πῶς υἱὸς αὐτοῦ ἐστιν ⸰ 44
ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ⸰ 45
προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν 46
ἐν στολαῖς καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ
πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν
τοῖς δείπνοις ⸰ οἱ κατεσθίουσιν τὰς οἰκίας τῶν χηρῶν καὶ 47
προφάσει μακρὰ προσεύχονται οὗτοι λήψονται περισσότε-
ρον κρίμα ⸰

Ἀναβλέψας δὲ εἶδεν τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν **21**
εἰς τὸ γαζοφυλάκιον πλουσίους ⸰ εἶδεν δὲ καί τινα χή- 2
ραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο λεπτά ⸰ καὶ εἶπεν ἀλη- 3
θῶς λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων
ἔβαλεν ⸰ ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς 4
ἔβαλον εἰς τὰ δῶρα τοῦ θεοῦ αὕτη δὲ ἐκ τοῦ ὑστερήματος
αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλεν ⸰ καί τινων λεγόν- 5
των περὶ τοῦ ἱεροῦ ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασιν κε-
κόσμηται εἶπεν ⸰ ταῦτα ἃ θεωρεῖτε ἐλεύσονται ἡμέραι ἐν 6
αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ ὃς οὐ καταλυθήσεται ⸰
ἐπηρώτησαν δὲ αὐτὸν λέγοντες διδάσκαλε πότε οὖν ταῦτα 7
ἔσται καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα γίνεσθαι ⸰ ὁ δὲ 8

**v.37** T*: τον, V: ∅. **v.39** T*: ειπον, V: ειπαν. **v.40** T*: δε, V: γαρ. **v.41** T*: υιον δαβιδ ειναι, V: ειναι δαυιδ υιον. **v.42** T*: και αυτος δαβιδ, V: αυτος γαρ δαυιδ. **v.42** T*: ο, V: ∅. **v.44** T*: δαβιδ, V: δαυιδ. **v.44** T*: υιος αυτου, V: αυτου υιος. **v.47** T*: ληψονται, V: λημψονται. **21. v.1** T*: τα δωρα αυτων εις το γαζοφυλακιον, V: εις το γαζοφυλακιον τα δωρα αυτων. **v.2** TK: και τινα, M: τινα και, V: τινα. **v.2** T*: δυο λεπτα, V: λεπτα δυο. **v.3** T*: η πτωχη αυτη, V: αυτη η πτωχη. **v.4** T*: απαντες, V: παντες. **v.4** T*: του θεου, V: ∅. **v.4** T*: απαντα, V: παντα.

εἶπεν βλέπετε μὴ πλανηθῆτε πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ
ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικεν
9 μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν ◦ ὅταν δὲ ἀκούσητε πολέ-
μους καὶ ἀκαταστασίας μὴ πτοηθῆτε δεῖ γὰρ ταῦτα γενέ-
10 σθαι πρῶτον ἀλλ᾽ οὐκ εὐθέως τὸ τέλος ◦ τότε ἔλεγεν αὐτοῖς
ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν ◦
11 σεισμοί τε μεγάλοι κατὰ τόπους καὶ λιμοὶ καὶ λοιμοὶ ἔ-
σονται φόβητρά τε καὶ σημεῖα ἀπ᾽ οὐρανοῦ μεγάλα ἔσται ◦
12 πρὸ δὲ τούτων ἁπάντων ἐπιβαλοῦσιν ἐφ᾽ ὑμᾶς τὰς χεῖρας
αὐτῶν καὶ διώξουσιν παραδιδόντες εἰς συναγωγὰς καὶ φυ-
λακὰς ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀ-
13, 14 νόματός μου ◦ ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον ◦ θέσθε
οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι ◦
15 ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν ᾗ οὐ δυνήσονται
ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν ◦
16 παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγ-
17 γενῶν καὶ φίλων καὶ θανατώσουσιν ἐξ ὑμῶν ◦ καὶ ἔσεσθε
18 μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου ◦ καὶ θριξ ἐκ
19 τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται ◦ ἐν τῇ ὑπομονῇ ὑμῶν
20 κτήσασθε τὰς ψυχὰς ὑμῶν ◦ ὅταν δὲ ἴδητε κυκλουμένην
ὑπὸ στρατοπέδων τὴν ἱερουσαλὴμ τότε γνῶτε ὅτι ἤγγικεν
21 ἡ ἐρήμωσις αὐτῆς ◦ τότε οἱ ἐν τῇ ἰουδαίᾳ φευγέτωσαν εἰς
τὰ ὄρη καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν καὶ οἱ ἐν ταῖς
22 χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν ◦ ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσιν τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα ◦
23 οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν
ἐκείναις ταῖς ἡμέραις ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς
24 γῆς καὶ ὀργὴ ἐν τῷ λαῷ τούτῳ ◦ καὶ πεσοῦνται στόματι

**v.8** T*: οτι, V: ∅. **v.8** T*: ουν, V: ∅. **v.10** T*: επι, V: επ. **v.11** T*: κατα τοπους και, V: και κατα τοπους. **v.11** T*: σημεια απ ουρανου, V: απ ουρανου σημεια. **v.12** TK: απαντων, MV: παντων. **v.12** T*: συναγωγας, V: τας συναγωγας. **v.12** T*: αγομενους, V: απαγομενους. **v.13** T*: δε, V: ∅. **v.14** T*: θεσθε, V: θετε. **v.14** T*: εις τας καρδιας, V: εν ταις καρδιαις. **v.15** T*: αντειπειν ουδε αντιστηναι παντες, V: αντιστηναι η αντειπειν απαντες. **v.16** TKV: αδελφων και συγγενων και φιλων, M: συγγενων και φιλων και αδελφων. **v.20** T*: την, V: ∅. **v.22** TK: πληρωθηναι, MV: πλησθηναι. **v.23** T*: δε, V: ∅. **v.23** T*: εν, V: ∅.

μαχαίρᾳς καὶ αἰχμαλωτισθήσονται εἰς πάντα˚ τὰ ἔθνη καὶ
ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν ἄχρι πληρωθῶσιν
καιροὶ ἐθνῶν ◦ καὶ ἔσ̣ται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ 25
ἄστροις καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ ἠχούσ̣ης
θαλάσσης καὶ σάλου ◦ ἀποψυχόντων ἀνθρώπων ἀπὸ φό- 26
βου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ αἱ γὰρ
δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται ◦ καὶ τότε ὄψονται 27
τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνά-
μεως καὶ δόξης πολλῆς ◦ ἀρχομένων δὲ τούτων γίνεσθαι 28
ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν διότι ἐγγίζει ἡ
ἀπολύτρωσις ὑμῶν ◦ καὶ εἶπεν παραβολὴν αὐτοῖς ἴδετε τὴν 29
συκῆν καὶ πάντα τὰ δένδρα ◦ ὅταν προβάλωσιν ἤδη βλέ- 30
ποντες ἀφ᾽ ἑαυτῶν γινώσκετε ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν ◦
οὕτως καὶ ὑμεῖς ὅταν ἴδητε ταῦτα γινόμενα γινώσκετε ὅτι 31
ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ θεοῦ ◦ ἀμὴν λέγω ὑμῖν ὅτι οὐ 32
μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα γένηται ◦ ὁ οὐ- 33
ρανὸς καὶ ἡ γῆ παρελεύσονται οἱ δὲ λόγοι μου οὐ μὴ
παρέλθωσ̣ιν ◦ προσέχετε δὲ ἑαυτοῖς μήποτε βαρυ̣νθῶσιν 34
ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βι-
ωτικαῖς καὶ αἰφνίδιος˚ ἐφ᾽ ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη ◦
ὡς παγὶς γὰρ˚ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους 35
ἐπὶ πρόσωπον πάσης τῆς γῆς ◦ ἀγρυπνεῖτε οὖ̣ν ἐν παντὶ 36
καιρῷ δεόμενοι ἵνα κατ̣ἀξιωθῆτε ἐκφυγεῖν τ̣ἀ̣ῦτα πάντα τὰ
μέλλοντα γίνεσθαι καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ
ἀνθρώπου ◦ ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων τὰς δὲ 37
νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον
ἐλαιῶν ◦ καὶ πᾶς ὁ λαὸς ὠρθριζεν πρὸς αὐτὸν ἐν τῷ ἱερῷ 38
ἀκούειν αὐτοῦ ◦

Ἤγγιζεν δὲ ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη πάσχα ◦ **22**

---

**v.24** T*: μαχαιρας, V: μαχαιρης. **v.24** T*: παντα τα εθνη, V: τα εθνη παντα. **v.24** T*: αχρι, V: αχρι ου. **v.25** T*: εσται, V: εσονται. **v.25** T*: ηχουσης, V: ηχους. **v.33** T*: παρελθωσιν, V: παρελευσονται. **v.34** TK: βαρυνθωσιν, MV: βαρηθωσιν. **v.34** T*: αιφνιδιος εφ υμας επιστη, V: επιστη εφ υμας αιφνιδιος. **v.35** T*: γαρ επελευσεται, V: επεισελευσεται γαρ. **v.36** T*: ουν, V: δε. **v.36** T*: καταξιωθητε, V: κατισχυσητε. **v.36** TKV: ταυτα, M: ∅.

2 καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέ-
3 λωσιν αὐτὸν ἐφοβοῦντο γὰρ τὸν λαόν ⸰ εἰσῆλθεν δὲ ὁ˚ σα-
τανᾶς εἰς ἰούδαν τὸν ἐπικαλούμενον ἰσκαριώτην ὄντα ἐκ
4 τοῦ ἀριθμοῦ τῶν δώδεκα ⸰ καὶ ἀπελθὼν συνελάλησεν τοῖς
ἀρχιερεῦσιν καὶ τοῖς στρατηγοῖς τὸ πῶς αὐτὸν˚ παραδῷ αὐ-
5 τοῖς ⸰ καὶ ἐχάρησαν καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι ⸰
6 καὶ ἐξωμολόγησεν καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι
7 αὐτὸν αὐτοῖς˚ ἄτερ ὄχλου ⸰ ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων
8 ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα ⸰ καὶ ἀπέστειλεν πέτρον καὶ
ἰωάννην εἰπὼν πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα ἵνα
9, 10 φάγωμεν ⸰ οἱ δὲ εἶπὸν αὐτῷ ποῦ θέλεις ἑτοιμάσῶμεν ⸰ ὁ δὲ
εἶπεν αὐτοῖς ἰδοὺ εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν συναν-
τήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων ἀκολου-
11 θήσατε αὐτῷ εἰς τὴν οἰκίαν ὅῦ εἰσπορεύεται ⸰ καὶ ἐρεῖτε τῷ
οἰκοδεσπότῃ τῆς οἰκίας λέγει σοι ὁ διδάσκαλος ποῦ ἐστιν
τὸ κατάλυμα ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω ⸰
12 κἀκεῖνος ὑμῖν δείξει ἀνώγεον μέγα ἐστρωμένον ἐκεῖ ἑτοι-
13 μάσατε ⸰ ἀπελθόντες δὲ εὗρον καθὼς εἴρηκεν αὐτοῖς καὶ
14 ἡτοίμασαν τὸ πάσχα ⸰ καὶ ὅτε ἐγένετο ἡ ὥρα ἀνέπεσεν καὶ
15 οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ ⸰ καὶ εἶπεν πρὸς αὐτοὺς ἐ-
πιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ᾽ ὑμῶν πρὸ
16 τοῦ με παθεῖν ⸰ λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ˚
17 αὐτοῦ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ ⸰ καὶ
δεξάμενος ποτήριον εὐχαριστήσας εἶπεν λάβετε τοῦτο καὶ
18 διαμερίσατε ἑαυτοῖς ⸰ λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ πίω ἀ-
πὸ τοῦ γεννήματος τῆς ἀμπέλου ἕως ὅτοὺ ἡ βασιλεία τοῦ
19 θεοῦ ἔλθῃ ⸰ καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασεν καὶ
ἔδωκεν αὐτοῖς λέγων τοῦτό ἐστιν τὸ σῶμά μου τὸ ὑπὲρ ὑ-
20 μῶν διδόμενον τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν ⸰ ὡσ-

**22. v.3** TK: ο, MV: ∅. **v.3** T*: επικαλουμενον, V: καλουμενον. **v.4** TK: τοις, MV: ∅. **v.4** T*: αυτον παραδω αυτοις, V: αυτοις παραδω αυτον. **v.6** T*: αυτοις ατερ οχλου, V: ατερ οχλου αυτοις. **v.9** T*: ειπον, V: ειπαν. **v.9** TKV: ετοιμασωμεν, M: ετοιμασομεν. **v.10** T*: ου, V: εις ην. **v.12** T*: ανωγεον, V: αναγαιον. **v.13** T*: ειρηκεν, V: ειρηκει. **v.14** T*: δωδεκα, V: ∅. **v.16** T*: ουκετι, V: ∅. **v.16** T*: εξ αυτου, V: αυτο. **v.17** T*: εαυτοις, V: εις εαυτους. **v.18** TK: γεννηματος, M: γενηματος, V: νυν απο του γενηματος. **v.18** T*: οτου, V: ου.

αὐτως˚ καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων τοῦτο τὸ
ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου τὸ ὑπὲρ ὑμῶν
ἐκχυνόμενον ◦ πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ᾽ 21
ἐμοῦ ἐπὶ τῆς τραπέζης ◦ καὶ˚ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πο- 22
ρεύεται˚ κατὰ τὸ ὡρισμένον πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ
δι᾽ οὗ παραδίδοται ◦ καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑ- 23
αυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν ◦
ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς τὸ τίς αὐτῶν δοκεῖ εἶναι 24
μείζων ◦ ὁ δὲ εἶπεν αὐτοῖς οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύ- 25
ουσιν αὐτῶν καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦν-
ται ◦ ὑμεῖς δὲ οὐχ οὕτως ἀλλ᾽ ὁ μείζων ἐν ὑμῖν γενέσθω ὡς 26
ὁ νεώτερος καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν ◦ τίς γὰρ μεί- 27
ζων ὁ ἀνακείμενος ἢ ὁ διακονῶν οὐχὶ ὁ ἀνακείμενος ἐγὼ
δὲ εἰμι˚ ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν ◦ ὑμεῖς δέ ἐστε οἱ 28
διαμεμενηκότες μετ᾽ ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου ◦ κἀγὼ 29
διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν ◦
ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασι- 30
λείᾳ μου καὶ καθίσῃσθε ἐπὶ θρόνων κρίνοντες˚ τὰς δώδεκα
φυλὰς τοῦ ἰσραήλ ◦ εἶπεν˚ δὲ ὁ κύριος σίμων σίμων ἰδοὺ ὁ 31
σατανᾶς ἐξητήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον ◦ ἐγὼ δὲ 32
ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου καὶ σὺ ποτε
ἐπιστρέψας στήριξὸν τοὺς ἀδελφούς σου ◦ ὁ δὲ εἶπεν αὐτῷ 33
κύριε μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνα-
τον πορεύεσθαι ◦ ὁ δὲ εἶπεν λέγω σοι πέτρε οὐ μὴ˚ φωνήσει 34
σήμερον ἀλέκτωρ πρὶν˚ ἢ τρὶς ἀπαρνήσῃ˚ μὴ εἰδέναι με ◦
καὶ εἶπεν αὐτοῖς ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ 35
πήρας καὶ ὑποδημάτων μή τινος ὑστερήσατε οἱ δὲ εἶπον˚

---

**v.20** T*: ωσαυτως και το ποτηριον, V: και το ποτηριον ωσαυτως. **v.20** T*: εκχυνομενον, V: εκχυννομενον. **v.22** T*: και ο μεν υιος, V: οτι ο υιος μεν. **v.22** T*: πορευεται κατα το ωρισμενον, V: κατα το ωρισμενον πορευεται. **v.26** T*: γενεσθω, V: γινεσθω. **v.27** T*: ειμι εν μεσω υμων, V: εν μεσω υμων ειμι. **v.30** T*: εσθιητε, V: εσθητε. **v.30** TK: καθισησθε, M: καθισεσθε, V: καθησεσθε. **v.30** T*: κρινοντες τας δωδεκα φυλας, V: τας δωδεκα φυλας κρινοντες. **v.31** T*: ειπεν δε ο κυριος, V: ∅. **v.32** TK: εκλειπη, MV: εκλιπη. **v.32** T*: στηριξον, V: στηρισον. **v.34** TK: μη φωνησει, M: μη φωνηση, V: φωνησει. **v.34** T*: πριν η, V: εως. **v.34** T*: απαρνηση μη ειδεναι με, V: με απαρνηση ειδεναι. **v.35** T*: βαλαντιου, V: βαλλαντιου. **v.35** T*: ειπον, V: ειπαν.

36 οὐδενός· εἶπεν οὖν αὐτοῖς ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον
ἀράτω ὁμοίως καὶ πήραν καὶ ὁ μὴ ἔχων πωληδάτω τὸ ἱμά-
37 τιον αὐτοῦ καὶ ἀγορασάτω μάχαιραν· λέγω γὰρ ὑμῖν ὅτι
ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοὶ τὸ καὶ με-
38 τὰ ἀνόμων ἐλογίσθη καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει· οἱ δὲ
εἶπόν κύριε ἰδοὺ μάχαιραι ὧδε δύο ὁ δὲ εἶπεν αὐτοῖς ἱκα-
39 νόν ἐστιν· καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος
τῶν ἐλαιῶν ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ·
40 γενόμενος δὲ ἐπὶ τοῦ τόπου εἶπεν αὐτοῖς προσεύχεσθε μὴ
41 εἰσελθεῖν εἰς πειρασμόν· καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν
42 ὡσεὶ λίθου βολὴν καὶ θεὶς τὰ γόνατα προσηύχετο· λέγων
πάτερ εἰ βούλει παρενεγκεῖν˚ τὸ˚ ποτήριον τοῦτο ἀπ' ἐ-
43 μοῦ πλὴν μὴ τὸ θέλημά μου ἀλλὰ τὸ σὸν γενέσθω· ὤφθη
44 δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν· καὶ γενό-
μενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο ἐγένετο˚ δὲ ὁ
ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν
45 γῆν· καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς ἐλθὼν πρὸς τοὺς
46 μαθητὰς εὗρεν˚ αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης· καὶ
εἶπεν αὐτοῖς τί καθεύδετε ἀναστάντες προσεύχεσθε ἵνα μὴ
47 εἰσέλθητε εἰς πειρασμόν· ἔτι δὲ˚ αὐτοῦ λαλοῦντος ἰδοὺ ὄ-
χλος καὶ ὁ λεγόμενος ἰούδας εἷς τῶν δώδεκα προήρχετο
48 αὐτῶν καὶ ἤγγισεν τῷ ἰησοῦ φιλῆσαι αὐτόν· ὁ˚ δὲ ἰησοῦς
εἶπεν αὐτῷ ἰούδα φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παρα-
49 δίδως· ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπον˚ αὐτῷ
50 κύριε εἰ πατάξομεν ἐν μαχαίρᾳ· καὶ ἐπάταξεν εἷς τις ἐξ
αὐτῶν τὸν˚ δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ˚ τὸ
51 οὖς τὸ δεξιόν· ἀποκριθεὶς δὲ ὁ ἰησοῦς εἶπεν ἐᾶτε ἕως τού-

---

**v.35** TK: ουδενος, MV: ουθενος. **v.36** T*: ουν, V: δε. **v.36** T*: βαλαντιον, V: βαλλαντιον. **v.36** TKV: πωλησατω, M: πωλησει. **v.36** TKV: αγορασατω, M: αγορασει. **v.37** T*: ετι, V: ∅. **v.37** T*: τα, V: το. **v.38** T*: ειπον, V: ειπαν. **v.39** T*: αυτου, V: ∅. **v.42** TM: παρενεγκειν, KV: παρενεγκε. **v.42** T*: το ποτηριον τουτο, V: τουτο το ποτηριον. **v.42** T*: γενεσθω, V: γινεσθω. **v.44** T*: εγενετο δε, V: και εγενετο. **v.45** TM: ευρεν αυτους κοιμωμενους, K: αυτου ευρεν αυτους κοιμωμενους, V: ευρεν κοιμωμενους αυτους. **v.47** T*: δε, V: ∅. **v.47** TK: αυτων, MV: αυτους. **v.48** T*: ο δε ιησους, V: ιησους δε. **v.49** T*: ειπον αυτω, V: ειπαν. **v.49** T*: μαχαιρα, V: μαχαιρη. **v.50** T*: τον δουλον του αρχιερεως, V: του αρχιερεως τον δουλον. **v.50** T*: αυτου το ους, V: το ους αυτου.

του καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ ἰάσατο αὐτόν ⸰ εἶπεν δὲ 52
ὁ˚ ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ᾽ αὐτὸν ἀρχιερεῖς
καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους ὡς ἐπὶ λῃστὴν
ἐξελήλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων ⸰ καθ᾽ ἡμέραν ὄν- 53
τος μου μεθ᾽ ὑμῶν ἐν τῷ ἱερῷ οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ᾽
ἐμὲ ἀλλ᾽ αὕτη ὑμῶν˚ ἐστιν ἡ ὥρα καὶ ἡ ἐξουσία τοῦ σκό-
τους ⸰ συλλαβόντες δὲ αὐτὸν ἤγαγον καὶ εἰσήγαγον αὐτὸν˚ 54
εἰς τὸν οἶκον τοῦ ἀρχιερέως ὁ δὲ πέτρος ἠκολούθει μακρό-
θεν ⸰ ἁψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς καὶ συγκαθισάν- 55
των αὐτῶν ἐκάθητο ὁ πέτρος ἐν˚ μέσῳ αὐτῶν ⸰ ἰδοῦσα δὲ 56
αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα
αὐτῷ εἶπεν καὶ οὗτος σὺν αὐτῷ ἦν ⸰ ὁ δὲ ἠρνήσατο αὐτὸν˚ 57
λέγων γύναι οὐκ οἶδα αὐτόν ⸰ καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν 58
αὐτὸν ἔφη καὶ σὺ ἐξ αὐτῶν εἶ ὁ δὲ πέτρος εἶπεν ἄνθρωπε
οὐκ εἰμί ⸰ καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς ἄλλος τις διϊ- 59
σχυρίζετο λέγων ἐπ᾽ ἀληθείας καὶ οὗτος μετ᾽ αὐτοῦ ἦν καὶ
γὰρ γαλιλαῖός ἐστιν ⸰ εἶπεν δὲ ὁ πέτρος ἄνθρωπε οὐκ οἶδα 60
ὃ λέγεις καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ ἐφώνησεν
ὁ˚ ἀλέκτωρ ⸰ καὶ στραφεὶς ὁ κύριος ἐνέβλεψεν τῷ πέτρῳ 61
καὶ ὑπεμνήσθη ὁ πέτρος τοῦ λόγου τοῦ κυρίου ὡς εἶπεν
αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι ἀπαρνήσῃ με τρίς ⸰ καὶ 62
ἐξελθὼν ἔξω ὁ˚ πέτρος ἔκλαυσεν πικρῶς ⸰ καὶ οἱ ἄνδρες 63
οἱ συνέχοντες τὸν˚ ἰησοῦν ἐνέπαιζον αὐτῷ δέροντες ⸰ καὶ 64
περικαλύψαντες αὐτὸν ἔτυπτον˚ αὐτοῦ τὸ πρόσωπον καὶ
ἐπηρώτων αὐτὸν λέγοντες προφήτευσον τίς ἐστιν ὁ παίσας
σε ⸰ καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν ⸰ 65
καὶ ὡς ἐγένετο ἡμέρα συνήχθη τὸ πρεσβυτέριον τοῦ λα- 66
οῦ ἀρχιερεῖς τε καὶ γραμματεῖς καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ

**v.51** T*: αυτου, V: ∅. **v.52** T*: ο, V: ∅. **v.52** T*: εξεληλυθατε, V: εξηλθατε. **v.53** T*: υμων εστιν, V: εστιν υμων. **v.54** T*: αυτον εις τον οικον, V: εις την οικιαν. **v.55** T*: αψαντων, V: περιαψαντων. **v.55** T*: αυτων, V: ∅. **v.55** T*: εν μεσω, V: μεσος. **v.57** T*: αυτον λεγων γυναι ουκ οιδα αυτον, V: λεγων ουκ οιδα αυτον γυναι. **v.58** T*: ειπεν, V: εφη. **v.60** TK: ο, MV: ∅. **v.61** T*: λογου, V: ρηματος. **v.61** T*: φωνησαι, V: φωνησαι σημερον. **v.62** T*: ο πετρος, V: ∅. **v.63** T*: τον ιησουν, V: αυτον. **v.64** T*: ετυπτον αυτου το προσωπον και επηρωτων αυτον, V: επηρωτων. **v.66** TKV: τε, M: ∅. **v.66** T*: ανηγαγον, V: απηγαγον.

67 συνέδριον ἑαυτῶν λέγοντες ⸰ εἰ σὺ εἶ ὁ χριστὸς εἰπὲ ἡμῖν
68 εἶπεν δὲ αὐτοῖς ἐὰν ὑμῖν εἴπω οὐ μὴ πιστεύσητε ⸰ ἐὰν δὲ
69 καὶ ἐρωτήσω οὐ μὴ ἀποκριθῆτέ μοι˚ ἢ ἀπολύσητε ⸰ ἀπὸ
τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν
70 τῆς δυνάμεως τοῦ θεοῦ ⸰ εἶπὸν δὲ πάντες σὺ οὖν εἶ ὁ υἱὸς
τοῦ θεοῦ ὁ δὲ πρὸς αὐτοὺς ἔφη ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι ⸰
71 οἱ δὲ εἶπὸν τί ἔτι χρείαν˚ ἔχομεν μαρτυρίας αὐτοὶ γὰρ ἠ-
κούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ ⸰

**23** Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν ἤγαγὲν αὐτὸν ἐπὶ
2 τὸν πιλάτον ⸰ ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες τοῦ-
τον εὕρὸμεν διαστρέφοντα τὸ ἔθνος καὶ κωλύοντα καίσαρι˚
3 φόρους διδόναι λέγοντα ἑαυτὸν χριστὸν βασιλέα εἶναι ⸰ ὁ
δὲ πιλάτος ἐπὴρώτησεν αὐτὸν λέγων σὺ εἶ ὁ βασιλεὺς τῶν
4 ἰουδαίων ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη σὺ λέγεις ⸰ ὁ δὲ πι-
λάτος εἶπεν πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους οὐδὲν
5 εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ ⸰ οἱ δὲ ἐπίσχυον λέ-
γοντες ὅτι ἀνασείει τὸν λαὸν διδάσκων καθ᾽ ὅλης τῆς ἰου-
6 δαίας ἀρξάμενος ἀπὸ τῆς γαλιλαίας ἕως ὧδε ⸰ πιλάτος δὲ
ἀκούσας γαλιλαίαν ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος γαλιλαῖ-
7 ός ἐστιν ⸰ καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας ἡρώδου ἐστὶν
ἀνέπεμψεν αὐτὸν πρὸς ἡρώδην ὄντα καὶ αὐτὸν ἐν ἱερο-
8 σολύμοις ἐν ταύταις ταῖς ἡμέραις ⸰ ὁ δὲ ἡρώδης ἰδὼν τὸν
ἰησοῦν ἐχάρη λίαν ἦν γὰρ θέλων˚ ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν διὰ
τὸ ἀκούειν ἥολλὰ περὶ αὐτοῦ καὶ ἤλπιζέν τι σημεῖον ἰδεῖν
9 ὑπ᾽ αὐτοῦ γινόμενον ⸰ ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς
10 αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ ⸰ εἱστήκεισαν δὲ οἱ ἀρ-
χιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ ⸰
11 ἐξουθενήσας δὲ αὐτὸν ὁ ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐ-

---

**v.66** ΤΚ: εαυτων, ΜV: αυτων. **v.67** T*: ειπε, V: ειπον. **v.68** T*: και, V: ∅. **v.68** T*: μοι η απολυσητε, V: ∅. **v.69** T*: νυν, V: νυν δε. **v.70** T*: ειπον, V: ειπαν. **v.71** T*: ειπον, V: ειπαν. **v.71** T*: χρειαν εχομεν μαρτυριας, V: εχομεν μαρτυριας χρειαν. **23. v.1** ΤΚ: ηγαγεν, ΜV: ηγαγον. **v.2** T*: ευρομεν, V: ευραμεν. **v.2** T*: εθνος, V: εθνος ημων. **v.2** T*: καισαρι φορους διδοναι, V: φορους καισαρι διδοναι και. **v.3** T*: επηρωτησεν, V: ηρωτησεν. **v.5** T*: αρξαμενος, V: και αρξαμενος. **v.6** T*: γαλιλαιαν, V: ∅. **v.8** T*: θελων εξ ικανου, V: εξ ικανων χρονων θελων. **v.8** T*: πολλα, V: ∅. **v.11** T*: αυτον, V: αυτον [και].

τοῦ καὶ ἐμπαίξας περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν ἀνέ-
πεμψεν αὐτὸν τῷ πιλάτῳ ⸰ ἐγένοντο δὲ φίλοι ὅ τε πιλάτος˚ 12
καὶ ὁ ἡρῴδης ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ᾽ ἀλλήλων προϋπῆρχον
γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς ⸰ πιλάτος δὲ συγκαλε- 13
σάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαόν ⸰
εἶπεν πρὸς αὐτοὺς προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦ- 14
τον ὡς ἀποστρέφοντα τὸν λαὸν καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑ-
μῶν ἀνακρίνας οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον
ὧν κατηγορεῖτε κατ᾽ αὐτοῦ ⸰ ἀλλ᾽ οὐδὲ ἡρῴδης ἀνέπεμψα˚ 15
γὰρ ὑμᾶς πρὸς αὐτὸν καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐ-
στὶν πεπραγμένον αὐτῷ ⸰ παιδεύσας οὖν αὐτὸν ἀπολύσω ⸰ 16
ἀνάγκην˚ δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα ⸰ ἀν- 17, 18
έκραξᾶν δὲ παμπληθεὶ λέγοντες αἶρε τοῦτον ἀπόλυσον δὲ
ἡμῖν τὸν βαραββᾶν ⸰ ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν 19
τῇ πόλει καὶ φόνον βεβλημένος˚ εἰς φυλακήν ⸰ πάλιν οὖν 20
ὁ πιλάτος προσεφώνησεν˙ θέλων ἀπολῦσαι τὸν ἰησοῦν ⸰ οἱ 21
δὲ ἐπεφώνουν λέγοντες σταύρωσον˚ σταύρωσον αὐτόν ⸰ ὁ 22
δὲ τρίτον εἶπεν πρὸς αὐτοὺς τί γὰρ κακὸν ἐποίησεν οὗ-
τος οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ παιδεύσας οὖν
αὐτὸν ἀπολύσω ⸰ οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις αἰτού- 23
μενοι αὐτὸν σταυρωθῆναι καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν
καὶ˚ τῶν ἀρχιερέων ⸰ ὁ˚ δὲ πιλάτος ἐπέκρινεν γενέσθαι τὸ 24
αἴτημα αὐτῶν ⸰ ἀπέλυσεν δὲ αὐτοῖς τὸν διὰ στάσιν καὶ φό- 25
νον βεβλημένον εἰς τὴν φυλακὴν ὃν ἠτοῦντο τὸν δὲ ἰησοῦν
παρέδωκεν τῷ θελήματι αὐτῶν ⸰ καὶ ὡς ἀπήγαγον αὐτὸν ἐ- 26
πιλαβόμενοι σίμωνός˚ τινος κυρηναίου τοῦ ἐρχομένου ἀπ᾽
ἀγροῦ ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὄπισθεν τοῦ ἰ-

---

**v.11** T*: αυτον, V: ∅. **v.12** T*: πιλατος και ο ηρωδης, V: ηρωδης και ο πιλατος. **v.12** T*: εαυτους, V: αυτους. **v.14** T*: ουδεν, V: ουθεν. **v.15** T*: ανεπεμψα γαρ υμας προς αυτον, V: ανεπεμψεν γαρ αυτον προς ημας. **v.17** T*: αναγκην . . . ενα, V: ∅. **v.18** T*: ανεκραξαν, V: ανεκραγον. **v.18** TKV: τον, M: ∅. **v.19** T*: βεβλημενος εις φυλακην, V: βληθεις εν τη φυλακη. **v.20** T*: ουν, V: δε. **v.20** T*: προσεφωνησεν, V: προσεφωνησεν αυτοις. **v.21** T*: σταυρωσον σταυρωσον, V: σταυρου σταυρου. **v.23** T*: και των αρχιερεων, V: ∅. **v.24** T*: ο δε, V: και. **v.25** TK: αυτοις, MV: ∅. **v.25** T*: την, V: ∅. **v.26** TK: σιμωνος τινος κυρηναιου του ερχομενου, M: σιμωνος τινος κυρηναιου ερχομενου, V: σιμωνα τινα κυρηναιον ερχομενον.

27 ησοῦ ⸰ ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυ-
28 ναικῶν αἳ κἀὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν ⸰ στραφεὶς
δὲ πρὸς αὐτὰς ὁ ἰησοῦς εἶπεν θυγατέρες ἰερουσαλὴμ μὴ
κλαίετε ἐπ᾽ ἐμὲ πλὴν ἐφ᾽ ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑ-
29 μῶν ⸰ ὅτι ἰδοὺ ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσιν μακάριαι αἱ
στεῖραι καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν καὶ μαστοὶ οἳ οὐκ ἐ-
30 θήλἀσαν ⸰ τότε ἄρξονται λέγειν τοῖς ὄρεσιν πέσετε ἐφ᾽ ἡμᾶς
31 καὶ τοῖς βουνοῖς καλύψατε ἡμᾶς ⸰ ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ
32 ταῦτα ποιοῦσιν ἐν τῷ ξηρῷ τί γένηται ⸰ ἤγοντο δὲ καὶ ἕτεροι
33 δύο˚ κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι ⸰ καὶ ὅτε ἀῆλθον
ἐπὶ τὸν τόπον τὸν καλούμενον κρανίον ἐκεῖ ἐσταύρωσαν
αὐτὸν καὶ τοὺς κακούργους ὃν μὲν ἐκ δεξιῶν ὃν δὲ ἐξ ἀ-
34 ριστερῶν ⸰ ὁ δὲ ἰησοῦς ἔλεγεν πάτερ ἄφες αὐτοῖς οὐ γὰρ
οἴδασιν τί ποιοῦσιν διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβα-
35 λον κλῆροv ⸰ καὶ εἱστήκει ὁ λαὸς θεωρῶν ἐξεμυκτήριζον
δὲ καὶ οἱ ἄρχοντες σὺν˚ αὐτοῖς λέγοντες ἄλλους ἔσωσεν σω-
σάτω ἑαυτὸν εἰ οὗτός ἐστιν ὁ χριστὸς ὁ˚ τοῦ θεοῦ ἐκλεκτός ⸰
36 ἐνέπαιζὸν δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι κἀὶ ὄ-
37 ξος προσφέροντες αὐτῷ ⸰ καὶ λέγοντες εἰ σὺ εἶ ὁ βασιλεὺς
38 τῶν ἰουδαίων σῶσον σεαυτόν ⸰ ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμ-
μένη˚ ἐπ᾽ αὐτῷ γράμμασιν ἑλληνικοῖς καὶ ρωμαϊκοῖς καὶ
39 ἑβραϊκοῖς οὗτός ἐστιν ὁ βασιλεὺς τῶν ἰουδαίων ⸰ εἷς δὲ τῶν
κρεμασθέντων κακούργων ἐβλασφήμει αὖτὸν λέγων ἐἰ σὺ
40 εἶ ὁ χριστὸς σῶσον σεαυτὸν καὶ ἡμᾶς ⸰ ἀποκριθεὶς δὲ ὁ ἕ-
τερος ἐπετίμα˚ αὐτῷ λέγων οὐδὲ φοβῇ σὺ τὸν θεὸν ὅτι ἐν
41 τῷ αὐτῷ κρίματι εἶ ⸰ καὶ ἡμεῖς μὲν δικαίως ἄξια γὰρ ὧν
ἐπράξαμεν ἀπολαμβάνομεν οὗτος δὲ οὐδὲν ἄτοπον ἔπρα-
42 ξεν ⸰ καὶ ἔλεγεν τῷ ἰησοῦ μνήσθητί μου κύριε ὅταν˚ ἔλθῃς

---

**v.27** T*: και, V: ∅. **v.29** T*: κοιλιαι, V: αι κοιλιαι. **v.29** T*: εθηλασαν, V: εθρεψαν. **v.32** T*: δυο κακουργοι, V: κακουργοι δυο. **v.33** T*: απηλθον, V: ηλθον. **v.34** T*: κληρον, V: κληρους. **v.35** T*: συν αυτοις, V: ∅. **v.35** T*: ο του θεου, V: του θεου ο. **v.36** T*: ενεπαιζον, V: ενεπαιξαν. **v.36** T*: και, V: ∅. **v.38** T*: γεγραμμενη επ αυτω γραμμασιν ελληνικοις και ρωμαικοις και εβραικοις ουτος εστιν ο βασιλευς των ιουδαιων, V: επ αυτω ο βασιλευς των ιουδαιων ουτος. **v.39** T*: ει, V: ουχι. **v.40** T*: επετιμα αυτω λεγων, V: επιτιμων αυτω εφη.

ἓν τῇ βασιλείᾳ σου ⸰ καὶ εἶπεν αὐτῷ ὁ᾽ ἰησοῦς ἀμὴν᾽ λέγω 43
σοι σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ ⸰ ἦν᾽ δὲ ὡσεὶ 44
ὥρα ἕκτη καὶ σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως ὥρας
ἐνν̓άτης ⸰ καὶ᾽ ἐσκοτίσθη ὁ ἥλιος καὶ ἐσχίσθη τὸ καταπέ- 45
τασμα τοῦ ναοῦ μέσον ⸰ καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ ἰη- 46
σοῦς εἶπεν πάτερ εἰς χεῖράς σου παῤαθήσομαι τὸ πνεῦμά
μου καὶ᾽ ταῦτα εἰπὼν ἐξέπνευσεν ⸰ ἰδὼν δὲ ὁ ἑκατόνταρχὸς 47
τὸ γενόμενον ἐδόξαδεν τὸν θεὸν λέγων ὄντως ὁ ἄνθρωπος
οὗτος δίκαιος ἦν ⸰ καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι 48
ἐπὶ τὴν θεωρίαν ταύτην θεωρῶῦντες τὰ γενόμενα τύπτον-
τες ἑαυτ̓ῶν τὰ στήθη ὑπέστρεφον ⸰ εἱστήκεισαν δὲ πάντες 49
οἱ γνωστοὶ αὐτ̓οῦ μακρόθεν καὶ γυναῖκες αἱ συνακολου-
θήδασαι αὐτῷ ἀπὸ τῆς γαλιλαίας ὁρῶσαι ταῦτα ⸰ καὶ ἰδοὺ 50
ἀνὴρ ὀνόματι ἰωσὴφ βουλευτὴς ὑπάρχων ἀν̓ὴρ ἀγαθὸς καὶ
δίκαιος ⸰ οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ 51
τῇ πράξει αὐτῶν ἀπὸ ἀριμαθαίας πόλεως τῶν ἰουδαίων ὃς
κἀὶ προσεδέχετο κἀὶ αὐτ̓ὸς τὴν βασιλείαν τοῦ θεοῦ ⸰ οὗ- 52
τος προσελθὼν τῷ πιλάτῳ ἠτήσατο τὸ σῶμα τοῦ ἰησοῦ ⸰ καὶ 53
καθελὼν αὐτ̓ὸ ἐνετύλιξεν αὐτὸ σινδόνι καὶ ἔθηκεν αὐτ̓ὸ ἐν
μνήματι λαξευτῷ οὗ οὐκ ἦν οὐδέπω᾽ οὐδεὶς κείμενος ⸰ καὶ 54
ἡμέρα ἦν παρασκεὐὴ κἀὶ σάββατον ἐπέφωσκεν ⸰ κατακο- 55
λουθήσασαι δὲ κἀὶ γυναῖκες αἵτινες ἦσαν συνεληλυθυῖαι
αὐτῷ᾽ ἐκ τῆς γαλιλαίας ἐθεάσαντο τὸ μνημεῖον καὶ ὡς ἐ-
τέθη τὸ σῶμα αὐτοῦ ⸰ ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώ- 56
ματα καὶ μύρα καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν

**v.42** T*: τω, V: ∅. **v.42** T*: κυριε, V: ∅. **v.42** T*: οταν ελθης εν τη βασιλεια, V: οταν ελθης εις την βασιλειαν, D: εν τη ημερα της ελευσεως σου. **v.43** T*: ο ιησους, V: ∅. **v.43** T*: αμην λεγω σοι, V: αμην σοι λεγω, D: θαρσει. **v.44** T*: ην δε, V: και ην ηδη. **v.44** TK: εννατης, MV: ενατης. **v.45** T*: και εσκοτισθη ο ηλιος και εσχισθη, V: του ηλιου εκλιποντος εσχισθη δε. **v.46** T*: παραθησομαι, V: παρατιθεμαι. **v.46** T*: και ταυτα, V: τουτο δε. **v.47** T*: εκατονταρχος, V: εκατονταρχης. **v.47** T*: εδοξασεν, V: εδοξαζεν. **v.48** T*: θεωρουντες, V: θεωρησαντες. **v.48** T*: εαυτων, V: ∅. **v.49** T*: αυτου, V: αυτω απο. **v.49** T*: συνακολουθησασαι, V: συνακολουθουσαι. **v.50** T*: ανηρ, V: [και] ανηρ. **v.51** T*: και, V: ∅. **v.51** T*: αυτος, V: ∅. **v.53** T*: αυτο, V: ∅. **v.53** T*: αυτο, V: αυτον. **v.53** T*: ουδεπω ουδεις, V: ουδεις ουπω. **v.54** T*: παρασκευη, V: παρασκευης. **v.54** TKV: και, M: ∅. **v.55** TK: και, M: ∅, V: αι. **v.55** T*: αυτω εκ της γαλιλαιας, V: εκ της γαλιλαιας αυτω.

ἐντολήν ⸰

**24** Τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος ἦλθον˚ ἐπὶ τὸ
μνῆμα φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα καί˚ τινες σὺν αὐ-
2 ταῖς ⸰ εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνη-
3 μείου ⸰ καὶ˚ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου
4 ἰησοῦ ⸰ καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου
καὶ ἰδοὺ δύο˚ ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν˚ ἀ-
5 στραπτούσαις ⸰ ἐμφόβων δὲ γενομένων αὐτῶν καὶ κλινου-
σῶν τὸ˚ πρόσωπον εἰς τὴν γῆν εἶπόν πρὸς αὐτὰς τί ζητεῖτε
6 τὸν ζῶντα μετὰ τῶν νεκρῶν ⸰ οὐκ ἔστιν ὧδε ἀλλ᾽ ἠγέρθη
7 μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ γαλιλαίᾳ ⸰ λέγων
ὅτι˚ δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀν-
θρώπων ἁμαρτωλῶν καὶ σταυρωθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ
8, 9 ἀναστῆναι ⸰ καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ ⸰ καὶ ὑ-
ποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα
10 τοῖς ἕνδεκα καὶ πᾶσιν τοῖς λοιποῖς ⸰ ἦσαν δὲ ἡ μαγδαληνὴ
μαρία καὶ ἰωάννα καὶ μαρία ἰακώβου καὶ αἱ λοιπαὶ σὺν
11 αὐταῖς αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα ⸰ καὶ ἐφά-
νησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν καὶ ἠ-
12 πίστουν αὐταῖς ⸰ ὁ δὲ πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνη-
μεῖον καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα καὶ
13 ἀπῆλθεν πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός ⸰ καὶ ἰδοὺ δύο
ἐξ αὐτῶν ἦσαν˚ πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην
ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ ἰερουσαλὴμ ᾗ ὄνομα
14 ἐμμαοῦς ⸰ καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάν-
15 των τῶν συμβεβηκότων τούτων ⸰ καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν
αὐτοὺς καὶ συζητεῖν καὶ αὐτὸς ὁ˚ ἰησοῦς ἐγγίσας συνε-
16 πορεύετο αὐτοῖς ⸰ οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ

**24. v.1** TK: βαθεος, MV: βαθεως. **v.1** T*: ηλθον επι το μνημα, V: επι το μνημα ηλθον. **v.1** T*: και τινες συν αυταις, V: ∅. **v.3** T*: και εισελθουσαι, V: εισελθουσαι δε. **v.4** T*: διαπορεισθαι, V: απορεισθαι. **v.4** TK: δυο ανδρες, MV: ανδρες δυο. **v.4** T*: εσθησεσιν αστραπτουσαις, V: εσθητι αστραπτουση. **v.5** T*: το προσωπον, V: τα προσωπα. **v.5** T*: ειπον, V: ειπαν. **v.6** T*: αλλ, V: αλλα. **v.7** T*: οτι δει τον υιον του ανθρωπου, V: τον υιον του ανθρωπου οτι δει. **v.10** T*: ιακωβου, V: η ιακωβου. **v.10** T*: αι, V: ∅. **v.11** T*: αυτων, V: ταυτα. **v.12** T*: κειμενα, V: ∅. **v.13** T*: ησαν πορευομενοι εν αυτη τη ημερα, V: εν αυτη τη ημερα ησαν πορευομενοι. **v.15** T*: ο, V: ∅.

μὴ ἐπιγνῶναι αὐτόν ◦ εἶπεν δὲ πρὸς αὐτοὺς τίνες οἱ λόγοι 17
οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες καί
ἐστε σκυθρωποί ◦ ἀποκριθεὶς δὲ ὁ˚ εἷς ᾧ ὄνομα κλεόπας 18
εἶπεν πρὸς αὐτὸν σὺ μόνος παροικεῖς ἐν ἰερουσαλὴμ καὶ
οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις ◦
καὶ εἶπεν αὐτοῖς ποῖα οἱ δὲ εἶπὸν αὐτῷ τὰ περὶ ἰησοῦ τοῦ 19
ναζῶραίου ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ
λόγῳ ἐναντίον τοῦ θεοῦ καὶ παντὸς τοῦ λαοῦ ◦ ὅπως τε 20
παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς
κρίμα θανάτου καὶ ἐσταύρωσαν αὐτόν ◦ ἡμεῖς δὲ ἠλπίζο- 21
μεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν ἰσραὴλ ἀλλά
γε ὃὺν πᾶσιν τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον
ἀφ᾽ οὗ ταῦτα ἐγένετο ◦ ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν 22
ἐξέστησαν ἡμᾶς γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον ◦ καὶ 23
μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ ἦλθον λέγουσαι καὶ ὀπτασίαν
ἀγγέλων ἑωρακέναι οἳ λέγουσιν αὐτὸν ζῆν ◦ καὶ ἀπῆλθόν 24
τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον καὶ εὗρον οὕτως κα-
θὼς καὶ αἱ γυναῖκες εἶπον αὐτὸν δὲ οὐκ εἶδον ◦ καὶ αὐτὸς 25
εἶπεν πρὸς αὐτοὺς ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ
πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται ◦ οὐχὶ ταῦτα 26
ἔδει παθεῖν τὸν χριστὸν καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ ◦
καὶ ἀρξάμενος ἀπὸ μωσέως καὶ ἀπὸ πάντων τῶν προφη- 27
τῶν διήρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ
ἑαυτοῦ ◦ καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο καὶ 28
αὐτὸς προσεποιεῖτο˚ πορρωτέρω πορεύεσθαι ◦ καὶ παρεβι- 29
άσαντο αὐτὸν λέγοντες μεῖνον μεθ᾽ ἡμῶν ὅτι πρὸς ἑσπέραν
ἐστὶν καὶ κέκλικεν ἡ˚ ἡμέρα καὶ εἰσῆλθεν τοῦ μεῖναι σὺν
αὐτοῖς ◦ καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ᾽ αὐτῶν 30
λαβὼν τὸν ἄρτον εὐλόγησεν καὶ κλάσας ἐπεδίδου αὐτοῖς ◦
αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ καὶ ἐπέγνωσαν αὐ- 31

**v.17** T*: εστε, V: εσταθησαν. **v.18** T*: ο εις ω ονομα, V: εις ονοματι. **v.18** TK: εν, MV: ∅. **v.19** T*: ειπον, V: ειπαν. **v.19** T*: ναζωραιου, V: ναζαρηνου. **v.21** T*: συν, V: και συν. **v.21** T*: σημερον, V: ∅. **v.22** T*: ορθριαι, V: ορθριναι. **v.27** T*: μωσεως, V: μωυσεως. **v.27** T*: διηρμηνευεν, V: διερμηνευσεν. **v.28** T*: προσεποιειτο πορρωτερω, V: προσεποιησατο πορρωτερον. **v.29** T*: η, V: ηδη η.

32 τὸν καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ᾽ αὐτῶν ◦ καὶ εἶπὸν πρὸς
ἀλλήλους οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν ὡς ἐ-
λάλει ἡμῖν ἐν τῇ ὁδῷ κἀὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς ◦
33 καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς ἱερουσαλὴμ
καὶ εὗρον ὁυνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐ-
34 τοῖς ◦ λέγοντας ὅτι ἠγέρθη˚ ὁ κύριος ὄντως καὶ ὤφθη σί-
35 μωνι ◦ καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ καὶ ὡς ἐγνώσθη
36 αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου ◦ ταῦτα δὲ αὐτῶν λαλούν-
των αὐτὸς ὁ˚ ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν καὶ λέγει αὐτοῖς
37 εἰρήνη ὑμῖν ◦ πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδό-
38 κουν πνεῦμα θεωρεῖν ◦ καὶ εἶπεν αὐτοῖς τί τεταραγμένοι
ἐστὲ καὶ διατὶ διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς˚ καρδίαις
39 ὑμῶν ◦ ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου ὅτι αὐ-
τὸς˚ ἐγώ εἰμι ψηλαφήσατέ με καὶ ἴδετε ὅτι πνεῦμα σάρκα
40 καὶ ὀστέα οὐκ ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα ◦ καὶ τοῦτο
41 εἰπὼν ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας ◦ ἔτι δὲ
ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων εἶπεν
42 αὐτοῖς ἔχετέ τι βρώσιμον ἐνθάδε ◦ οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰ-
43 χθύος ὀπτοῦ μέρος καὶ˚ ἀπὸ μελισσίου κηρίου ◦ καὶ λαβὼν
44 ἐνώπιον αὐτῶν ἔφαγεν ◦ εἶπεν δὲ αὐτοῖς οὗτοι οἱ λόγοι οὓς
ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν ὅτι δεῖ πληρωθῆναι
πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ μωσέως καὶ προφήταις
45 καὶ ψαλμοῖς περὶ ἐμοῦ ◦ τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ
46 συνιέναι τὰς γραφάς ◦ καὶ εἶπεν αὐτοῖς ὅτι οὕτως γέγρα-
πται καὶ˚ οὕτως ἔδει παθεῖν τὸν χριστὸν καὶ ἀναστῆναι ἐκ
47 νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ ◦ καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι
αὐτοῦ μετάνοιαν κἀὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη
48 ἀρξάμενοὶ ἀπὸ ἱερουσαλήμ ◦ ὑμεῖς δέ˚ ἐστε μάρτυρες τού-

---

**v.32** T*: ειπον, V: ειπαν. **v.32** T*: και, V: ∅. **v.33** T*: συνηθροισμενους, V: ηθροισμενους. **v.34** T*: ηγερθη ο κυριος οντως, V: οντως ηγερθη ο κυριος. **v.36** T*: ο ιησους, V: ∅. **v.38** TK: διατι, MV: δια τι. **v.38** T*: ταις καρδιαις, V: τη καρδια. **v.39** T*: αυτος εγω ειμι, V: εγω ειμι αυτος. **v.40** T*: επεδειξεν, V: εδειξεν. **v.42** T*: και απο μελισσιου κηριου, V: ∅. **v.44** T*: αυτοις, V: προς αυτους. **v.44** T*: λογοι, V: λογοι μου. **v.44** T*: μωσεως, V: μωυσεως. **v.44** T*: προφηταις, V: τοις προφηταις. **v.46** T*: και ουτως εδει, V: ∅. **v.47** T*: και, V: εις. **v.47** T*: αρξαμενον, V: αρξαμενοι. **v.48** T*: δε εστε, V: ∅.

των ⸰ καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός 49
μου ἐφ᾽ ὑμᾶς ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει ἰερ̣ουσαλὴμ
ἕως οὗ ἐνδύσησθε δύναμιν˚ ἐξ ὕψους ⸰ ἐξήγαγεν δὲ αὐ- 50
τοὺς ἔξω ἕως ἐἰς βηθανίαν καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ
εὐλόγησεν αὐτούς ⸰ καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐ- 51
τοὺς διέστη ἀπ᾽ αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν ⸰ καὶ 52
αὐτοὶ προσκυνήσαντες αὐτὸν ὑπέστρεψαν εἰς ἰερουσαλὴμ
μετὰ χαρᾶς μεγάλης ⸰ καὶ ἦσαν διαπ̣αντὸς ἐν τῷ ἱερῷ αἰ- 53
νοῦντες˚ καὶ εὐλογοῦντες τὸν θεὸν ἀμ̣ήν ⸰

**v.49** T*: ιερουσαλημ, V: ∅. **v.49** T*: δυναμιν εξ υψους, V: εξ υψους δυναμιν. **v.50** T*: εις, V: προς. **v.53** T: διαπαντος, KMV: δια παντος. **v.53** T*: αινουντες και, V: ∅. **v.53** T*: αμην, V: ∅.

# ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ
## ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ˚

**1** ᾽Εν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ
2, 3 θεὸς ἦν ὁ λόγος ⸰ οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν ⸰ πάντα
δι᾽ αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγο-
4 νεν ⸰ ἐν αὐτῷ ζωὴ ἦν καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων ⸰
5 καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει καὶ ἡ σκοτία αὐτὸ οὐ κατέ-
6 λαβεν ⸰ ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ ὄνομα
7 αὐτῷ ἰωάννης ⸰ οὗτος ἦλθεν εἰς μαρτυρίαν ἵνα μαρτυρήσῃ
8 περὶ τοῦ φωτὸς ἵνα πάντες πιστεύσωσιν δι᾽ αὐτοῦ ⸰ οὐκ ἦν
9 ἐκεῖνος τὸ φῶς ἀλλ᾽ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός ⸰ ἦν τὸ
φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς
10 τὸν κόσμον ⸰ ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγέ-
11 νετο καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω ⸰ εἰς τὰ ἴδια ἦλθεν καὶ
12 οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον ⸰ ὅσοι δὲ ἔλαβον αὐτὸν ἔδω-
κεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν
13 εἰς τὸ ὄνομα αὐτοῦ ⸰ οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος
σαρκὸς οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀλλ᾽ ἐκ θεοῦ ἐγεννήθη-
14 σαν ⸰ καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν καὶ
ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ δόξαν ὡς μονογενοῦς παρὰ
15 πατρὸς πλήρης χάριτος καὶ ἀληθείας ⸰ ἰωάννης μαρτυρεῖ
περὶ αὐτοῦ καὶ κέκραγεν λέγων οὗτος ἦν ὃν εἶπον ὁ ὀ-
πίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν ὅτι πρῶτός
16 μου ἦν ⸰ καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐ-
17 λάβομεν καὶ χάριν ἀντὶ χάριτος ⸰ ὅτι ὁ νόμος διὰ μωϑέως
ἐδόθη ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ ἰησοῦ χριστοῦ ἐγένετο ⸰
18 θεὸν οὐδεὶς ἑώρακεν πώποτε ὁ˚ μονογενὴς υἱὸς ὁ ὢν εἰς
19 τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο ⸰ καὶ αὕτη ἐ-
στὶν ἡ μαρτυρία τοῦ ἰωάννου ὅτε ἀπέστειλαν οἱ ἰουδαῖοι

---

T: ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ, K: ΕΥΑΓΓΕΛΙΟΝ ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ, MV: ΚΑΤΑ ΙΩΑΝΝΗΝ. **1. v.16** T*: και, V: οτι. **v.17** T*: μωσεως, V: μωυσεως. **v.18** T*: ο μονογενης υιος, V: μονογενης θεος. **v.19** T*: απεστειλαν, V: απεστειλαν [προς αυτον].

ἐξ ἱεροσολύμων ἱερεῖς καὶ λευΐτας ἵνα ἐρωτήσωσιν αὐτὸν
σὺ τίς εἶ· καὶ ὡμολόγησεν καὶ οὐκ ἠρνήσατο καὶ ὡμολό- 20
γησεν ὅτι οὐκ᾽ εἰμὶ ἐγὼ ὁ χριστός· καὶ ἠρώτησαν αὐτὸν 21
τί οὖν ἠλίας᾽ εἶ σὺ καὶ λέγει οὐκ εἰμὶ ὁ προφήτης εἶ σὺ
καὶ ἀπεκρίθη οὔ· εἶπόν οὖν αὐτῷ τίς εἶ ἵνα ἀπόκρισιν δῶ- 22
μεν τοῖς πέμψασιν ἡμᾶς τί λέγεις περὶ σεαυτοῦ· ἔφη ἐγὼ 23
φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ εὐθύνατε τὴν ὁδὸν κυρίου κα-
θὼς εἶπεν ἡσαΐας ὁ προφήτης· καὶ ὁἱ ἀπεσταλμένοι ἦσαν 24
ἐκ τῶν φαρισαίων· καὶ ἠρώτησαν αὐτὸν καὶ εἶπόν αὐτῷ τί 25
οὖν βαπτίζεις εἰ σὺ οὐκ εἶ ὁ χριστὸς οὔτε ἠλίας οὔτε ὁ προ-
φήτης· ἀπεκρίθη αὐτοῖς ὁ ἰωάννης λέγων ἐγὼ βαπτίζω ἐν 26
ὕδατι μέσος δὲ᾽ ὑμῶν ἔστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε· αὐτός᾽ 27
ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος ὃς ἔμπροσθέν μου γέγονεν
οὗ ἐγὼ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑπο-
δήματος· ταῦτα ἐν βηθαβαρᾶ ἐγένετο πέραν τοῦ ἰορδάνου 28
ὅπου ἦν ἰὠάννης βαπτίζων· τῇ ἐπαύριον βλέπει ὁ᾽ ἰωάν- 29
νης τὸν ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει ἴδε ὁ ἀμνὸς
τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· οὗτός ἐστιν 30
ἅπερὶ οὗ ἐγὼ εἶπον ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν
μου γέγονεν ὅτι πρῶτός μου ἦν· κἀγὼ οὐκ ᾔδειν αὐτὸν 31
ἀλλ᾽ ἵνα φανερωθῇ τῷ ἰσραὴλ διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕ
ὕδατι βαπτίζων· καὶ ἐμαρτύρησεν ἰωάννης λέγων ὅτι τεθέ- 32
αμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ
καὶ ἔμεινεν ἐπ᾽ αὐτόν· κἀγὼ οὐκ ᾔδειν αὐτὸν ἀλλ᾽ ὁ πέμ- 33
ψας με βαπτίζειν ἐν ὕδατι ἐκεῖνός μοι εἶπεν ἐφ ὃν ἂν ἴδῃς
τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ᾽ αὐτὸν οὗτός ἐστιν ὁ
βαπτίζων ἐν πνεύματι ἁγίῳ· κἀγὼ ἑώρακα καὶ μεμαρτύ- 34
ρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ· τῇ ἐπαύριον πάλιν 35
εἱστήκει ὁ ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο· καὶ 36

**v.20** T*: ουκ ειμι εγω, V: εγω ουκ ειμι. **v.21** T*: ηλιας ει συ, V: συ ηλιας ει. **v.22** T*: ειπον, V: ειπαν. **v.24** T*: οι, V: ∅. **v.25** T*: ειπον, V: ειπαν. **v.25** T*: ουτε, V: ουδε. **v.26** T*: δε, V: ∅. **v.27** T*: αυτος εστιν ο οπισω μου ερχομενος ος εμπροσθεν μου γεγονεν ου εγω ουκ ειμι, V: ο οπισω μου ερχομενος ου ουκ ειμι [εγω]. **v.28** TK: βηθαβαρα, MV: βηθανια. **v.28** T*: ιωαννης, V: ο ιωαννης. **v.29** TK: ο ιωαννης, MV: ∅. **v.30** T*: περι, V: υπερ. **v.31** T*: τω, V: ∅. **v.32** T*: ωσει, V: ως.

ἐμβλέψας τῷ ἰησοῦ περιπατοῦντι λέγει ἴδε ὁ ἀμνὸς τοῦ θε-
37 οῦ ⸰ καὶ ἤκουσαν αὐτοῦ˚ οἱ δύο μαθηταὶ λαλοῦντος καὶ
38 ἠκολούθησαν τῷ ἰησοῦ ⸰ στραφεὶς δὲ ὁ ἰησοῦς καὶ θεασά-
μενος αὐτοὺς ἀκολουθοῦντας λέγει αὐτοῖς τί ζητεῖτε οἱ δὲ
εἶπὸν αὐτῷ ῥαββὶ ὃ λέγεται ἑρμηνευόμενον διδάσκαλε ποῦ
39 μένεις ⸰ λέγει αὐτοῖς ἔρχεσθε καὶ ἴδετε˚ ἦλθον καὶ εἶδὸν
ποῦ μένει καὶ παρ᾽ αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην ὥρα
40 δὲ˚ ἦν ὡς δεκάτη ⸰ ἦν ἀνδρέας ὁ ἀδελφὸς σίμωνος πέτρου
εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ ἰωάννου καὶ ἀκο-
41 λουθησάντων αὐτῷ ⸰ εὑρίσκει οὗτος πρῶτος̣ τὸν ἀδελφὸν
τὸν ἴδιον σίμωνα καὶ λέγει αὐτῷ εὑρήκαμεν τὸν μεδσίαν
42 ὅ ἐστιν μεθερμηνευόμενον ὁ˚ χριστός ⸰ κἀὶ ἤγαγεν αὐτὸν
πρὸς τὸν ἰησοῦν ἐμβλέψας δὲ˚ αὐτῷ ὁ ἰησοῦς εἶπεν σὺ εἶ
σίμων ὁ υἱὸς ἰωνᾶ σὺ κληθήσῃ κηφᾶς ὃ ἑρμηνεύεται πέ-
43 τρος ⸰ τῇ ἐπαύριον ἠθέλησεν ὁ˚ ἰησοῦς ἐξελθεῖν εἰς τὴν γα-
λιλαίαν καὶ εὑρίσκει φίλιππον καὶ λέγει αὐτῷ ἀκολούθει
44 μοι ⸰ ἦν δὲ ὁ φίλιππος ἀπὸ βηθσαϊδὰ ἐκ τῆς πόλεως ἀν-
45 δρέου καὶ πέτρου ⸰ εὑρίσκει φίλιππος τὸν ναθαναὴλ καὶ
λέγει αὐτῷ ὃν ἔγραψεν μωδῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται
εὑρήκαμεν ἰησοῦν τὸν υἱὸν τοῦ ἰωσὴφ τὸν ἀπὸ ναζαρέτ̣ ⸰
46 καὶ εἶπεν αὐτῷ ναθαναὴλ ἐκ ναζαρὲτ̣ δύναταί τι ἀγαθὸν εἶ-
47 ναι λέγει αὐτῷ φίλιππος ἔρχου καὶ ἴδε ⸰ εἶδεν ὁ ἰησοῦς τὸν
ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει περὶ αὐτοῦ ἴδε
48 ἀληθῶς ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ ἔστιν ⸰ λέγει αὐτῷ να-
θαναὴλ πόθεν με γινώσκεις ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶπεν
αὐτῷ πρὸ τοῦ σε φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν
49 εἶδόν σε ⸰ ἀπεκρίθη ναθαναὴλ˚ καὶ λέγει αὐτῷ ῥαββὶ σὺ εἶ

---

**v.37** T*: αυτου οι δυο μαθηται, V: οι δυο μαθηται αυτου. **v.38** T*: ειπον, V: ειπαν. **v.38** T*: ερμηνευομενον, V: μεθερμηνευομενον. **v.39** T*: ιδετε ηλθον, V: οψεσθε ηλθαν ουν. **v.39** T*: ειδον, V: ειδαν. **v.39** TK: δε, MV: ∅. **v.41** T*: πρωτος, V: πρωτον. **v.41** TKV: μεσσιαν, M: μεσιαν. **v.41** TK: ο, MV: ∅. **v.42** T*: και, V: ∅. **v.42** TK: δε, MV: ∅. **v.42** T*: ιωνα, V: ιωαννου. **v.43** TK: ο ιησους, MV: ∅. **v.43** TK: αυτω, MV: αυτω ο ιησους. **v.45** T*: μωσης, V: μωυσης. **v.45** T*: τον, V: ∅. **v.45** TMV: ναζαρετ, K: ναζαρεθ. **v.46** TMV: ναζαρετ, K: ναζαρεθ. **v.46** T*: φιλιππος, V: [ο] φιλιππος. **v.48** TK: ο, MV: ∅. **v.49** T*: ναθαναηλ και λεγει αυτω, V: αυτω ναθαναηλ.

ὁ υἱὸς τοῦ θεοῦ σὺ˚ εἶ ὁ βασιλεὺς τοῦ ἰσραήλ ◦ ἀπεκρίθη 50
ἰησοῦς καὶ εἶπεν αὐτῷ ὅτι εἶπόν σοι ἐἶδόν σε ὑποκάτω τῆς
συκῆς πιστεύεις μείζω τούτων ὄψῃ ◦ καὶ λέγει αὐτῷ ἀμὴν 51
ἀμὴν λέγω ὑμῖν ἀπ˚ ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα
καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνον-
τας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ◦

Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν κανᾷ τῆς γα- **2**
λιλαίας καὶ ἦν ἡ μήτηρ τοῦ ἰησοῦ ἐκεῖ ◦ ἐκλήθη δὲ καὶ ὁ 2
ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον ◦ καὶ ὑστερή- 3
σαντος οἴνου λέγει ἡ μήτηρ τοῦ ἰησοῦ πρὸς αὐτὸν οἶνον
οὐκ ἔχουσιν ◦ λέγει αὐτῇ ὁ ἰησοῦς τί ἐμοὶ καὶ σοὶ γύναι 4
οὔπω ἥκει ἡ ὥρα μου ◦ λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακό- 5
νοις ὅ τι ἂν λέγῃ ὑμῖν ποιήσατε ◦ ἦσαν δὲ ἐκεῖ ὑδρίαι˚ 6
λίθιναι ἓξ κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν ἰουδαίων χω-
ροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς ◦ λέγει αὐτοῖς ὁ ἰησοῦς 7
γεμίσατε τὰς ὑδρίας ὕδατος καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω ◦
καὶ λέγει αὐτοῖς ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχιτρικλί- 8
νῳ κἀὶ ἤνεγκαν ◦ ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ 9
οἶνον γεγενημένον καὶ οὐκ ᾔδει πόθεν ἐστὶν οἱ δὲ διάκο-
νοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ φωνεῖ τὸν νυμφίον ὁ
ἀρχιτρίκλινος ◦ καὶ λέγει αὐτῷ πᾶς ἄνθρωπος πρῶτον τὸν 10
καλὸν οἶνον τίθησιν καὶ ὅταν μεθυσθῶσιν τότε τὸν ἐλάσσω
σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι ◦ ταύτην ἐποίησεν 11
τὴν ἀρχὴν τῶν σημείων ὁ ἰησοῦς ἐν κανᾷ τῆς γαλιλαίας καὶ
ἐφανέρωσεν τὴν δόξαν αὐτοῦ καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ
μαθηταὶ αὐτοῦ ◦ μετὰ τοῦτο κατέβη εἰς καπερναοὺμ αὐτὸς 12
καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ μαθηταὶ
αὐτοῦ καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας ◦ καὶ ἐγγὺς ἦν 13
τὸ πάσχα τῶν ἰουδαίων καὶ ἀνέβη εἰς ἱεροσόλυμα ὁ ἰησοῦς ◦
καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ 14

**v.49** T*: συ ει ο βασιλευς, V: συ βασιλευς ει. **v.50** T*: ειδον, V: οτι ειδον. **v.50** T*: οψει, V: οψη. **v.51** T*: απ αρτι, V: ∅. **2. v.4** T*: λεγει, V: [και] λεγει. **v.6** T*: υδριαι λιθιναι εξ κειμεναι κατα τον καθαρισμον των ιουδαιων, V: λιθιναι υδριαι εξ κατα τον καθαρισμον των ιουδαιων κειμεναι. **v.8** T*: και, V: οι δε. **v.10** T*: τοτε, V: ∅. **v.11** T*: την, V: ∅. **v.12** T*: καπερναουμ, V: καφαρναουμ.

περιστερὰς καὶ τοὺς κερματιστὰς καθημένους ◦ καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ τά τε πρόβατα καὶ τοὺς βόας καὶ τῶν κολλυβιστῶν ἐξέχεεν τὸ κέρμα καὶ τὰς τραπέζας ἀνέὅτρεψεν ◦ καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν ἄρατε ταῦτα ἐντεῦθεν μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου ◦ ἐμνήσθησαν δὲ˚ οἱ μαθηταὶ αὐτοῦ ὅτι γεγραμμένον ἐστὶν ὁ ζῆλος τοῦ οἴκου σου καὖτέφαγέν με ◦ ἀπεκρίθησαν οὖν οἱ ἰουδαῖοι καὶ εἶπὸν αὐτῷ τί σημεῖον δεικνύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς ◦ ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶπεν αὐτοῖς λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν ◦ εἶπὸν οὖν οἱ ἰουδαῖοι τεσσᾰράκοντα καὶ ἓξ ἔτεσιν ᾠ̓κοδομήθη ὁ ναὸς οὗτος καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν ◦ ἐκεῖνος δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ ◦ ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν αὐ̔τοῖς καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ᾧ˚ εἶπεν ὁ ἰησοῦς ◦ ὡς δὲ ἦν ἐν̓ ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ◦ αὐτὸς δὲ ὁ˚ ἰησοῦς οὐκ ἐπίστευεν ἑᾰυτὸν αὐτοῖς διὰ τὸ αὐτὸν γινώσκειν πάντας ◦ καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου αὐτὸς γὰρ ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ ◦

**3** Ἦν δὲ ἄνθρωπος ἐκ τῶν φαρισαίων νικόδημος ὄνομα αὐτῷ ἄρχων τῶν ἰουδαίων ◦ οὗτος ἦλθεν πρὸς τὸν˚ ἰησοῦν νυκτὸς καὶ εἶπεν αὐτῷ ῥαββὶ οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος οὐδεὶς γὰρ ταῦτα˚ τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς ἐὰν μὴ ᾖ ὁ θεὸς μετ̓ αὐτοῦ ◦ ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶπεν αὐτῷ ἀμὴν ἀμὴν λέγω σοι ἐὰν μή τις γεννηθῇ ἄνωθεν οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ ◦

---

**v.15** T*: ανεστρεψεν, V: ανετρεψεν. **v.17** T*: δε, V: ∅. **v.17** TK: κατεφαγεν, MV: καταφαγεται. **v.18** T*: ειπον, V: ειπαν. **v.19** TK: ο, MV: ∅. **v.20** T*: ειπον, V: ειπαν. **v.20** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.20** T*: ωκοδομηθη, V: οικοδομηθη. **v.22** TK: αυτοις, MV: ∅. **v.22** T*: ω, V: ον. **v.23** TK: εν, MV: εν τοις. **v.24** T*: ο, V: ∅. **v.24** T*: εαυτον, V: αυτον. **3. v.2** TK: τον ιησουν, MV: αυτον. **v.2** T*: ταυτα τα σημεια δυναται, V: δυναται ταυτα τα σημεια. **v.3** T*: ο, V: ∅.

λέγει πρὸς αὐτὸν ὁ νικόδημος πῶς δύναται ἄνθρωπος γεν- 4
νηθῆναι γέρων ὢν μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς
αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι ⸰ ἀπεκρίθη ὁ˚ ἰ- 5
ησοῦς ἀμὴν ἀμὴν λέγω σοι ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος
καὶ πνεύματος οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ
θεοῦ ⸰ τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν καὶ τὸ 6
γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν ⸰ μὴ θαυμά- 7
σῃς ὅτι εἶπόν σοι δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν ⸰ τὸ πνεῦμα 8
ὅπου θέλει πνεῖ καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις ἀλλ᾽ οὐκ
οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει οὕτως ἐστὶν πᾶς ὁ γε-
γεννημένος ἐκ τοῦ πνεύματος ⸰ ἀπεκρίθη νικόδημος καὶ 9
εἶπεν αὐτῷ πῶς δύναται ταῦτα γενέσθαι ⸰ ἀπεκρίθη ὁ˚ ἰ- 10
ησοῦς καὶ εἶπεν αὐτῷ σὺ εἶ ὁ διδάσκαλος τοῦ ἰσραὴλ καὶ
ταῦτα οὐ γινώσκεις ⸰ ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λα- 11
λοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν καὶ τὴν μαρτυρίαν
ἡμῶν οὐ λαμβάνετε ⸰ εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πι- 12
στεύετε πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε ⸰ καὶ 13
οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ
καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ˚ ὢν ἐν τῷ οὐρανῷ ⸰ καὶ κα- 14
θὼς μωσῆς ὕψωσεν τὸν ὄφιν ἐν τῇ ἐρήμῳ οὕτως ὑψωθῆναι
δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου ⸰ ἵνα πᾶς ὁ πιστεύων εἰς˚ αὐτὸν 15
μὴ ἀπόληται ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον ⸰ οὕτως γὰρ ἠγάπησεν 16
ὁ θεὸς τὸν κόσμον ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔ-
δωκεν ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται ἀλλ᾽ ἔχῃ
ζωὴν αἰώνιον ⸰ οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς 17
τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον ἀλλ᾽ ἵνα σωθῇ ὁ κόσμος
δι᾽ αὐτοῦ ⸰ ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται ὁ δὲ μὴ πι- 18
στεύων ἤδη κέκριται ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ
μονογενοῦς υἱοῦ τοῦ θεοῦ ⸰ αὕτη δέ ἐστιν ἡ κρίσις ὅτι τὸ 19
φῶς ἐλήλυθεν εἰς τὸν κόσμον καὶ ἠγάπησαν οἱ ἄνθρωποι
μᾶλλον τὸ σκότος ἢ τὸ φῶς ἦν γὰρ πονηρὰ˚ αὐτῶν τὰ ἔργα ⸰

**v.5** TK: ο, MV: ∅. **v.10** TK: ο, MV: ∅. **v.13** T*: ο ων εν τω ουρανω, V: ∅. **v.14** T*: μωσης, V: μωυσης. **v.15** T*: εις αυτον μη απολητται αλλ, V: εν αυτω. **v.16** T*: αυτου, V: ∅. **v.17** T*: αυτου, V: ∅. **v.19** T*: πονηρα αυτων, V: αυτων πονηρα.

20 πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται
21 πρὸς τὸ φῶς ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ· ὁ δὲ ποιῶν
τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς ἵνα φανερωθῇ αὐτοῦ
22 τὰ ἔργα ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα· μετὰ ταῦτα ἦλθεν
ὁ ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν ἰουδαίαν γῆν καὶ
23 ἐκεῖ διέτριβεν μετ᾽ αὐτῶν καὶ ἐβάπτιζεν· ἦν δὲ καὶ ἰωάννης
βαπτίζων ἐν αἰνὼν ἐγγὺς τοῦ σαλεὶμ ὅτι ὕδατα πολλὰ ἦν
24 ἐκεῖ καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο· οὔπω γὰρ ἦν βε-
25 βλημένος εἰς τὴν φυλακὴν ὁ ἰωάννης· ἐγένετο οὖν ζήτησις
ἐκ τῶν μαθητῶν ἰωάννου μετὰ ἰουδαίων περὶ καθαρισμοῦ·
26 καὶ ἦλθον πρὸς τὸν ἰωάννην καὶ εἶπόν αὐτῷ ῥαββί ὃς ἦν
μετὰ σοῦ πέραν τοῦ ἰορδάνου ᾧ σὺ μεμαρτύρηκας ἴδε οὗ-
27 τος βαπτίζει καὶ πάντες ἔρχονται πρὸς αὐτόν· ἀπεκρίθη
ἰωάννης καὶ εἶπεν οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν
28 ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ· αὐτοὶ ὑμεῖς
μόι μαρτυρεῖτε ὅτι εἶπον ὀὐκ εἰμὶ ἐγὼ ὁ χριστὸς ἀλλ᾽ ὅτι
29 ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου· ὁ ἔχων τὴν νύμ-
φην νυμφίος ἐστὶν ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ
ἀκούων αὐτοῦ χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου
30 αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται· ἐκεῖνον δεῖ αὐξάνειν
31 ἐμὲ δὲ ἐλαττοῦσθαι· ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων
ἐστὶν ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστιν καὶ ἐκ τῆς γῆς λαλεῖ
32 ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστίν· κἀὶ ὃ
ἑώρακεν καὶ ἤκουσεν τοῦτο μαρτυρεῖ καὶ τὴν μαρτυρίαν
33 αὐτοῦ οὐδεὶς λαμβάνει· ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσ-
34 φράγισεν ὅτι ὁ θεὸς ἀληθής ἐστιν· ὃν γὰρ ἀπέστειλεν ὁ
θεὸς τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ οὐ γὰρ ἐκ μέτρου δίδωσιν
35 ὁ˚ θεὸς τὸ πνεῦμα· ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν καὶ πάντα
36 δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ· ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει
ζωὴν αἰώνιον ὁ δὲ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται ζωὴν ἀλλ᾽ ἡ
ὀργὴ τοῦ θεοῦ μένει ἐπ᾽ αὐτόν·

**v.23** T*: ιωαννης, V: ο ιωαννης. **v.23** TKV: σαλειμ, M: σαλημ. **v.25** TK: ιουδαιων, MV: ιουδαιου. **v.26** T*: ειπον, V: ειπαν. **v.27** T*: ουδεν, V: ουδε εν. **v.28** TKV: μοι, M: ∅. **v.28** T*: ουκ, V: [οτι] ουκ. **v.32** T*: και, V: ∅. **v.34** T*: ο θεος, V: ∅. **v.36** TKV: ζωην, M: την ζωην.

**4** Ὡς οὖν ἔγνω ὁ κύριος ὅτι ἤκουσαν οἱ φαρισαῖοι ὅτι ἰη-
σοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ ἰωάννης · καί- 2
τοιγε ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν ἀλλ᾽ οἱ μαθηταὶ αὐτοῦ ·
ἀφῆκεν τὴν ἰουδαίαν καὶ ἀπῆλθεν πάλιν εἰς τὴν γαλιλαίαν · 3
ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ τῆς σαμαρείας · ἔρχεται οὖν 4, 5
εἰς πόλιν τῆς σαμαρείας λεγομένην συχὰρ πλησίον τοῦ χω-
ρίου ὃ ἔδωκεν ἰακὼβ ἰὼσὴφ τῷ υἱῷ αὐτοῦ · ἦν δὲ ἐκεῖ πηγὴ 6
τοῦ ἰακὼβ ὁ οὖν ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐ-
καθέζετο οὕτως ἐπὶ τῇ πηγῇ ὥρα ἦν ὡσεὶ ἕκτη · ἔρχεται 7
γυνὴ ἐκ τῆς σαμαρείας ἀντλῆσαι ὕδωρ λέγει αὐτῇ ὁ ἰη-
σοῦς δός μοι πιεῖν · οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθει- 8
σαν εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσιν · λέγει οὖν αὐτῷ 9
ἡ γυνὴ ἡ σαμαρεῖτις πῶς σὺ ἰουδαῖος ὢν παρ᾽ ἐμοῦ πιεῖν
αἰτεῖς οὔσης˚ γυναικὸς σαμαρείτιδος οὐ γὰρ συγχρῶνται
ἰουδαῖοι σαμαρείταις · ἀπεκρίθη ἰησοῦς καὶ εἶπεν αὐτῇ εἰ 10
ᾔδεις τὴν δωρεὰν τοῦ θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι δός
μοι πιεῖν σὺ ἂν ᾔτησας αὐτὸν καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν ·
λέγει αὐτῷ ἡ γυνὴ κύριε οὔτε ἄντλημα ἔχεις καὶ τὸ φρέαρ 11
ἐστὶν βαθὺ πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν · μὴ σὺ μείζων 12
εἶ τοῦ πατρὸς ἡμῶν ἰακὼβ ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ καὶ
αὐτὸς ἐξ αὐτοῦ ἔπιεν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα
αὐτοῦ · ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ εἶπεν αὐτῇ πᾶς ὁ πίνων 13
ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν · ὃς δ᾽ ἂν πίῃ ἐκ τοῦ 14
ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα
ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ πηγὴ ὕδα-
τος ἁλλομένου εἰς ζωὴν αἰώνιον · λέγει πρὸς αὐτὸν ἡ γυνὴ 15
κύριε δός μοι τοῦτο τὸ ὕδωρ ἵνα μὴ διψῶ μηδὲ ἔρχῶμαι
ἐνθάδε ἀντλεῖν · λέγει αὐτῇ ὁ˚ ἰησοῦς ὕπαγε φώνησον τὸν 16
ἄνδρα σοῦ καὶ ἐλθὲ ἐνθάδε · ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν˙ 17

---

**4. v.1** T*: κυριος, V: ιησους. **v.3** TKV: παλιν, M: ∅. **v.5** T*: ιωσηφ, V: [τω] ιωσηφ. **v.6** T*: ωσει, V: ως. **v.7** T*: πιειν, V: πειν. **v.9** T*: σαμαρειτις, V: σαμαριτις. **v.9** T*: πιειν, V: πειν. **v.9** T*: ουσης γυναικος σαμαρειτιδος, V: γυναικος σαμαριτιδος ουσης. **v.9** T*: σαμαρειταις, V: σαμαριταις. **v.10** T*: πιειν, V: πειν. **v.13** TK: ο, MV: ∅. **v.14** T*: διψηση, V: διψησει. **v.15** TK: ερχωμαι, M: ερχομαι, V: διερχωμαι. **v.16** T*: ο ιησους, V: ∅. **v.17** T*: ειπεν, V: ειπεν αυτω.

οὐκ ἔχω ἄνδρα λέγει αὐτῇ ὁ ἰησοῦς καλῶς εἶπας ὅτι ἄν-
18 δρα οὐκ ἔχω ◦ πέντε γὰρ ἄνδρας ἔσχες καὶ νῦν ὃν ἔχεις
19 οὐκ ἔστιν σου ἀνὴρ τοῦτο ἀληθὲς εἴρηκας ◦ λέγει αὐτῷ ἡ
20 γυνὴ κύριε θεωρῶ ὅτι προφήτης εἶ σύ ◦ οἱ πατέρες ἡμῶν
ἐν τούτῳ˚ τῷ ὄρει προσεκύνησαν καὶ ὑμεῖς λέγετε ὅτι ἐν
21 ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεῖ˚ προσκυνεῖν ◦ λέγει
αὐτῇ ὁ ἰησοῦς γύναι˚ πίστευσόν μοι ὅτι ἔρχεται ὥρα ὅτε
οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν ἱεροσολύμοις προσκυνήσετε
22 τῷ πατρί ◦ ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε ἡμεῖς προσκυ-
νοῦμεν ὃ οἴδαμεν ὅτι ἡ σωτηρία ἐκ τῶν ἰουδαίων ἐστίν ◦
23 ἀλλ᾽ ἔρχεται ὥρα καὶ νῦν ἐστιν ὅτε οἱ ἀληθινοὶ προσκυνη-
ταὶ προσκυνήσουσιν τ�ῳ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ καὶ
γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν ◦
24 πνεῦμα ὁ θεὸς καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύ-
25 ματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν ◦ λέγει αὐτῷ ἡ γυνὴ οἶδα
ὅτι μεσσίας ἔρχεται ὁ λεγόμενος χριστὸς ὅταν ἔλθῃ ἐκεῖ-
26 νος ἀναγγελεῖ ἡμῖν ἅπάντα ◦ λέγει αὐτῇ ὁ ἰησοῦς ἐγώ εἰμι
27 ὁ λαλῶν σοι ◦ καὶ ἐπὶ τούτῳ ἦλθὸν οἱ μαθηταὶ αὐτοῦ καὶ
ἐθαύμαὸαν ὅτι μετὰ γυναικὸς ἐλάλει οὐδεὶς μέντοι εἶπεν
28 τί ζητεῖς ἢ τί λαλεῖς μετ᾽ αὐτῆς ◦ ἀφῆκεν οὖν τὴν ὑδρίαν
αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν καὶ λέγει τοῖς ἀν-
29 θρώποις ◦ δεῦτε ἴδετε ἄνθρωπον ὃς εἶπέν μοι πάντα ὅσα
30 ἐποίησα μήτι οὗτός ἐστιν ὁ χριστός ◦ ἐξῆλθον ὦὖν ἐκ τῆς
31 πόλεως καὶ ἤρχοντο πρὸς αὐτόν ◦ ἐν δὲ˚ τῷ μεταξὺ ἠρώτων
32 αὐτὸν οἱ μαθηταὶ λέγοντες ῥαββὶ φάγε ◦ ὁ δὲ εἶπεν αὐτοῖς
33 ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε ◦ ἔλεγον οὖν οἱ
34 μαθηταὶ πρὸς ἀλλήλους μήτις ἤνεγκεν αὐτῷ φαγεῖν ◦ λέ-
γει αὐτοῖς ὁ ἰησοῦς ἐμὸν βρῶμά ἐστιν ἵνα πὸιῶ τὸ θέλημα
35 τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον ◦ οὐχ ὑ-

---

**v.20** TK: τουτω τω ορει, MV: τω ορει τουτω. **v.20** T*: δει προσκυνειν, V: προσκυνειν δει. **v.21** T*: γυναι πιστευσον μοι, V: πιστευε μοι γυναι. **v.23** T*: αλλ, V: αλλα. **v.25** TKV: μεσσιας, M: μεσιας. **v.25** T*: παντα, V: απαντα. **v.27** T*: ηλθον, V: ηλθαν. **v.27** T*: εθαυμασαν, V: εθαυμαζον. **v.30** TK: ουν, MV: ∅. **v.31** T*: δε, V: ∅. **v.33** TK: μητις, MV: μη τις. **v.34** T*: ποιω, V: ποιησω.

μεῖς λέγετε ὅτι ἔτι τετράμηνόν ἐστιν καὶ ὁ θερισμὸς ἔρχεται
ἰδοὺ λέγω ὑμῖν ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσα-
σθε τὰς χώρας ὅτι λευκαί εἰσιν πρὸς θερισμὸν ἤδη· κἀὶ 36
ὁ θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν
αἰώνιον ἵνα κἀὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων· ἐν 37
γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ᾽ ἀληθινὸς ὅτι ἄλλος ἐστὶν ὁ σπεί-
ρων καὶ ἄλλος ὁ θερίζων· ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ 38
οὐχ ὑμεῖς κεκοπιάκατε ἄλλοι κεκοπιάκασιν καὶ ὑμεῖς εἰς
τὸν κόπον αὐτῶν εἰσεληλύθατε· ἐκ δὲ τῆς πόλεως ἐκείνης 39
πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν σαμαρἐιτῶν διὰ τὸν λό-
γον τῆς γυναικὸς μαρτυρούσης ὅτι εἶπέν μοι πάντα ὅσα
ἐποίησα· ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ σαμαρἐῖται ἠρώτων 40
αὐτὸν μεῖναι παρ᾽ αὐτοῖς καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας·
καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ· τῇ 41, 42
τε γυναικὶ ἔλεγον ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύ-
ομεν αὐτοὶ γὰρ ἀκηκόαμεν καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν
ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ᾽ χριστός· μετὰ δὲ τὰς δύο 43
ἡμέρας ἐξῆλθεν ἐκεῖθεν καὶ᾽ ἀπῆλθεν εἰς τὴν γαλιλαίαν·
αὐτὸς γὰρ ὁ᾽ ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ 44
πατρίδι τιμὴν οὐκ ἔχει· ὅτε οὖν ἦλθεν εἰς τὴν γαλιλαίαν 45
ἐδέξαντο αὐτὸν οἱ γαλιλαῖοι πάντα ἑωρακότες ἃ᾽ ἐποίησεν
ἐν ἱεροσολύμοις ἐν τῇ ἑορτῇ καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν
ἑορτήν· ἦλθεν οὖν ὁ᾽ ἰησοῦς πάλιν εἰς τὴν κανᾶ τῆς γα- 46
λιλαίας ὅπου ἐποίησεν τὸ ὕδωρ οἶνον καὶ ἦν τις βασιλικὸς
οὗ ὁ υἱὸς ἠσθένει ἐν καπερναούμ· οὗτος ἀκούσας ὅτι ἰη- 47
σοῦς ἥκει ἐκ τῆς ἰουδαίας εἰς τὴν γαλιλαίαν ἀπῆλθεν πρὸς
αὐτὸν καὶ ἠρώτα αὐτὸν ἵνα καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν
υἱὸν ἤμελλεν γὰρ ἀποθνήσκειν· εἶπεν οὖν ὁ ἰησοῦς πρὸς 48
αὐτὸν ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε οὐ μὴ πιστεύσητε·
λέγει πρὸς αὐτὸν ὁ βασιλικὸς κύριε κατάβηθι πρὶν ἀποθα- 49

**v.35** ΤΚ: τετραμηνον, ΜV: τετραμηνος. **v.36** T*: και, V: ∅. **v.37** ΤΜ: ο, ΚV: ∅. **v.39** T*: σαμαρειτων, V: σαμαριτων. **v.39** T*: οσα, V: α. **v.40** T*: σαμαρειται, V: σαμαριται. **v.42** T*: ο χριστος, V: ∅. **v.43** T*: και απηλθεν, V: ∅. **v.44** T*: ο, V: ∅. **v.45** T*: α, V: οσα. **v.46** ΤΚ: ο ιησους παλιν, M: παλιν ο ιησους, V: παλιν. **v.46** T*: καπερναουμ, V: καφαρναουμ. **v.47** T*: αυτον, V: ∅. **v.47** ΤΚV: ημελλεν, M: εμελλεν.

50 νεῖν τὸ παιδίον μου ◦ λέγει αὐτῷ ὁ ἰησοῦς πορεύου ὁ υἱός
σου ζῇ κἀὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ˚ εἶπεν αὐ-
51 τῷ ἰἡσοῦς καὶ ἐπορεύετο ◦ ἤδη δὲ αὐτοῦ καταβαίνοντος οἱ
δοῦλοι αὐτοῦ ἀπήντησαν˚ αὐτῷ καὶ ἀπήγγειλαν λέγοντες
52 ὅτι ὁ παῖς ὅου ζῇ ◦ ἐπύθετο οὖν παρ˚˚ αὐτῶν τὴν ὥραν ἐν
ᾗ κομψότερον ἔσχεν καὶ˚ εἶπον αὐτῷ ὅτι χθὲς ὥραν ἑβδό-
53 μην ἀφῆκεν αὐτὸν ὁ πυρετός ◦ ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν
ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ ὁ ἰησοῦς ὅτι ὁ υἱός σου ζῇ
54 καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη ◦ τοῦτό πάλιν
δεύτερον σημεῖον ἐποίησεν ὁ ἰησοῦς ἐλθὼν ἐκ τῆς ἰουδαίας
εἰς τὴν γαλιλαίαν ◦

**5** Μετὰ ταῦτα ἦν ἑορτὴ τῶν ἰουδαίων καὶ ἀνέβη ὁ˚ ἰησοῦς
2 εἰς ἱεροσόλυμα ◦ ἔστιν δὲ ἐν τοῖς ἱεροσολύμοις ἐπὶ τῇ προ-
βατικῇ κολυμβήθρα ἡ ἐπιλεγομένη ἑβραϊστὶ βηθἑσδὰ πέντε
3 στοὰς ἔχουσα ◦ ἐν ταύταις κατέκειτο πλῆθος ᾗολὺ τῶν ἀ-
σθενούντων τυφλῶν χωλῶν ξηρῶν ἐκδεχομένων˚ τὴν τοῦ
4 ὕδατος κίνησιν ◦ ἄγγελος˚ γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν
τῇ κολυμβήθρᾳ καὶ ἐτάρασσεν τὸ ὕδωρ ὁ οὖν πρῶτος ἐμβὰς
μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο ᾧ δήποτε κα-
5 τείχετο νοσήματι ◦ ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριακονταὁκτὼ
6 ἔτη ἔχων ἐν τῇ ἀσθενἐίᾳ ◦ τοῦτον ἰδὼν ὁ ἰησοῦς κατακείμε-
νον καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει λέγει αὐτῷ θέλεις
7 ὑγιὴς γενέσθαι ◦ ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν κύριε ἄνθρω-
πον οὐκ ἔχω ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ βἀλλῃ με εἰς τὴν
κολυμβήθραν ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ ἄλλος πρὸ ἐμοῦ κατα-
8 βαίνει ◦ λέγει αὐτῷ ὁ ἰησοῦς ἔγειρἀι ἆρον τὸν κράββἀτόν
9 σου καὶ περιπάτει ◦ καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρω-

---

**v.50** T*: και, V: ∅. **v.50** T*: ω, V: ον. **v.50** TK: ιησους, MV: ο ιησους. **v.51** T*: απηντησαν αυτω και απηγγειλαν, V: υπηντησαν αυτω. **v.51** T*: σου, V: αυτου. **v.52** T*: παρ αυτων την ωραν, V: την ωραν παρ αυτων. **v.52** T*: και ειπον, V: ειπαν ουν. **v.52** T*: χθες, V: εχθες. **v.53** T*: οτι, V: ∅. **v.54** T*: τουτο, V: τουτο [δε]. **5. v.1** TKV: εορτη, M: η εορτη. **v.1** T*: ο, V: ∅. **v.2** T*: βηθεσδα, V: βηθζαθα. **v.3** T*: πολυ, V: ∅. **v.3** T*: εκδεχομενων την του υδατος κινησιν, V: ∅. **v.4** T*: αγγελος ... νοσηματι, V: ∅. **v.5** T: τριακονταοκτω, KM: τριακοντα και οκτω, V: τριακοντα [και] οκτω. **v.5** T*: ασθενεια, V: ασθενεια αυτου. **v.7** TK: βαλλη, MV: βαλη. **v.8** T*: εγειραι, V: εγειρε. **v.8** T*: κραββατον, V: κραβαττον.

πος καὶ ἦρεν τὸν κράββατον αὐτοῦ καὶ περιεπάτει ἦν δὲ
σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ⸰ ἔλεγον οὖν οἱ ἰουδαῖοι τῷ 10
τεθεραπευμένῳ σάββατόν ἐστιν οὐκ ἔξεστίν σοι ἆραι τὸν
κράββατον ⸰ ἀπεκρίθη αὐτοῖς ὁ ποιήσας με ὑγιῆ ἐκεῖνός 11
μοι εἶπεν ἆρον τὸν κράββατόν σου καὶ περιπάτει ⸰ ἠρώτη- 12
σαν οὖν αὐτὸν τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι ἆρον τὸν
κράββατόν σου καὶ περιπάτει ⸰ ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐ- 13
στιν ὁ γὰρ ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ ⸰ μετὰ 14
ταῦτα εὑρίσκει αὐτὸν ὁ ἰησοῦς ἐν τῷ ἱερῷ καὶ εἶπεν αὐτῷ
ἴδε ὑγιὴς γέγονας μηκέτι ἁμάρτανε ἵνα μὴ χεῖρόν τί σοι
γένηται ⸰ ἀπῆλθεν ὁ ἄνθρωπος καὶ ἀνήγγειλεν τοῖς ἰουδαί- 15
οις ὅτι ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ ⸰ καὶ διὰ τοῦτο 16
ἐδίωκον τὸν ἰησοῦν οἱ ἰουδαῖοι καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖ-
ναι ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ ⸰ ὁ δὲ ἰησοῦς ἀπεκρίνατο 17
αὐτοῖς ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι ⸰
διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ ἰουδαῖοι ἀποκτεῖναι 18
ὅτι οὐ μόνον ἔλυεν τὸ σάββατον ἀλλὰ καὶ πατέρα ἴδιον ἔλε-
γεν τὸν θεὸν ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ ⸰ ἀπεκρίνατο οὖν ὁ 19
ἰησοῦς καὶ εἶπεν αὐτοῖς ἀμὴν ἀμὴν λέγω ὑμῖν οὐ δύναται
ὁ υἱὸς ποιεῖν ἀφ᾽ ἑαυτοῦ οὐδὲν ἐὰν μή τι βλέπῃ τὸν πατέρα
ποιοῦντα ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ ταῦτα καὶ ὁ υἱὸς ὁμοίως
ποιεῖ ⸰ ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν καὶ πάντα δείκνυσιν 20
αὐτῷ ἃ αὐτὸς ποιεῖ καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα
ἵνα ὑμεῖς θαυμάζητε ⸰ ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νε- 21
κροὺς καὶ ζωοποιεῖ οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ ⸰
οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα ἀλλὰ τὴν κρίσιν πᾶσαν 22
δέδωκεν τῷ υἱῷ ⸰ ἵνα πάντες τιμῶσιν τὸν υἱὸν καθὼς τιμῶ- 23
σιν τὸν πατέρα ὁ μὴ τιμῶν τὸν υἱὸν οὐ τιμᾷ τὸν πατέρα τὸν
πέμψαντα αὐτόν ⸰ ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον 24
μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώ-

**v.9** T*: κραββατον, V: κραβαττον. **v.10** T*: ουκ, V: και ουκ. **v.10** T*: κραββατον, V: κραβαττον σου. **v.11** T*: απεκριθη, V: ο δε απεκριθη. **v.11** T*: κραββατον, V: κραβαττον. **v.12** T*: ουν, V: ∅. **v.12** T*: τον κραββατον σου, V: ∅. **v.14** T*: τι σοι, V: σοι τι. **v.16** T*: τον ιησουν οι ιουδαιοι και εζητουν αυτον αποκτειναι, V: οι ιουδαιοι τον ιησουν. **v.19** T*: ειπεν, V: ελεγεν.

νιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ
25 θανάτου εἰς τὴν ζωήν. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται
ὥρα καὶ νῦν ἐστιν ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ
26 υἱοῦ τοῦ θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται. ὥσπερ γὰρ ὁ
πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ οὕτως ἔδωκεν καὶ τῷ υἱῷ ζω-
27 ὴν ἔχειν ἐν ἑαυτῷ. καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ κἀι κρίσιν
28 ποιεῖν ὅτι υἱὸς ἀνθρώπου ἐστίν. μὴ θαυμάζετε τοῦτο ὅτι
ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται
29 τῆς φωνῆς αὐτοῦ. καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιή-
σαντες εἰς ἀνάστασιν ζωῆς οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς
30 ἀνάστασιν κρίσεως. οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐμαυτοῦ
οὐδὲν καθὼς ἀκούω κρίνω καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐ-
στὶν ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ
31 πέμψαντός με πατρός. ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ
32 ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. ἄλλος ἐστὶν ὁ μαρ-
τυρῶν περὶ ἐμοῦ καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία
33 ἣν μαρτυρεῖ περὶ ἐμοῦ. ὑμεῖς ἀπεστάλκατε πρὸς ἰωάννην
34 καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ. ἐγὼ δὲ οὐ παρὰ ἀνθρώ-
που τὴν μαρτυρίαν λαμβάνω ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς
35 σωθῆτε. ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων ὑ-
μεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ
36 αὐτοῦ. ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω τοῦ ἰωάννου τὰ
γὰρ ἔργα ἃ ἔδωκεν μοι ὁ πατὴρ ἵνα τελειώσω αὐτὰ αὐτὰ
τὰ ἔργα ἃ ἐγὼ ποιῶ μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με
37 ἀπέσταλκεν. καὶ ὁ πέμψας με πατὴρ αὐτὸς μεμαρτύρη-
κεν περὶ ἐμοῦ οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε οὔτε
38 εἶδος αὐτοῦ ἑωράκατε. καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μέ-
νοντα ἐν ὑμῖν ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος τούτῳ ὑμεῖς οὐ
39 πιστεύετε. ἐρεῦνᾶτε τὰς γραφὰς ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐ-

**v.25** T*: ακουσονται, V: ακουσουσιν. **v.25** T*: ζησονται, V: ζησουσιν. **v.26** T*: εδωκεν και τω υιω, V: και τω υιω εδωκεν. **v.27** T*: και, V: ∅. **v.28** T*: ακουσονται, V: ακουσουσιν. **v.30** T*: πατρος, V: ∅. **v.35** TK: αγαλλιασθηναι, MV: αγαλλιαθηναι. **v.36** T*: εδωκεν, V: δεδωκεν. **v.36** T*: εγω, V: ∅. **v.37** T*: αυτος, V: εκεινος. **v.37** T*: ακηκοατε πωποτε, V: πωποτε ακηκοατε. **v.38** T*: μενοντα εν υμιν, V: εν υμιν μενοντα. **v.39** T*: ερευνατε, V: εραυνατε.

ταῖς ζωὴν αἰώνιον ἔχειν καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι
περὶ ἐμοῦ ⸰ καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζωὴν ἔχητε ⸰ 40
δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω ⸰ ἀλλ᾽ ἔγνωκα ὑμᾶς ὅτι 41, 42
τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς ⸰ ἐγὼ ἐλήλυθα 43
ἐν τῷ ὀνόματι τοῦ πατρός μου καὶ οὐ λαμβάνετέ με ἐὰν
ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ ἐκεῖνον λήψεσθε ⸰ πῶς 44
δύνασθε ὑμεῖς πιστεῦσαι δόξαν παρὰ ἀλλήλων λαμβάνον-
τες καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε ⸰ μὴ 45
δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα ἔστιν
ὁ κατηγορῶν ὑμῶν μωσῆς εἰς ὃν ὑμεῖς ἠλπίκατε ⸰ εἰ γὰρ 46
ἐπιστεύετε μωσῇ ἐπιστεύετε ἂν ἐμοὶ περὶ γὰρ ἐμοῦ ἐκεῖνος
ἔγραψεν ⸰ εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε πῶς 47
τοῖς ἐμοῖς ῥήμασιν πιστεύσετε ⸰

Μετὰ ταῦτα ἀπῆλθεν ὁ ἰησοῦς πέραν τῆς θαλάσσης τῆς **6**
γαλιλαίας τῆς τιβεριάδος ⸰ καὶ᾽ ἠκολούθει αὐτῷ ὄχλος πο- 2
λὺς ὅτι ἐώρων᾽ αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούν-
των ⸰ ἀνῆλθεν δὲ εἰς τὸ ὄρος ὁ᾽ ἰησοῦς καὶ ἐκεῖ ἐκάθητο 3
μετὰ τῶν μαθητῶν αὐτοῦ ⸰ ἦν δὲ ἐγγὺς τὸ πάσχα ἡ ἑορ- 4
τὴ τῶν ἰουδαίων ⸰ ἐπάρας οὖν ὁ᾽ ἰησοῦς τοὺς ὀφθαλμοὺς 5
καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν λέγει
πρὸς ἫΝ φίλιππον πόθεν ἀγοράσὁμεν ἄρτους ἵνα φάγω-
σιν οὗτοι ⸰ τοῦτο δὲ ἔλεγεν πειράζων αὐτὸν αὐτὸς γὰρ ᾔ- 6
δει τί ἔμελλεν ποιεῖν ⸰ ἀπεκρίθη αὐτῷ φίλιππος διακοσίων 7
δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς ἵνα ἕκαστος αὐΤῶν
βραχύ τι λάβῃ ⸰ λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ ἀν- 8
δρέας ὁ ἀδελφὸς σίμωνος πέτρου ⸰ ἔστιν παιδάριον ἓν᾽ ὧδε 9
ὃ ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο ὀψάρια ἀλλὰ ταῦτα
τί ἐστιν εἰς τοσούτους ⸰ εἶπεν δὲ᾽ ὁ ἰησοῦς ποιήσατε τοὺς 10
ἀνθρώπους ἀναπεσεῖν ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ ἀ-

**v.42** T*: αλλ, V: αλλα. **v.43** T*: ληψεσθε, V: λημψεσθε. **v.45** T*: μωσης, V: μωυσης. **v.46** T*: μωση, V: μωυσει. **6. v.2** T*: και ηκολουθει, V: ηκολουθει δε. **v.2** T*: εωρων αυτου, V: εθεωρουν. **v.3** T*: ο, V: ∅. **v.5** T*: ο ιησους τους οφθαλμους, V: τους οφθαλμους ο ιησους. **v.5** T*: τον, V: ∅. **v.5** T*: αγορασομεν, V: αγορασωμεν. **v.7** T*: φιλιππος, V: [ο] φιλιππος. **v.7** T*: αυτων, V: ∅. **v.9** T*: εν ωδε ο, V: ωδε ος. **v.10** T*: δε, V: ∅.

νέπεσὸν οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι ·
11 ἔλαβεν δὲ᾽ τοὺς ἄρτους ὁ ἰησοῦς καὶ εὐχαριστήσας διέδω-
κεν τοῖς᾽ μαθηταῖς οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις ὁμοίως
12 καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον · ὡς δὲ ἐνεπλήσθησαν
λέγει τοῖς μαθηταῖς αὐτοῦ συναγάγετε τὰ περισσεύσαντα
13 κλάσματα ἵνα μή τι ἀπόληται · συνήγαγον οὖν καὶ ἐγέμι-
σαν δώδεκα κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν
14 κριθίνων ἃ ἐπερίσσευσεν̓ τοῖς βεβρωκόσιν · οἱ οὖν ἄνθρω-
ποι ἰδόντες ὃ ἐποίησεν σημεῖον ὁ᾽ ἰησοῦς ἔλεγον ὅτι οὗτός
15 ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν κόσμον · ἰ-
ησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐ-
τὸν ἵνα ποιήσωσιν αὐτὸν᾽ βασιλέα ἀνεχώρησεν πάλιν εἰς τὸ
16 ὄρος αὐτὸς μόνος · ὡς δὲ ὀψία ἐγένετο κατέβησαν οἱ μα-
17 θηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν · καὶ ἐμβάντες εἰς τὸ πλοῖον
ἤρχοντο πέραν τῆς θαλάσσης εἰς καπερναοὺμ καὶ σκοτία
18 ἤδη ἐγεγόνει καὶ οὐκ̓ ἐληλύθει πρὸς αὐτοὺς ὁ ἰησοῦς · ἥ
19 τε θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγείρετο · ἐληλα-
κότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα θεωροῦσιν
τὸν ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης καὶ ἐγγὺς τοῦ
20 πλοίου γινόμενον καὶ ἐφοβήθησαν · ὁ δὲ λέγει αὐτοῖς ἐγώ
21 εἰμι μὴ φοβεῖσθε · ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον
καὶ εὐθέως τὸ᾽ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον ·
22 τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης ἰ-
δὼν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ εἰ μὴ ἓν ἐκεῖνο᾽ εἰς
ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ καὶ ὅτι οὐ συνεισῆλθεν τοῖς
μαθηταῖς αὐτοῦ ὁ ἰησοῦς εἰς τὸ πλοιάριον ἀλλὰ μόνοι οἱ
23 μαθηταὶ αὐτοῦ ἀπῆλθον · ἄλλα δὲ᾽ ἦλθεν πλοιάρια ἐκ τι-
βεριάδος ἐγγὺς τοῦ τόπου ὅπου ἔφαγον τὸν ἄρτον εὐχαρι-

---

**v.10** T*: ανεπεσον, V: ανεπεσαν. **v.10** T*: ωσει, V: ως. **v.11** T*: δε, V: ουν. **v.11** T*: τοις μαθηταις οι δε μαθηται, V: ∅. **v.13** T*: επερισσευσεν, V: επερισσευσαν. **v.14** T*: ο ιησους, V: ∅. **v.15** T*: αυτον, V: ∅. **v.15** TKV: παλιν, M: ∅. **v.17** T*: το, V: ∅. **v.17** T*: καπερναουμ, V: καφαρναουμ. **v.17** T*: ουκ, V: ουπω. **v.18** T*: διηγειρετο, V: διεγειρετο. **v.19** TK: εικοσιπεντε, MV: εικοσι πεντε. **v.21** T*: το πλοιον εγενετο, V: εγενετο το πλοιον. **v.22** T*: ιδων, V: ειδον. **v.22** T*: εκεινο εις ο ενεβησαν οι μαθηται αυτου, V: ∅. **v.22** T*: πλοιαριον, V: πλοιον. **v.23** T*: δε, V: ∅. **v.23** T*: πλοιαρια, V: πλοια[ρια].

στήσαντος τοῦ κυρίου ⸰ ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι ἰησοῦς 24
οὐκ ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ ἐνέβησαν κἀὶ αὐτοὶ
εἰς τὰ πλοῖἁ καὶ ἦλθον εἰς καπερναοὺμ ζητοῦντες τὸν ἰη-
σοῦν ⸰ καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης εἶπον αὐτῷ 25
ῥαββὶ πότε ὧδε γέγονας ⸰ ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς καὶ εἶ- 26
πεν ἀμὴν ἀμὴν λέγω ὑμῖν ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα
ἀλλ᾽ ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε ⸰ ἐργάζε- 27
σθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην ἀλλὰ τὴν βρῶσιν τὴν
μένουσαν εἰς ζωὴν αἰώνιον ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου ὑμῖν
δώσει τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός ⸰ εἶπον οὖν 28
πρὸς αὐτὸν τί ποιοῦμεν ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ ⸰
ἀπεκρίθη ὁ᷾ ἰησοῦς καὶ εἶπεν αὐτοῖς τοῦτό ἐστιν τὸ ἔργον 29
τοῦ θεοῦ ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος ⸰ εἶπον 30
οὖν αὐτῷ τί οὖν ποιεῖς σὺ σημεῖον ἵνα ἴδωμεν καὶ πιστεύ-
σωμέν σοι τί ἐργάζῃ ⸰ οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον 31
ἐν τῇ ἐρήμῳ καθώς ἐστιν γεγραμμένον ἄρτον ἐκ τοῦ οὐ-
ρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν ⸰ εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς 32
ἀμὴν ἀμὴν λέγω ὑμῖν οὐ μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον
ἐκ τοῦ οὐρανοῦ ἀλλ᾽ ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον
ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν ⸰ ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν 33
ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ ⸰
εἶπον οὖν πρὸς αὐτὸν κύριε πάντοτε δὸς ἡμῖν τὸν ἄρτον 34
τοῦτον ⸰ εἶπεν δὲ᷾ αὐτοῖς ὁ ἰησοῦς ἐγώ εἰμι ὁ ἄρτος τῆς 35
ζωῆς ὁ ἐρχόμενος πρός μὲ οὐ μὴ πεινάσῃ καὶ ὁ πιστεύων
εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε ⸰ ἀλλ᾽ εἶπον ὑμῖν ὅτι καὶ ἑ- 36
ωράκατέ με καὶ οὐ πιστεύετε ⸰ πᾶν ὃ δίδωσίν μοι ὁ πατὴρ 37
πρὸς ἐμὲ ἥξει καὶ τὸν ἐρχόμενον πρός μὲ οὐ μὴ ἐκβάλω
ἔξω ⸰ ὅτι καταβέβηκα ἐκ̀ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέ- 38
λημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με ⸰ τοῦτο 39
δέ ἐστιν τὸ θέλημα τοῦ πέμψαντός με πατρὸς ἵνα πᾶν ὃ δέ-

---

**v.24** ΤΚ: και, ΜV: ∅. **v.24** T*: πλοια, V: πλοιαρια. **v.24** T*: καπερναουμ, V: καφαρναουμ. **v.28** T: ποιουμεν, ΚΜV: ποιωμεν. **v.29** ΤΚ: ο, M: ∅, V: [ο]. **v.29** T*: πιστευσητε, V: πιστευητε. **v.32** T*: μωσης, V: μωυσης. **v.35** T*: δε, V: ∅. **v.35** T*: με, V: εμε. **v.35** T*: διψηση, V: διψησει. **v.37** T*: με, V: εμε. **v.38** T*: εκ, V: απο. **v.39** T*: πατρος, V: ∅.

δωκέν μοι μὴ ἀπολέσω ἐξ αὐτοῦ ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ
40 ἐσχάτῃ ἡμέρᾳ ◦ τοῦτο δέ˚ ἐστιν τὸ θέλημα τοῦ πέμψαντός˚
με ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ
ζωὴν αἰώνιον καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ ◦
41 ἐγόγγυζον οὖν οἱ ἰουδαῖοι περὶ αὐτοῦ ὅτι εἶπεν ἐγώ εἰμι ὁ
42 ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ ◦ καὶ ἔλεγον οὐχ οὗτός
ἐστιν ἰησοῦς ὁ υἱὸς ἰωσὴφ οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα
καὶ τὴν μητέρα πῶς ὧν λέγει οὗτος ὅτι ἐκ τοῦ οὐρανοῦ
43 καταβέβηκα ◦ ἀπεκρίθη οὖν˚ ὁ ἰησοῦς καὶ εἶπεν αὐτοῖς μὴ
44 γογγύζετε μετ᾽ ἀλλήλων ◦ οὐδεὶς δύναται ἐλθεῖν πρός με
ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτὸν καὶ˚ ἐγὼ ἀ-
45 ναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ ◦ ἔστιν γεγραμμένον ἐν
τοῖς προφήταις καὶ ἔσονται πάντες διδακτοὶ τοῦ θεοῦ πᾶς
ὁ ἀκούσας παρὰ τοῦ πατρὸς καὶ μαθὼν ἔρχεται πρός
46 με ◦ οὐχ ὅτι τὸν πατέρα τις˚ ἑώρακεν εἰ μὴ ὁ ὢν παρὰ τοῦ
47 θεοῦ οὗτος ἑώρακεν τὸν πατέρα ◦ ἀμὴν ἀμὴν λέγω ὑμῖν
48 ὁ πιστεύων εἰς˚ ἐμὲ ἔχει ζωὴν αἰώνιον ◦ ἐγώ εἰμι ὁ ἄρτος
49 τῆς ζωῆς ◦ οἱ πατέρες ὑμῶν ἔφαγον τὸ˚ μάννα ἐν τῇ ἐρή-
50 μῳ καὶ ἀπέθανον ◦ οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ
51 καταβαίνων ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ ◦ ἐγώ
εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ἐάν τις φά-
γῃ ἐκ τούτου τοῦ ἄρτου ζήσεται εἰς τὸν αἰῶνα καὶ ὁ ἄρτος
δὲ ὃν ἐγὼ δώσω ἡ σάρξ μού ἐστιν ἣν˚ ἐγὼ δώσω ὑπὲρ τῆς
52 τοῦ κόσμου ζωῆς ◦ ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ ἰου-
δαῖοι λέγοντες πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκά
53 φαγεῖν ◦ εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς ἀμὴν ἀμὴν λέγω ὑμῖν
ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πί-
54 ητε αὐτοῦ τὸ αἷμα οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς ◦ ὁ τρώγων

---

**v.39** ΤΚV: αυτο, M: αυτον. **v.39** ΤΚ: εν, M: ∅, V: [εν]. **v.40** T*: δε, V: γαρ. **v.40** T*: πεμψαντος με, V: πατρος μου. **v.40** T*: τη, V: [εν] τη. **v.42** T*: ουν, V: νυν. **v.42** T*: ουτος, V: ∅. **v.43** T*: ουν ο, V: ∅. **v.44** T*: και εγω, V: καγω. **v.44** ΤΚ: τη, MV: εν τη. **v.45** ΤΚ: του, MV: ∅. **v.45** T*: ουν, V: ∅. **v.45** ΤΚV: ακουσας, M: ακουων. **v.45** T*: με, V: εμε. **v.46** T*: τις εωρακεν, V: εωρακεν τις. **v.47** T*: εις εμε, V: ∅. **v.49** T*: το μαννα εν τη ερημω, V: εν τη ερημω το μαννα. **v.51** T*: ζησεται, V: ζησει. **v.51** T*: ην εγω δωσω, V: ∅. **v.52** T*: σαρκα, V: σαρκα [αυτου].

μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον
καὶ˚ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ ⸰ ἡ γὰρ σάρξ 55
μου ἀληθῶς ἐστιν βρῶσις καὶ τὸ αἷμά μου ἀληθῶς ἐστιν
πόσις ⸰ ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα 56
ἐν ἐμοὶ μένει κἀγὼ ἐν αὐτῷ ⸰ καθὼς ἀπέστειλέν με ὁ ζῶν 57
πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα καὶ ὁ τρώγων με κἀκεῖνος
ζήσεῖται δι᾽ ἐμέ ⸰ οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ˚ τοῦ οὐρανοῦ 58
καταβὰς οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν˚ τὸ μάννα καὶ
ἀπέθανον ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσεῖται εἰς τὸν αἰῶνα ⸰
ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν καπερναούμ ⸰ πολ- 59, 60
λοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπόν σκληρός
ἐστιν οὗτος˚ ὁ λόγος τίς δύναται αὐτοῦ ἀκούειν ⸰ εἰδὼς δὲ 61
ὁ ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύζουσιν περὶ τούτου οἱ μαθη-
ταὶ αὐτοῦ εἶπεν αὐτοῖς τοῦτο ὑμᾶς σκανδαλίζει ⸰ ἐὰν οὖν 62
θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ
πρότερον ⸰ τὸ πνεῦμά ἐστιν τὸ ζωοποιοῦν ἡ σὰρξ οὐκ ὠ- 63
φελεῖ οὐδὲν τὰ ῥήματα ἃ ἐγὼ λἀλῶ ὑμῖν πνεῦμά ἐστιν καὶ
ζωή ἐστιν ⸰ ἀλλ᾽ εἰσὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσιν ᾔδει 64
γὰρ ἐξ ἀρχῆς ὁ ἰησοῦς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες καὶ τίς
ἐστιν ὁ παραδώσων αὐτόν ⸰ καὶ ἔλεγεν διὰ τοῦτο εἴρηκα 65
ὑμῖν ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με ἐὰν μὴ ᾖ δεδομέ-
νον αὐτῷ ἐκ τοῦ πατρός μοῦ ⸰ ἐκ τούτου πολλοὶ ἀπῆλθον˚ 66
τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω καὶ οὐκέτι μετ᾽ αὐτοῦ πε-
ριεπάτουν ⸰ εἶπεν οὖν ὁ ἰησοῦς τοῖς δώδεκα μὴ καὶ ὑμεῖς 67
θέλετε ὑπάγειν ⸰ ἀπεκρίθη ὀὖν αὐτῷ σίμων πέτρος κύριε 68
πρὸς τίνα ἀπελευσόμεθα ῥήματα ζωῆς αἰωνίου ἔχεις ⸰ καὶ 69
ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ χριστὸς˚ ὁ
υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος ⸰ ἀπεκρίθη αὐτοῖς ὁ˚ ἰησοῦς οὐκ 70
ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην καὶ ἐξ ὑμῶν εἷς διάβο-

**v.54** T*: και εγω, V: καγω. **v.55** T*: αληθως, V: αληθης. **v.57** T*: ζησεται, V: ζησει. **v.58** T*: εκ του, V: εξ. **v.58** T*: υμων το μαννα, V: ∅. **v.58** T*: ζησεται, V: ζησει. **v.59** T*: καπερναουμ, V: καφαρναουμ. **v.60** T*: ειπον, V: ειπαν. **v.60** T*: outos o logos, V: o logos outos. **v.63** T*: λαλω, V: λελαληκα. **v.65** T*: μου, V: ∅. **v.66** T*: απηλθον των μαθητων αυτου, V: [εκ] των μαθητων αυτου απηλθον. **v.68** T*: ουν, V: ∅. **v.69** T*: χριστος ο υιος του θεου του ζωντος, V: αγιος του θεου. **v.70** TKV: ο ιησους, M: ∅.

71 λός ἐστιν ◦ ἔλεγεν δὲ τὸν ἰούδαν σίμωνος ἰσκαριώτην οὗτος
γὰρ ἤμελλεν˚ αὐτὸν παραδιδόναι εἷς ὢν ἐκ τῶν δώδεκα ◦

**7** Καὶ περιεπάτει˚ ὁ ἰησοῦς μετὰ ταῦτα ἐν τῇ γαλιλαίᾳ οὐ
γὰρ ἤθελεν ἐν τῇ ἰουδαίᾳ περιπατεῖν ὅτι ἐζήτουν αὐτὸν οἱ
2 ἰουδαῖοι ἀποκτεῖναι ◦ ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν ἰουδαίων
3 ἡ σκηνοπηγία ◦ εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ
μετάβηθι ἐντεῦθεν καὶ ὕπαγε εἰς τὴν ἰουδαίαν ἵνα καὶ οἱ
4 μαθηταί σου θεωρήσωσιν˚ τὰ ἔργα σου ἃ ποιεῖς ◦ οὐδεὶς
γὰρ ἐν˚ κρυπτῷ τι ποιεῖ καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι
5 εἰ ταῦτα ποιεῖς φανέρωσον σεαυτὸν τῷ κόσμῳ ◦ οὐδὲ γὰρ
6 οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν ◦ λέγει οὖν αὐτοῖς
ὁ ἰησοῦς ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν ὁ δὲ καιρὸς ὁ
7 ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος ◦ οὐ δύναται ὁ κόσμος μι-
σεῖν ὑμᾶς ἐμὲ δὲ μισεῖ ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ ὅτι τὰ
8 ἔργα αὐτοῦ πονηρά ἐστιν ◦ ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν
ταύτ῾ην ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην ὅτι ὁ˚
9 καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται ◦ ταῦτα δὲ εἰπὼν αὐτὸς
10 ἔμεινεν ἐν τῇ γαλιλαίᾳ ◦ ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐ-
τοῦ τότε˚ καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτὴν οὐ φανερῶς ἀλλ᾽
11 ὡς ἐν κρυπτῷ ◦ οἱ οὖν ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ
12 καὶ ἔλεγον ποῦ ἐστιν ἐκεῖνος ◦ καὶ γογγυσμὸς πολὺς˚ πε-
ρὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις οἱ μὲν ἔλεγον ὅτι ἀγαθός ἐστιν
13 ἄλλοι δὲ˚ ἔλεγον οὐ ἀλλὰ πλανᾷ τὸν ὄχλον ◦ οὐδεὶς μέντοι
παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν ἰουδαίων ◦
14 ἤδη δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ˚ ἰησοῦς εἰς τὸ ἱερὸν
15 καὶ ἐδίδασκεν ◦ καὶ˚ ἐθαύμαζον οἱ ἰουδαῖοι λέγοντες πῶς
16 οὗτος γράμματα οἶδεν μὴ μεμαθηκώς ◦ ἀπεκρίθη αὐτοῖς

---

**v.71** T*: ισκαριωτην, V: ισκαριωτου. **v.71** TK: ημελλεν αυτον παραδιδοναι εις ων, M: εμελλεν αυτον παραδιδοναι εις ων, V: εμελλεν παραδιδοναι αυτον εις. **7. v.1** T*: περιεπατει ο ιησους μετα ταυτα, V: μετα ταυτα περιεπατει ο ιησους. **v.3** T*: θεωρησωσιν τα εργα σου, V: θεωρησουσιν σου τα εργα. **v.4** T*: εν κρυπτω τι, V: τι εν κρυπτω. **v.8** T*: ταυτην, V: ∅. **v.8** T*: ουπω, V: ουκ. **v.8** T*: ο καιρος ο εμος, V: ο εμος καιρος. **v.9** T*: αυτοις, V: αυτος. **v.10** T*: τοτε και αυτος ανεβη εις την εορτην, V: εις την εορτην τοτε και αυτος ανεβη. **v.10** T*: αλλ, V: αλλα. **v.12** T*: πολυς περι αυτου ην, V: περι αυτου ην πολυς. **v.12** TK: δε, M: ∅, V: [δε]. **v.14** T*: ο, V: ∅. **v.15** T*: και εθαυμαζον, V: εθαυμαζον ουν. **v.16** TK: απεκριθη, MV: απεκριθη ουν.

ὁ ἰησοῦς καὶ εἶπεν ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ ἀλλὰ τοῦ
πέμψαντός με ⸰ ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν γνώ- 17
σεται περὶ τῆς διδαχῆς πότερον ἐκ τοῦ θεοῦ ἐστιν ἢ ἐγὼ
ἀπ᾽ ἐμαυτοῦ λαλῶ ⸰ ὁ ἀφ᾽ ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰ- 18
δίαν ζητεῖ ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν οὗτος
ἀληθής ἐστιν καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν ⸰ οὐ μωσῆς δέ- 19
δωκεν ὑμῖν τὸν νόμον καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον
τί με ζητεῖτε ἀποκτεῖναι ⸰ ἀπεκρίθη ὁ ὄχλος καὶ˚ εἶπεν δαι- 20
μόνιον ἔχεις τίς σε ζητεῖ ἀποκτεῖναι ⸰ ἀπεκρίθη ὁ˚ ἰησοῦς 21
καὶ εἶπεν αὐτοῖς ἓν ἔργον ἐποίησα καὶ πάντες θαυμάζετε ⸰
διὰ τοῦτο μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομὴν οὐχ ὅτι ἐκ 22
τοῦ μωσέως ἐστὶν ἀλλ᾽ ἐκ τῶν πατέρων καὶ ἐν σαββάτῳ πε-
ριτέμνετε ἄνθρωπον ⸰ εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν 23
σαββάτῳ ἵνα μὴ λυθῇ ὁ νόμος μωσέως ἐμοὶ χολᾶτε ὅτι ὅ-
λον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ ⸰ μὴ κρίνετε κατ᾽ 24
ὄψιν ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε ⸰ ἔλεγον οὖν τινες 25
ἐκ τῶν ἱεροσολυμιτῶν οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖ-
ναι ⸰ καὶ ἴδε παρρησίᾳ λαλεῖ καὶ οὐδὲν αὐτῷ λέγουσιν μή- 26
ποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ἀληθῶς
ὁ χριστός ⸰ ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστὶν ὁ δὲ χριστὸς 27
ὅταν ἔρχηται οὐδεὶς γινώσκει πόθεν ἐστίν ⸰ ἔκραξεν οὖν 28
ἐν τῷ ἱερῷ διδάσκων ὁ ἰησοῦς καὶ λέγων κἀμὲ οἴδατε καὶ
οἴδατε πόθεν εἰμὶ καὶ ἀπ᾽ ἐμαυτοῦ οὐκ ἐλήλυθα ἀλλ᾽ ἔ-
στιν ἀληθινὸς ὁ πέμψας με ὃν ὑμεῖς οὐκ οἴδατε ⸰ ἐγὼ δὲ˚ 29
οἶδα αὐτὸν ὅτι παρ᾽ αὐτοῦ εἰμι κἀκεῖνός με ἀπέστειλεν ⸰
ἐζήτουν οὖν αὐτὸν πιάσαι καὶ οὐδεὶς ἐπέβαλεν ἐπ᾽ αὐτὸν 30
τὴν χεῖρα ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ ⸰ πολλοὶ˚ δὲ ἐκ 31
τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτὸν καὶ ἔλεγον ὅτι ὁ χριστὸς
ὅταν ἔλθῃ μήτι πλείονα σημεῖα τούτων ποιήσει ὧν οὗτος
ἐποίησεν ⸰ ἤκουσαν οἱ φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος 32

---

**v.19** T*: μωσης, V: μωυσης. **v.20** T*: και ειπεν, V: ∅. **v.21** TK: ο, MV: ∅. **v.22** T*: μωσης, V: μωυσης. **v.22** T*: μωσεως, V: μωυσεως. **v.23** T*: μωσεως, V: μωυσεως. **v.24** T*: κρινατε, V: κρινετε. **v.26** T*: αληθως, V: ∅. **v.29** TK: δε, MV: ∅. **v.31** T*: πολλοι δε εκ του οχλου, V: εκ του οχλου δε πολλοι. **v.31** T*: οτι, V: ∅. **v.31** T*: μητι, V: μη. **v.31** T*: τουτων, V: ∅.

περὶ αὐτοῦ ταῦτα καὶ ἀπέστειλαν οἱ˚ φαρισαῖοι καὶ οἱ ἀρ-
33 χιερεῖς ὑπηρέτας ἵνα πιάσωσιν αὐτόν ◦ εἶπεν οὖν αὐτοῖς
ὁ ἰησοῦς ἔτι μικρὸν˚ χρόνον μεθ᾽ ὑμῶν εἰμι καὶ ὑπάγω
34 πρὸς τὸν πέμψαντά με ◦ ζητήσετέ με καὶ οὐχ εὑρήσετε˙ καὶ
35 ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ◦ εἶπον οὖν οἱ ἰ-
ουδαῖοι πρὸς ἑαυτοὺς ποῦ οὗτος μέλλει πορεύεσθαι ὅτι
ἡμεῖς οὐχ εὑρήσομεν αὐτὸν μὴ εἰς τὴν διασπορὰν τῶν ἑλ-
36 λήνων μέλλει πορεύεσθαι καὶ διδάσκειν τοὺς ἕλληνας ◦ τίς
ἐστιν οὗτος˚ ὁ λόγος ὃν εἶπεν ζητήσετέ με καὶ οὐχ εὑρή-
37 σετε˙ καὶ ὅπου εἰμὶ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ◦ ἐν δὲ τῇ
ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ ἰησοῦς καὶ
ἔκραξεν λέγων ἐάν τις διψᾷ ἐρχέσθω πρός με καὶ πινέτω ◦
38 ὁ πιστεύων εἰς ἐμὲ καθὼς εἶπεν ἡ γραφὴ ποταμοὶ ἐκ τῆς
39 κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος ◦ τοῦτο δὲ εἶπεν
περὶ τοῦ πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες
εἰς αὐτὸν οὔπω γὰρ ἦν πνεῦμα ἅγιον ὅτι ὁ˚ ἰησοῦς οὐ-
40 δέπω ἐδοξάσθη ◦ πολλοὶ˚ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες
41 τὸν˚ λόγον ἔλεγον οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ◦ ἄλλοι
ἔλεγον οὗτός ἐστιν ὁ χριστὸς ἄλλοι˚ δὲ ἔλεγον μὴ γὰρ ἐκ
42 τῆς γαλιλαίας ὁ χριστὸς ἔρχεται ◦ οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι
ἐκ τοῦ σπέρματος δαβὶδ καὶ ἀπὸ βηθλεὲμ τῆς κώμης ὅ-
43 που ἦν δαβὶδ ὁ˚ χριστὸς ἔρχεται ◦ σχίσμα οὖν ἐν˚ τῷ ὄχλῳ
44 ἐγένετο δι᾽ αὐτόν ◦ τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτὸν
45 ἀλλ᾽ οὐδεὶς ἐπέβαλεν ἐπ᾽ αὐτὸν τὰς χεῖρας ◦ ἦλθον οὖν οἱ
ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ φαρισαίους καὶ εἶπον
46 αὐτοῖς ἐκεῖνοι διατὶ οὐκ ἠγάγετε αὐτόν ◦ ἀπεκρίθησαν οἱ

---

**v.32** ΤΚ: οι φαρισαιοι και οι αρχιερεις υπηρετας, Μ: υπηρετας οι φαρισαιοι και οι αρχιερεις, V: οι αρχιερεις και οι φαρισαιοι υπηρετας. **v.33** ΤΚ: αυτοις, ΜV: ∅. **v.33** T*: μικρον χρονον, V: χρονον μικρον. **v.34** T*: ευρησετε, V: ευρησετε [με]. **v.36** T*: ουτος ο λογος, V: ο λογος ουτος. **v.36** T*: ευρησετε, V: ευρησετε [με]. **v.39** T*: ου, V: ο. **v.39** T*: πιστευοντες, V: πιστευσαντες. **v.39** T*: αγιον, V: ∅. **v.39** ΤΚ: ο, ΜV: ∅. **v.40** T*: πολλοι ουν εκ του οχλου, V: εκ του οχλου ουν. **v.40** T*: τον λογον, V: των λογων τουτων. **v.41** ΤΚ: αλλοι δε, Μ: αλλοι, V: οι δε. **v.42** T*: ουχι, V: ουχ. **v.42** T*: δαβιδ, V: δαυιδ. **v.42** T*: ο χριστος ερχεται, V: ερχεται ο χριστος. **v.43** T*: εν τω οχλω εγενετο, V: εγενετο εν τω οχλω. **v.45** ΤΚ: διατι, ΜV: δια τι.

ὑπηρέται οὐδέποτε οὕτως˚ ἐλάλησεν ἄνθρωπος ὡς˚ οὗτος ὁ
ἄνθρωπος. ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ φαρισαῖοι μὴ καὶ 47
ὑμεῖς πεπλάνησθε. μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς 48
αὐτὸν ἢ ἐκ τῶν φαρισαίων. ἀλλ᾽ ὁ ὄχλος οὗτος ὁ μὴ γινώ- 49
σκων τὸν νόμον ἐπικατάρατοί εἰσιν. λέγει νικόδημος πρὸς 50
αὐτοὺς ὁ ἐλθὼν νυκτὸς˚ πρὸς αὐτὸν εἷς ὢν ἐξ αὐτῶν. μὴ 51
ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον ἐὰν μὴ ἀκούσῃ παρ᾽˚
αὐτοῦ πρότερον καὶ γνῷ τί ποιεῖ. ἀπεκρίθησαν καὶ εἶπόν 52
αὐτῷ μὴ καὶ σὺ ἐκ τῆς γαλιλαίας εἶ ἐρεύνησον καὶ ἴδε ὅτι
προφήτης˚ ἐκ τῆς γαλιλαίας οὐκ ἐγήγερται. καὶ ἐπορεύθη 53
ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

Ἰησοῦς˚ δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν. ὄρθρου δὲ **8**, 2
πάλιν παρεγένετο εἰς τὸ ἱερὸν καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς
αὐτὸν καὶ καθίσας ἐδίδασκεν αὐτούς. ἄγουσιν δὲ οἱ γραμ- 3
ματεῖς καὶ οἱ φαρισαῖοι πρὸς˚ αὐτὸν γυναῖκα ἐν μοιχείᾳ
κατειλημμένην καὶ στήσαντες αὐτὴν ἐν μέσῳ. λέγουσιν 4
αὐτῷ διδάσκαλε αὕτη˚ ἡ γυνὴ κατειλήφθη ἐπαυτοφώρῳ
μοιχευομένη. ἐν δὲ τῷ νόμῳ μωσῆς˚ ἡμῖν ἐνετείλατο τὰς 5
τοιαύτας λιθοβολεῖσθαι σὺ οὖν τί λέγεις. τοῦτο δὲ ἔλεγον 6
πειράζοντες αὐτὸν ἵνα ἔχωσιν κατηγορεῖν αὐτοῦ ὁ δὲ ἰη-
σοῦς κάτω κύψας τῷ δακτύλῳ ἔγραφεν εἰς τὴν γῆν˚. ὡς δὲ 7
ἐπέμενον ἐρωτῶντες αὐτὸν ἀνακύψας˚ εἶπεν πρὸς˚ αὐτούς
ὁ ἀναμάρτητος ὑμῶν πρῶτος τὸν˚ λίθον ἐπ᾽ αὐτῇ βαλέτω.

---

**v.46** T*: ουτως ελαλησεν, V: ελαλησεν ουτως. **v.46** T*: ως ουτος ο ανθρωπος, V: ∅. **v.49** T*: αλλ, V: αλλα. **v.49** T*: επικαταρατοι, V: επαρατοι. **v.50** T*: νυκτος προς αυτον, V: προς αυτον [το] προτερον. **v.51** T*: παρ αυτου προτερον, V: πρωτον παρ αυτου. **v.52** T*: ειπον, V: ειπαν. **v.52** T*: ερευνησον, V: εραυνησον. **v.52** T*: προφητης εκ της γαλιλαιας ουκ εγηγερται, V: εκ της γαλιλαιας προφητης ουκ εγειρεται. **v.53** TK: επορευθη, M: απηλθεν, V: επορευθησαν. **8. v.1** TKV: ιησους δε, M: και ο ιησους. **v.2** TKV: παρεγενετο, M: βαθεως ηλθεν ο ιησους. **v.3** T*: προς αυτον, V: ∅. **v.3** TK: εν, MV: επι. **v.3** TKV: μεσω, M: τω μεσω. **v.4** TKV: λέγουσιν, M: ειπον. **v.4** TK: αυτη η γυνη κατειληφθη επαυτοφωρω μοιχευομενη, M: ταυτην ευρομεν επ αυτοφωρω μοιχευομενην, V: αυτη η γυνη κατειληπται επ αυτοφωρω μοιχευομενη. **v.5** TK: μωσης ημιν, M: ημων μωσης, V: ημιν μωυσης. **v.5** TK: λιθοβολεισθαι, MV: λιθαζειν. **v.5** TKV: λεγεις, M: λεγεις περι αυτης. **v.6** TKV: κατηγορειν, M: κατηγοριαν κατ. **v.6** T*: εγραφεν, V: κατεγραφεν. **v.6** TMV: γην, K: γην μη προσποιουμενος. **v.7** TKV: ερωτωντες, M: επερωτωντες. **v.7** TK: ανακυψας, M: αναβλεψας, V: ανεκυψεν και. **v.7** TK: προς αυτους, MV: αυτοις. **v.7** TK: τον λιθον επ αυτη βαλετω, M: λιθον βαλετω επ αυτην, V: επ αυτην βαλετω λιθον.

8, 9 καὶ πάλιν κάτω˚ κύψας ἔγραφεν εἰς τὴν γῆν ⸰ οἱ δὲ ἀκού-
σαντες καὶ˚ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι ἐξήρχοντο
εἷς καθ᾽ εἷς ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως˚ τῶν ἐσχά-
των καὶ κατελείφθη μόνος ὁ˚ ἰησοῦς καὶ ἡ γυνὴ ἐν μέσῳ
10 ἑστῶσα ⸰ ἀνακύψας δὲ ὁ ἰησοῦς καὶ˚ μηδένα θεασάμενος
πλὴν τῆς γυναικὸς εἶπεν αὐτῇ ἡ˚ γυνὴ ποῦ εἰσιν ἐκεῖνοι˚
11 οἱ κατήγοροί σου οὐδείς σε κατέκρινεν ⸰ ἡ δὲ εἶπεν οὐδεὶς
κύριε εἶπεν δὲ αὐτῇ ὁ ἰησοῦς οὐδὲ ἐγώ σε κατακρίνω πο-
12 ρεύου καὶ˚ μηκέτι ἁμάρτανε ⸰ πάλιν οὖν ὁ˚ ἰησοῦς αὐτοῖς
ἐλάλησεν λέγων ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου ὁ ἀκολου-
θῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ ἀλλ᾽ ἕξει τὸ φῶς
13 τῆς ζωῆς ⸰ εἶπον οὖν αὐτῷ οἱ φαρισαῖοι σὺ περὶ σεαυτοῦ
14 μαρτυρεῖς ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής ⸰ ἀπεκρίθη
ἰησοῦς καὶ εἶπεν αὐτοῖς κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ
ἀληθής ἐστιν ἡ μαρτυρία μου ὅτι οἶδα πόθεν ἦλθον καὶ
ποῦ ὑπάγω ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι κἀὶ ποῦ
15 ὑπάγω ⸰ ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε ἐγὼ οὐ κρίνω οὐ-
16 δένα ⸰ καὶ ἐὰν κρίνω δὲ ἐγὼ ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν
17 ὅτι μόνος οὐκ εἰμὶ ἀλλ᾽ ἐγὼ καὶ ὁ πέμψας με πατήρ ⸰ καὶ
ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται ὅτι δύο ἀνθρώπων ἡ
18 μαρτυρία ἀληθής ἐστιν ⸰ ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυ-
19 τοῦ καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ ⸰ ἔλεγον
οὖν αὐτῷ ποῦ ἐστιν ὁ πατήρ σου ἀπεκρίθη ὁ˚ ἰησοῦς οὔτε
ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου εἰ ἐμὲ ᾔδειτε καὶ τὸν πα-
20 τέρα μου ᾔδειτε˚ ἄν ⸰ ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ˚ ἰησοῦς
ἐν τῷ γαζοφυλακίῳ διδάσκων ἐν τῷ ἱερῷ καὶ οὐδεὶς ἐπί-
21 ασεν αὐτὸν ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ ⸰ εἶπεν οὖν

---

**v.8** T*: κατω κυψας, V: κατακυψας. **v.9** TK: και υπο της συνειδησεως ελεγχομενοι, MV: ∅. **v.9** T*: εως των εσχατων, V: ∅. **v.9** T*: ο ιησους, V: ∅. **v.9** TK: εστωσα, MV: ουσα. **v.10** TK: και μηδενα θεασαμενος πλην της γυναικος, M: ειδεν αυτην και, V: ∅. **v.10** TKV: αυτη, M: ∅. **v.10** TK: η γυνη, MV: γυναι. **v.10** TK: εκεινοι οι κατηγοροι σου, M: οι κατηγοροι σου, V: ∅. **v.11** T*: αυτη, V: ∅. **v.11** TK: και μηκετι, M: και απο του νυν μηκετι, V: [και] απο του νυν μηκετι. **v.12** TK: ο ιησους αυτοις ελαλησεν, M: αυτοις ο ιησους ελαλησεν, V: αυτοις ελαλησεν ο ιησους. **v.12** TK: περιπατησει, MV: περιπατηση. **v.14** T*: και, V: η. **v.16** T*: αληθης, V: αληθινη. **v.19** TK: ο, MV: ∅. **v.19** T*: ηδειτε αν, V: αν ηδειτε. **v.20** T*: ο ιησους, V: ∅.

πάλιν αὐτοῖς ὁ᾽ ἰησοῦς ἐγὼ ὑπάγω καὶ ζητήσετέ με καὶ ἐν
τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ
δύνασθε ἐλθεῖν ◦ ἔλεγον οὖν οἱ ἰουδαῖοι μήτι ἀποκτενεῖ ἑ- 22
αυτὸν ὅτι λέγει ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν ◦
καὶ εἶπεν αὐτοῖς ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ ἐγὼ ἐκ τῶν ἄνω 23
εἰμὶ ὑμεῖς ἐκ τοῦ᾽ κόσμου τούτου ἐστὲ ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ
κόσμου τούτου ◦ εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς 24
ἁμαρτίαις ὑμῶν ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι ἀπο-
θανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν ◦ ἔλεγον οὖν αὐτῷ σὺ τίς 25
εἶ κἀι εἶπεν αὐτοῖς ὁ ἰησοῦς τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν ◦
πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν ἀλλ᾽ ὁ πέμψας με 26
ἀληθής ἐστιν κἀγὼ ἃ ἤκουσα παρ᾽ αὐτοῦ ταῦτα λέγω εἰς
τὸν κόσμον ◦ οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν ◦ 27
εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀν- 28
θρώπου τότε γνώσεσθε ὅτι ἐγώ εἰμι καὶ ἀπ᾽ ἐμαυτοῦ ποιῶ
οὐδὲν ἀλλὰ καθὼς ἐδίδαξέν με ὁ πατήρ μου ταῦτα λαλῶ ◦
καὶ ὁ πέμψας με μετ᾽ ἐμοῦ ἐστιν οὐκ ἀφῆκέν με μόνον ὁ᾽ 29
πατὴρ ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε ◦ ταῦτα αὐτοῦ 30
λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν ◦ ἔλεγεν οὖν ὁ ἰη- 31
σοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ ἰουδαίους ἐὰν ὑμεῖς
μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ ἀληθῶς μαθηταί μου ἐστέ ◦ καὶ 32
γνώσεσθε τὴν ἀλήθειαν καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς ◦
ἀπεκρίθησαν αὐτῷ σπέρμα ἀβραάμ ἐσμεν καὶ οὐδενὶ δε- 33
δουλεύκαμεν πώποτε πῶς σὺ λέγεις ὅτι ἐλεύθεροι γενήσε-
σθε ◦ ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι 34
πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστιν τῆς ἁμαρτίας ◦ ὁ 35
δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα ὁ υἱὸς μέ-
νει εἰς τὸν αἰῶνα ◦ ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ ὄντως 36
ἐλεύθεροι ἔσεσθε ◦ οἶδα ὅτι σπέρμα ἀβραάμ ἐστε ἀλλὰ ζη- 37
τεῖτέ με ἀποκτεῖναι ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν ◦
ἐγὼ᾽ ὃ ἑώρακα παρὰ τῷ πατρί μου λαλῶ καὶ ὑμεῖς οὖν 38

**v.21** T*: ο ιησους, V: ∅. **v.23** T*: ειπεν, V: ελεγεν. **v.23** T*: του κοσμου τουτου, V: τουτου του κοσμου. **v.25** T*: και, V: ∅. **v.26** T*: λεγω, V: λαλω. **v.28** T*: μου, V: ∅. **v.29** T*: ο πατηρ, V: ∅. **v.33** T*: αυτω, V: προς αυτον. **v.38** T*: εγω ο, V: α εγω. **v.38** T*: μου, V: ∅.

39 ὃ˚ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν ποιεῖτε ◦ ἀπεκρίθησαν
καὶ εἶπόν αὐτῷ ὁ πατὴρ ἡμῶν ἀβραάμ ἐστιν λέγει αὐτοῖς
ὁ ἰησοῦς εἰ τέκνα τοῦ ἀβραὰμ ἦτε τὰ ἔργα τοῦ ἀβραὰμ ἐ-
40 ποιεῖτε ἄν ◦ νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν
ἀλήθειαν ὑμῖν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ θεοῦ τοῦτο
41 ἀβραὰμ οὐκ ἐποίησεν ◦ ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς
ὑμῶν εἶπόν οὖν αὐτῷ ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα
42 ἕνα πατέρα ἔχομεν τὸν θεόν ◦ εἶπεν ὖν αὐτοῖς ὁ ἰησοῦς
εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν ἠγαπᾶτε ἂν ἐμὲ ἐγὼ γὰρ ἐκ τοῦ
θεοῦ ἐξῆλθον καὶ ἥκω οὐδὲ γὰρ ἀπ᾽ ἐμαυτοῦ ἐλήλυθα ἀλλ᾽
43 ἐκεῖνός με ἀπέστειλεν ◦ διατὶ τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώ-
44 σκετε ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν ◦ ὑμεῖς
ἐκ πατρὸς τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς
ὑμῶν θέλετε ποιεῖν ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ᾽ ἀρχῆς
καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν
αὐτῷ ὅταν λαλῇ τὸ ψεῦδος ἐκ τῶν ἰδίων λαλεῖ ὅτι ψεύστης
45 ἐστὶν καὶ ὁ πατὴρ αὐτοῦ ◦ ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω
46 οὐ πιστεύετέ μοι ◦ τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας
47 εἰ δὲ˚ ἀλήθειαν λέγω διατὶ ὑμεῖς οὐ πιστεύετέ μοι ◦ ὁ ὢν
ἐκ τοῦ θεοῦ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει διὰ τοῦτο ὑμεῖς
48 οὐκ ἀκούετε ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ ◦ ἀπεκρίθησαν οὖν
οἱ ἰουδαῖοι καὶ εἶπόν αὐτῷ οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι σα-
49 μαρεῖτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις ◦ ἀπεκρίθη ἰησοῦς ἐγὼ
δαιμόνιον οὐκ ἔχω ἀλλὰ τιμῶ τὸν πατέρα μου καὶ ὑμεῖς
50 ἀτιμάζετέ με ◦ ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου ἔστιν ὁ ζη-
51 τῶν καὶ κρίνων ◦ ἀμὴν ἀμὴν λέγω ὑμῖν ἐάν τις τὸν˚ λόγον
τὸν ἐμὸν τηρήσῃ θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα ◦
52 εἶπον οὖν αὐτῷ οἱ ἰουδαῖοι νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον
ἔχεις ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται καὶ σὺ λέγεις ἐάν

---

**v.38** T*: ο εωρακατε παρα τω πατρι υμων, V: α ηκουσατε παρα του πατρος. **v.39** T*: ειπον, V: ειπαν. **v.39** T*: ητε, V: εστε. **v.39** TK: αν, MV: ∅. **v.41** T*: ειπον, V: ειπαν. **v.42** TM: ουν, KV: ∅. **v.43** TK: διατι, MV: δια τι. **v.44** TK: πατρος, MV: του πατρος. **v.44** T*: ουχ, V: ουκ. **v.46** T*: δε, V: ∅. **v.46** TK: διατι, MV: δια τι. **v.48** T*: ουν, V: ∅. **v.48** T*: ειπον, V: ειπαν. **v.48** T*: σαμαρειτης, V: σαμαριτης. **v.51** T*: τον λογον τον εμον, V: τον εμον λογον.

τις τὸν λόγον μου τηρήσῃ οὐ μὴ γεύσεται θανάτου εἰς τὸν
αἰῶνα ⸰ μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν ἀβραὰμ ὅστις 53
ἀπέθανεν καὶ οἱ προφῆται ἀπέθανον τίνα σεαυτὸν ὀὺ ποι-
εῖς ⸰ ἀπεκρίθη ἰησοῦς ἐὰν ἐγὼ δοξάζῳ ἐμαυτὸν ἡ δόξα μου 54
οὐδέν ἐστιν ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με ὃν ὑμεῖς λέ-
γετε ὅτι θεὸς ὑμῶν ἐστιν ⸰ καὶ οὐκ ἐγνώκατε αὐτὸν ἐγὼ δὲ 55
οἶδα αὐτὸν καὶ˚ ἐὰν εἴπω ὅτι οὐκ οἶδα αὐτὸν ἔσομαι ὅμοιος
ὑμῶν ψεύστης ἀλλ᾽ οἶδα αὐτὸν καὶ τὸν λόγον αὐτοῦ τηρῶ ⸰
ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν 56
τὴν ἐμὴν καὶ εἶδεν καὶ ἐχάρη ⸰ εἶπον οὖν οἱ ἰουδαῖοι πρὸς 57
αὐτὸν πεντήκοντα ἔτη οὔπω ἔχεις καὶ ἀβραὰμ ἑώρακας ⸰
εἶπεν αὐτοῖς ὁ˚ ἰησοῦς ἀμὴν ἀμὴν λέγω ὑμῖν πρὶν ἀβραὰμ 58
γενέσθαι ἐγώ εἰμι ⸰ ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ᾽ αὐτὸν 59
ἰησοῦς δὲ ἐκρύβη καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ διελθὼν˚ διὰ
μέσου αὐτῶν καὶ παρῆγεν οὕτως ⸰

Καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς ⸰ καὶ **9**, 2
ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες ῥαββί τίς ἥ-
μαρτεν οὗτος ἢ οἱ γονεῖς αὐτοῦ ἵνα τυφλὸς γεννηθῇ ⸰ ἀπε- 3
κρίθη ὁ˚ ἰησοῦς οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ
ἀλλ᾽ ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ ⸰ ἐμὲ δεῖ ἐρ- 4
γάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστὶν ἔρχε-
ται νὺξ ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι ⸰ ὅταν ἐν τῷ κόσμῳ 5
ὦ φῶς εἰμι τοῦ κόσμου ⸰ ταῦτα εἰπὼν ἔπτυσεν χαμαὶ καὶ ἐ- 6
ποίησεν πηλὸν ἐκ τοῦ πτύσματος καὶ ἐπέχρισεν τὸν πηλὸν
ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ˚ τυφλοῦ ⸰ καὶ εἶπεν αὐτῷ ὕπαγε 7
νίψαι εἰς τὴν κολυμβήθραν τοῦ σιλωὰμ ὃ ἑρμηνεύεται ἀ-
πεσταλμένος ἀπῆλθεν οὖν καὶ ἐνίψατο καὶ ἦλθεν βλέπων ⸰
οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον ὅτι 8
τυφλὸς ἦν ἔλεγον οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσ-
αιτῶν ⸰ ἄλλοι ἔλεγον ὅτι οὗτός ἐστιν ἄλλοι δὲ˚ ὅτι ὅμοιος 9

---

**v.52** ΤΚ: γευσεται, ΜV: γευσηται. **v.53** T*: συ, V: ∅. **v.54** T*: δοξαζω, V: δοξασω. **v.54** ΤΚ: υμων, ΜV: ημων. **v.55** T*: και εαν, V: καν. **v.55** T*: υμων, V: υμιν. **v.55** T*: αλλ, V: αλλα. **v.58** T*: ο, V: ∅. **v.59** T*: διελθων δια μεσου αυτων και παρηγεν ουτως, V: ∅. **9. v.3** ΤΚ: ο, ΜV: ∅. **v.4** T*: εμε, V: ημας. **v.6** T*: τον, V: αυτου τον. **v.6** T*: του τυφλου, V: ∅. **v.8** T*: τυφλος, V: προσαιτης.

10 αὐτῷ ἐστιν ἐκεῖνος ἔλεγεν ὅτι ἐγώ εἰμι ◦ ἔλεγον οὖν αὐτῷ
11 πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί ◦ ἀπεκρίθη ἐκεῖνος καὶ˚
εἶπεν ἄνθρωπος λεγόμενος ἰησοῦς πηλὸν ἐποίησεν καὶ ἐ-
πέχρισέν μου τοὺς ὀφθαλμοὺς καὶ εἶπέν μοι ὕπαγε εἰς τὴν˚
κολυμβήθραν τοῦ σιλωὰμ καὶ νίψαι ἀπελθὼν δὲ˚ καὶ νιψά-
12 μενος ἀνέβλεψα ◦ εἶπον˚ οὖν αὐτῷ ποῦ ἐστιν ἐκεῖνος λέγει
13 οὐκ οἶδα ◦ ἄγουσιν αὐτὸν πρὸς τοὺς φαρισαίους τόν ποτε
14 τυφλόν ◦ ἦν δὲ σάββατον ὅτε τὸν πηλὸν ἐποίησεν ὁ ἰησοῦς
15 καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς ◦ πάλιν οὖν ἠρώτων
αὐτὸν καὶ οἱ φαρισαῖοι πῶς ἀνέβλεψεν ὁ δὲ εἶπεν αὐτοῖς
πηλὸν ἐπέθηκέν ἐπὶ˚ τοὺς ὀφθαλμούς μου καὶ ἐνιψάμην
16 καὶ βλέπω ◦ ἔλεγον οὖν ἐκ τῶν φαρισαίων τινὲς οὗτος˚ ὁ
ἄνθρωπος οὐκ ἔστιν παρὰ τοῦ θεοῦ ὅτι τὸ σάββατον οὐ
τηρεῖ ἄλλοι ἔλεγον πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοι-
17 αῦτα σημεῖα ποιεῖν καὶ σχίσμα ἦν ἐν αὐτοῖς ◦ λέγουσιν τῷ
τυφλῷ πάλιν σὺ˚ τί λέγεις περὶ αὐτοῦ ὅτι ἤνοιξέν σου τοὺς
18 ὀφθαλμούς ὁ δὲ εἶπεν ὅτι προφήτης ἐστίν ◦ οὐκ ἐπίστευσαν
οὖν οἱ ἰουδαῖοι περὶ αὐτοῦ ὅτι τυφλὸς˚ ἦν καὶ ἀνέβλεψεν
ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος ◦
19 καὶ ἠρώτησαν αὐτοὺς λέγοντες οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν ὃν
ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη πῶς οὖν ἄρτι˚ βλέπει ◦
20 ἀπεκρίθησαν αὐτοῖς οἱ γονεῖς αὐτοῦ καὶ εἶπόν οἴδαμεν ὅτι
21 οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν καὶ ὅτι τυφλὸς ἐγεννήθη ◦ πῶς δὲ
νῦν βλέπει οὐκ οἴδαμεν ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλ-
μοὺς ἡμεῖς οὐκ οἴδαμεν αὐτὸς˚ ἡλικίαν ἔχει αὐτὸν ἐρω-
22 τήσατε αὐτὸς περὶ ἑαυτοῦ λαλήσει ◦ ταῦτα εἶπόν οἱ γονεῖς

---

**v.9** T*: δε οτι, V: ελεγον ουχι αλλα. **v.10** T*: ανεωχθησαν, V: [ουν] ηνεωχθησαν. **v.11** T*: και ειπεν ανθρωπος, V: ο ανθρωπος ο. **v.11** T*: μοι, V: μοι οτι. **v.11** T*: την κολυμβηθραν του, V: τον. **v.11** T*: δε, V: ουν. **v.12** T*: ειπον ουν, V: και ειπαν. **v.14** T*: οτε, V: εν η ημερα. **v.15** TK: επι τους οφθαλμους μου, MV: μου επι τους οφθαλμους. **v.16** T*: ουτος ο ανθρωπος ουκ εστιν παρα του θεου, V: ουκ εστιν ουτος παρα θεου ο ανθρωπος. **v.16** T*: αλλοι, V: αλλοι [δε]. **v.17** T*: λεγουσιν, V: λεγουσιν ουν. **v.17** T*: συ τι, V: τι συ. **v.17** T*: ηνοιξεν, V: ηνεωξεν. **v.18** T*: τυφλος ην, V: ην τυφλος. **v.19** T*: αρτι βλεπει, V: βλεπει αρτι. **v.20** TK: αυτοις, M: δε αυτοις, V: ουν. **v.20** T*: ειπον, V: ειπαν. **v.21** T*: αυτος ηλικιαν εχει αυτον ερωτησατε, V: αυτον ερωτησατε ηλικιαν εχει. **v.21** TK: αυτου, MV: εαυτου. **v.22** T*: ειπον, V: ειπαν.

αὐτοῦ ὅτι ἐφοβοῦντο τοὺς ἰουδαίους ἤδη γὰρ συνετέθειντο
οἱ ἰουδαῖοι ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ χριστὸν ἀποσυν-
άγωγος γένηται ◦ διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπὸν ὅτι ἡλι- 23
κίαν ἔχει αὐτὸν ἐρωτήσατε ◦ ἐφώνησαν οὖν ἐκ˚ δευτέρου 24
τὸν ἄνθρωπον ὃς ἦν τυφλὸς καὶ εἶπὸν αὐτῷ δὸς δόξαν τῷ
θεῷ ἡμεῖς οἴδαμεν ὅτι ὁ˚ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐ-
στιν ◦ ἀπεκρίθη οὖν ἐκεῖνος καὶ˚ εἶπεν εἰ ἁμαρτωλός ἐστιν 25
οὐκ οἶδα ἓν οἶδα ὅτι τυφλὸς ὢν ἄρτι βλέπω ◦ εἶπον δὲ˚ αὐτῷ 26
πάλιν τί ἐποίησέν σοι πῶς ἤνοιξέν σου τοὺς ὀφθαλμούς ◦
ἀπεκρίθη αὐτοῖς εἶπον ὑμῖν ἤδη καὶ οὐκ ἠκούσατε τί πά- 27
λιν θέλετε ἀκούειν μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ
γενέσθαι ◦ ἐλοιδόρησαν˚ οὖν αὐτὸν καὶ εἶπον σὺ εἶ˚ μαθη- 28
τὴς ἐκείνου ἡμεῖς δὲ τοῦ μωσέως ἐσμὲν μαθηταί ◦ ἡμεῖς 29
οἴδαμεν ὅτι μωσῇ λελάληκεν ὁ θεὸς τοῦτον δὲ οὐκ οἴδα-
μεν πόθεν ἐστίν ◦ ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς 30
ἐν γὰρ˚ τούτῳ θαυμαστόν ἐστιν ὅτι ὑμεῖς οὐκ οἴδατε πό-
θεν ἐστὶν καὶ ἀνέῳξέν μου τοὺς ὀφθαλμούς ◦ οἴδαμεν δὲ˚ 31
ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει ἀλλ᾽ ἐάν τις θεοσεβὴς ᾖ
καὶ τὸ θέλημα αὐτοῦ ποιῇ τούτου ἀκούει ◦ ἐκ τοῦ αἰῶνος 32
οὐκ ἠκούσθη ὅτι ἤνοιξέν τις ὀφθαλμοὺς τυφλοῦ γεγεννη-
μένου ◦ εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ οὐκ ἠδύνατο ποιεῖν 33
οὐδέν ◦ ἀπεκρίθησαν καὶ εἶπὸν αὐτῷ ἐν ἁμαρτίαις σὺ ἐ- 34
γεννήθης ὅλος καὶ σὺ διδάσκεις ἡμᾶς καὶ ἐξέβαλον αὐτὸν
ἔξω ◦ ἤκουσεν ὁ˚ ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω καὶ εὑρὼν 35
αὐτὸν εἶπεν αὐτῷ σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ ◦ ἀ- 36
πεκρίθη ἐκεῖνος καὶ εἶπεν τίς ἐστιν κύριε ἵνα πιστεύσω εἰς
αὐτόν ◦ εἶπεν δὲ˚ αὐτῷ ὁ ἰησοῦς καὶ ἑώρακας αὐτὸν καὶ ὁ 37

---

**v.23** T*: ειπον, V: ειπαν. **v.23** T*: ερωτησατε, V: επερωτησατε. **v.24** T*: εκ δευτερου τον ανθρωπον, V: τον ανθρωπον εκ δευτερου. **v.24** T*: ειπον, V: ειπαν. **v.24** T*: ο ανθρωπος ουτος, V: ουτος ο ανθρωπος. **v.25** T*: και ειπεν, V: ∅. **v.26** T*: δε αυτω παλιν, V: ουν αυτω. **v.28** TK: ελοιδορησαν ουν, M: ελοιδορησαν, V: και ελοιδορησαν. **v.28** T*: ει μαθητης, V: μαθητης ει. **v.28** T*: μωσεως, V: μωυσεως. **v.29** T*: μωση, V: μωυσει. **v.30** T*: γαρ τουτω, V: τουτω γαρ το. **v.30** T*: ανεωξεν, V: ηνοιξεν. **v.31** T*: δε, V: ∅. **v.32** T*: ηνοιξεν, V: ηνεωξεν. **v.34** T*: ειπον, V: ειπαν. **v.35** T*: ο, V: ∅. **v.35** T*: αυτω, V: ∅. **v.35** T*: θεου, V: ανθρωπου. **v.36** TK: τις, MV: και τις. **v.37** T*: δε, V: ∅.

38 λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν ⸰ ὁ δὲ ἔφη πιστεύω κύριε καὶ
39 προσεκύνησεν αὐτῷ ⸰ καὶ εἶπεν ὁ ἰησοῦς εἰς κρίμα ἐγὼ εἰς
τὸν κόσμον τοῦτον ἦλθον ἵνα οἱ μὴ βλέποντες βλέπωσιν
40 καὶ οἱ βλέποντες τυφλοὶ γένωνται ⸰ κἀὶ ἤκουσαν ἐκ τῶν
φαρισαίων ταῦτα οἱ ὄντες˚ μετ᾽ αὐτοῦ καὶ εἶπον αὐτῷ μὴ
41 καὶ ἡμεῖς τυφλοί ἐσμεν ⸰ εἶπεν αὐτοῖς ὁ ἰησοῦς εἰ τυφλοὶ
ἦτε οὐκ ἂν εἴχετε ἁμαρτίαν νῦν δὲ λέγετε ὅτι βλέπομεν ἡ
οὖν ἁμαρτία ὑμῶν μένει ⸰

**10** Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας
εἰς τὴν αὐλὴν τῶν προβάτων ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν
2 ἐκεῖνος κλέπτης ἐστὶν καὶ λῃστής ⸰ ὁ δὲ εἰσερχόμενος διὰ
3 τῆς θύρας ποιμήν ἐστιν τῶν προβάτων ⸰ τούτῳ ὁ θυρωρὸς
ἀνοίγει καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει καὶ τὰ ἴ-
4 δια πρόβατα κἀλεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά ⸰ κἀὶ ὅταν
τὰ ἴδια πρόβατα ἐκβάλῃ ἔμπροσθεν αὐτῶν πορεύεται καὶ
τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ ὅτι οἴδασιν τὴν φωνὴν αὐτοῦ ⸰
5 ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν ἀλλὰ φεύξονται ἀπ᾽ αὐ-
6 τοῦ ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν ⸰ ταύτην τὴν
παροιμίαν εἶπεν αὐτοῖς ὁ ἰησοῦς ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν
7 τίνα ἦν ἃ ἐλάλει αὐτοῖς ⸰ εἶπεν οὖν πάλιν αὐτοῖς ὁ ἰησοῦς
ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων ⸰
8 πάντες ὅσοι πρὸ˚ ἐμοῦ ἦλθον κλέπται εἰσὶν καὶ λῃσταὶ ἀλλ᾽
9 οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα ⸰ ἐγώ εἰμι ἡ θύρα δι᾽ ἐμοῦ
ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσε-
10 ται καὶ νομὴν εὑρήσει ⸰ ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα
κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχω-
11 σιν καὶ περισσὸν ἔχωσιν ⸰ ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς ὁ
ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προ-
12 βάτων ⸰ ὁ μισθωτὸς δὲ˚ καὶ οὐκ ὢν ποιμὴν οὗ οὐκ εἰσὶν
τὰ πρόβατα ἴδια θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίη-

---

**v.40** T*: και, V: ∅. **v.40** T*: οντες μετ αυτου, V: μετ αυτου οντες. **v.41** T*: ουν, V: ∅. **10. v.3** T*: καλει, V: φωνει. **v.4** T*: και, V: ∅. **v.4** T*: προβατα, V: παντα. **v.5** T*: ακολουθησωσιν, V: ακολουθησουσιν. **v.7** T*: αυτοις, V: ∅. **v.8** TK: προ εμου ηλθον, M: ηλθον, V: ηλθον [προ εμου]. **v.12** T*: δε, V: ∅. **v.12** T*: εισιν, V: εστιν.

σιν τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ
σκορπίζει τὰ˚ πρόβατα ◦ ὁ˚ δὲ μισθωτὸς φεύγει ὅτι μισθω- 13
τός ἐστιν καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων ◦ ἐγώ εἰμι 14
ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι˚ ὑ-
πὸ τῶν ἐμῶν ◦ καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω 15
τὸν πατέρα καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων ◦
καὶ ἄλλα πρόβατα ἔχω ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης 16
κἀκεῖνα με˚ δεῖ ἀγαγεῖν καὶ τῆς φωνῆς μου ἀκούσουσιν
καὶ γενήσεται μία ποίμνη εἷς ποιμήν ◦ διὰ τοῦτο ὁ˚ πατήρ 17
με ἀγαπᾷ ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου ἵνα πάλιν λάβω
αὐτήν ◦ οὐδεὶς αἴρει αὐτὴν ἀπ᾽ ἐμοῦ ἀλλ᾽ ἐγὼ τίθημι αὐτὴν 18
ἀπ᾽ ἐμαυτοῦ ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω
πάλιν λαβεῖν αὐτὴν ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ
πατρός μου ◦ σχίσμα οὖν̓ πάλιν ἐγένετο ἐν τοῖς ἰουδαίοις 19
διὰ τοὺς λόγους τούτους ◦ ἔλεγον δὲ πολλοὶ ἐξ αὐτῶν δαι- 20
μόνιον ἔχει καὶ μαίνεται τί αὐτοῦ ἀκούετε ◦ ἄλλοι ἔλεγον 21
ταῦτα τὰ ῥήματα οὐκ ἔστιν δαιμονιζομένου μὴ δαιμόνιον
δύναται τυφλῶν ὀφθαλμοὺς ἀνοίγειν ◦ ἐγένετο δὲ˚ τὰ ἐγ- 22
καίνια ἐν τοῖς ἱεροσολύμοις κὰι χειμὼν ἦν ◦ καὶ περιεπάτει 23
ὁ ἰησοῦς ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ τοῦ σολομῶντος ◦ ἐκύκλω- 24
σαν οὖν αὐτὸν οἱ ἰουδαῖοι καὶ ἔλεγον αὐτῷ ἕως πότε τὴν
ψυχὴν ἡμῶν αἴρεις εἰ σὺ εἶ ὁ χριστὸς εἰπὲ ἡμῖν παρρησίᾳ ◦
ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς εἶπον ὑμῖν καὶ οὐ πιστεύετε τὰ 25
ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός μου ταῦτα μαρ-
τυρεῖ περὶ ἐμοῦ ◦ ἀλλ᾽ ὑμεῖς οὐ πιστεύετε οὐ˚ γάρ ἐστε ἐκ 26
τῶν προβάτων τῶν ἐμῶν καθὼς˚ εἶπον ὑμῖν ◦ τὰ πρόβατα 27
τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει κἀγὼ γινώσκω αὐτὰ καὶ ἀ-
κολουθοῦσίν μοι ◦ κἀγὼ ζωὴν˚ αἰώνιον δίδωμι αὐτοῖς καὶ 28

**v.12** T*: τα προβατα, V: ∅. **v.13** T*: ο δε μισθωτος φευγει, V: ∅. **v.14** T*: γινωσκομαι υπο των εμων, V: γινωσκουσι με τα εμα. **v.16** T*: με δει, V: δει με. **v.16** T*: γενησεται, V: γενησονται. **v.17** T*: ο πατηρ με, V: με ο πατηρ. **v.19** T*: ουν, V: ∅. **v.21** T*: ανοιγειν, V: ανοιξαι. **v.22** T*: δε, V: τοτε. **v.22** TKV: τοις, M: ∅. **v.22** T*: και, V: ∅. **v.23** TKV: του, M: ∅. **v.23** TK: σολομωντος, MV: σολομωνος. **v.26** T*: αλλ, V: αλλα. **v.26** T*: ου γαρ, V: οτι ουκ. **v.26** T*: καθως ειπον υμιν, V: ∅. **v.27** T*: ακουει, V: ακουουσιν. **v.28** T*: ζωην αιωνιον διδωμι αυτοις, V: διδωμι αυτοις ζωην αιωνιον.

οὐ μὴ ἀπόλωνται εἰς τὸν αἰῶνα καὶ οὐχ ἁρπάσει τις αὐτὰ
29 ἐκ τῆς χειρός μου ◦ ὁ πατήρ μου ὃς δέδωκέν μοι μείζων˚
πάντων ἐστὶν καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς
30, 31 τοῦ πατρός μού ◦ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν ◦ ἐβάστασαν
32 οὖν πάλιν λίθους οἱ ἰουδαῖοι ἵνα λιθάσωσιν αὐτόν ◦ ἀπε-
κρίθη αὐτοῖς ὁ ἰησοῦς πολλὰ καλὰ˚ ἔργα ἔδειξα ὑμῖν ἐκ
33 τοῦ πατρός μού διὰ ποῖον αὐτῶν ἔργον λιθάζετε˚ με ◦ ἀπε-
κρίθησαν αὐτῷ οἱ ἰουδαῖοι λέγοντες περὶ καλοῦ ἔργου οὐ
λιθάζομέν σε ἀλλὰ περὶ βλασφημίας καὶ ὅτι σὺ ἄνθρωπος
34 ὢν ποιεῖς σεαυτὸν θεόν ◦ ἀπεκρίθη αὐτοῖς ὁ ἰησοῦς οὐκ
ἔστιν γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν ἐγὼ εἶπα θεοί ἐστε ◦
35 εἰ ἐκείνους εἶπεν θεοὺς πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο
36 καὶ οὐ δύναται λυθῆναι ἡ γραφή ◦ ὃν ὁ πατὴρ ἡγίασεν καὶ
ἀπέστειλεν εἰς τὸν κόσμον ὑμεῖς λέγετε ὅτι βλασφημεῖς ὅτι
37 εἶπον υἱὸς τοῦ θεοῦ εἰμι ◦ εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός
38 μου μὴ πιστεύετέ μοι ◦ εἰ δὲ ποιῶ κἂν ἐμοὶ μὴ πιστεύ-
ητε τοῖς ἔργοις πιστεύσατε ἵνα γνῶτε καὶ πιστεύσητε ὅτι ἐν
39 ἐμοὶ ὁ πατὴρ κἀγὼ ἐν αὐτῷ ◦ ἐζήτουν οὖν πάλιν˚ αὐτὸν
40 πιάσαι καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν ◦ καὶ ἀπῆλθεν πά-
λιν πέραν τοῦ ἰορδάνου εἰς τὸν τόπον ὅπου ἦν ἰωάννης τὸ
41 πρῶτον βαπτίζων καὶ ἔμεινεν ἐκεῖ ◦ καὶ πολλοὶ ἦλθον πρὸς
αὐτὸν καὶ ἔλεγον ὅτι ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδὲν
42 πάντα δὲ ὅσα εἶπεν ἰωάννης περὶ τούτου ἀληθῆ ἦν ◦ καὶ
ἐπίστευσαν˚ πολλοὶ ἐκεῖ εἰς αὐτόν ◦

**11** ˜Ην δέ τις ἀσθενῶν λάζαρος ἀπὸ βηθανίας ἐκ τῆς κώ-
2 μης μαρίας καὶ μάρθας τῆς ἀδελφῆς αὐτῆς ◦ ἦν δὲ μαριὰ
ἡ ἀλείψασα τὸν κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας
αὐτοῦ ταῖς θριξὶν αὐτῆς ἧς ὁ ἀδελφὸς λάζαρος ἠσθένει ◦
3 ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτὸν λέγουσαι κύριε ἴδε

---

**v.29** T*: ος, V: ο. **v.29** T*: μειζων παντων, V: παντων μειζον. **v.29** T*: μου, V: ∅. **v.31** T*: ουν, V: ∅. **v.32** T*: καλα εργα, V: εργα καλα. **v.32** T*: μου, V: ∅. **v.32** T*: λιθαζετε με, V: εμε λιθαζετε. **v.33** T*: λεγοντες, V: ∅. **v.34** T*: εγω, V: οτι εγω. **v.38** T*: πιστευσατε, V: πιστευετε. **v.38** T*: πιστευσητε, V: γινωσκητε. **v.38** T*: αυτω, V: τω πατρι. **v.39** T*: παλιν αυτον, V: αυτον παλιν. **v.42** T*: επιστευσαν πολλοι εκει εις αυτον, V: πολλοι επιστευσαν εις αυτον εκει. **11. v.2** T*: μαρια, V: μαριαμ.

ὃν φιλεῖς ἀσθενεῖ ⸰ ἀκούσας δὲ ὁ ἰησοῦς εἶπεν αὕτη ἡ ἀ- 4
σθένεια οὐκ ἔστιν πρὸς θάνατον ἀλλ᾽ ὑπὲρ τῆς δόξης τοῦ
θεοῦ ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ θεοῦ δι᾽ αὐτῆς ⸰ ἠγάπα δὲ ὁ 5
ἰησοῦς τὴν μάρθαν καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν λάζα-
ρον ⸰ ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν 6
τόπῳ δύο ἡμέρας ⸰ ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς 7
ἄγωμεν εἰς τὴν ἰουδαίαν πάλιν ⸰ λέγουσιν αὐτῷ οἱ μαθηταὶ 8
ῥαββὶ νῦν ἐζήτουν σε λιθάσαι οἱ ἰουδαῖοι καὶ πάλιν ὑπά-
γεις ἐκεῖ ⸰ ἀπεκρίθη ὁ ἰησοῦς οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς 9
ἡμέρας ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ οὐ προσκόπτει ὅτι
τὸ φῶς τοῦ κόσμου τούτου βλέπει ⸰ ἐὰν δέ τις περιπατῇ ἐν 10
τῇ νυκτὶ προσκόπτει ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ ⸰ ταῦτα 11
εἶπεν καὶ μετὰ τοῦτο λέγει αὐτοῖς λάζαρος ὁ φίλος ἡμῶν κε-
κοίμηται ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν ⸰ εἶπὸν οὖν 12
οἱ μαθηταὶ αὐτὸῦ κύριε εἰ κεκοίμηται σωθήσεται ⸰ εἰρήκει 13
δὲ ὁ ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ ἐκεῖνοι δὲ ἔδοξαν ὅτι
περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει ⸰ τότε οὖν εἶπεν αὐ- 14
τοῖς ὁ ἰησοῦς παρρησίᾳ λάζαρος ἀπέθανεν ⸰ καὶ χαίρω δι᾽ 15
ὑμᾶς ἵνα πιστεύσητε ὅτι οὐκ ἤμην ἐκεῖ ἀλλ᾽ ἄγωμεν πρὸς
αὐτόν ⸰ εἶπεν οὖν θωμᾶς ὁ λεγόμενος δίδυμος τοῖς συμ- 16
μαθηταῖς ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ᾽ αὐτοῦ ⸰
ἐλθὼν οὖν ὁ ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη 17
ἔχοντα ἐν τῷ μνημείῳ ⸰ ἦν δὲ ἡ βηθανία ἐγγὺς τῶν ἱερο- 18
σολύμων ὡς ἀπὸ σταδίων δεκαπέντε ⸰ καὶ πολλοὶ ἐκ τῶν 19
ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ μάρθαν καὶ μαρίαν
ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν ⸰ ἡ 20
οὖν μάρθα ὡς ἤκουσεν ὅτι ὁ ἰησοῦς ἔρχεται ὑπήντησεν
αὐτῷ μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο ⸰ εἶπεν οὖν ἡ μάρθα 21
πρὸς τὸν ἰησοῦν κύριε εἰ ἦς ὧδε ὁ ἀδελφός μου οὐκ ἂν

**v.9** TK: ο, MV: ∅. **v.9** T*: εισιν ωραι, V: ωραι εισιν. **v.12** T*: ειπον, V: ειπαν. **v.12** T*: αυτου, V: αυτω. **v.15** TK: αλλ, MV: αλλα. **v.17** T*: ημερας ηδη, V: ηδη ημερας. **v.19** T*: και πολλοι, V: πολλοι δε. **v.19** T*: τας περι μαρθαν και μαριαν, V: την μαρθαν και μαριαμ. **v.19** T*: αυτων, V: ∅. **v.20** TK: ο, MV: ∅. **v.20** T*: μαρια, V: μαριαμ. **v.21** TKV: η, M: ∅. **v.21** T*: ο αδελφος μου ουκ αν ετεθνηκει, V: ουκ αν απεθανεν ο αδελφος μου.

22 ἐτεθνήκει ◦ ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θε-
23 ὸν δώσει σοι ὁ θεός ◦ λέγει αὐτῇ ὁ ἰησοῦς ἀναστήσεται ὁ
24 ἀδελφός σου ◦ λέγει αὐτῷ μάρθα οἶδα ὅτι ἀναστήσεται ἐν
25 τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ◦ εἶπεν αὐτῇ ὁ ἰησοῦς
ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωὴ ὁ πιστεύων εἰς ἐμὲ κἂν
26 ἀποθάνῃ ζήσεται ◦ καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ
27 μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα πιστεύεις τοῦτο ◦ λέγει αὐτῷ ναὶ
κύριε ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ
28 ὁ εἰς τὸν κόσμον ἐρχόμενος ◦ καὶ ταῦτα εἰποῦσα ἀπῆλθεν
καὶ ἐφώνησεν μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα ὁ
29 διδάσκαλος πάρεστιν καὶ φωνεῖ σε ◦ ἐκείνη ὡς ἤκουσεν ἐ-
30 γείρεται˚ ταχὺ καὶ ἔρχεται πρὸς αὐτόν ◦ οὔπω δὲ ἐληλύθει
ὁ ἰησοῦς εἰς τὴν κώμην ἀλλ᾽ ἦν ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν
31 αὐτῷ ἡ μάρθα ◦ οἱ οὖν ἰουδαῖοι οἱ ὄντες μετ᾽ αὐτῆς ἐν τῇ
οἰκίᾳ καὶ παραμυθούμενοι αὐτὴν ἰδόντες τὴν μαρίαν ὅτι
ταχέως ἀνέστη καὶ ἐξῆλθεν ἠκολούθησαν αὐτῇ λέγοντες
32 ὅτι ὑπάγει εἰς τὸ μνημεῖον ἵνα κλαύσῃ ἐκεῖ ◦ ἡ οὖν μαρίᾳ
ὡς ἦλθεν ὅπου ἦν ὁ˚ ἰησοῦς ἰδοῦσα αὐτὸν ἔπεσεν εἰς˚ τοὺς
πόδας αὐτοῦ λέγουσα αὐτῷ κύριε εἰ ἦς ὧδε οὐκ ἂν ἀπέθα-
33 νέν˚ μου ὁ ἀδελφός ◦ ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν
καὶ τοὺς συνελθόντας αὐτῇ ἰουδαίους κλαίοντας ἐνεβρι-
34 μήσατο τῷ πνεύματι καὶ ἐτάραξεν ἑαυτόν ◦ καὶ εἶπεν ποῦ
35 τεθείκατε αὐτὸν λέγουσιν αὐτῷ κύριε ἔρχου καὶ ἴδε ◦ ἐδά-
36 κρυσεν ὁ ἰησοῦς ◦ ἔλεγον οὖν οἱ ἰουδαῖοι ἴδε πῶς ἐφίλει
37 αὐτόν ◦ τινὲς δὲ ἐξ αὐτῶν εἶπὸν οὐκ ἠδύνατο οὗτος ὁ ἀ-
νοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ποιῆσαι ἵνα καὶ οὗτος
38 μὴ ἀποθάνῃ ◦ ἰησοῦς οὖν πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ
ἔρχεται εἰς τὸ μνημεῖον ἦν δὲ σπήλαιον καὶ λίθος ἐπέκειτο
39 ἐπ᾽ αὐτῷ ◦ λέγει ὁ ἰησοῦς ἄρατε τὸν λίθον λέγει αὐτῷ ἡ

---

**v.24** T*: μαρθα, V: η μαρθα. **v.28** T*: ταυτα, V: τουτο. **v.28** T*: μαριαν, V: μαριαμ. **v.29** T*: εκεινη, V: εκεινη δε. **v.29** T*: εγειρεται ταχυ και ερχεται, V: ηγερθη ταχυ και ηρχετο. **v.30** T*: ην, V: ην ετι. **v.31** T*: μαριαν, V: μαριαμ. **v.31** T*: λεγοντες, V: δοξαντες. **v.32** T*: μαρια, V: μαριαμ. **v.32** T*: ο, V: ∅. **v.32** TK: εις τους ποδας αυτου, M: αυτου εις τους ποδας, V: αυτου προς τους ποδας. **v.32** T*: απεθανεν μου, V: μου απεθανεν. **v.37** T*: ειπον, V: ειπαν. **v.37** T*: ηδυνατο, V: εδυνατο.

ἀδελφὴ τοῦ τεθνηκότος μάρθα κύριε ἤδη ὄζει τεταρταῖος
γάρ ἐστιν ◦ λέγει αὐτῇ ὁ ἰησοῦς οὐκ εἶπόν σοι ὅτι ἐὰν πι- 40
στεύσῃς ὄψεῖ τὴν δόξαν τοῦ θεοῦ ◦ ἦραν οὖν τὸν λίθον οὗ˚ 41
ἦν ὁ τεθνηκὼς κείμενος ὁ δὲ ἰησοῦς ἦρεν τοὺς ὀφθαλμοὺς
ἄνω καὶ εἶπεν πάτερ εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου ◦ ἐ- 42
γὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις ἀλλὰ διὰ τὸν ὄχλον
τὸν περιεστῶτα εἶπον ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστει-
λας ◦ καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγασεν λάζαρε 43
δεῦρο ἔξω ◦ κἀὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πό- 44
δας καὶ τὰς χεῖρας κειρίαις καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ
περιεδέδετο λέγει αὐτοῖς ὁ ἰησοῦς λύσατε αὐτὸν καὶ ἄφετὲ
ὑπάγειν ◦ πολλοὶ οὖν ἐκ τῶν ἰουδαίων οἱ ἐλθόντες πρὸς τὴν 45
μαρίαν̀ καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ˚ ἰησοῦς ἐπίστευσαν
εἰς αὐτόν ◦ τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς φαρισαί- 46
ους καὶ εἶπὸν αὐτοῖς ἃ ἐποίησεν ὁ˚ ἰησοῦς ◦ συνήγαγον 47
οὖν οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι συνέδριον καὶ ἔλεγον τί
ποιοῦμεν ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα˚ ποιεῖ ◦ ἐὰν 48
ἀφῶμεν αὐτὸν οὕτως πάντες πιστεύσουσιν εἰς αὐτὸν καὶ ἐ-
λεύσονται οἱ ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ
τὸ ἔθνος ◦ εἷς δέ τις ἐξ αὐτῶν καϊάφας ἀρχιερεὺς ὢν τοῦ ἐνι- 49
αυτοῦ ἐκείνου εἶπεν αὐτοῖς ὑμεῖς οὐκ οἴδατε οὐδέν ◦ οὐδὲ 50
διᾰλογίζεσθε ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθά-
νῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται ◦ τοῦτο 51
δὲ ἀφ᾽ ἑαυτοῦ οὐκ εἶπεν ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ
ἐκείνου προἐφήτευσεν ὅτι ἔμελλεν ὁ˚ ἰησοῦς ἀποθνήσκειν
ὑπὲρ τοῦ ἔθνους ◦ καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον ἀλλ᾽ ἵνα 52
καὶ τὰ τέκνα τοῦ θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν ◦
ἀπ᾽ ἐκείνης οὖν τῆς ἡμέρας ὁυνεβουλεύσαντο ἵνα ἀποκτεί- 53
νωσιν αὐτόν ◦ ἰησοῦς˚ οὖν οὐκ ἔτι παρρησίᾳ περιεπάτει ἐν 54

**v.39** T*: τεθνηκοτος, V: τετελευτηκοτος. **v.40** T*: οψει, V: οψη. **v.41** T*: ου ην ο τεθνηκως κειμενος, V: ∅. **v.44** T*: και, V: ∅. **v.44** T*: αφετε, V: αφετε αυτον. **v.45** T*: μαριαν, V: μαριαμ. **v.45** T*: ο ιησους, V: ∅. **v.46** T*: ειπον, V: ειπαν. **v.46** T*: ο, V: ∅. **v.47** T*: σημεια ποιει, V: ποιει σημεια. **v.50** T*: διαλογιζεσθε, V: λογιζεσθε. **v.50** T*: ημιν, V: υμιν. **v.51** T*: προεφητευσεν, V: επροφητευσεν. **v.51** TK: ο, MV: ∅. **v.53** T*: συνεβουλευσαντο, V: εβουλευσαντο. **v.54** TK: ιησους ουν ουκ ετι, M: ιησους ουν ουκετι, V: ο ουν ιησους ουκετι.

τοῖς ἰουδαίοις ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς
τῆς ἐρήμου εἰς ἐφραΐμ λεγομένην πόλιν κἀκεῖ διέτριβεν
55 μετὰ τῶν μαθητῶν αὐτοῦ ◦ ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν ἰου-
δαίων καὶ ἀνέβησαν πολλοὶ εἰς ἱεροσόλυμα ἐκ τῆς χώρας
56 πρὸ τοῦ πάσχα ἵνα ἁγνίσωσιν ἑαυτούς ◦ ἐζήτουν οὖν τὸν
ἰησοῦν καὶ ἔλεγον μετ᾽ ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες τί
57 δοκεῖ ὑμῖν ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν ◦ δεδώκεισαν δὲ
καὶ οἱ ἀρχιερεῖς καὶ οἱ φαρισαῖοι ἐντολὴν ἵνα ἐάν τις γνῷ
ποῦ ἐστιν μηνύσῃ ὅπως πιάσωσιν αὐτόν ◦

**12** Ὁ οὖν ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς βηθα-
νίαν ὅπου ἦν λάζαρος ὁ᾽ τεθνηκὼς ὃν ἤγειρεν ἐκ νεκρῶν ◦
2 ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ καὶ ἡ μάρθα διηκόνει ὁ δὲ
3 λάζαρος εἷς ἦν τῶν᾽ συνανακειμένων αὐτῷ ◦ ἡ οὖν μαρίὰ
λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου ἤλει-
ψεν τοὺς πόδας τοῦ ἰησοῦ καὶ ἐξέμαξεν ταῖς θριξὶν αὐτῆς
τοὺς πόδας αὐτοῦ ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ
4 μύρου ◦ λέγει οὖν᾽ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ ἰούδας σίμω-
5 νος ἰσκαριώτης ὁ μέλλων αὐτὸν παραδιδόναι ◦ διατὶ τοῦτο
τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτω-
6 χοῖς ◦ εἶπεν δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐ-
τῷ ἀλλ᾽ ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον εἶχεν᾽ καὶ τὰ
7 βαλλόμενα ἐβάσταζεν ◦ εἶπεν οὖν ὁ ἰησοῦς ἄφες αὐτὴν εἰς
8 τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό ◦ τοὺς
πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ᾽ ἑαυτῶν ἐμὲ δὲ οὐ πάντοτε
9 ἔχετε ◦ ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν ἰουδαίων ὅτι ἐκεῖ ἐ-
στιν καὶ ἦλθον οὐ διὰ τὸν ἰησοῦν μόνον ἀλλ᾽ ἵνα καὶ τὸν
10 λάζαρον ἴδωσιν ὃν ἤγειρεν ἐκ νεκρῶν ◦ ἐβουλεύσαντο δὲ οἱ
11 ἀρχιερεῖς ἵνα καὶ τὸν λάζαρον ἀποκτείνωσιν ◦ ὅτι πολλοὶ δι᾽

---

**v.54** T*: διετριβεν, V: εμεινεν. **v.54** T*: αυτου, V: ∅. **v.57** T*: και, V: ∅. **v.57** T*: εντοληην, V: εντολας. **12. v.1** T*: ο τεθνηκως, V: ∅. **v.1** T*: νεκρων, V: νεκρων ιησους. **v.2** TK: των συνανακειμενων, M: των ανακειμενων συν, V: εκ των ανακειμενων συν. **v.3** T*: μαρια, V: μαριαμ. **v.4** T*: ουν εις εκ των μαθητων αυτου ιουδας σιμωνος ισκαριωτης, V: δε ιουδας ο ισκαριωτης εις [εκ] των μαθητων αυτου. **v.5** TK: διατι, MV: δια τι. **v.6** TMV: αλλ, K: αλλα. **v.6** T*: ειχεν και, V: εχων. **v.7** T*: εις, V: ινα εις. **v.7** T*: τετηρηκεν, V: τηρηση. **v.9** T*: οχλος, V: [ο] οχλος.

αὐτὸν ὑπῆγον τῶν ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν ἰησοῦν ⸰
τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτὴν ἀκούσαν- 12
τες ὅτι ἔρχεται ὁ ἰησοῦς εἰς ἱεροσόλυμα ⸰ ἔλαβον τὰ βαΐα 13
τῶν φοινίκων καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ καὶ ἔκραζον
ὡσαννὰ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου ὁ
βασιλεὺς τοῦ ἰσραήλ ⸰ εὑρὼν δὲ ὁ ἰησοῦς ὀνάριον ἐκάθι- 14
σεν ἐπ᾽ αὐτὸ καθώς ἐστιν γεγραμμένον ⸰ μὴ φοβοῦ θύγατερ 15
σιὼν ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄ-
νου ⸰ ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον 16
ἀλλ᾽ ὅτε ἐδοξάσθη ὁ ἰησοῦς τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν
ἐπ᾽ αὐτῷ γεγραμμένα καὶ ταῦτα ἐποίησαν αὐτῷ ⸰ ἐμαρτύ- 17
ρει οὖν ὁ ὄχλος ὁ ὢν μετ᾽ αὐτοῦ ὅτε τὸν λάζαρον ἐφώνησεν
ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν ⸰ διὰ τοῦτο 18
καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος ὅτι ἤκουσὲν τοῦτο αὐτὸν πε-
ποιηκέναι τὸ σημεῖον ⸰ οἱ οὖν φαρισαῖοι εἶπὸν πρὸς ἑαυ- 19
τοὺς θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδὲν ἴδε ὁ κόσμος ὀπίσω
αὐτοῦ ἀπῆλθεν ⸰ ἦσαν δέ τινες˚ ἕλληνες ἐκ τῶν ἀναβαινόν- 20
των ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ ⸰ οὗτοι οὖν προσῆλ- 21
θον φιλίππῳ τῷ ἀπὸ βηθσαϊδὰ τῆς γαλιλαίας καὶ ἠρώτων
αὐτὸν λέγοντες κύριε θέλομεν τὸν ἰησοῦν ἰδεῖν ⸰ ἔρχεται 22
φίλιππος καὶ λέγει τῷ ἀνδρέᾳ καὶ˚ πάλιν ἀνδρέας καὶ φί-
λιππος λέγουσιν τῷ ἰησοῦ ⸰ ὁ δὲ ἰησοῦς ἀπέκρίνατο αὐτοῖς 23
λέγων ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου ⸰
ἀμὴν ἀμὴν λέγω ὑμῖν ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν 24
εἰς τὴν γῆν ἀποθάνῃ αὐτὸς μόνος μένει ἐὰν δὲ ἀποθάνῃ
πολὺν καρπὸν φέρει ⸰ ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει 25
αὐτὴν καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ
εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν ⸰ ἐὰν ἐμοὶ διακονῇ˚ τις ἐ- 26

**v.12** T*: οχλος, V: ο οχλος. **v.12** TKV: ο, M: ∅. **v.13** T*: εκραζον, V: εκραυγαζον. **v.13** TK: ο, M: ∅, V: [και] ο. **v.15** T*: θυγατερ, V: θυγατηρ. **v.16** T*: δε, V: ∅. **v.16** T*: οι μαθηται αυτου, V: αυτου οι μαθηται. **v.16** T*: ο, V: ∅. **v.18** T*: ηκουσεν, V: ηκουσαν. **v.19** T*: ειπον, V: ειπαν. **v.20** T*: τινες ελληνες, V: ελληνες τινες. **v.22** T*: φιλιππος, V: ο φιλιππος. **v.22** T*: και παλιν ανδρεας και φιλιππος, V: ερχεται ανδρεας και φιλιππος και. **v.23** T*: απεκρινατο, V: αποκρινεται. **v.25** T*: απολεσει, V: απολλυει. **v.26** T*: διακονη τις, V: τις διακονη.

μοὶ ἀκολουθείτω καὶ ὅπου εἰμὶ ἐγὼ ἐκεῖ καὶ ὁ διάκονος ὁ
ἐμὸς ἔσται κἀὶ ἐάν τις ἐμοὶ διακονῇ τιμήσει αὐτὸν ὁ πα-
27 τήρ ◦ νῦν ἡ ψυχή μου τετάρακται καὶ τί εἴπω πάτερ σῶσόν
με ἐκ τῆς ὥρας ταύτης ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν
28 ταύτην ◦ πάτερ δόξασόν σου˚ τὸ ὄνομα ἦλθεν οὖν φωνὴ ἐκ
29 τοῦ οὐρανοῦ καὶ ἐδόξασα καὶ πάλιν δοξάσω ◦ ὁ οὖν ὄχλος
ὁ ἑστὼς καὶ ἀκούσας ἔλεγεν βροντὴν γεγονέναι ἄλλοι ἔ-
30 λεγον ἄγγελος αὐτῷ λελάληκεν ◦ ἀπεκρίθη ὁ˚ ἰησοῦς καὶ
31 εἶπεν οὐ δι˙ ἐμὲ αὕτη˚ ἡ φωνὴ γέγονεν ἀλλὰ δι˙ ὑμᾶς ◦ νῦν
κρίσις ἐστὶν τοῦ κόσμου τούτου νῦν ὁ ἄρχων τοῦ κόσμου
32 τούτου ἐκβληθήσεται ἔξω ◦ κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς
33 πάντας ἑλκύσω πρὸς ἐμαυτόν ◦ τοῦτο δὲ ἔλεγεν σημαίνων
34 ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν ◦ ἀπεκρίθη αὐτῷ ὁ ὄ-
χλος ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ χριστὸς μένει εἰς
τὸν αἰῶνα καὶ πῶς σὺ˚ λέγεις ὅτι δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ
35 ἀνθρώπου τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου ◦ εἶπεν οὖν
αὐτοῖς ὁ ἰησοῦς ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ˚ ὑμῶν ἐστιν
περιπατεῖτε ἕως τὸ φῶς ἔχετε ἵνα μὴ σκοτία ὑμᾶς καταλά-
βῃ καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδεν ποῦ ὑπάγει ◦
36 ἕως τὸ φῶς ἔχετε πιστεύετε εἰς τὸ φῶς ἵνα υἱοὶ φωτὸς γέ-
νησθε ταῦτα ἐλάλησεν ὁ˚ ἰησοῦς καὶ ἀπελθὼν ἐκρύβη ἀπ˙
37 αὐτῶν ◦ τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν
38 αὐτῶν οὐκ ἐπίστευον εἰς αὐτόν ◦ ἵνα ὁ λόγος ἡσαΐου τοῦ
προφήτου πληρωθῇ ὃν εἶπεν κύριε τίς ἐπίστευσεν τῇ ἀ-
39 κοῇ ἡμῶν καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη ◦ διὰ
40 τοῦτο οὐκ ἠδύναντο πιστεύειν ὅτι πάλιν εἶπεν ἡσαΐας ◦ τε-
τύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ ἐπώρωκεν αὐτῶν
τὴν καρδίαν ἵνα μὴ ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ νοήσωσιν
41 τῇ καρδίᾳ καὶ ἐπιστραφῶσιν καὶ ἰάσωμαι αὐτούς ◦ ταῦτα

---

**v.26** T*: και, V: ∅. **v.28** E: σου το ονομα, B: μου το ονομα, D: σου το ονομα εν τη δοξη η ειχον παρα σοι προ του τον κοσμον γενεσθαι. **v.30** T*: ο, V: ∅. **v.30** T*: αυτη η φωνη, V: η φωνη αυτη. **v.33** TKV: ημελλεν, M: εμελλεν. **v.34** T*: απεκριθη, V: απεκριθη ουν. **v.34** TK: συ λεγεις οτι, M: συ λεγεις, V: λεγεις συ οτι. **v.35** T*: μεθ υμων, V: εν υμιν. **v.35** T*: εως, V: ως. **v.36** T*: εως, V: ως. **v.36** T*: ο, V: ∅. **v.40** T*: πεπωρωκεν, V: επωρωσεν. **v.40** T*: επιστραφωσιν, V: στραφωσιν. **v.40** T*: ιασωμαι, V: ιασομαι.

εἶπεν ἡσαΐας ὅτε εἶδεν τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησεν περὶ
αὐτοῦ ⸰ ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευ- 42
σαν εἰς αὐτὸν ἀλλὰ διὰ τοὺς φαρισαίους οὐχ ὡμολόγουν
ἵνα μὴ ἀποσυνάγωγοι γένωνται ⸰ ἠγάπησαν γὰρ τὴν δόξαν 43
τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ θεοῦ ⸰ ἰησοῦς 44
δὲ ἔκραξεν καὶ εἶπεν ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμὲ
ἀλλ᾽ εἰς τὸν πέμψαντά με ⸰ καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν 45
πέμψαντά με ⸰ ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα ἵνα πᾶς ὁ 46
πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ ⸰ καὶ ἐάν τις μου 47
ἀκούσῃ τῶν ῥημάτων καὶ μὴ πιστεύσῃ ἐγὼ οὐ κρίνω αὐτὸν
οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον ἀλλ᾽ ἵνα σώσω τὸν κό-
σμον ⸰ ὁ ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων τὰ ῥήματά μου ἔχει 48
τὸν κρίνοντα αὐτὸν ὁ λόγος ὃν ἐλάλησα ἐκεῖνος κρινεῖ αὐ-
τὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ⸰ ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα 49
ἀλλ᾽ ὁ πέμψας με πατὴρ αὐτός μοι ἐντολὴν ἔδωκεν τί εἴπω
καὶ τί λαλήσω ⸰ καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός 50
ἐστιν ἃ οὖν λαλῶ˚ ἐγὼ καθὼς εἴρηκέν μοι ὁ πατὴρ οὕτως
λαλῶ ⸰

Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ ἰησοῦς ὅτι ἐ- **13**
λήλυθεν αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ κόσμου τούτου
πρὸς τὸν πατέρα ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν τῷ κόσμῳ
εἰς τέλος ἠγάπησεν αὐτούς ⸰ καὶ δείπνου γενομένου τοῦ 2
διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν ἰούδα˚ σίμωνος
ἰσκαριώτου ἵνα αὐτὸν παραδῷ ⸰ εἰδὼς ὁ˚ ἰησοῦς ὅτι πάντα 3
δέδωκεν αὐτῷ ὁ πατὴρ εἰς τὰς χεῖρας καὶ ὅτι ἀπὸ θεοῦ ἐξ-
ῆλθεν καὶ πρὸς τὸν θεὸν ὑπάγει ⸰ ἐγείρεται ἐκ τοῦ δείπνου 4
καὶ τίθησιν τὰ ἱμάτια καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν ⸰
εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο νίπτειν τοὺς 5
πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζω-
σμένος ⸰ ἔρχεται οὖν πρὸς σίμωνα πέτρον καὶ˚ λέγει αὐτῷ 6

**v.41** T*: οτε, V: οτι. **v.44** T*: αλλ, V: αλλα. **v.47** T*: πιστευση, V: φυλαξη. **v.49** T*: εδωκεν, V: δεδωκεν. **v.50** T*: λαλω εγω, V: εγω λαλω. **13. v.1** T*: εληλυθεν, V: ηλθεν. **v.2** T*: γενομενου, V: γινομενου. **v.2** T*: ιουδα σιμωνος ισκαριωτου ινα αυτον παραδω, V: ινα παραδοι αυτον ιουδας σιμωνος ισκαριωτου. **v.3** T*: ο ιησους, V: ∅. **v.3** T*: δεδωκεν, V: εδωκεν. **v.6** T*: και λεγει αυτω εκεινος, V: λεγει αυτω.

7 ἐκεῖνος κύριε σύ μου νίπτεις τοὺς πόδας ◦ ἀπεκρίθη ἰη-
σοῦς καὶ εἶπεν αὐτῷ ὃ ἐγὼ ποιῶ σὺ οὐκ οἶδας ἄρτι γνώσῃ
8 δὲ μετὰ ταῦτα ◦ λέγει αὐτῷ πέτρος οὐ μὴ νίψῃς τοὺς˚ πό-
δας μου εἰς τὸν αἰῶνα ἀπεκρίθη αὐτῷ˚ ὁ ἰησοῦς ἐὰν μὴ
9 νίψω σε οὐκ ἔχεις μέρος μετ᾽ ἐμοῦ ◦ λέγει αὐτῷ σίμων πέ-
τρος κύριε μὴ τοὺς πόδας μου μόνον ἀλλὰ καὶ τὰς χεῖρας
10 καὶ τὴν κεφαλήν ◦ λέγει αὐτῷ ὁ ἰησοῦς ὁ λελουμένος οὐ˚
χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι ἀλλ᾽ ἔστιν καθαρὸς ὅ-
11 λος καὶ ὑμεῖς καθαροί ἐστε ἀλλ᾽ οὐχὶ πάντες ◦ ᾔδει γὰρ
τὸν παραδιδόντα αὐτὸν διὰ τοῦτο εἶπεν᾽ οὐχὶ πάντες κα-
12 θαροί ἐστε ◦ ὅτε οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν καὶ ἔλαβεν
τὰ ἱμάτια αὐτοῦ ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς γινώσκετε
13 τί πεποίηκα ὑμῖν ◦ ὑμεῖς φωνεῖτέ με ὁ διδάσκαλος καὶ ὁ
14 κύριος καὶ καλῶς λέγετε εἰμὶ γάρ ◦ εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν
τοὺς πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος καὶ ὑμεῖς ὀφείλετε
15 ἀλλήλων νίπτειν τοὺς πόδας ◦ ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν
16 ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν καὶ ὑμεῖς ποιῆτε ◦ ἀμὴν ἀ-
μὴν λέγω ὑμῖν οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ
17 οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν ◦ εἰ ταῦτα οἴ-
18 δατε μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά ◦ οὐ περὶ πάντων ὑμῶν
λέγω ἐγὼ οἶδα ὃὺς ἐξελεξάμην ἀλλ᾽ ἵνα ἡ γραφὴ πληρωθῇ
ὁ τρώγων μετ᾽˚ ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ᾽ ἐμὲ τὴν πτέρ-
19 ναν αὐτοῦ ◦ ἀπ᾽ ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι ἵνα ὅταν˚
20 γένηται πιστεύσητε ὅτι ἐγώ εἰμι ◦ ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ
λαμβάνων ἐάν᾽ τινα πέμψω ἐμὲ λαμβάνει ὁ δὲ ἐμὲ λαμβάνων
21 λαμβάνει τὸν πέμψαντά με ◦ ταῦτα εἰπὼν ὁ ἰησοῦς ἐταρά-
χθη τῷ πνεύματι καὶ ἐμαρτύρησεν καὶ εἶπεν ἀμὴν ἀμὴν
22 λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με ◦ ἔβλεπον οὖν εἰς
23 ἀλλήλους οἱ μαθηταὶ ἀπορούμενοι περὶ τίνος λέγει ◦ ἦν
δὲ˚ ἀνακείμενος εἷς τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ

---

**v.8** T*: τους ποδας μου, V: μου τους ποδας. **v.8** T*: αυτω ο ιησους, V: ιησους αυτω. **v.10** T*: ου χρειαν εχει η, V: ουκ εχει χρειαν ει μη. **v.11** T*: ειπεν, V: ειπεν οτι. **v.12** T*: αναπεσων, V: και ανεπεσεν. **v.18** T*: ους, V: τινας. **v.18** T*: μετ εμου, V: μου. **v.19** T*: οταν γενηται πιστευσητε, V: πιστευσητε οταν γενηται. **v.20** T*: εαν, V: αν. **v.22** T*: ουν, V: ∅. **v.23** T*: δε, V: ∅. **v.23** T*: των, V: εκ των.

ἰησοῦ ὃν ἠγάπα ὁ ἰησοῦς ⸰ νεύει οὖν τούτῳ σίμων πέτρος 24
πυθέσθαι τίς ἂν εἴη περὶ οὗ λέγει ⸰ ἐπιπεσὼν˚ δὲ ἐκεῖνος 25
ἐπὶ τὸ στῆθος τοῦ ἰησοῦ λέγει αὐτῷ κύριε τίς ἐστιν ⸰ ἀπο- 26
κρίνεται ὁ ἰησοῦς ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψᾶς τὸ ψωμίον
ἐπιδώσω˚ καὶ ἐμβάψας τὸ ψωμίον δίδωσιν ἰούδᾳ σίμωνος
ἰσκαριώτη ⸰ καὶ μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον 27
ὁ σατανᾶς λέγει οὖν αὐτῷ ὁ ἰησοῦς ὃ ποιεῖς ποίησον τά-
χιον ⸰ τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν 28
αὐτῷ ⸰ τινὲς γὰρ ἐδόκουν ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ˚ ἰ- 29
ούδας ὅτι λέγει αὐτῷ ὁ ἰησοῦς ἀγόρασον ὧν χρείαν ἔχομεν
εἰς τὴν ἑορτὴν ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ ⸰ λαβὼν οὖν τὸ ψω- 30
μίον ἐκεῖνος εὐθέως˚ ἐξῆλθεν ἦν δὲ νὺξ ὅτε ἐξῆλθεν ⸰ λέγει 31
ὁ˚ ἰησοῦς νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ ὁ θεὸς
ἐδοξάσθη ἐν αὐτῷ ⸰ εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ καὶ ὁ θεὸς 32
δοξάσει αὐτὸν ἐν ἑαυτῷ καὶ εὐθὺς δοξάσει αὐτόν ⸰ τεκνία 33
ἔτι μικρὸν μεθ᾽ ὑμῶν εἰμι ζητήσετέ με καὶ καθὼς εἶπον
τοῖς ἰουδαίοις ὅτι ὅπου ὑπάγω˚ ἐγὼ ὑμεῖς οὐ δύνασθε ἐλ-
θεῖν καὶ ὑμῖν λέγω ἄρτι ⸰ ἐντολὴν καινὴν δίδωμι ὑμῖν ἵνα 34
ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς ἵνα καὶ ὑμεῖς
ἀγαπᾶτε ἀλλήλους ⸰ ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ 35
μαθηταί ἐστε ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις ⸰ λέγει αὐτῷ 36
σίμων πέτρος κύριε ποῦ ὑπάγεις ἀπεκρίθη αὐτῷ ὁ˚ ἰησοῦς
ὅπου ὑπάγω οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι ὕστερον˚ δὲ
ἀκολουθήσεις μοι ⸰ λέγει αὐτῷ ὁ˚ πέτρος κύριε διατὶ οὐ 37
δύναμαί σοι ἀκολουθῆσαι ἄρτι τὴν ψυχήν μου ὑπὲρ σοῦ
θήσω ⸰ ἀπεκρίθη˚ αὐτῷ ὁ ἰησοῦς τὴν ψυχήν σου ὑπὲρ ἐ- 38
μοῦ θήσεις ἀμὴν ἀμὴν λέγω σοι οὐ μὴ ἀλέκτωρ φωνήσει

---

**v.25** T*: επιπεσων δε, V: αναπεσων ουν. **v.25** TK: επι, MV: ουτως επι. **v.26** T*: βαψας, V: βαψω. **v.26** T*: επιδωσω και εμβαψας το ψωμιον διδωσιν ιουδα σιμωνος ισκαριωτη, V: και δωσω αυτω βαψας ουν το ψωμιον [λαμβανει και] διδωσιν ιουδα σιμωνος ισκαριωτου. **v.29** T*: ο, V: ∅. **v.30** T*: ευθεως εξηλθεν, V: εξηλθεν ευθυς. **v.30** TM: οτε, KV: οτε ουν. **v.31** T*: ο, V: ∅. **v.32** T*: εαυτω, V: αυτω. **v.33** T*: υπαγω εγω, V: εγω υπαγω. **v.36** T*: ο, V: ∅. **v.36** T*: υστερον δε ακολουθησεις μοι, V: ακολουθησεις δε υστερον. **v.37** TKV: ο, M: ∅. **v.37** TK: διατι, MV: δια τι. **v.38** T*: απεκριθη αυτω ο, V: αποκρινεται. **v.38** TK: φωνησει, MV: φωνηση.

ἕως οὗ ἀπαρνήσῃ με τρίς ◦

**14** Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία πιστεύετε εἰς τὸν θεὸν
2 καὶ εἰς ἐμὲ πιστεύετε ◦ ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ
πολλαί εἰσιν εἰ δὲ μὴ εἶπον ἂν ὑμῖν πορεύομαι ἑτοιμάσαι
3 τόπον ὑμῖν ◦ καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν˚ τόπον
πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτὸν ἵνα
4 ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε ◦ καὶ ὅπου ἐγὼ ὑπάγω οἴ-
5 δατε καὶ˚ τὴν ὁδὸν οἴδατε ◦ λέγει αὐτῷ θωμᾶς κύριε οὐκ
οἴδαμεν ποῦ ὑπάγεις κἀὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι ◦
6 λέγει αὐτῷ ὁ ἰησοῦς ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ
7 ζωὴ οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι᾽ ἐμοῦ ◦ εἰ ἐ-
γνώκἐιτέ με καὶ τὸν πατέρα μου ἐγνώκειτε˚ ἂν καὶ ἀπ᾽ ἄρτι
8 γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν ◦ λέγει αὐτῷ φίλιπ-
9 πος κύριε δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν ◦ λέγει
αὐτῷ ὁ ἰησοῦς τοσοῦτον˚ χρόνον μεθ᾽ ὑμῶν εἰμι καὶ οὐκ
ἔγνωκάς με φίλιππε ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν πατέρα
10 κἀὶ πῶς σὺ λέγεις δεῖξον ἡμῖν τὸν πατέρα ◦ οὐ πιστεύεις
ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν τὰ ῥήματα
ἃ ἐγὼ λἀλῶ ὑμῖν ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ ὁ δὲ πατὴρ ὁ˚ ἐν
11 ἐμοὶ μένων αὐτὸς˚ ποιεῖ τὰ ἔργα ◦ πιστεύετέ μοι ὅτι ἐγὼ ἐν
τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοὶ εἰ δὲ μὴ διὰ τὰ ἔργα αὐτὰ
12 πιστεύετέ μὀι ◦ ἀμὴν ἀμὴν λέγω ὑμῖν ὁ πιστεύων εἰς ἐμὲ
τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων
13 ποιήσει ὅτι ἐγὼ πρὸς τὸν πατέρα μὀυ πορεύομαι ◦ καὶ ὅ
τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω ἵνα δο-
14 ξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ ◦ ἐάν τι αἰτήσητἐ ἐν τῷ ὀνόματί
15 μου ἐγὼ ποιήσω ◦ ἐὰν ἀγαπᾶτέ με τὰς ἐντολὰς τὰς ἐμὰς
16 τηρήσἀτε ◦ καὶ˚ ἐγὼ ἐρωτήσω τὸν πατέρα καὶ ἄλλον πα-

---

**v.38** T*: απαρνηση, V: αρνηση. **14. v.2** T*: πορευομαι, V: οτι πορευομαι. **v.3** T*: υμιν τοπον, V: τοπον υμιν. **v.3** T*: παραλημψομαι, V: παραλημψομαι. **v.4** T*: και την οδον οιδατε, V: την οδον. **v.5** T*: και, V: ∅. **v.7** T*: εγνωκειτε, V: εγνωκατε. **v.7** T*: εγνωκειτε αν, V: γνωσεσθε. **v.9** T*: τοσουτον χρονον, V: τοσουτω χρονω. **v.9** T*: και, V: ∅. **v.10** T*: λαλω, V: λεγω. **v.10** T*: ο, V: ∅. **v.10** T*: αυτος ποιει τα εργα, V: ποιει τα εργα αυτου. **v.11** T*: μοι, V: ∅. **v.12** T*: μου, V: ∅. **v.14** T*: αιτησητε, V: αιτησητε με. **v.15** T*: τηρησατε, V: τηρησετε. **v.16** T*: και εγω, V: καγω.

ράκλητον δώσει ὑμῖν ἵνα μένῃ μεθ᾽ ὑμῶν εἰς τὸν αἰῶνα· τὸ πνεῦμα τῆς ἀληθείας ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν ὅτι 17
οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτό˚ ὑμεῖς δὲ γινώσκετε
αὐτό ὅτι παρ᾽ ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται· οὐκ ἀφήσω 18
ὑμᾶς ὀρφανούς ἔρχομαι πρὸς ὑμᾶς· ἔτι μικρὸν καὶ ὁ κό- 19
σμος με οὐκ˚ ἔτι θεωρεῖ ὑμεῖς δὲ θεωρεῖτέ με ὅτι ἐγὼ ζῶ
καὶ ὑμεῖς ζήσεσθε· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς 20
ὅτι ἐγὼ ἐν τῷ πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν·
ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς ἐκεῖνός ἐστιν ὁ 21
ἀγαπῶν με ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός
μου καὶ˚ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυ-
τόν· λέγει αὐτῷ Ἰούδας οὐχ ὁ Ἰσκαριώτης κύριε τί γέγονεν 22
ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ·
ἀπεκρίθη ὁ˚ Ἰησοῦς καὶ εἶπεν αὐτῷ ἐάν τις ἀγαπᾷ με τὸν 23
λόγον μου τηρήσει καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν καὶ
πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν·
ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ καὶ ὁ λόγος ὃν 24
ἀκούετε οὐκ ἔστιν ἐμὸς ἀλλὰ τοῦ πέμψαντός με πατρός·
ταῦτα λελάληκα ὑμῖν παρ᾽ ὑμῖν μένων· ὁ δὲ παράκλητος 25, 26
τὸ πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου
ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ
εἶπον ὑμῖν· εἰρήνην ἀφίημι ὑμῖν εἰρήνην τὴν ἐμὴν δί- 27
δωμι ὑμῖν οὐ καθὼς ὁ κόσμος δίδωσιν ἐγὼ δίδωμι ὑμῖν μὴ
ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω· ἠκούσατε ὅτι 28
ἐγὼ εἶπον ὑμῖν ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς εἰ ἠγαπᾶτέ
με ἐχάρητε ἂν ὅτι εἶπον πορεύομαι πρὸς τὸν πατέρα ὅτι
ὁ πατήρ μού μείζων μού ἐστιν· καὶ νῦν εἴρηκα ὑμῖν πρὶν 29
γενέσθαι ἵνα ὅταν γένηται πιστεύσητε· οὐκ˚ ἔτι πολλὰ λα- 30
λήσω μεθ᾽ ὑμῶν ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων

---

**v.16** T*: μενη, V: ∅. **v.16** T*: αιωνα, V: αιωνα η. **v.17** T*: αυτο υμεις δε, V: υμεις. **v.19** TK: ουκ ετι, MV: ουκετι. **v.19** T*: ζησεσθε, V: ζησετε. **v.21** T*: και εγω, V: καγω. **v.22** E: ισκαριωτης, D: απο καρυωτου. **v.22** TK: τι, M: και τι, V: [και] τι. **v.22** E: γεγονεν, D: εστιν. **v.23** TK: ο, MV: ∅. **v.23** T*: ποιησομεν, V: ποιησομεθα. **v.26** T*: υμιν, V: υμιν [εγω]. **v.28** T*: ειπον, V: ∅. **v.28** T*: μου, V: ∅. **v.30** TK: ουκ ετι, MV: ουκετι. **v.30** TK: τουτου, MV: ∅.

31 καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν· ἀλλ᾽ ἵνα γνῷ ὁ κόσμος ὅτι ἀ-
γαπῶ τὸν πατέρα καὶ καθὼς ἐνετείλατο μοι ὁ πατὴρ οὕτως
ποιῶ ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν·

**15** Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ καὶ ὁ πατήρ μου ὁ γε-
2 ωργός ἐστιν· πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν αἴρει
αὐτὸ καὶ πᾶν τὸ καρπὸν φέρον καθαίρει αὐτὸ ἵνα πλείονα˚
3 καρπὸν φέρῃ· ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν
4 λελάληκα ὑμῖν· μείνατε ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν καθὼς τὸ
κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ᾽ ἑαυτοῦ ἐὰν μὴ μείνῃ
ἐν τῇ ἀμπέλῳ οὕτως οὐδὲ ὑμεῖς ἐὰν μὴ ἐν ἐμοὶ μείνητε·
5 ἐγώ εἰμι ἡ ἄμπελος ὑμεῖς τὰ κλήματα ὁ μένων ἐν ἐμοὶ κἀ-
γὼ ἐν αὐτῷ οὗτος φέρει καρπὸν πολὺν ὅτι χωρὶς ἐμοῦ οὐ
6 δύνασθε ποιεῖν οὐδέν· ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ ἐβλήθη
ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη καὶ συνάγουσιν αὐτὰ καὶ
7 εἰς πῦρ βάλλουσιν καὶ καίεται· ἐὰν μείνητε ἐν ἐμοὶ καὶ
τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ ὃ ἐὰν θέλητε αἰτήσεσθε καὶ
8 γενήσεται ὑμῖν· ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου ἵνα καρ-
9 πὸν πολὺν φέρητε καὶ γενήσεσθε ἐμοὶ μαθηταί· καθὼς
ἠγάπησέν με ὁ πατὴρ κἀγὼ ἠγάπησα˚ ὑμᾶς μείνατε ἐν τῇ
10 ἀγάπῃ τῇ ἐμῇ· ἐὰν τὰς ἐντολάς μου τηρήσητε μενεῖτε ἐν
τῇ ἀγάπῃ μου καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετή-
11 ρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ· ταῦτα λελάληκα ὑμῖν
ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ καὶ ἡ χαρὰ ὑμῶν πλη-
12 ρωθῇ· αὕτη ἐστὶν ἡ ἐντολή ἡ ἐμὴ ἵνα ἀγαπᾶτε ἀλλήλους
13 καθὼς ἠγάπησα ὑμᾶς· μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔ-
χει ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ·
14 ὑμεῖς φίλοι μου ἐστὲ ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑ-
15 μῖν· οὐκέτι ὑμᾶς˚ λέγω δούλους ὅτι ὁ δοῦλος οὐκ οἶδεν τί
ποιεῖ αὐτοῦ ὁ κύριος ὑμᾶς δὲ εἴρηκα φίλους ὅτι πάντα ἃ
16 ἤκουσα παρὰ τοῦ πατρός μου ἐγνώρισα ὑμῖν· οὐχ ὑμεῖς

**15. v.2** T*: πλειονα καρπον, V: καρπον πλειονα. **v.4** T*: μεινη, V: μενη. **v.4** T*: μεινητε, V: μενητε. **v.6** T*: μεινη, V: μενη. **v.6** TK: πυρ, MV: το πυρ. **v.7** T*: αιτησεσθε, V: αιτησασθε. **v.8** T*: γενησεσθε, V: γενησθε. **v.9** T*: ηγαπησα υμας, V: υμας ηγαπησα. **v.11** T*: μεινη, V: η. **v.13** TKV: των, M: ∅. **v.14** T*: οσα, V: α. **v.15** T*: υμας λεγω, V: λεγω υμας.

με ἐξελέξασθε ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς καὶ ἔθηκα ὑμᾶς
ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε καὶ ὁ καρπὸς ὑμῶν
μένῃ ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου δῷ˚
ὑμῖν ◦ ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους ◦ εἰ ὁ 17, 18
κόσμος ὑμᾶς μισεῖ γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμί-
σηκεν ◦ εἰ ἐκ τοῦ κόσμου ἦτε ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει 19
ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς
ἐκ τοῦ κόσμου διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος ◦ μνημονεύ- 20
ετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν οὐκ ἔστιν δοῦλος μείζων
τοῦ κυρίου αὐτοῦ εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν εἰ τὸν
λόγον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρήσουσιν ◦ ἀλλὰ 21
ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου ὅτι οὐκ οἴ-
δασιν τὸν πέμψαντά με ◦ εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς 22
ἁμαρτίαν οὐκ εἶχον νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν περὶ τῆς
ἁμαρτίας αὐτῶν ◦ ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ ◦ 23
εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος ἐποίησεν 24
ἁμαρτίαν οὐκ εἶχον νῦν δὲ καὶ ἑωράκασιν καὶ μεμισήκασιν
καὶ ἐμὲ καὶ τὸν πατέρα μου ◦ ἀλλ᾽ ἵνα πληρωθῇ ὁ λόγος ὁ 25
γεγραμμένος˚ ἐν τῷ νόμῳ αὐτῶν ὅτι ἐμίσησάν με δωρεάν ◦
ὅταν δὲ˚ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ 26
πατρὸς τὸ πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκ-
πορεύεται ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ ◦ καὶ ὑμεῖς δὲ 27
μαρτυρεῖτε ὅτι ἀπ᾽ ἀρχῆς μετ᾽ ἐμοῦ ἐστε ◦

Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε ◦ ἀποσυν- **16**, 2
αγώγους ποιήσουσιν ὑμᾶς ἀλλ᾽ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀ-
ποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ ◦ καὶ 3
ταῦτα ποιήσουσιν ὑμῖν ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐ-
δὲ ἐμέ ◦ ἀλλὰ ταῦτα λελάληκα ὑμῖν ἵνα ὅταν ἔλθῃ ἡ ὥρα 4
μνημονεύητε αὐτῶν ὅτι ἐγὼ εἶπον ὑμῖν ταῦτα δὲ ὑμῖν ἐξ
ἀρχῆς οὐκ εἶπον ὅτι μεθ᾽ ὑμῶν ἤμην ◦ νῦν δὲ ὑπάγω πρὸς 5

**v.16** ΤΚV: δω, M: δωη. **v.21** T*: υμιν, V: εις υμας. **v.22** T*: ειχον, V: ειχοσαν. **v.24** T*: πεποιηκεν, V: εποιησεν. **v.24** ΤΚV: ουκ, M: ουχ. **v.24** T*: ειχον, V: ειχοσαν. **v.25** T*: γεγραμμενος εν τω νομω αυτων, V: εν τω νομω αυτων γεγραμμενος. **v.26** T*: δε, V: ∅. **16. v.3** ΤΚ: υμιν, MV: ∅. **v.4** T*: ωρα, V: ωρα αυτων.

τὸν πέμψαντά με καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με ποῦ ὑπά-
6 γεις ◦ ἀλλ᾽ ὅτι ταῦτα λελάληκα ὑμῖν ἡ λύπη πεπλήρωκεν
7 ὑμῶν τὴν καρδίαν ◦ ἀλλ᾽ ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν συμ-
φέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω ἐὰν γὰρ μὴ ἀπέλθω ὁ παρά-
κλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς ἐὰν δὲ πορευθῶ πέμψω
8 αὐτὸν πρὸς ὑμᾶς ◦ καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον
περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως ◦
9, 10 περὶ ἁμαρτίας μὲν ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ ◦ περὶ δι-
καιοσύνης δὲ ὅτι πρὸς τὸν πατέρα μοῦ ὑπάγω καὶ οὐκ˚
11 ἔτι θεωρεῖτέ με ◦ περὶ δὲ κρίσεως ὅτι ὁ ἄρχων τοῦ κόσμου
12 τούτου κέκριται ◦ ἔτι πολλὰ ἔχω λέγειν˚ ὑμῖν ἀλλ᾽ οὐ δύ-
13 νασθε βαστάζειν ἄρτι ◦ ὅταν δὲ ἔλθῃ ἐκεῖνος τὸ πνεῦμα τῆς
ἀληθείας ὁδηγήσει ὑμᾶς εἰς˚ πᾶσαν τὴν ἀλήθειαν οὐ γὰρ
λαλήσει ἀφ᾽ ἑαυτοῦ ἀλλ᾽ ὅσα ἂν˚ ἀκούσῃ λαλήσει καὶ τὰ
14 ἐρχόμενα ἀναγγελεῖ ὑμῖν ◦ ἐκεῖνος ἐμὲ δοξάσει ὅτι ἐκ τοῦ
15 ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν ◦ πάντα ὅσα ἔχει ὁ πα-
τὴρ ἐμά ἐστιν διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται
16 καὶ ἀναγγελεῖ ὑμῖν ◦ μικρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν
μικρὸν καὶ ὄψεσθέ με ὅτι˚ ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα ◦
17 εἶπὸν οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους τί ἐστιν
τοῦτο ὃ λέγει ἡμῖν μικρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν μι-
κρὸν καὶ ὄψεσθέ με καὶ ὅτι ἐῲ ὑπάγω πρὸς τὸν πατέρα ◦
18 ἔλεγον οὖν τοῦτο˚ τί ἐστιν ὃ λέγει τὸ μικρὸν οὐκ οἴδαμεν
19 τί λαλεῖ ◦ ἔγνω οὖν˚ ὁ ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν καὶ
εἶπεν αὐτοῖς περὶ τούτου ζητεῖτε μετ᾽ ἀλλήλων ὅτι εἶπον μι-
κρὸν καὶ οὐ θεωρεῖτέ με καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με ◦
20 ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς ὁ
δὲ κόσμος χαρήσεται ὑμεῖς δὲ˚ λυπηθήσεσθε ἀλλ᾽ ἡ λύπη
21 ὑμῶν εἰς χαρὰν γενήσεται ◦ ἡ γυνὴ ὅταν τίκτῃ λύπην ἔχει

---

**v.7** ΤΚV: γαρ, M: γαρ εγω. **v.10** T*: μου, V: ∅. **v.10** ΤΚ: ουκ ετι, MV: ουκετι. **v.12** T*: λεγειν υμιν, V: υμιν λεγειν. **v.13** T*: εις πασαν την αληθειαν, V: εν τη αληθεια παση. **v.13** T*: αν ακουση, V: ακουσει. **v.14** T*: ληψεται, V: λημψεται. **v.15** ΤΚ: ληψεται, MV: λαμβανει. **v.16** T*: ου, V: ουκετι. **v.16** ΤΚ: οτι εγω υπαγω προς τον πατερα, M: οτι υπαγω προς τον πατερα, V: ∅. **v.17** T*: ειπον, V: ειπαν. **v.17** T*: εγω, V: ∅. **v.18** T*: τουτο τι εστιν, V: τι εστιν τουτο. **v.19** T*: ουν ο, V: [ο]. **v.20** T*: δε, V: ∅.

ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς ὅταν δὲ γεννήσῃ τὸ παιδίον οὐκ᾽
ἔτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη
ἄνθρωπος εἰς τὸν κόσμον ◦ καὶ ὑμεῖς οὖν λύπην᾽ μὲν νῦν 22
ἔχετε πάλιν δὲ ὄψομαι ὑμᾶς καὶ χαρήσεται ὑμῶν ἡ καρδία
καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ᾽ ὑμῶν ◦ καὶ ἐν ἐκείνῃ 23
τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδὲν ἀμὴν ἀμὴν λέγω ὑμῖν
ὅτι᾽ ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου δώσει ὑ-
μῖν ◦ ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου αἰτεῖτε 24
καὶ λήψεσθε ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη ◦ ταῦτα ἐν 25
παροιμίαις λελάληκα ὑμῖν ἀλλ᾽ ἔρχεται ὥρα ὅτε οὐκ᾽ ἔτι ἐν
παροιμίαις λαλήσω ὑμῖν ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς
ἀνaγγελῶ ὑμῖν ◦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰ- 26
τήσεσθε καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ
ὑμῶν ◦ αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς ὅτι ὑμεῖς ἐμὲ πεφι- 27
λήκατε καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ θεοῦ ἐξῆλθον ◦
ἐξῆλθον παρὰ τοῦ πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον πά- 28
λιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν πατέρα ◦
λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἴδε νῦν παρρησίᾳ λα- 29
λεῖς καὶ παροιμίαν οὐδεμίαν λέγεις ◦ νῦν οἴδαμεν ὅτι οἶ- 30
δας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ ἐν τούτῳ
πιστεύομεν ὅτι ἀπὸ θεοῦ ἐξῆλθες ◦ ἀπεκρίθη αὐτοῖς ὁ᾽ ἰη- 31
σοῦς ἄρτι πιστεύετε ◦ ἰδοὺ ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν 32
ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια καὶ᾽ ἐμὲ μόνον ἀφῆτε
καὶ οὐκ εἰμὶ μόνος ὅτι ὁ πατὴρ μετ᾽ ἐμοῦ ἐστιν ◦ ταῦτα λε- 33
λάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε ἐν τῷ κόσμῳ θλίψιν
ἔξετε ἀλλὰ θαρσεῖτε ἐγὼ νενίκηκα τὸν κόσμον ◦

Ταῦτα ἐλάλησεν ὁ᾽ ἰησοῦς καὶ ἐπῆρεν τοὺς ὀφθαλμοὺς **17**
αὐτοῦ εἰς τὸν οὐρανὸν καὶ εἶπεν πάτερ ἐλήλυθεν ἡ ὥρα δό-

**v.21** TK: ουκ ετι, MV: ουκετι. **v.22** T*: λυπην μεν νυν, V: νυν μεν λυπην. **v.23** T*: οτι οσα αν, V: αν τι. **v.24** T*: ληψεσθε, V: λημψεσθε. **v.25** TM: αλλ, KV: ∅. **v.25** TK: ουκ ετι, MV: ουκετι. **v.25** T*: αναγγελω, V: απαγγελω. **v.29** T*: αυτω, V: ∅. **v.29** T*: παρρησια, V: εν παρρησια. **v.31** T*: ο, V: ∅. **v.32** T*: νυν, V: ∅. **v.32** T*: και εμε, V: καμε. **v.33** MV: ἔχετε, K: ἔξετε, T: ἔξετε, In the actual Stephanus 1550 facsimile I read: ἔ§ᵡετε, i.e., with the letter ξ crossed out and χ written above. **17. v.1** T*: ο, V: ∅. **v.1** T*: επηρεν, V: επαρας. **v.1** T*: και, V: ∅.

2 ξασόν σου τὸν υἱὸν ἵνα καὶ᾽ ὁ υἱός σου δοξάσῃ σέ· καθὼς
ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς ἵνα πᾶν ὃ δέδωκας
3 αὐτῷ δώσῃ αὐτοῖς ζωὴν αἰώνιον· αὕτη δέ ἐστιν ἡ αἰώνιος
ζωὴ ἵνα γινώσκωσίν σε τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀ-
4 πέστειλας ἰησοῦν χριστόν· ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς τὸ
5 ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι ἵνα ποιήσω· καὶ νῦν δό-
ξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ
6 τὸν κόσμον εἶναι παρὰ σοί· ἐφανέρωσά σου τὸ ὄνομα τοῖς
ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου σοὶ ἦσαν καὶ᾽
7 ἐμοὶ αὐτοὺς δέδωκας καὶ τὸν λόγον σου τετηρήκασιν· νῦν
8 ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστιν· ὅτι
τὰ ῥήματα ἃ δέδωκάς μοι δέδωκα αὐτοῖς καὶ αὐτοὶ ἔλαβον
καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον καὶ ἐπίστευσαν
9 ὅτι σύ με ἀπέστειλας· ἐγὼ περὶ αὐτῶν ἐρωτῶ οὐ περὶ τοῦ
κόσμου ἐρωτῶ ἀλλὰ περὶ ὧν δέδωκάς μοι ὅτι σοί εἰσιν·
10 καὶ τὰ ἐμὰ πάντα σά ἐστιν καὶ τὰ σὰ ἐμὰ καὶ δεδόξασμαι
11 ἐν αὐτοῖς· καὶ οὐκ᾽ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ καὶ οὗτοι ἐν τῷ
κόσμῳ εἰσὶν καὶ᾽ ἐγὼ πρός σε ἔρχομαι πάτερ ἅγιε τήρη-
σον αὐτοὺς ἐν τῷ ὀνόματί σου οὓς δέδωκάς μοι ἵνα ὦσιν ἓν
12 καθὼς ἡμεῖς· ὅτε ἤμην μετ᾽ αὐτῶν ἐν᾽ τῷ κόσμῳ ἐγὼ ἐτή-
ρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου οὓς δέδωκάς μοι ἐφύλαξα
καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας
13 ἵνα ἡ γραφὴ πληρωθῇ· νῦν δὲ πρός σε ἔρχομαι καὶ ταῦτα
λαλῶ ἐν τῷ κόσμῳ ἵνα ἔχωσιν τὴν χαρὰν τὴν ἐμὴν πεπλη-
14 ρωμένην ἐν ἑαυτοῖς· ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου καὶ
ὁ κόσμος ἐμίσησεν αὐτοὺς ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου
15 καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου· οὐκ ἐρωτῶ ἵνα ἄρῃς
αὐτοὺς ἐκ τοῦ κόσμου ἀλλ᾽ ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ
16 πονηροῦ· ἐκ τοῦ κόσμου οὐκ εἰσὶν καθὼς ἐγὼ ἐκ᾽ τοῦ κό-

**v.1** T*: και ο υιος σου, V: ο υιος. **v.2** TKV: δωση, M: δωσει. **v.4** T*: ετελειωσα, V: τελειωσας. **v.6** T*: δεδωκας, V: εδωκας. **v.6** T*: και εμοι, V: καμοι. **v.6** T*: τετηρηκασιν, V: τετηρηκαν. **v.7** T*: εστιν, V: εισιν. **v.8** T*: δεδωκας, V: εδωκας. **v.11** TK: ουκ ετι, MV: ουκετι. **v.11** T*: ουτοι, V: αυτοι. **v.11** T*: και εγω, V: καγω. **v.11** TK: ους, MV: ω. **v.12** T*: εν τω κοσμω, V: ∅. **v.12** T*: ους, V: ω. **v.12** T*: εφυλαξα, V: και εφυλαξα. **v.13** T*: αυτοις, V: εαυτοις. **v.16** T*: εκ του κοσμου ουκ ειμι, V: ουκ ειμι εκ του κοσμου.

σμου οὐκ εἰμί ⸰ ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ ὁου ὁ λόγος 17
ὁ σὸς ἀλήθειά ἐστιν ⸰ καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον 18
κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον ⸰ καὶ ὑπὲρ αὐτῶν 19
ἐγὼ ἁγιάζω ἐμαυτὸν ἵνα καὶ˚ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀ-
ληθείᾳ ⸰ οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον ἀλλὰ καὶ περὶ τῶν 20
πιστευσόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ ⸰ ἵνα πάντες ἓν 21
ὦσιν καθὼς σὺ πάτερ ἐν ἐμοὶ κἀγὼ ἐν σοὶ ἵνα καὶ αὐτοὶ ἐν
ἡμῖν ἓν ὦσιν ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας ⸰
καὶ˚ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς ἵνα ὦσιν 22
ἓν καθὼς ἡμεῖς ἕν ἐσμεν ⸰ ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ 23
ἵνα ὦσιν τετελειωμένοι εἰς ἓν κἀι ἵνα γινώσκῃ ὁ κόσμος ὅτι
σύ με ἀπέστειλας καὶ ἠγάπησαϛ αὐτοὺς καθὼς ἐμὲ ἠγά-
πησας ⸰ πάτερ ὃὺς δέδωκάς μοι θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ 24
κἀκεῖνοι ὦσιν μετ˚ ἐμοῦ ἵνα θεωρῶσιν τὴν δόξαν τὴν ἐμὴν
ἣν ἔδὼκάς μοι ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου ⸰
πάτερ δίκαιε καὶ ὁ κόσμος σε οὐκ ἔγνω ἐγὼ δέ σε ἔγνων καὶ 25
οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας ⸰ καὶ ἐγνώρισα αὐτοῖς 26
τὸ ὄνομά σου καὶ γνωρίσω ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με
ἐν αὐτοῖς ᾖ κἀγὼ ἐν αὐτοῖς ⸰

Ταῦτα εἰπὼν ὁ˚ ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐ- **18**
τοῦ πέραν τοῦ χειμάρρου τ̔ῶν κέδρων ὅπου ἦν κῆπος εἰς ὃν
εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ ⸰ ᾔδει δὲ καὶ ἰούδας 2
ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον ὅτι πολλάκις συνήχθη ὁ˚
ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ ⸰ ὁ οὖν ἰούδας λαβὼν 3
τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων κἀὶ φαρισαίων ὑπηρέ-
τας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων ⸰
ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ˚ αὐτὸν ἐξελθὼν˚ 4
εἶπεν αὐτοῖς τίνα ζητεῖτε ⸰ ἀπεκρίθησαν αὐτῷ˙ ἰησοῦν τὸν 5
ναζωραῖον λέγει αὐτοῖς ὁ˚ ἰησοῦς ἐγώ εἰμι εἱστήκει δὲ καὶ

---

**v.17** T*: σου, V: ∅. **v.19** T*: και αυτοι ωσιν, V: ωσιν και αυτοι. **v.20** TK: πιστευσοντων, MV: πιστευοντων. **v.21** T*: εν, V: ∅. **v.21** T*: πιστευση, V: πιστευη. **v.22** T*: και εγω, V: καγω. **v.22** T*: εσμεν, V: ∅. **v.23** T*: και, V: ∅. **v.23** E: ηγαπησας, D: ηγαπησα. **v.24** T*: ους, V: ο. **v.24** T*: εδωκας, V: δεδωκας. **18. v.1** T*: ο, V: ∅. **v.1** T*: των, V: του. **v.2** TK: ο, M: και ο, V: ∅. **v.3** T*: και, V: και εκ των. **v.4** T*: εξελθων ειπεν, V: εξηλθεν και λεγει. **v.5** T*: ο ιησους, V: ∅.

6 ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ᾽ αὐτῶν ⸰ ὡς οὖν εἶπεν αὐ-
τοῖς ὅτι ἐγώ εἰμι ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσὸν χαμαί ⸰
7 πάλιν οὖν αὐτοὺς˚ ἐπηρώτησεν τίνα ζητεῖτε οἱ δὲ εἶπὸν ἰ-
8 ησοῦν τὸν ναζωραῖον ⸰ ἀπεκρίθη ὁ˚ ἰησοῦς εἶπον ὑμῖν ὅτι
9 ἐγώ εἰμι εἰ οὖν ἐμὲ ζητεῖτε ἄφετε τούτους ὑπάγειν ⸰ ἵνα
πληρωθῇ ὁ λόγος ὃν εἶπεν ὅτι οὓς δέδωκάς μοι οὐκ ἀπώ-
10 λεσα ἐξ αὐτῶν οὐδένα ⸰ σίμων οὖν πέτρος ἔχων μάχαιραν
εἵλκυσεν αὐτὴν καὶ ἔπαισεν τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ
ἀπέκοψεν αὐτοῦ τὸ ὠτίὸν τὸ δεξιὸν ἦν δὲ ὄνομα τῷ δούλῳ
11 μάλχος ⸰ εἶπεν οὖν ὁ ἰησοῦς τῷ πέτρῳ βάλε τὴν μάχαιράν
ὅου εἰς τὴν θήκην τὸ ποτήριον ὃ δέδωκέν μοι ὁ πατὴρ οὐ
12 μὴ πίω αὐτό ⸰ ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέ-
ται τῶν ἰουδαίων συνέλαβον τὸν ἰησοῦν καὶ ἔδησαν αὐτόν ⸰
13 καὶ ἀπήγαγον˚ αὐτὸν πρὸς ἄνναν πρῶτον ἦν γὰρ πενθερὸς
14 τοῦ καϊάφα ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου ⸰ ἦν δὲ
καϊάφας ὁ συμβουλεύσας τοῖς ἰουδαίοις ὅτι συμφέρει ἕνα
15 ἄνθρωπον ἀπόλέσθαι ὑπὲρ τοῦ λαοῦ ⸰ ἠκολούθει δὲ τῷ ἰ-
ησοῦ σίμων πέτρος καὶ ὁ˚ ἄλλος μαθητὴς ὁ δὲ μαθητὴς
ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ καὶ συνεισῆλθεν τῷ ἰησοῦ
16 εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως ⸰ ὁ δὲ πέτρος εἱστήκει πρὸς τῇ
θύρᾳ ἔξω ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος ὃς˚ ἦν γνωστὸς τῷ
ἀρχιερεῖ καὶ εἶπεν τῇ θυρωρῷ καὶ εἰσήγαγεν τὸν πέτρον ⸰
17 λέγει οὖν ἡ˚ παιδίσκη ἡ θυρωρὸς τῷ πέτρῳ μὴ καὶ σὺ ἐκ
τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου λέγει ἐκεῖνος οὐκ
18 εἰμί ⸰ εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν
πεποιηκότες ὅτι ψῦχος ἦν καὶ ἐθερμαίνοντο ἦν δὲ μετ᾽˚ αὐ-
19 τῶν ὁ πέτρος ἑστὼς καὶ θερμαινόμενος ⸰ ὁ οὖν ἀρχιερεὺς
ἠρώτησεν τὸν ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς
20 διδαχῆς αὐτοῦ ⸰ ἀπεκρίθη αὐτῷ ὁ˚ ἰησοῦς ἐγὼ παρρησίᾳ

---

**v.6** T*: οτι, V: ∅. **v.6** T*: επεσον, V: επεσαν. **v.7** T*: αυτους επηρωτησεν, V: επηρωτησεν αυτους. **v.7** T*: ειπον, V: ειπαν. **v.8** TK: ο, MV: ∅. **v.10** T*: ωτιον, V: ωταριον. **v.11** T*: σου, V: ∅. **v.13** T*: απηγαγον αυτον, V: ηγαγον. **v.14** T*: απολεσθαι, V: αποθανειν. **v.15** TM: ο, KV: ∅. **v.16** T*: ος ην γνωστος τω αρχιερει, V: ο γνωστος του αρχιερεως. **v.17** T*: η παιδισκη η θυρωρος τω πετρω, V: τω πετρω η παιδισκη η θυρωρος. **v.18** T*: μετ αυτων ο πετρος, V: και ο πετρος μετ αυτων. **v.20** T*: ο, V: ∅.

ἐλάληὁα τῷ κόσμῳ ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ
καὶ ἐν τῷ ἱερῷ ὅπου πάντὁτε οἱ ἰουδαῖοι συνέρχονται καὶ
ἐν κρυπτῷ ἐλάλησα οὐδέν· τί με ἐπερωτᾷς˚ ἐπερώτησον 21
τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς ἴδε οὗτοι οἴδασιν ἃ εἶ-
πον ἐγώ· ταῦτα δὲ αὐτοῦ εἰπόντος εἷς τῶν˚ ὑπηρετῶν πα- 22
ρεστηκὼς ἔδωκεν ῥάπισμα τῷ ἰησοῦ εἰπὼν οὕτως ἀποκρίνῃ
τῷ ἀρχιερεῖ· ἀπεκρίθη αὐτῷ ὁ˚ ἰησοῦς εἰ κακῶς ἐλάλησα 23
μαρτύρησον περὶ τοῦ κακοῦ εἰ δὲ καλῶς τί με δέρεις· ἀπέ- 24
στειλεν αὐτὸν ὁ ἄννας δεδεμένον πρὸς καϊάφαν τὸν ἀρχι-
ερέα· ἦν δὲ σίμων πέτρος ἑστὼς καὶ θερμαινόμενος εἶπον 25
οὖν αὐτῷ μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ ἠρνήσατὁ
ἐκεῖνος καὶ εἶπεν οὐκ εἰμί· λέγει εἷς ἐκ τῶν δούλων τοῦ 26
ἀρχιερέως συγγενὴς ὢν οὗ ἀπέκοψεν πέτρος τὸ ὠτίον οὐκ
ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ᾽ αὐτοῦ· πάλιν οὖν ἠρνήσατο 27
ὁ˚ πέτρος καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν· ἄγουσιν οὖν τὸν 28
ἰησοῦν ἀπὸ τοῦ καϊάφα εἰς τὸ πραιτώριον ἦν δὲ πρῲΐα καὶ
αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον ἵνα μὴ μιανθῶσιν
ἀλλ᾽˚ ἵνα φάγωσιν τὸ πάσχα· ἐξῆλθεν οὖν ὁ πιλάτος ἠρὸς 29
αὐτοὺς καὶ εἶἤπεν τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώ-
που τούτου· ἀπεκρίθησαν καὶ εἶἤπὸν αὐτῷ εἰ μὴ ἦν οὗτος 30
κακοἤοιὸς οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν· εἶἤπεν οὖν αὐ- 31
τοῖς ὁ πιλάτος λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν
κρίνατε αὐτὸν εἶἤπον ὦὖν αὐτῷ οἱ ἰουδαῖοι ἡμῖν οὐκ ἔξεστιν
ἀποκτεῖναι οὐδένα· ἵνα ὁ λόγος τοῦ ἰησοῦ πληρωθῇ ὃν 32
εἶἤπεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν· εἰσ- 33
ῆλθεν οὖν εἰς˚ τὸ πραιτώριον πάλιν ὁ πιλάτος καὶ ἐφώνησεν
τὸν ἰησοῦν καὶ εἶἤπεν αὐτῷ σὺ εἶ ὁ βασιλεὺς τῶν ἰουδαίων·
ἀπεκρίθη αὐτῷ˚ ὁ ἰησοῦς ἀφ᾽ ἑαυτοῦ σὺ τοῦτο λέγεις ἢ ἄλ- 34

---

**v.20** T*: ελαλησα, V: λελαληκα. **v.20** TK: τη, MV: ∅. **v.20** T*: παντοτε, V: παντες. **v.21** T*: επερωτας επερωτησον, V: ερωτας ερωτησον. **v.22** T*: των υπηρετων παρεστηκως, V: παρεστηκως των υπηρετων. **v.23** T*: ο, V: ∅. **v.24** TM: απεστειλεν, KV: απεστειλεν ουν. **v.25** TKV: ηρνησατο, M: ηρνησατο ουν. **v.27** T*: ο, V: ∅. **v.28** TK: πρωια, MV: πρωι. **v.28** T*: αλλ ινα, V: αλλα. **v.29** T*: προς, V: εξω προς. **v.29** T*: ειπεν, V: φησιν. **v.30** T*: ειπον, V: ειπαν. **v.30** T*: κακοποιος, V: κακον ποιων. **v.31** T*: ουν, V: ∅. **v.33** T*: εις το πραιτωριον παλιν, V: παλιν εις το πραιτωριον. **v.34** T*: αυτω ο ιησους αφ εαυτου, V: ιησους απο σεαυτου.

35 λοι σοι˚ εἶπον περὶ ἐμοῦ ⸰ ἀπεκρίθη ὁ πιλάτος μήτι ἐγὼ
ἰουδαῖός εἰμι τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν
36 σε ἐμοὶ τί ἐποίησας ⸰ ἀπεκρίθη ὁ˚ ἰησοῦς ἡ βασιλεία ἡ ἐμὴ
οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου εἰ ἐκ τοῦ κόσμου τούτου
ἦν ἡ βασιλεία ἡ ἐμὴ οἱ ὑπηρέται ἂν˚ οἱ ἐμοὶ ἠγωνίζοντο
ἵνα μὴ παραδοθῶ τοῖς ἰουδαίοις νῦν δὲ ἡ βασιλεία ἡ ἐ-
37 μὴ οὐκ ἔστιν ἐντεῦθεν ⸰ εἶπεν οὖν αὐτῷ ὁ πιλάτος οὐκοῦν
βασιλεὺς εἶ σὺ ἀπεκρίθη ὁ˚ ἰησοῦς σὺ λέγεις ὅτι βασιλεύς
εἰμι ἐγὼ ἐγὼ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα
εἰς τὸν κόσμον ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ πᾶς ὁ ὢν ἐκ τῆς
38 ἀληθείας ἀκούει μου τῆς φωνῆς ⸰ λέγει αὐτῷ ὁ πιλάτος τί
ἐστιν ἀλήθεια καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθεν πρὸς τοὺς ἰ-
ουδαίους καὶ λέγει αὐτοῖς ἐγὼ οὐδεμίαν αἰτίαν˚ εὑρίσκω ἐν
39 αὐτῷ ⸰ ἔστιν δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν˚ ἀπολύσω ἐν τῷ
πάσχα βούλεσθε οὖν ὑμῖν˚ ἀπολύσω τὸν βασιλέα τῶν ἰου-
40 δαίων ⸰ ἐκραύγασαν οὖν πάλιν πάντες λέγοντες μὴ τοῦτον
ἀλλὰ τὸν βαραββᾶν ἦν δὲ ὁ βαραββᾶς λῃστής ⸰

**19** Τότε οὖν ἔλαβεν ὁ πιλάτος τὸν ἰησοῦν καὶ ἐμαστίγωσεν ⸰
2 καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθη-
καν αὐτοῦ τῇ κεφαλῇ καὶ ἱμάτιον πορφυροῦν περιέβαλον
3 αὐτόν ⸰ κἀι ἔλεγον χαῖρε ὁ βασιλεὺς τῶν ἰουδαίων καὶ ἐ-
4 δίδουν αὐτῷ ῥαπίσματα ⸰ ἐξῆλθεν˚ οὖν πάλιν ἔξω ὁ πιλά-
τος καὶ λέγει αὐτοῖς ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω ἵνα γνῶτε ὅτι
5 ἐν˚ αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω ⸰ ἐξῆλθεν οὖν ὁ ἰησοῦς
ἔξω φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱ-
6 μάτιον καὶ λέγει αὐτοῖς ἴδὲ ὁ ἄνθρωπος ⸰ ὅτε οὖν εἶδον
αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται ἐκραύγασαν λέγοντες
σταύρωσον σταύρωσον˙ λέγει αὐτοῖς ὁ πιλάτος λάβετε αὐ-
τὸν ὑμεῖς καὶ σταυρώσατε ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ

---

**v.34** T*: σοι ειπον, V: ειπον σοι. **v.36** TK: ο, MV: ∅. **v.36** T*: αν οι εμοι ηγωνιζοντο, V: οι εμοι ηγωνιζοντο [αν]. **v.37** TKV: ο, M: ∅. **v.37** T*: εγω, V: ∅. **v.38** T*: αιτιαν ευρισκω εν αυτω, V: ευρισκω εν αυτω αιτιαν. **v.39** T*: υμιν απολυσω, V: απολυσω υμιν. **v.40** T*: παντες, V: ∅. **19. v.3** T*: και, V: και ηρχοντο προς αυτον και. **v.3** T*: εδιδουν, V: εδιδοσαν. **v.4** T*: εξηλθεν ουν, V: και εξηλθεν. **v.4** T*: εν αυτω ουδεμιαν αιτιαν ευρισκω, V: ουδεμιαν αιτιαν ευρισκω εν αυτω. **v.5** T*: ιδε, V: ιδου. **v.6** TKV: σταυρωσον, M: σταυρωσον αυτον.

αἰτίαν ⸰ ἀπεκρίθησαν αὐτῷ οἱ ἰουδαῖοι ἡμεῖς νόμον ἔχομεν 7
καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν ὅτι ἑαυτὸν˚ υἱ-
ὸν θεοῦ ἐποίησεν ⸰ ὅτε οὖν ἤκουσεν ὁ πιλάτος τοῦτον τὸν 8
λόγον μᾶλλον ἐφοβήθη ⸰ καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον 9
πάλιν καὶ λέγει τῷ ἰησοῦ πόθεν εἶ σὺ ὁ δὲ ἰησοῦς ἀπό-
κρισιν οὐκ ἔδωκεν αὐτῷ ⸰ λέγει οὖν αὐτῷ ὁ πιλάτος ἐμοὶ 10
οὐ λαλεῖς οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ
ἐξουσίαν ἔχω ἀπολῦσαί σε ⸰ ἀπεκρίθη ὁ˚ ἰησοῦς οὐκ εἶ- 11
χες ἐξουσίαν οὐδεμίαν˚ κατ᾽ ἐμοῦ εἰ μὴ ἦν σοι˚ δεδομένον
ἄνωθεν διὰ τοῦτο ὁ παράδιδούς μέ σοι μείζονα ἁμαρτίαν
ἔχει ⸰ ἐκ τούτου ἐζήτει˚ ὁ πιλάτος ἀπολῦσαι αὐτὸν οἱ δὲ 12
ἰουδαῖοι ἔκραζον λέγοντες ἐὰν τοῦτον ἀπολύσῃς οὐκ εἶ φί-
λος τοῦ καίσαρος πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει
τῷ καίσαρι ⸰ ὁ οὖν πιλάτος ἀκούσας τοῦτον˚ τὸν λογὸν ἤ- 13
γαγεν ἔξω τὸν ἰησοῦν καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς
τόπον λεγόμενον λιθόστρωτον ἑβραϊστὶ δὲ γαββαθᾶ ⸰ ἦν δὲ 14
παρασκευὴ τοῦ πάσχα ὥρα δὲ˚ ὡσεὶ ἕκτη καὶ λέγει τοῖς
ἰουδαίοις ἴδε ὁ βασιλεὺς ὑμῶν ⸰ οἱ˚ δὲ ἐκραύγασαν ἆρον 15
ἆρον σταύρωσον αὐτὸν λέγει αὐτοῖς ὁ πιλάτος τὸν βασι-
λέα ὑμῶν σταυρώσω ἀπεκρίθησαν οἱ ἀρχιερεῖς οὐκ ἔχο-
μεν βασιλέα εἰ μὴ καίσαρα ⸰ τότε οὖν παρέδωκεν αὐτὸν 16
αὐτοῖς ἵνα σταυρωθῇ παρέλαβον δὲ˚ τὸν ἰησοῦν καὶ ἀπή-
γαγον ⸰ καὶ βαστάζων τὸν˚ σταυρὸν αὐτοῦ ἐξῆλθεν εἰς τὸν˚ 17
λεγόμενον κρανίου τόπον ὃς λέγεται ἑβραϊστὶ γολγοθᾶ ⸰ ὅ- 18
που αὐτὸν ἐσταύρωσαν καὶ μετ᾽ αὐτοῦ ἄλλους δύο ἐντεῦθεν
καὶ ἐντεῦθεν μέσον δὲ τὸν ἰησοῦν ⸰ ἔγραψεν δὲ καὶ τίτλον 19

---

**v.7** T*: ημων, V: ∅. **v.7** T: εαυτον υιον θεου, K: εαυτον υιον του θεου, M: εαυτον θεου υιον, V: υιον θεου εαυτον. **v.10** T*: σταυρωσαι, V: απολυσαι. **v.10** T*: απολυσαι, V: σταυρωσαι. **v.11** TK: ο, M: ∅, V: [αυτω]. **v.11** T*: ουδεμιαν κατ εμου, V: κατ εμου ουδεμιαν. **v.11** T*: σοι δεδομενον, V: δεδομενον σοι. **v.11** T*: παραδιδους, V: παραδους. **v.12** T*: εζητει ο πιλατος, V: ο πιλατος εζητει. **v.12** T*: εκραζον, V: εκραυγασαν. **v.12** TK: αυτον, MV: εαυτον. **v.13** T*: τουτον τον λογον, V: των λογων τουτων. **v.13** T*: του, V: ∅. **v.14** T*: δε ωσει, V: ην ως. **v.15** T*: οι δε εκραυγασαν, V: εκραυγασαν ουν εκεινοι. **v.16** TK: δε τον ιησουν και απηγαγον, M: δε τον ιησουν και ηγαγον, V: ουν τον ιησουν. **v.17** T*: τον σταυρον αυτου, V: εαυτω τον σταυρον. **v.17** TK: τον λεγομενον κρανιου τοπον ος, M: τοπον λεγομενον κρανιου τοπον ος, V: τον λεγομενον κρανιου τοπον ο.

ὁ πιλάτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ ἦν δὲ γεγραμμένον
20 ἰησοῦς ὁ ναζωραῖος ὁ βασιλεὺς τῶν ἰουδαίων ⸰ τοῦτον οὖν
τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν ἰουδαίων ὅτι ἐγγὺς ἦν τῆς˚
πόλεως ὁ τόπος ὅπου ἐσταυρώθη ὁ ἰησοῦς καὶ ἦν γεγραμ-
21 μένον ἑβραϊστὶ ἑλληνιστὶ˚ ῥωμαϊστί ⸰ ἔλεγον οὖν τῷ πιλάτῳ
οἱ ἀρχιερεῖς τῶν ἰουδαίων μὴ γράφε ὁ βασιλεὺς τῶν ἰου-
δαίων ἀλλ᾽ ὅτι ἐκεῖνος εἶπεν βασιλεύς εἰμι τῶν ἰουδαίων ⸰
22, 23 ἀπεκρίθη ὁ πιλάτος ὃ γέγραφα γέγραφα ⸰ οἱ οὖν στρατιῶ-
ται ὅτε ἐσταύρωσαν τὸν ἰησοῦν ἔλαβον τὰ ἱμάτια αὐτοῦ καὶ
ἐποίησαν τέσσαρα μέρη ἑκάστῳ στρατιώτῃ μέρος καὶ τὸν
χιτῶνα ἦν δὲ ὁ χιτὼν ἄρραφος ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι᾽
24 ὅλου ⸰ εἶπὸν οὖν πρὸς ἀλλήλους μὴ σχίσωμεν αὐτὸν ἀλλὰ
λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται ἵνα ἡ γραφὴ πληρωθῇ ἡ
λέγουσα διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν
ἱματισμόν μου ἔβαλον κλῆρον οἱ μὲν οὖν στρατιῶται ταῦτα
25 ἐποίησαν ⸰ εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ ἰησοῦ ἡ
μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ μαρία ἡ τοῦ
26 κλωπᾶ καὶ μαρία ἡ μαγδαληνή ⸰ ἰησοῦς οὖν ἰδὼν τὴν μη-
τέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα λέγει τῇ μητρὶ
27 αὐτοῦ γύναι ἰδοὺ ὁ υἱός σου ⸰ εἶτα λέγει τῷ μαθητῇ ἰδοὺ ἡ
μήτηρ σου καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν˚ ὁ μα-
28 θητὴς εἰς τὰ ἴδια ⸰ μετὰ τοῦτο εἰδὼς ὁ ἰησοῦς ὅτι πάντα˚
29 ἤδη τετέλεσται ἵνα τελειωθῇ ἡ γραφὴ λέγει διψῶ ⸰ σκεῦος
ὁῦν ἔκειτο ὄξους μεστὸν οἱ˚ δὲ πλήσαντες σπόγγον ὄξους
καὶ ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι ⸰
30 ὅτε οὖν ἔλαβεν τὸ ὄξος ὁ ἰησοῦς εἶπεν τετέλεσται καὶ κλί-
31 νας τὴν κεφαλὴν παρέδωκεν τὸ πνεῦμα ⸰ οἱ οὖν ἰουδαῖοι
ἵνα˚ μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ

---

**v.20** ΤΚ: της πολεως ο τοπος, ΜV: ο τοπος της πολεως. **v.20** T*: ελληνιστι ρωμαιστι, V: ρωμαιστι ελληνιστι. **v.23** ΤΚ: αρραφος, ΜV: αραφος. **v.24** T*: ειπον, V: ειπαν. **v.26** T*: αυτου, V: ∅. **v.26** ΤΚ: ιδου, ΜV: ιδε. **v.27** T*: ιδου, V: ιδε. **v.27** ΤΚ: αυτην ο μαθητης, ΜV: ο μαθητης αυτην. **v.28** ΤΚV: ειδως, Μ: ιδων. **v.28** T*: παντα ηδη, V: ηδη παντα. **v.29** T*: ουν, V: ∅. **v.29** T*: οι δε πλησαντες σπογγον οξους και, V: σπογγον ουν μεστον του οξους. **v.31** ΤΜ: ινα μη μεινη επι του σταυρου τα σωματα εν τω σαββατω επει παρασκευη ην, ΚV: επει παρασκευη ην ινα μη μεινη επι του σταυρου τα σωματα εν τω σαββατω.

ἐπεὶ παρασκευὴ ἦν ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου ἠρώτησαν τὸν πιλάτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσιν ◦ ἦλθον οὖν οἱ στρατιῶται καὶ τοῦ μὲν 32
πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ ◦ ἐπὶ δὲ τὸν ἰησοῦν ἐλθόντες ὡς εἶδον αὐτὸν˚ 33
ἤδη τεθνηκότα οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη ◦ ἀλλ᾽ εἷς τῶν 34
στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν καὶ εὐθὺς˚ ἐξῆλθεν αἷμα καὶ ὕδωρ ◦ καὶ ὁ ἑωρακὼς μεμαρτύρηκεν καὶ 35
ἀληθινὴ αὐτοῦ˚ ἐστιν ἡ μαρτυρία κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει ἵνα ὑμεῖς˚ πιστεύσητε ◦ ἐγένετο γὰρ ταῦτα ἵνα ἡ γρα- 36
φὴ πληρωθῇ ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ ◦ καὶ πάλιν 37
ἑτέρα γραφὴ λέγει ὄψονται εἰς ὃν ἐξεκέντησαν ◦ μετὰ δὲ˚ 38
ταῦτα ἠρώτησεν τὸν πιλάτον ὁ˚ ἰωσὴφ ὁ ἀπὸ ἀριμαθαίας ὢν μαθητὴς τοῦ ἰησοῦ κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν ἰουδαίων ἵνα ἄρῃ τὸ σῶμα τοῦ ἰησοῦ καὶ ἐπέτρεψεν ὁ πιλάτος ἦλθεν οὖν καὶ ἦρεν τὸ σῶμα τοῦ˚ ἰησοῦ ◦ ἦλθεν δὲ 39
καὶ νικόδημος ὁ ἐλθὼν πρὸς τὸν˚ ἰησοῦν νυκτὸς τὸ πρῶτον φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν ◦
ἔλαβον οὖν τὸ σῶμα τοῦ ἰησοῦ καὶ ἔδησαν αὐτὸ ὀθονίοις 40
μετὰ τῶν ἀρωμάτων καθὼς ἔθος ἐστὶν τοῖς ἰουδαίοις ἐνταφιάζειν ◦ ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος καὶ ἐν 41
τῷ κήπῳ μνημεῖον καινὸν ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη ◦ ἐ- 42
κεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν ἰουδαίων ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον ἔθηκαν τὸν ἰησοῦν ◦

Τῇ δὲ μιᾷ τῶν σαββάτων μαρία ἡ μαγδαληνὴ ἔρχεται **20**
πρωΐ˙ σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου ◦ τρέχει οὖν καὶ ἔρχεται 2
πρὸς σίμωνα πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ ἰησοῦς καὶ λέγει αὐτοῖς ἦραν τὸν κύριον ἐκ τοῦ μνη-

**v.33** T*: αυτον ηδη, V: ηδη αυτον. **v.34** TK: ευθυς εξηλθεν, M: ευθεως εξηλθεν, V: εξηλθεν ευθυς. **v.35** TKV: αυτου εστιν, M: εστιν αυτου. **v.35** T*: κακεινος, V: και εκεινος. **v.35** T*: υμεις πιστευσητε, V: και υμεις πιστευ[σ]ητε. **v.38** TKV: δε, M: ∅. **v.38** T*: ο ιωσηφ ο, V: ιωσηφ [ο]. **v.38** T*: του ιησου, V: αυτου. **v.39** T*: τον ιησουν, V: αυτον. **v.39** TK: ωσει, MV: ως. **v.40** TKV: οθονιοις, M: εν οθονιοις. **v.41** T*: ετεθη, V: ην τεθειμενος.

3 μείου καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν ⸰ ἐξῆλθεν οὖν ὁ
πέτρος καὶ ὁ ἄλλος μαθητὴς καὶ ἤρχοντο εἰς τὸ μνημεῖον ⸰
4 ἔτρεχον δὲ οἱ δύο ὁμοῦ καὶ ὁ ἄλλος μαθητὴς προέδραμεν
5 τάχιον τοῦ πέτρου καὶ ἦλθεν πρῶτος εἰς τὸ μνημεῖον ⸰ καὶ
παρακύψας βλέπει κείμενα τὰ ὀθόνια οὐ μέντοι εἰσῆλθεν ⸰
6 ἔρχεται οὖν ὁίμων πέτρος ἀκολουθῶν αὐτῷ καὶ εἰσῆλθεν
7 εἰς τὸ μνημεῖον καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα ⸰ καὶ τὸ σου-
δάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ οὐ μετὰ τῶν ὀθονίων
8 κείμενον ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον ⸰ τότε
οὖν εἰσῆλθεν καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ
9 μνημεῖον καὶ εἶδεν καὶ ἐπίστευσεν ⸰ οὐδέπω γὰρ ᾔδεισαν
10 τὴν γραφὴν ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι ⸰ ἀπῆλθον
11 οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί ⸰ μαρία δὲ εἱστήκει
πρὸς τὸ˚ μνημεῖον κλαίουσα ἔξω ὡς οὖν ἔκλαιεν παρέκυ-
12 ψεν εἰς τὸ μνημεῖον ⸰ καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς
καθεζομένους ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσὶν
13 ὅπου ἔκειτο τὸ σῶμα τοῦ ἰησοῦ ⸰ καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι
γύναι τί κλαίεις λέγει αὐτοῖς ὅτι ἦραν τὸν κύριόν μου καὶ
14 οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν ⸰ κἀὶ ταῦτα εἰποῦσα ἐστράφη
εἰς τὰ ὀπίσω καὶ θεωρεῖ τὸν ἰησοῦν ἑστῶτα καὶ οὐκ ᾔδει ὅτι
15 ὁ˚ ἰησοῦς ἐστιν ⸰ λέγει αὐτῇ ὁ˚ ἰησοῦς γύναι τί κλαίεις τίνα
ζητεῖς ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστιν λέγει αὐτῷ
κύριε εἰ σὺ ἐβάστασας αὐτὸν εἰπέ μοι ποῦ αὐτὸν˚ ἔθηκας
16 κἀγὼ αὐτὸν ἀρῶ ⸰ λέγει αὐτῇ ὁ˚ ἰησοῦς μαρίἀ στραφεῖσα ἐ-
17 κείνη λέγει αὐτ̓ῷ ῥαββουνὶ ὃ λέγεται διδάσκαλε ⸰ λέγει αὐ-
τῇ ὁ˚ ἰησοῦς μή μου ἅπτου οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν
πατέρα μὀυ πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ
αὐτοῖς ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν
18 καὶ θεόν μου καὶ θεὸν ὑμῶν ⸰ ἔρχεται μαρίἀ ἡ μαγδαληνὴ

**20. v.6** T*: σιμων, V: και σιμων. **v.10** T*: εαυτους, V: αυτους. **v.11** T*: το μνημειον κλαιουσα εξω, V: τω μνημειω εξω κλαιουσα. **v.14** T*: και, V: ∅. **v.14** TK: ο, MV: ∅. **v.15** T*: ο, V: ∅. **v.15** TK: αυτον εθηκας, MV: εθηκας αυτον. **v.16** T*: ο, V: ∅. **v.16** T*: μαρια, V: μαριαμ. **v.16** T*: αυτω, V: αυτω εβραιστι. **v.17** T*: ο, V: ∅. **v.17** T*: μου, V: ∅. **v.18** T*: μαρια, V: μαριαμ.

ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακεν τὸν κύριον καὶ
ταῦτα εἶπεν αὐτῇ. οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ 19
μιᾷ τῶν σαββάτων καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν
οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν ἰουδαίων ἦλθεν ὁ
ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον καὶ λέγει αὐτοῖς εἰρήνη ὑμῖν.
καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν 20
αὐτοῦ ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν κύριον. εἶπεν 21
οὖν αὐτοῖς ὁ ἰησοῦς πάλιν εἰρήνη ὑμῖν καθὼς ἀπέσταλκέν
με ὁ πατήρ κἀγὼ πέμπω ὑμᾶς. καὶ τοῦτο εἰπὼν ἐνεφύση- 22
σεν καὶ λέγει αὐτοῖς λάβετε πνεῦμα ἅγιον. ἄν τινων ἀφῆτε 23
τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς ἄν τινων κρατῆτε κεκράτην-
ται. θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα ὁ λεγόμενος δίδυμος 24
οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ ἰησοῦς. ἔλεγον οὖν αὐτῷ 25
οἱ ἄλλοι μαθηταὶ ἑωράκαμεν τὸν κύριον ὁ δὲ εἶπεν αὐτοῖς
ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων καὶ
βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων καὶ βάλω
τὴν χεῖρα μου εἰς τὴν πλευρὰν αὐτοῦ οὐ μὴ πιστεύσω.
καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ 26
καὶ θωμᾶς μετ' αὐτῶν ἔρχεται ὁ ἰησοῦς τῶν θυρῶν κεκλει-
σμένων καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν εἰρήνη ὑμῖν. εἶτα 27
λέγει τῷ θωμᾷ φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖ-
ράς μου καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν
μου καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός. κἀὶ ἀπεκρίθη ὁ 28
θωμᾶς καὶ εἶπεν αὐτῷ ὁ κύριός μου καὶ ὁ θεός μου. λέγει 29
αὐτῷ ὁ ἰησοῦς ὅτι ἑώρακάς με θωμᾷ πεπίστευκας μακά-
ριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. πολλὰ μὲν οὖν καὶ 30
ἄλλα σημεῖα ἐποίησεν ὁ ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐ-
τοῦ ἃ οὐκ ἔστιν γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. ταῦτα δὲ 31
γέγραπται ἵνα πιστεύσητε ὅτι ὁ ἰησοῦς ἐστιν ὁ χριστὸς ὁ

---

**v.18** T*: απαγγελλουσα, V: αγγελλουσα. **v.18** T*: εωρακεν, V: εωρακα. **v.19** T*: των, V: ∅. **v.19** T*: συνηγμενοι, V: ∅. **v.20** T*: αυτοις τας χειρας και την πλευραν αυτου, V: τας χειρας και την πλευραν αυτοις. **v.23** T*: αφιενται, V: αφεωνται. **v.24** T*: ο, V: ∅. **v.25** T*: την χειρα μου, V: μου την χειρα. **v.28** T*: και, V: ∅. **v.28** TK: ο, MV: ∅. **v.29** TK: θωμα, MV: ∅. **v.31** T*: πιστευσητε, V: πιστευ[σ]ητε. **v.31** TK: ο, MV: ∅.

υἱὸς τοῦ θεοῦ καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ ◦

**21** Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς τιβεριάδος ἐφανέρωσεν δὲ
2 οὕτως ◦ ἦσαν ὁμοῦ σίμων πέτρος καὶ θωμᾶς ὁ λεγόμενος δίδυμος καὶ ναθαναὴλ ὁ ἀπὸ κανᾶ τῆς γαλιλαίας καὶ οἱ
3 τοῦ ζεβεδαίου καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο ◦ λέγει αὐτοῖς σίμων πέτρος ὑπάγω ἁλιεύειν λέγουσιν αὐτῷ ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοὶ ἐξῆλθον καὶ ἀνέβησαν εἰς τὸ πλοῖον
4 εὐθὺς καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν ◦ πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ˚ ἰησοῦς εἰς τὸν αἰγιαλὸν οὐ μέντοι
5 ἤδεισαν οἱ μαθηταὶ ὅτι ἰησοῦς ἐστιν ◦ λέγει οὖν αὐτοῖς ὁ ἰησοῦς παιδία μή τι προσφάγιον ἔχετε ἀπεκρίθησαν αὐτῷ
6 οὔ ◦ ὁ δὲ εἶπεν αὐτοῖς βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον καὶ εὑρήσετε ἔβαλον οὖν καὶ οὐκ˚ ἔτι αὐτὸ ἑλ-
7 κύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων ◦ λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ ἰησοῦς τῷ πέτρῳ ὁ κύριός ἐστιν σίμων οὖν˚ πέτρος ἀκούσας ὅτι ὁ κύριός ἐστιν τὸν ἐπενδύτην διεζώσατο ἦν γὰρ γυμνὸς καὶ ἔβαλεν ἑαυτὸν εἰς
8 τὴν θάλασσαν ◦ οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς ἀλλ᾽ ὡς ἀπὸ πηχῶν διακο-
9 σίων σύροντες τὸ δίκτυον τῶν ἰχθύων ◦ ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον
10 ἐπικείμενον καὶ ἄρτον ◦ λέγει αὐτοῖς ὁ ἰησοῦς ἐνέγκατε ἀ-
11 πὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν ◦ ἀνέβη σίμων πέτρος καὶ εἵλκυσεν τὸ δίκτυον ἐπὶ˚ τῆς γῆς μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκονταὁριῶν καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη
12 τὸ δίκτυον ◦ λέγει αὐτοῖς ὁ ἰησοῦς δεῦτε ἀριστήσατε οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτὸν σὺ τίς εἶ˜ εἰδότες ὅτι
13 ὁ κύριός ἐστιν ◦ ἔρχεται οὖν˚ ὁ ἰησοῦς καὶ λαμβάνει τὸν ἄρ-

**21. v.3** ΤΚ: ανεβησαν, ΜV: ενεβησαν. **v.3** T*: ευθυς, V: ∅. **v.4** T*: ο, V: ∅. **v.6** ΤΚ: ουκ ετι, ΜV: ουκετι. **v.6** T*: ισχυσαν, V: ισχυον. **v.7** ΤΚV: ουν, Μ: ∅. **v.8** T*: αλλ, V: αλλα. **v.11** T*: ανεβη, V: ανεβη ουν. **v.11** T*: επι της γης, V: εις την γην. **v.11** ΤΚ: πεντηκοντατριων, ΜV: πεντηκοντα τριων. **v.13** T*: ουν ο, V: ∅.

τον καὶ δίδωσιν αὐτοῖς καὶ τὸ ὀψάριον ὁμοίως ⸰ τοῦτο ἤδη 14
τρίτον ἐφανερώθη ὁ ̔ ἰησοῦς τοῖς μαθηταῖς αὐ̔τοῦ ἐγερθεὶς
ἐκ νεκρῶν ⸰ ὅτε οὖν ἠρίστησαν λέγει τῷ σίμωνι πέτρῳ ὁ ἰη- 15
σοῦς σίμων ἰωνᾶ ἀγαπᾷς με πλέ̔ον τούτων λέγει αὐτῷ ναὶ
κύριε σὺ οἶδας ὅτι φιλῶ σε λέγει αὐτῷ βόσκε τὰ ἀρνία μου ⸰
λέγει αὐτῷ πάλιν δεύτερον σίμων ἰωνᾶ ἀγαπᾷς με λέγει αὐ- 16
τῷ ναὶ κύριε σὺ οἶδας ὅτι φιλῶ σε λέγει αὐτῷ ποίμαινε τὰ
πρόβατά μου ⸰ λέγει αὐτῷ τὸ τρίτον σίμων ἰωνᾶ φιλεῖς με 17
ἐλυπήθη ὁ πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον φιλεῖς με καὶ
εἶ̔πεν αὐτῷ κύριε σὺ ̔ πάντα οἶδας σὺ γινώσκεις ὅτι φιλῶ σε
λέγει αὐτῷ ὁ ἰησοῦς βόσκε τὰ πρόβατά μου ⸰ ἀμὴν ἀμὴν 18
λέγω σοι ὅτε ἦς νεώτερος ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις
ὅπου ἤθελες ὅταν δὲ γηράσῃς ἐκτενεῖς τὰς χεῖράς σου καὶ
ἄλλος σε ζώσει καὶ οἴσει ὅπου οὐ θέλεις ⸰ τοῦτο δὲ εἶπεν 19
σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν θεὸν καὶ τοῦτο εἰπὼν
λέγει αὐτῷ ἀκολούθει μοι ⸰ ἐπιστραφεὶς δὲ ̔ ὁ πέτρος βλέ- 20
πει τὸν μαθητὴν ὃν ἠγάπα ὁ ἰησοῦς ἀκολουθοῦντα ὃς καὶ
ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπεν κύριε
τίς ἐστιν ὁ παραδιδούς σε ⸰ τοῦτο᾽ ἰδὼν ὁ πέτρος λέγει τῷ 21
ἰησοῦ κύριε οὗτος δὲ τί ⸰ λέγει αὐτῷ ὁ ἰησοῦς ἐὰν αὐτὸν 22
θέλω μένειν ἕως ἔρχομαι τί πρός σε σὺ ἀκολούθει ̔ μοι ⸰
ἐξῆλθεν οὖν ὁ ̔ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς ὅτι ὁ μαθη- 23
τὴς ἐκεῖνος οὐκ ἀποθνήσκει καὶ ̔ οὐκ εἶπεν αὐτῷ ὁ ἰησοῦς
ὅτι οὐκ ἀποθνήσκει ἀλλ᾽ ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχο-
μαι τί πρός σε ⸰ οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ 24
τούτων καὶ γ̔ράψας ταῦτα καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ̔ ἡ
μαρτυρία αὐτοῦ ⸰ ἔστιν δὲ καὶ ἄλλα πολλὰ ὅ̔σα ἐποίησεν 25
ὁ ἰησοῦς ἅτινα ἐὰν γράφηται καθ᾽ ἓν οὐδὲ αὐτὸν οἶμαι τὸν
κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία ἀμήν ⸰

**v.14** T*: ο, V: ∅. **v.14** T*: αυτου, V: ∅. **v.15** T*: ιωνα, V: ιωαννου. **v.15** T*: πλειον, V: πλεον. **v.16** T*: ιωνα, V: ιωαννου. **v.17** T*: ιωνα, V: ιωαννου. **v.17** T*: ειπεν, V: λεγει. **v.17** T*: συ παντα, V: παντα συ. **v.20** T*: δε, V: ∅. **v.21** T*: τουτον, V: τουτον ουν. **v.22** T*: ακολουθει μοι, V: μοι ακολουθει. **v.23** T*: ο λογος ουτος, V: ουτος ο λογος. **v.23** T*: και ουκ ειπεν, V: ουκ ειπεν δε. **v.24** T*: γραψας, V: ο γραψας. **v.24** T*: εστιν η μαρτυρια αυτου, V: αυτου η μαρτυρια εστιν. **v.25** T*: οσα, V: α. **v.25** T*: ουδε, V: ουδ. **v.25** T*: αμην, V: ∅.

# ΠΡΑΞΕΙΣ
## ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ˚

**1** Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων ὦ θε-
2 όφιλε ὧν ἤρξατο ὁ ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν ⸰ ἄχρι
ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος
3 ἁγίου οὓς ἐξελέξατο ἀνελήφθη ⸰ οἷς καὶ παρέστησεν ἑαυ-
τὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις δι᾽
ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων τὰ
4 περὶ τῆς βασιλείας τοῦ θεοῦ ⸰ καὶ συναλιζόμενος παρήγ-
γειλεν αὐτοῖς ἀπὸ ἱεροσολύμων μὴ χωρίζεσθαι ἀλλὰ περι-
5 μένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου ⸰ ὅτι
ἰωάννης μὲν ἐβάπτισεν ὕδατι ὑμεῖς δὲ βαπτισθήσεσθε˚ ἐν
6 πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας ⸰ οἱ μὲν οὖν
συνελθόντες ἐπῆρώτων αὐτὸν λέγοντες κύριε εἰ ἐν τῷ χρό-
7 νῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ ἰσραήλ ⸰ εἶπεν
δὲ πρὸς αὐτοὺς οὐχ ὑμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς
8 οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ ⸰ ἀλλὰ λήψεσθε δύνα-
μιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς καὶ ἔσεσθέ
μοι μάρτυρες ἔν τε ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ ἰουδαίᾳ καὶ
9 σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς ⸰ καὶ ταῦτα εἰπὼν βλε-
πόντων αὐτῶν ἐπήρθη καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν
10 ὀφθαλμῶν αὐτῶν ⸰ καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν
πορευομένου αὐτοῦ καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν
11 αὐτοῖς ἐν ἐσθήτι˚ λευκῇ ⸰ οἳ καὶ εἶπὸν ἄνδρες γαλιλαῖοι τί
ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανὸν οὗτος ὁ ἰησοῦς ὁ
ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανὸν οὕτως ἐλεύσεται ὃν

---

T: ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ, K: ΠΡΑΞΕΙΣ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ, MV: ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ. **1. v.2** T*: ανεληφθη, V: ανεληµφθη. **v.3** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.4** TMV: συναλιζομενος, K: συναλιζομενος μετ αυτων. **v.5** T*: βαπτισθησεσθε εν πνευματι, V: εν πνευματι βαπτισθησεσθε. **v.6** T*: επηρωτων, V: ηρωτων. **v.8** T*: ληψεσθε, V: λημψεσθε. **v.8** T*: μοι, V: μου. **v.10** T*: εσθητι λευκη, V: εσθησεσι λευκαις. **v.11** T*: ειπον, V: ειπαν. **v.11** T*: εμβλεποντες, V: [εμ]βλεποντες. **v.11** T*: αναληφθεις, V: αναληµφθεις.

τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν· τότε ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλου- 12
μένου ἐλαιῶνος ὅ ἐστιν ἐγγὺς Ἰερουσαλὴμ σαββάτου ἔχον ὁδόν· καὶ ὅτε εἰσῆλθον ἀνέβησαν˚ εἰς τὸ ὑπερῷον οὗ ἦσαν 13
καταμένοντες ὅ τε Πέτρος καὶ Ἰάκωβος˚ καὶ Ἰωάννης καὶ Ἀνδρέας Φίλιππος καὶ Θωμᾶς Βαρθολομαῖος καὶ Μαθθαῖος Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ ζηλωτὴς καὶ Ἰούδας Ἰακώ-
βου· οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν 14
τῇ προσευχῇ καὶ˚ τῇ δεήσει σὺν γυναιξὶν καὶ Μαρίᾳ τῇ μη-
τρὶ τοῦ Ἰησοῦ καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ· καὶ ἐν ταῖς 15
ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν εἶ-
πεν ἦν τε ὄχλος ὀνομάτων ἐπὶτοαυτὸ ὡς ἑκατὸν εἴκοσιν· ἄνδρες ἀδελφοί ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην ἣν 16
προεῖπεν τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ περὶ Ἰ-
ούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν τὸν Ἰησοῦν· ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν καὶ ἔλαχεν τὸν κλῆρον τῆς 17
διακονίας ταύτης· οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ τοῦ 18
μισθοῦ τῆς ἀδικίας καὶ πρηνὴς γενόμενος ἐλάκησεν μέσος καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ· καὶ γνωστὸν ἐγέ- 19
νετο πᾶσιν τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμὰ τουτ˙έστιν χωρίον αἵματος· γέγραπται γὰρ ἐν βίβλῳ Ψαλμῶν γενη- 20
θήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος· δεῖ οὖν τῶν 21
συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ἐν˙ ᾧ εἰσῆλθεν καὶ ἐξῆλθεν ἐφ˙ ἡμᾶς ὁ κύριος Ἰησοῦς· ἀρξάμενος ἀπὸ 22
τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ˙ ἡμῶν μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι˚ σὺν

**v.13** T*: ανεβησαν εις το υπερωον, V: εις το υπερωον ανεβησαν. **v.13** T*: ιακωβος και ιωαννης, V: ιωαννης και ιακωβος. **v.13** T*: ματθαιος, V: μαθθαιος. **v.14** T*: και τη δεησει, V: ∅. **v.14** T*: μαρια, V: μαριαμ. **v.14** T*: συν, V: ∅. **v.15** T*: μαθητων, V: αδελφων. **v.15** T: επιτοαυτο, KMV: επι το αυτο. **v.15** T*: ως, V: ωσει. **v.16** T*: ταυτην, V: ∅. **v.16** T*: δαβιδ, V: δαυιδ. **v.16** T*: τον, V: ∅. **v.17** T*: συν, V: εν. **v.18** TK: του, MV: ∅. **v.19** T*: ακελδαμα, V: ακελδαμαχ. **v.19** T: τουτεστιν, KMV: τουτ εστιν. **v.20** T*: λαβοι, V: λαβετω. **v.21** T*: εν, V: ∅. **v.22** T*: ανεληφθη, V: ανελημφθη. **v.22** T*: γενεσθαι συν ημιν, V: συν ημιν γενεσθαι.

23 ἡμῖν ἕνα τούτων· καὶ ἔστησαν δύο ἰωσὴφ τὸν καλούμενον
24 βαρσαβᾶν ὃς ἐπεκλήθη ἰοῦστος καὶ ματθίαν· καὶ προσ-
εὐξάμενοι εἶπὸν σὺ κύριε καρδιογνῶστα πάντων ἀνάδειξον
25 ἐκ τούτων τῶν δύο ἕνα ὃν ἐξελέξω· λαβεῖν τὸν κλῆρον τῆς
διακονίας ταύτης καὶ ἀποστολῆς ἐξ ἧς παρέβη ἰούδας πο-
26 ρευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον· καὶ ἔδωκαν κλήρους αὐ-
τῶν καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ ματθίαν καὶ συγκατεψηφίσθη
μετὰ τῶν ἕνδεκα ἀποστόλων·

**2** Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς
2 ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶτοαυτό· καὶ ἐγένετο ἄφνω
ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας καὶ
3 ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι· καὶ ὤφθη-
σαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς ἐκάθισέν
4 τε ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν· καὶ ἐπλήσθησαν ἅπαντες πνεύ-
ματος ἁγίου καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ
5 πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι· ἦσαν δὲ ἐν ἰερου-
σαλὴμ κατοικοῦντες ἰουδαῖοι ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς
6 ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν· γενομένης δὲ τῆς φωνῆς
ταύτης συνῆλθεν τὸ πλῆθος καὶ συνεχύθη ὅτι ἤκουον εἷς
7 ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν· ἐξίσταντο δὲ
πάντες καὶ ἐθαύμαζον λέγοντες πρὸς ἀλλήλους οὐκ ἰδοὺ
8 πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες γαλιλαῖοι· καὶ πῶς ἡμεῖς
ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθη-
9 μεν· πάρθοι καὶ μῆδοι καὶ ἐλαμῖται καὶ οἱ κατοικοῦντες
τὴν μεσοποταμίαν ἰουδαίαν τε καὶ καππαδοκίαν πόντον
10 καὶ τὴν ἀσίαν· φρυγίαν τε καὶ παμφυλίαν αἴγυπτον καὶ
τὰ μέρη τῆς λιβύης τῆς κατὰ κυρήνην καὶ οἱ ἐπιδημοῦντες
11 ῥωμαῖοι ἰουδαῖοί τε καὶ προσήλυτοι· κρῆτες καὶ ἄραβες

**v.23** T*: βαρσαβαν, V: βαρσαββαν. **v.23** T*: ματθιαν, V: μαθθιαν. **v.24** T*: ειπον, V: ειπαν. **v.24** T: εκ τουτων των δυο ενα ον εξελεξω, K: εκ τουτων των δυο ον ενα εξελεξω, MV: ον εξελεξω εκ τουτων των δυο ενα. **v.25** T*: κληρον, V: τοπον. **v.25** T*: εξ, V: αφ. **v.26** T*: αυτων, V: αυτοις. **v.26** T*: ματθιαν, V: μαθθιαν. **2. v.1** T*: απαντες ομοθυμαδον, V: παντες ομου. **v.1** T: επιτοαυτο, KMV: επι το αυτο. **v.3** T*: εκαθισεν τε, V: και εκαθισεν. **v.4** T*: απαντες, V: παντες. **v.4** T*: αυτοις αποφθεγγεσθαι, V: αποφθεγγεσθαι αυτοις. **v.5** T*: εν, V: εις. **v.7** TK: παντες, MV: ∅. **v.7** T*: προς αλληλους ουκ ιδου παντες, V: ουχ ιδου απαντες.

ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ
μεγαλεῖα τοῦ θεοῦ ⸰ ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν 12
ἄλλος πρὸς ἄλλον λέγοντες τί ἂν˚ θέλοι τοῦτο εἶναι ⸰ ἕτε- 13
ροι δὲ χλευάζοντες ἔλεγον ὅτι γλεύκους μεμεστωμένοι εἰ-
σίν ⸰ σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρεν τὴν φωνὴν 14
αὐτοῦ καὶ ἀπεφθέγξατο αὐτοῖς ἄνδρες Ἰουδαῖοι καὶ οἱ κα-
τοικοῦντες Ἰερουσαλὴμ ἅπαντες τοῦτο ὑμῖν γνωστὸν ἔστω
καὶ ἐνωτίσασθε τὰ ῥήματά μου ⸰ οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμ- 15
βάνετε οὗτοι μεθύουσιν ἔστιν γὰρ ὥρα τρίτη τῆς ἡμέρας ⸰
ἀλλὰ τοῦτό ἐστιν τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ ⸰ 16
καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις λέγει ὁ θεός ἐκχεῶ ἀπὸ 17
τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα καὶ προφητεύσου-
σιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν καὶ οἱ νεανίσκοι
ὑμῶν ὁράσεις ὄψονται καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνιᾰ
ἐνυπνιασθήσονται ⸰ καί˚ γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ 18
τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ
πνεύματός μου καὶ προφητεύσουσιν ⸰ καὶ δώσω τέρατα ἐν 19
τῷ οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω αἷμα καὶ πῦρ
καὶ ἀτμίδα καπνοῦ ⸰ ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος 20
καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἢ˚ ἐλθεῖν τὴν ἡμέραν κυρίου
τὴν μεγάλην καὶ ἐπιφανῆ ⸰ καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέ- 21
σηται τὸ ὄνομα κυρίου σωθήσεται ⸰ ἄνδρες Ἰσραηλῖται ἀ- 22
κούσατε τοὺς λόγους τούτους Ἰησοῦν τὸν Ναζωραῖον ἄνδρα
ἀπὸ˚ τοῦ θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσιν καὶ τέ-
ρασιν καὶ σημείοις οἷς ἐποίησεν δι᾽ αὐτοῦ ὁ θεὸς ἐν μέσῳ
ὑμῶν καθὼς κἀὶ αὐτοὶ οἴδατε ⸰ τοῦτον τῇ ὡρισμένῃ βουλῇ 23
καὶ προγνώσει τοῦ θεοῦ ἔκδοτον λαβόντες˚ διὰ χειρῶν ἀνό-
μων προσπήξαντες ἀνείλετε ⸰ ὃν ὁ θεὸς ἀνέστησεν λύσας 24
τὰς ὠδῖνας τοῦ θανάτου καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι

**v.12** T*: αν θελοι, V: θελει. **v.13** T*: χλευαζοντες, V: διαχλευαζοντες. **v.14** T*: πετρος, V: ο πετρος. **v.14** E: ενδεκα, D: δεκα αποστολοις. **v.14** T*: απαντες, V: παντες. **v.17** T*: ενυπνια, V: ενυπνιοις. **v.18** TKV: και γε, M: καιγε. **v.20** T*: η ελθειν την, V: ελθειν. **v.22** T*: απο του θεου αποδεδειγμενον, V: αποδεδειγμενον απο του θεου. **v.22** T*: και, V: ∅. **v.23** T*: λαβοντες δια χειρων, V: δια χειρος. **v.23** T*: ανειλετε, V: ανειλατε. **v.24** E: θανατου, D: αδου.

25 αὐτὸν ὑπ᾽ αὐτοῦ· Δαβὶδ γὰρ λέγει εἰς αὐτὸν προωρώμην
τὸν κύριον ἐνώπιόν μου διὰ παντὸς ὅτι ἐκ δεξιῶν μού ἐ-
26 στιν ἵνα μὴ σαλευθῶ· διὰ τοῦτο ἐὐφράνθη ἡ καρδία μου
καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου ἔτι δὲ καὶ ἡ σάρξ μου κα-
27 τασκηνώσει ἐπ᾽ ἐλπίδι· ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν
μου εἰς ᾅδου οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν·
28 ἐγνώρισάς μοι ὁδοὺς ζωῆς πληρώσεις με εὐφροσύνης με-
29 τὰ τοῦ προσώπου σου· ἄνδρες ἀδελφοὶ ἐξὸν εἰπεῖν μετὰ
παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ ὅτι καὶ
ἐτελεύτησεν καὶ ἐτάφη καὶ τὸ μνῆμα αὐτοῦ ἔστιν ἐν ἡμῖν
30 ἄχρι τῆς ἡμέρας ταύτης· προφήτης οὖν ὑπάρχων καὶ εἰ-
δὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ θεὸς ἐκ καρποῦ τῆς ὀσφύος
αὐτοῦ τὸ˚ κατὰ σάρκα ἀναστήσειν τὸν χριστὸν καθίσαι ἐπὶ
31 τοῦ θρόνου αὐτοῦ· προϊδὼν ἐλάλησεν περὶ τῆς ἀναστά-
σεως τοῦ χριστοῦ ὅτι οὐ˚ κατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς
32 ᾅδου οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδεν διαφθοράν· τοῦτον τὸν Ἰη-
σοῦν ἀνέστησεν ὁ θεὸς οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες·
33 τῇ δεξιᾷ οὖν τοῦ θεοῦ ὑψωθεὶς τήν τε ἐπαγγελίαν τοῦ˚ ἁ-
γίου πνεύματος λαβὼν παρὰ τοῦ πατρὸς ἐξέχεεν τοῦτο ὃ
34 νῦν˚ ὑμεῖς βλέπετε καὶ ἀκούετε· οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς
τοὺς οὐρανοὺς λέγει δὲ αὐτὸς εἶπεν ὁ κύριος τῷ κυρίῳ μου
35 κάθου ἐκ δεξιῶν μου· ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπό-
36 διον τῶν ποδῶν σου· ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος
Ἰσραὴλ ὅτι καὶ κύριον˚ καὶ χριστὸν αὐτὸν ὁ θεὸς ἐποίη-
37 σεν τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε· ἀκούσαντες
δὲ κατενύγησαν τῇ˚ καρδίᾳ εἶπόν τε πρὸς τὸν πέτρον καὶ
τοὺς λοιποὺς ἀποστόλους τί ποιήσομεν ἄνδρες ἀδελφοί·
38 πέτρος δὲ ἔφη πρὸς αὐτοὺς μετανοήσατε καὶ βαπτισθήτω

**v.25** T*: δαβιδ, V: δαυιδ. **v.25** T*: προωρωμην, V: προορωμην. **v.26** T*: ευφρανθη, V: ηυφρανθη. **v.27** T*: αδου, V: αδην. **v.29** T*: δαβιδ, V: δαυιδ. **v.30** T*: το κατα σαρκα αναστησειν τον χριστον καθισαι επι του θρονου, V: καθισαι επι τον θρονον. **v.31** T*: ου κατελειφθη η ψυχη αυτου εις αδου ουδε, V: ουτε εγκατελειφθη εις αδην ουτε. **v.33** T*: του αγιου πνευματος, V: του πνευματος του αγιου. **v.33** T*: νυν υμεις, V: υμεις [και]. **v.34** T*: δαβιδ, V: δαυιδ. **v.36** T*: κυριον και χριστον αυτον ο θεος εποιησεν, V: κυριον αυτον και χριστον εποιησεν ο θεος. **v.37** T*: τη καρδια, V: την καρδιαν. **v.37** TK: ποιησομεν, MV: ποιησωμεν.

ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι ἰησοῦ χριστοῦ εἰς ἄφεσιν
ἁμαρτιῶν καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος ·
ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν καὶ πᾶ- 39
σιν τοῖς εἰς μακρὰν ὅσους ἂν προσκαλέσηται κύριος ὁ θεὸς
ἡμῶν · ἑτέροις τε λόγοις πλείοσιν διεμαρτύρετο καὶ παρε- 40
κάλει λέγων σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης ·
οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβα- 41
πτίσθησαν καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ
τρισχίλιαι · ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀ- 42
ποστόλων καὶ τῇ κοινωνίᾳ κἀι τῇ κλάσει τοῦ ἄρτου καὶ
ταῖς προσευχαῖς · ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος πολλά τε 43
τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο · πάντες δὲ 44
οἱ πιστεύοντες ἦσαν ἐπιτοαυτὸ καὶ εἶχον ἅπαντα κοινά ·
καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον καὶ διεμέ- 45
ριζον αὐτὰ πᾶσιν καθότι ἄν τις χρείαν εἶχεν · καθ᾽ ἡμέραν 46
τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ κλῶντές τε
κατ᾽ οἶκον ἄρτον μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ
ἀφελότητι καρδίας · αἰνοῦντες τὸν θεὸν καὶ ἔχοντες χάριν 47
πρὸς ὅλον τὸν λαὸν ὁ δὲ κύριος προσετίθει τοὺς σωζομέ-
νους καθ᾽ ἡμέραν τῇ˚ ἐκκλησία ·

Ἐπιτοαυτὸ˚ δὲ πέτρος καὶ ἰωάννης ἀνέβαινον εἰς τὸ ἱε- **3**
ρὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην · καί τις ἀνὴρ 2
χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο ὃν ἐτί-
θουν καθ᾽ ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην
ὡραίαν τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων
εἰς τὸ ἱερόν · ὃς ἰδὼν πέτρον καὶ ἰωάννην μέλλοντας εἰσι- 3
έναι εἰς τὸ ἱερὸν ἠρώτα ἐλεημοσύνην λάβεῖν · ἀτενίσας δὲ 4
πέτρος εἰς αὐτὸν σὺν τῷ ἰωάννῃ εἶπεν βλέψον εἰς ἡμᾶς ·
ὁ δὲ ἐπεῖχεν αὐτοῖς προσδοκῶν τι παρ᾽ αὐτῶν λαβεῖν · εἶ- 5, 6

**v.38** T*: εφη, V: ∅. **v.38** T*: μετανοησατε, V: μετανοησατε [φησιν]. **v.38** T*: αμαρτιων, V: των αμαρτιων υμων. **v.38** T*: ληψεσθε, V: λημψεσθε. **v.40** T*: διεμαρτυρετο, V: διεμαρτυρατο. **v.40** T*: παρεκαλει, V: παρεκαλει αυτους. **v.41** T*: ασμενως, V: ∅. **v.41** T*: τη, V: εν τη. **v.42** T*: και, V: ∅. **v.43** T*: εγενετο, V: εγινετο. **v.44** T: επιτοαυτο, KMV: επι το αυτο. **v.47** T*: τη εκκλησια, V: ∅. **3. v.1** T: επιτοαυτο δε πετρος, KM: επι το αυτο δε πετρος, V: πετρος δε. **v.1** TK: εννατην, MV: ενατην. **v.3** TV: λαβειν, KM: ∅.

πεν δὲ πέτρος ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι ὃ
δὲ ἔχω τοῦτό σοι δίδωμι ἐν τῷ ὀνόματι ἰησοῦ χριστοῦ τοῦ
7 ναζωραίου ἔγειραι˚ καὶ περιπάτει ⸰ καὶ πιάσας αὐτὸν τῆς
δεξιᾶς χειρὸς ἤγειρεν˙ παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ˚
8 αἱ βάσεις καὶ τὰ σφυρά ⸰ καὶ ἐξαλλόμενος ἔστη καὶ περι-
επάτει καὶ εἰσῆλθεν σὺν αὐτοῖς εἰς τὸ ἱερὸν περιπατῶν καὶ
9 ἁλλόμενος καὶ αἰνῶν τὸν θεόν ⸰ καὶ εἶδεν αὐτὸν˚ πᾶς ὁ λα-
10 ὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν θεόν ⸰ ἐπεγίνωσκόν τε
αὐτὸν ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐ-
πὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ καὶ ἐπλήσθησαν θάμβους καὶ
11 ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ ⸰ κρατοῦντος δὲ τοῦ˚
ἰαθέντος χωλοῦ τὸν πέτρον καὶ ἰὼάννην συνέδραμεν πρὸς˚
αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ σολομῶντος
12 ἔκθαμβοι ⸰ ἰδὼν δὲ πέτρος ἀπεκρίνατο πρὸς τὸν λαὸν ἄν-
δρες ἰσραηλῖται τί θαυμάζετε ἐπὶ τούτῳ ἢ ἡμῖν τί ἀτενίζετε
ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσιν τοῦ περιπατεῖν
13 αὐτόν ⸰ ὁ θεὸς ἀβραὰμ καὶ ἰσαὰκ˚ καὶ ἰακὼβ ὁ θεὸς τῶν
πατέρων ἡμῶν ἐδόξασεν τὸν παῖδα αὐτοῦ ἰησοῦν ὃν ὑμεῖς
παρεδώκατε καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον πιλά-
14 του κρίναντος ἐκείνου ἀπολύειν ⸰ ὑμεῖς δὲ τὸν ἅγιον καὶ
δίκαιον ἠρνήσασθε καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆ-
15 ναι ὑμῖν ⸰ τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε ὃν ὁ θεὸς
16 ἤγειρεν ἐκ νεκρῶν οὗ ἡμεῖς μάρτυρές ἐσμεν ⸰ καὶ ἐπὶ τῇ
πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε
ἐστερέωσεν τὸ ὄνομα αὐτοῦ καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ ἔδω-
κεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν ⸰
17 καὶ νῦν ἀδελφοί οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε ὥσπερ
18 καὶ οἱ ἄρχοντες ὑμῶν ⸰ ὁ δὲ θεὸς ἃ προκατήγγειλεν διὰ

---

**v.6** T*: εγειραι και, V: [εγειρε και]. **v.7** T*: ηγειρεν, V: ηγειρεν αυτον. **v.7** T*: αυτου αι βασεις, V: αι βασεις αυτου. **v.7** T*: σφυρα, V: σφυδρα. **v.9** T*: αυτον πας ο λαος, V: πας ο λαος αυτον. **v.10** T*: τε, V: δε. **v.10** T*: ουτος, V: αυτος. **v.11** T*: του ιαθεντος χωλου, V: αυτου. **v.11** T*: ιωαννην, V: τον ιωαννην. **v.11** T*: προς αυτους πας ο λαος, V: πας ο λαος προς αυτους. **v.12** T*: πετρος, V: ο πετρος. **v.13** T*: ισαακ και ιακωβ, V: [ο θεος] ισαακ και [ο θεος] ιακωβ. **v.13** TK: υμεις, MV: υμεις μεν. **v.13** T*: αυτον, V: ∅. **v.14** E: ηρνησασθε, D: εβαρυνατε.

στόματος πάντων τῶν προφητῶν αὐτοῦ˚ παθεῖν τὸν χριστὸν
ἐπλήρωσεν οὕτως˙ μετανοήσατε οὖν καὶ ἐπιστρέψατε εἰς 19
τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας ὅπως ἂν ἔλθωσιν καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ κυρίου˙ καὶ ἀποστείλῃ 20
τὸν προκεκηρυγμένον˚ ὑμῖν ἰησοῦν χριστόν˙ ὃν δεῖ οὐρα- 21
νὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων ὧν
ἐλάλησεν ὁ θεὸς διὰ στόματος πάντων˚ ἁγίων αὐτοῦ προφητῶν ἀπ᾽ αἰῶνος˙ μωσῆς μὲν γὰρ˚ πρὸς τοὺς πατέρας 22
εἶπεν ὅτι προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ὑμῶν ἐκ
τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ αὐτοῦ ἀκούσεσθε κατὰ πάντα
ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς˙ ἔσται δὲ πᾶσα ψυχὴ ἥτις ἂν 23
μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἐξολοθρευθήσεται ἐκ
τοῦ λαοῦ˙ καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ σαμουὴλ καὶ 24
τῶν καθεξῆς ὅσοι ἐλάλησαν καὶ πρὸκατήγγειλαν τὰς ἡμέρας ταύτας˙ ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν καὶ τῆς δια- 25
θήκης ἧς διέθετο ὁ θεὸς πρὸς τοὺς πατέρας ἡμῶν λέγων
πρὸς ἀβραὰμ καὶ τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς˙ ὑμῖν πρῶτον ὁ˚ θεὸς ἀναστήσας 26
τὸν παῖδα αὐτοῦ ἰησοῦν ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν˙

Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν ἐπέστησαν αὐτοῖς **4**
οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ σαδδουκαῖοι˙
διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν καὶ κα- 2
ταγγέλλειν ἐν τῷ ἰησοῦ τὴν ἀνάστασιν τὴν˚ ἐκ νεκρῶν˙ καὶ 3
ἐπέβαλον αὐτοῖς τὰς χεῖρας καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν
αὔριον ἦν γὰρ ἑσπέρα ἤδη˙ πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν 4
λόγον ἐπίστευσαν καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ

---

**v.18** T*: αυτου παθειν τον χριστον, V: παθειν τον χριστον αυτου. **v.20** TK: προκεκηρυγμενον υμιν ιησουν χριστον, MV: προκεχειρισμενον υμιν χριστον ιησουν. **v.21** TK: παντων αγιων αυτου προφητων απ αιωνος, M: παντων των αγιων αυτου προφητων απ αιωνος, V: των αγιων απ αιωνος αυτου προφητων. **v.22** T*: μωσης, V: μωυσης. **v.22** T*: γαρ προς τους πατερας, V: ∅. **v.22** TKV: υμων, M: ημων. **v.23** TK: αν, MV: εαν. **v.23** T*: εξολοθρευθησεται, V: εξολεθρευθησεται. **v.24** TK: προκατηγγειλαν, MV: κατηγγειλαν. **v.25** T*: υιοι, V: οι υιοι. **v.25** T*: ημων, V: υμων. **v.25** TK: τω, MV: εν τω. **v.25** T*: ενευλογηθησονται, V: [εν]ευλογηθησονται. **v.26** T*: ο θεος αναστησας, V: αναστησας ο θεος. **v.26** T*: ιησουν, V: ∅. **4. v.2** TKV: την εκ, M: των. **v.4** T*: ωσει, V: [ως].

χιλιάδες πέντε. ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐ-
τῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους˚ καὶ γραμματεῖς εἰς
ἱερουσαλήμ. καὶ ἄνναν˚ τὸν ἀρχιερέα καὶ καϊάφαν καὶ
ἰωάννην καὶ ἀλέξανδρον καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιε-
ρατικοῦ. καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ ἐπυνθάνοντο
ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς.
τότε πέτρος πλησθεὶς πνεύματος ἁγίου εἶπεν πρὸς αὐτούς
ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ˚ ἰσραήλ. εἰ ἡμεῖς
σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς
ἐν τίνι οὗτος σέσωσται. γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ
τῷ λαῷ ἰσραὴλ ὅτι ἐν τῷ ὀνόματι ἰησοῦ χριστοῦ τοῦ ναζω-
ραίου ὃν ὑμεῖς ἐσταυρώσατε ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν
ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. οὗτός ἐ-
στιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ᾽ ὑμῶν τῶν οἰκοδομούντων
ὁ γενόμενος εἰς κεφαλὴν γωνίας. καὶ οὐκ ἔστιν ἐν ἄλλῳ
οὐδενὶ ἡ˚ σωτηρία οὔτε γὰρ ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐ-
ρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.
θεωροῦντες δὲ τὴν τοῦ πέτρου παρρησίαν καὶ ἰωάννου καὶ
καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσιν καὶ ἰδιῶται
ἐθαύμαζον ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ ἰησοῦ ἦσαν.
τὸν δὲ˚ ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθερα-
πευμένον οὐδὲν εἶχον ἀντειπεῖν. κελεύσαντες δὲ αὐτοὺς
ἔξω τοῦ συνεδρίου ἀπελθεῖν συνέβαλὸν πρὸς ἀλλήλους.
λέγοντες τί ποιήσὸμεν τοῖς ἀνθρώποις τούτοις ὅτι μὲν γὰρ
γνωστὸν σημεῖον γέγονεν δι᾽ αὐτῶν πᾶσιν τοῖς κατοικοῦ-
σιν ἱερουσαλὴμ φανερὸν καὶ οὐ δυνάμεθα ἀρνῆσασθαι.
ἀλλ᾽ ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν ἀπειλῇ ἀ-
πειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ
μηδενὶ ἀνθρώπων. καὶ καλέσαντες αὐτοὺς παρήγγειλαν

**v.5** T*: πρεσβυτερους και γραμματεις εις, V: τους πρεσβυτερους και τους γραμματεις εν. **v.6** T*: ανναν τον αρχιερεα και καιαφαν και ιωαννην και αλεξανδρον, V: αννας ο αρχιερευς και καιαφας και ιωαννης και αλεξανδρος. **v.7** TKV: τω, M: ∅. **v.8** T*: του ισραηλ, V: ∅. **v.9** T*: σεσωσται, V: σεσωται. **v.11** T*: οικοδομουντων, V: οικοδομων. **v.12** E: η σωτηρια, D: ∅. **v.12** T*: ουτε, V: ουδε. **v.14** T*: δε, V: τε. **v.15** TK: συνεβαλον, MV: συνεβαλλον. **v.16** TK: ποιησομεν, MV: ποιησωμεν. **v.16** T*: αρνησασθαι, V: αρνεισθαι. **v.17** T*: απειλη, V: ∅.

αὐτοῖς τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ
ὀνόματι τοῦ ἰησοῦ ◦ ὁ δὲ πέτρος καὶ ἰωάννης ἀποκριθέντες 19
πρὸς˚ αὐτοὺς εἶπον εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ θεοῦ ὑμῶν
ἀκούειν μᾶλλον ἢ τοῦ θεοῦ κρίνατε ◦ οὐ δυνάμεθα γὰρ ἡ- 20
μεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν ◦ οἱ δὲ προσα- 21
πειλησάμενοι ἀπέλυσαν αὐτοὺς μηδὲν εὑρίσκοντες τὸ πῶς
κολάσωνται αὐτοὺς διὰ τὸν λαὸν ὅτι πάντες ἐδόξαζον τὸν
θεὸν ἐπὶ τῷ γεγονότι ◦ ἐτῶν γὰρ ἦν πλειόνων τεσσαράκοντα 22
ὁ ἄνθρωπος ἐφ᾽ ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως ◦
ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους καὶ ἀπήγγειλαν 23
ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπόν ◦
οἱ δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν θε- 24
όν καὶ εἶπόν δέσποτα σὺ ὁ˚ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν
καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς ◦ ὁ 25
διὰ˚ στόματος δαβὶδ τοῦ παιδός σου εἰπὼν ἵνατί ἐφρύαξαν
ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά ◦ παρέστησαν οἱ βασιλεῖς 26
τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ
κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ ◦ συνήχθησαν γὰρ ἐπ᾽ 27
ἀληθείας ἔπὶ τὸν ἅγιον παῖδά σου ἰησοῦν ὃν ἔχρισας ἡ-
ρώδης τε καὶ πόντιος πιλάτος σὺν ἔθνεσιν καὶ λαοῖς ἰσρα-
ήλ ◦ ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισεν 28
γενέσθαι ◦ καὶ τὰ νῦν κύριε ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν 29
καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν
τὸν λόγον σου ◦ ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴα- 30
σιν καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ
ἁγίου παιδός σου ἰησοῦ ◦ καὶ δεηθέντων αὐτῶν ἐσαλεύθη 31
ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι καὶ ἐπλήσθησαν ἅπαντες
πνεύματος˚ ἁγίου καὶ ἐλάλουν τὸν λόγον τοῦ θεοῦ μετὰ
παρρησίας ◦ τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ˚ καρ- 32

**v.18** T*: αυτοις, V: ∅. **v.19** T*: προς αυτους ειπον, V: ειπον προς αυτους. **v.20** T*: ειδομεν, V: ειδαμεν. **v.21** TKV: κολασωνται, M: κολασονται. **v.22** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.22** T*: εγεγονει, V: γεγονει. **v.23** T*: ειπον, V: ειπαν. **v.24** T*: ειπον, V: ειπαν. **v.24** T*: ο θεος, V: ∅. **v.25** TK: δια στοματος δαβιδ του, M: δια στοματος δαβιδ, V: του πατρος ημων δια πνευματος αγιου στοματος δαυιδ. **v.27** T*: επι, V: εν τη πολει ταυτη επι. **v.31** T*: πνευματος αγιου, V: του αγιου πνευματος. **v.32** T*: η, V: ∅.

δία καὶ ἡ˚ ψυχὴ μία καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ
33 ἔλεγεν ἴδιον εἶναι ἀλλ᾽ ἦν αὐτοῖς ἅπαντα κοινά ◦ καὶ με-
γάλῃ˚ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς
ἀναστάσεως τοῦ κυρίου ἰησοῦ χάρις τε μεγάλη ἦν ἐπὶ πάν-
34 τας αὐτούς ◦ οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς ὅσοι
γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον πωλοῦντες ἔφε-
35 ρον τὰς τιμὰς τῶν πιπρασκομένων ◦ καὶ ἐτίθουν παρὰ τοὺς
πόδας τῶν ἀποστόλων διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις
36 χρείαν εἶχεν ◦ ἰωσῆς˚ δὲ ὁ ἐπικληθεὶς βαρνάβας ὑπὸ τῶν
ἀποστόλων ὅ ἐστιν μεθερμηνευόμενον υἱὸς παρακλήσεως
37 λευΐτης κύπριος τῷ γένει ◦ ὑπάρχοντος αὐτῷ ἀγροῦ πωλή-
σας ἤνεγκεν τὸ χρῆμα καὶ ἔθηκεν πὰρὰ τοὺς πόδας τῶν
ἀποστόλων ◦

**5** Ἀνὴρ δέ τις ἀνανίας ὀνόματι σὺν σαπφείρῃ τῇ γυναι-
2 κὶ αὐτοῦ ἐπώλησεν κτῆμα ◦ καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς
συνειδυίᾶς καὶ τῆς γυναικὸς αὐτοῦ καὶ ἐνέγκας μέρος τι
3 παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν ◦ εἶπεν δὲ πέτρος
ἀνανία διατὶ ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου ψεύ-
σασθαί σε τὸ πνεῦμα τὸ ἅγιον καὶ νοσφίσασθαι ἀπὸ τῆς
4 τιμῆς τοῦ χωρίου ◦ οὐχὶ μένον σοὶ ἔμενεν καὶ πραθὲν ἐν τῇ
σῇ ἐξουσίᾳ ὑπῆρχεν τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶ-
5 γμα τοῦτο οὐκ ἐψεύσω ἀνθρώποις ἀλλὰ τῷ θεῷ ◦ ἀκούων
δὲ ἀνανίας τοὺς λόγους τούτους πεσὼν ἐξέψυξεν καὶ ἐγέ-
6 νετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα ◦ ἀνα-
στάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν καὶ ἐξενέγκαντες
7 ἔθαψαν ◦ ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα καὶ ἡ γυνὴ
8 αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν ◦ ἀπεκρίθη δὲ αὐ-
τῇ˚ ὁ πέτρος εἰπέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε ἡ
9 δὲ εἶπεν ναὶ τοσούτου ◦ ὁ δὲ πέτρος εἶπεν πρὸς αὐτήν τί

**v.32** TMV: ουδε, K: ουδ. **v.32** TKV: αυτω, M: αυτων. **v.33** T*: μεγαλη δυναμει, V: δυναμει μεγαλη. **v.34** T*: υπηρχεν, V: ην. **v.35** T*: διεδιδοτο, V: διεδιδετο. **v.36** T*: ιωσης, V: ιωσηφ. **v.36** TK: υπο, MV: απο. **v.37** T*: παρα, V: προς. **5. v.1** T*: σαπφειρη, V: σαπφιρη. **v.2** T*: συνειδυιας, V: συνειδυιης. **v.2** T*: αυτου, V: ∅. **v.3** T*: πετρος, V: ο πετρος. **v.3** TK: διατι, MV: δια τι. **v.3** TKV: νοσφισασθαι, M: νοσφισασθαι σε. **v.5** TK: ανανιας, MV: ο ανανιας. **v.5** T*: ταυτα, V: ∅. **v.8** T*: αυτη ο, V: προς αυτην. **v.9** T*: ειπεν, V: ∅.

ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα κυρίου ἰδοὺ οἱ
πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ καὶ ἐξ-
οίσουσίν σε· ἔπεσεν δὲ παραχρῆμα πὰρὰ τοὺς πόδας αὐ- 10
τοῦ καὶ ἐξέψυξεν εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν
νεκρὰν καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς·
καὶ ἐγένετο φόβος μέγας ἐφ᾽ ὅλην τὴν ἐκκλησίαν καὶ ἐπὶ 11
πάντας τοὺς ἀκούοντας ταῦτα· διὰ δὲ τῶν χειρῶν τῶν ἀ- 12
ποστόλων ἐγένετο σημεῖα καὶ τέρατα ἐν᾽ τῷ λαῷ πολλὰ καὶ
ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ σολομῶντος· τῶν 13
δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς ἀλλ᾽ ἐμεγάλυ-
νεν αὐτοὺς ὁ λαός· μᾶλλον δὲ προσετίθεντο πιστεύοντες 14
τῷ κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν· ὥστε καὶὰ τὰς 15
πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν᾽
καὶ κραββάτων ἵνα ἐρχομένου πέτρου κἂν ἡ σκιὰ ἐπισκιά-
σῃ τινὶ αὐτῶν· συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πό- 16
λεων εἰὶ ἱερουσαλὴμ φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους
ὑπὸ πνευμάτων ἀκαθάρτων οἵτινες ἐθεραπεύοντο ἅπαντες·
ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ ἡ οὖσα αἵ- 17
ρεσις τῶν σαδδουκαίων ἐπλήσθησαν ζήλου· καὶ ἐπέβαλον 18
τὰς χεῖρας αὐτ̔ῶν ἐπὶ τοὺς ἀποστόλους καὶ ἔθεντο αὐτοὺς
ἐν τηρήσει δημοσίᾳ· ἄγγελος δὲ κυρίου διὰ τ̔ῆς νυκτὸς ἠ- 19
νοιξεν̓ τὰς θύρας τῆς φυλακῆς ἐξαγαγών τε αὐτοὺς εἶπεν·
πορεύεσθε καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα 20
τὰ ῥήματα τῆς ζωῆς ταύτης· ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ 21
τὸν ὄρθρον εἰς τὸ ἱερὸν καὶ ἐδίδασκον παραγενόμενος δὲ ὁ
ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ συνεκάλεσαν τὸ συνέδριον καὶ
πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν ἰσραὴλ καὶ ἀπέστειλαν εἰς
τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς· οἱ δὲ ὑπηρέται᾽ παρα- 22
γενόμενοι οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ ἀναστρέψαντες
δὲ ἀπήγγειλαν· λέγοντες ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν 23

---

**v.10** T*: παρα, V: προς. **v.12** T: εγενετο, KMV: εγινετο. **v.12** T*: εν τω λαω πολλα, V: πολλα εν τω λαω. **v.15** T*: κατα, V: και εις. **v.15** T*: κλινων και κραββατων, V: κλιναριων και κραβαττων. **v.16** T*: εις, V: ∅. **v.18** T*: αυτων, V: ∅. **v.19** T*: της, V: ∅. **v.19** T*: ηνοιξεν, V: ανοιξας. **v.22** T*: υπηρεται παραγενομενοι, V: παραγενομενοι υπηρεται. **v.23** T*: μεν, V: ∅.

κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ καὶ τοὺς φύλακας ἑξῶ˚
ἑστῶτας πρὸ τῶν θυρῶν ἀνοίξαντες δὲ ἔσω οὐδένα εὕρο-
24 μεν ◦ ὡς δὲ ἠκουσαν τοὺς λόγους τούτους ὅ τε ἱερεὺς˚ καὶ
ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς διηπόρουν περὶ αὐ-
25 τῶν τί ἂν γένοιτο τοῦτο ◦ παραγενόμενος δέ τις ἀπήγγειλεν
αὐτοῖς λέγων ὅτι ἰδοὺ οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ
26 εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν ◦ τότε
ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις ἤγαγεν αὐτοὺς
οὐ μετὰ βίας ἐφοβοῦντο γὰρ τὸν λαὸν ἵνα μὴ λιθασθῶσιν ◦
27 ἀγαγόντες δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ καὶ ἐπηρώ-
28 τησεν αὐτοὺς ὁ ἀρχιερεύς ◦ λέγων οὐ παραγγελίᾳ παρηγ-
γείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ καὶ ἰδοὺ
πεπληρώκατε τὴν ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν καὶ βού-
λεσθε ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου ◦
29 ἀποκριθεὶς δὲ ὁ˚ πέτρος καὶ οἱ ἀπόστολοι εἶπὸν πειθαρχεῖν
30 δεῖ θεῷ μᾶλλον ἢ ἀνθρώποις ◦ ὁ θεὸς τῶν πατέρων ἡμῶν ἤ-
γειρεν ἰησοῦν ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύ-
31 λου ◦ τοῦτον ὁ θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσεν τῇ δεξιᾷ
αὐτοῦ δοῦναι μετάνοιαν τῷ ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν ◦
32 καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων καὶ
τὸ πνεῦμα δὲ˚ τὸ ἅγιον ὃ ἔδωκεν ὁ θεὸς τοῖς πειθαρχοῦ-
33 σιν αὐτῷ ◦ οἱ δὲ ἀκούσαντες διεπρίοντο καὶ ἐβουλεύοντο
34 ἀνελεῖν αὐτούς ◦ ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ φαρισαῖος
ὀνόματι γαμαλιὴλ νομοδιδάσκαλος τίμιος παντὶ τῷ λαῷ ἐ-
35 κέλευσεν ἔξω βραχύ τι˚ τοὺς ἀποστόλους ποιῆσαι ◦ εἶπέν τε
πρὸς αὐτούς ἄνδρες ἰσραηλῖται προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς
36 ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν ◦ πρὸ γὰρ τούτων
τῶν ἡμερῶν ἀνέστη θευδᾶς λέγων εἶναί τινα ἑαυτὸν ᾧ προσ-
εκολλήθη˚ ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων ὃς ἀνῃρέθη

**v.23** ΤΚ: εξω εστωτας προ, Μ: εστωτας προ, V: εστωτας επι. **v.24** T*: ιερευς και ο, V: ∅. **v.25** ΤΚ: λεγων, MV: ∅. **v.26** T*: ηγαγεν, V: ηγεν. **v.26** T*: ινα, V: ∅. **v.29** ΤΚ: ο, MV: ∅. **v.29** T*: ειπον, V: ειπαν. **v.31** T*: δουναι, V: [του] δουναι. **v.32** T*: αυτου, V: ∅. **v.32** T*: δε, V: ∅. **v.33** T*: εβουλευοντο, V: εβουλοντο. **v.34** T*: τι τους αποστολους, V: τους ανθρωπους. **v.36** ΤΚ: προσεκολληθη αριθμος ανδρων ωσει, Μ: προσεκληθη αριθμος ανδρων ωσει, V: προσεκλιθη ανδρων αριθμος ως.

καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διελύθησαν καὶ ἐγένοντο
εἰς οὐδέν· μετὰ τοῦτον ἀνέστη ἰούδας ὁ γαλιλαῖος ἐν ταῖς 37
ἡμέραις τῆς ἀπογραφῆς καὶ ἀπέστησεν λαὸν ἱκανὸν ὀπίσω
αὐτοῦ κἀκεῖνος ἀπώλετο καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ
διεσκορπίσθησαν· καὶ τὰ νῦν λέγω ὑμῖν ἀπόστητε ἀπὸ τῶν 38
ἀνθρώπων τούτων καὶ ἐάσατε αὐτούς ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώ-
πων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο καταλυθήσεται· εἰ δὲ 39
ἐκ θεοῦ ἐστιν οὐ δύνασθε˚ καταλῦσαι αὐτὸ μήποτε καὶ θε-
ομάχοι εὑρεθῆτε· ἐπείσθησαν δὲ αὐτῷ καὶ προσκαλεσά- 40
μενοι τοὺς ἀποστόλους δείραντες παρήγγειλαν μὴ λαλεῖν
ἐπὶ τῷ ὀνόματι τοῦ ἰησοῦ καὶ ἀπέλυσαν αὐτούς· οἱ μὲν 41
οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου
ὅτι ὑπὲρ˚ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆναι·
πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ᾽ οἶκον οὐκ ἐπαύοντο 42
διδάσκοντες καὶ εὐαγγελιζόμενοι ἰησοῦν˚ τὸν χριστόν·

Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθη- **6**
τῶν ἐγένετο γογγυσμὸς τῶν ἑλληνιστῶν πρὸς τοὺς ἑβραί-
ους ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ
χῆραι αὐτῶν· προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος 2
τῶν μαθητῶν εἶπόν οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαν-
τας τὸν λόγον τοῦ θεοῦ διακονεῖν τραπέζαις· ἐπισκέψα- 3
σθε οὖν ἀδελφοὶ ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ
πλήρεις πνεύματος ἁγίου καὶ σοφίας οὓς καταστήσομεν
ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ δια- 4
κονίᾳ τοῦ λόγου προσκαρτερήσομεν· καὶ ἤρεσεν ὁ λόγος 5
ἐνώπιον παντὸς τοῦ πλήθους καὶ ἐξελέξαντο στέφανον ἄν-
δρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου καὶ φίλιππον καὶ
πρόχορον καὶ νικάνορα καὶ τίμωνα καὶ παρμενᾶν καὶ νι-

**v.37** T*: ικανον, V: ∅. **v.38** T*: εασατε, V: αφετε. **v.38** TKV: αυτη, M: ∅. **v.39** T*: δυνασθε καταλυσαι αυτο, V: δυνησεσθε καταλυσαι αυτους, D: δυνησεσθαι καλυσαι αυτους ουτε υμεις ουτε βασιλεις ουτε τψραννοι απεχεσθαι ουν απο των ανθρωπων τουτω. **v.40** T*: αυτους, V: ∅. **v.41** TK: υπερ του ονοματος αυτου κατηξιωθησαν, M: υπερ του ονοματος του ιησου κατηξιωθησαν, V: κατηξιωθησαν υπερ του ονοματος. **v.42** T*: ιησουν τον χριστον, V: τον χριστον ιησουν. **6. v.2** T*: ειπον, V: ειπαν. **v.3** T*: ουν, V: δε. **v.3** T*: αγιου, V: ∅. **v.3** TKV: καταστησομεν, M: καταστησωμεν. **v.5** TK: πληρη, MV: πληρης.

κόλαον προσήλυτον ἀντιοχέα ⸰ οὓς ἔστησαν ἐνώπιον τῶν
ἀποστόλων καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖ-
ρας ⸰ καὶ ὁ λόγος τοῦ θεοῦ ηὔξανεν καὶ ἐπληθύνετο ὁ ἀ-
ριθμὸς τῶν μαθητῶν ἐν ἱερουσαλὴμ σφόδρα πολύς τε ὄ-
χλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει ⸰ στέφανος δὲ πλήρης
πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα
ἐν τῷ λαῷ ⸰ ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς
λεγομένης λιβερτίνων καὶ κυρηναίων καὶ ἀλεξανδρέων καὶ
τῶν ἀπὸ κιλικίας καὶ ἀσίας συζητοῦντες τῷ στεφάνῳ ⸰ καὶ
οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλά-
λει ⸰ τότε ὑπέβαλον ἄνδρας λέγοντας ὅτι ἀκηκόαμεν αὐ-
τοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς μωσῆν καὶ τὸν θεόν ⸰
συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς
γραμματεῖς καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν καὶ ἤγαγον
εἰς τὸ συνέδριον ⸰ ἔστησάν τε μάρτυρας ψευδεῖς λέγοντας
ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα˙ βλάσφημα λαλῶν
κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου ⸰ ἀκη-
κόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι ἰησοῦς ὁ ναζωραῖος οὗτος
καταλύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδω-
κεν ἡμῖν μωϋσῆς ⸰ καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ
καθεζόμενοι ἐν τῷ συνεδρίῳ εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ
πρόσωπον ἀγγέλου ⸰

**7**, 2 Εἶπεν δὲ ὁ ἀρχιερεὺς εἰ ἄρα ταῦτα οὕτως ἔχει ⸰ ὁ δὲ
ἔφη ἄνδρες ἀδελφοὶ καὶ πατέρες ἀκούσατε ὁ θεὸς τῆς δό-
ξης ὤφθη τῷ πατρὶ ἡμῶν ἀβραὰμ ὄντι ἐν τῇ μεσοποταμίᾳ
πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν χαρράν ⸰ καὶ εἶπεν πρὸς αὐ-
τὸν ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ
δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω ⸰ τότε ἐξελθὼν ἐκ γῆς χαλ-
δαίων κατῴκησεν ἐν χαρρὰν κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν
τὸν πατέρα αὐτοῦ μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς
ἣν ὑμεῖς νῦν κατοικεῖτε ⸰ καὶ οὐκ ἔδωκεν αὐτῷ κληρο-

---

**v.8** T*: πιστεως, V: χαριτος. **v.11** T*: μωσην, V: μωυσην. **v.13** T*: ρηματα βλασφημα λαλων, V: λαλων ρηματα. **v.13** TK: τουτου, M: ∅, V: [τουτου]. **v.14** TKV: μωυσης, M: μωσης. **v.15** T*: απαντες, V: παντες. **7. v.1** T*: αρα, V: ∅. **v.3** T*: γην, V: την γην.

νομίαν ἐν αὐτῇ οὐδὲ βῆμα ποδὸς καὶ ἐπηγγείλατο αὐτῷ˚
δοῦναι εἰς κατάσχεσιν αὐτὴν καὶ τῷ σπέρματι αὐτοῦ μετ᾽
αὐτὸν οὐκ ὄντος αὐτῷ τέκνου· ἐλάλησεν δὲ οὕτως ὁ Θε- 6
ὸς ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ καὶ
δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια· καὶ τὸ 7
ἔθνος ᾧ ἐὰν δουλεύσῶσιν κρινῶ ἐγὼ εἶπεν˚ ὁ Θεὸς καὶ μετὰ
ταῦτα ἐξελεύσονται καὶ λατρεύσουσίν μοι ἐν τῷ τόπῳ τού-
τῳ· καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς καὶ οὕτως ἐγέν- 8
νησεν τὸν ἰσαὰκ καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ
καὶ ὁ˚ ἰσαὰκ τὸν ἰακὼβ καὶ ὁ˚ ἰακὼβ τοὺς δώδεκα πατριάρ-
χας· καὶ οἱ πατριάρχαι ζηλώσαντες τὸν ἰωσὴφ ἀπέδοντο 9
εἰς αἴγυπτον καὶ ἦν ὁ Θεὸς μετ᾽ αὐτοῦ· καὶ ἐξείλετο αὐ- 10
τὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ καὶ ἔδωκεν αὐτῷ χάριν
καὶ σοφίαν ἐναντίον φαραὼ βασιλέως αἰγύπτου καὶ κατέ-
στησεν αὐτὸν ἡγούμενον ἐπ᾽ αἴγυπτον καὶ ὅλὸν τὸν οἶκον
αὐτοῦ· ἦλθεν δὲ λιμὸς ἐφ᾽ ὅλην τὴν γῆν˚ αἰγύπτου καὶ χα- 11
ναάν καὶ θλίψις μεγάλη καὶ οὐχ ἑὕρισκον χορτάσματα οἱ
πατέρες ἡμῶν· ἀκούσας δὲ ἰακὼβ ὄντα σῖτα˚ ἐν αἰγύπτῳ 12
ἐξαπέστειλεν τοὺς πατέρας ἡμῶν πρῶτον· καὶ ἐν τῷ δευ- 13
τέρῳ ἀνεγνωρίσθη ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ καὶ φανερὸν
ἐγένετο τῷ φαραὼ τὸ γένος τοῦ ἰωσήφ· ἀποστείλας δὲ ἰω- 14
σὴφ μετεκαλέσατο τὸν˚ πατέρα αὐτοῦ ἰακὼβ καὶ πᾶσαν τὴν
συγγένειαν αὐτοῦ ἐν ψυχαῖς ἑβδομήκοντα πέντε· κατέβη˚ 15
δὲ ἰακὼβ εἰς αἴγυπτον καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πα-
τέρες ἡμῶν· καὶ μετετέθησαν εἰς σὺχὲμ καὶ ἐτέθησαν ἐν 16
τῷ μνήματι ὃ˚ ὠνήσατο ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν
υἱῶν ἐμμὸρ˚ τοῦ συχέμ· καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐ- 17
παγγελίας ἧς ὤμοσεν ὁ Θεὸς τῷ ἀβραὰμ ηὔξησεν ὁ λαὸς καὶ

**v.5** TK: αυτω δουναι, MV: δουναι αυτω. **v.7** T*: δουλευσωσιν, V: δουλευσουσιν. **v.7** T*: ειπεν ο θεος, V: ο θεος ειπεν. **v.8** T*: ο, V: ∅. **v.10** T*: εξειλετο, V: εξειλατο. **v.10** T*: ολον, V: [εφ] ολον. **v.11** T*: γην αιγυπτου, V: αιγυπτον. **v.11** T*: ευρισκον, V: ηυρισκον. **v.12** T*: σιτα εν αιγυπτω, V: σιτια εις αιγυπτον. **v.14** T*: τον πατερα αυτου ιακωβ, V: ιακωβ τον πατερα αυτου. **v.14** TK: αυτου, MV: ∅. **v.15** T*: κατεβη δε, V: και κατεβη. **v.16** TMV: συχεμ, K: σιχεμ. **v.16** T*: ο, V: ω. **v.16** TM: εμμορ του συχεμ, K: εμορ του σιχεμ, V: εμμωρ εν συχεμ. **v.17** T*: ωμοσεν, V: ωμολογησεν, D: επηγγειλατο.

18 ἐπληθύνθη ἐν αἰγύπτῳ ⸰ ἄχριȣ̣ οȣ̃ ἀνέστη βασιλεὺς ἕτεροȣ̣
19 ὃς οὐκ ᾔδει τὸν ἰωσήφ ⸰ οȣ̃τος κατασοφισάμενος τὸ γένος
ἡμῶν ἐκάκωσεν τοὺς πατέρας ἡμῶν τοȣ̃ ποιεῖν ἔκθετα˚ τὰ
20 βρέφη αὐτῶν εἰς τὸ μὴ ζωογονεῖσθαι ⸰ ἐν ᾧ̣ καιρῷ̣ ἐγεννήθη
μωσῆς καὶ ἦν ἀστεῖος τῷ̣ θεῷ̣ ὃς ἀνετράφη μῆνας τρεῖς ἐν
21 τῷ̣ οἴκῳ τοȣ̃ πατρὸς αὐτ̣οȣ̃ ⸰ ἐκτεθέντα˚ δὲ αὐτὸν ἀνείλετο
αὐτὸν ἡ θυγάτηρ φαραώ καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ̣ εἰς
22 υἱόν ⸰ καὶ ἐπαιδεύθη μωσῆ̣ς πάσῃ σοφίᾳ αἰγυπτίων ἦν δὲ
23 δυνατὸς ἐν λόγοις καὶ ἐν˚ ἔργοις ⸰ ὡς δὲ ἐπληροȣ̃το αὐ-
τῷ̣ τεσσαρακονταετὴς χρόνος ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοȣ̃
ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοȣ̃ τοὺς υἱοὺς ἰσραήλ ⸰
24 καὶ ἰδών τινα ἀδικούμενον ἠμύνατο καὶ ἐποίησεν ἐκδίκη-
25 σιν τῷ̣ καταπονουμένῳ̣ πατάξας τὸν αἰγύπτιον ⸰ ἐνόμιζεν δὲ
συνιέναι τοὺς ἀδελφοὺς αὐτοȣ̃ ὅτι ὁ θεὸς διὰ χειρὸς αὐτοȣ̃
26 δίδωσιν αὐτοῖς˚ σωτηρίαν οἱ δὲ οὐ συνῆκαν ⸰ τῇ̣ τε ἐπιού-
σῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομένοις καὶ συν̣ήλασεν αὐτοὺς
εἰς εἰρήνην εἰπὼν ἄνδρες ἀδελφοί ἐστε ὑμ̣εῖς ἱνατὶ ἀδικεῖτε
27 ἀλλήλους ⸰ ὁ δὲ ἀδικῶν τὸν πλησίον ἀπώσατο αὐτὸν εἰπὼν
28 τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμ̃ᾶ̣ς ⸰ μὴ ἀ-
νελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες χ̣θὲς τὸν αἰγύπτιον ⸰
29 ἔφυγεν δὲ μωσῆς ἐν τῷ̣ λόγῳ̣ τούτῳ̣ καὶ ἐγένετο πάροικος
30 ἐν γῇ̣ μαδιὰμ οȣ̃ ἐγέννησεν υἱοὺς δύο ⸰ καὶ πληρωθέντων
ἐτῶν τεσσαράκοντα ὤφθη αὐτῷ̣ ἐν τῇ̣ ἐρήμῳ̣ τοȣ̃ ὄρους σι-
31 νᾶ̃ ἄγγελος κυρ̣ίου ἐν φλογὶ πυρὸς βάτου ⸰ ὁ δὲ μωσῆς
ἰδὼν ἐθαύμαδεν τὸ ὅραμα προσερχομένου δὲ αὐτοȣ̃ κατα-
32 νοῆσαι ἐγένετο φωνὴ κυρίου πρὸς˚ αὐτόν ⸰ ἐγὼ ὁ θεὸς τῶν

---

**v.18** T*: αχρις, V: αχρι. **v.18** T*: ετερος, V: ετερος [επ αιγυπτον]. **v.19** T*: εκθετα τα βρεφη, V: τα βρεφη εκθετα. **v.20** T*: μωσης, V: μωυσης. **v.20** TK: αυτου, MV: ∅. **v.21** TK: εκτεθεντα δε αυτον ανειλετο αυτον, M: εκτεθεντα δε αυτον ανειλετο, V: εκτεθεντος δε αυτου ανειλατο αυτον. **v.22** T*: μωσης, V: μωυσης [εν]. **v.22** TK: εν εργοις, M: εργοις, V: εργοις αυτου. **v.23** T*: τεσσαρακονταετης, V: τεσσερακονταετης. **v.25** T*: αυτοις σωτηριαν, V: σωτηριαν αυτοις. **v.26** TMV: τε, K: δε. **v.26** T*: συνηλασεν, V: συνηλλασσεν. **v.26** T*: υμεις, V: ∅. **v.27** T*: ημας, V: ημων. **v.28** T*: χθες, V: εχθες. **v.29** T*: μωσης, V: μωυσης. **v.30** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.30** T*: κυριου, V: ∅. **v.31** T*: μωσης, V: μωυσης. **v.31** TK: εθαυμασεν, MV: εθαυμαζεν. **v.31** T*: προς αυτον, V: ∅.

πατέρων σου ὁ θεὸς ἀβραὰμ καὶ ὁ˚ θεὸς ἰσαὰκ καὶ ὁ˚ θεὸς
ἰακὼβ ἔντρομος δὲ γενόμενος μωσῆς οὐκ ἐτόλμα κατανοῆ-
σαι ⸰ εἶπεν δὲ αὐτῷ ὁ κύριος λῦσον τὸ ὑπόδημα τῶν ποδῶν 33
σου ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστίν ⸰ ἰδὼν εἶδον 34
τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν αἰγύπτῳ καὶ τοῦ στε-
ναγμοῦ αὐτῶν ἤκουσα καὶ κατέβην ἐξελέσθαι αὐτοὺς καὶ
νῦν δεῦρο ἀποστέλῶ σε εἰς αἴγυπτον ⸰ τοῦτον τὸν μωϋσῆν 35
ὃν ἠρνήσαντο εἰπόντες τίς σε κατέστησεν ἄρχοντα καὶ δι-
καστὴν τοῦτον ὁ θεὸς ἄρχοντα καὶ λυτρωτὴν ἀπέστειλεν˚ ἐν
χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ ⸰ οὗτος ἐξήγα- 36
γεν αὐτοὺς ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ αἰγύπτου καὶ
ἐν ἐρυθρᾷ θαλάσσῃ καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα ⸰
οὗτός ἐστιν ὁ μωϋσῆς ὁ εἰπὼν τοῖς υἱοῖς ἰσραὴλ προφήτην 37
ὑμῖν ἀναστήσει κύριος˚ ὁ θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν
ὡς ἐμὲ αὐτοῦ˚ ἀκούσεσθε ⸰ οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ 38
ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος
αὐτῷ ἐν τῷ ὄρει σινᾶ καὶ τῶν πατέρων ἡμῶν ὃς ἐδέξατο
λόγια ζῶντα δοῦναι ἡμῖν ⸰ ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέ- 39
σθαι οἱ πατέρες ἡμῶν ἀλλ᾽ ἀπώσαντο καὶ ἐστράφησαν ταῖς˚
καρδίαις αὐτῶν εἰς αἴγυπτον ⸰ εἰπόντες τῷ ἀαρὼν ποίησον 40
ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν ὁ γὰρ μωσῆς οὗτος
ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς αἰγύπτου οὐκ οἴδαμεν τί γέγονεν
αὐτῷ ⸰ καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἀ- 41
νήγαγον θυσίαν τῷ εἰδώλῳ καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις
τῶν χειρῶν αὐτῶν ⸰ ἔστρεψεν δὲ ὁ θεὸς καὶ παρέδωκεν αὐ- 42
τοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ καθὼς γέγραπται
ἐν βίβλῳ τῶν προφητῶν μὴ σφάγια καὶ θυσίας προσηνέγ-
κατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ οἶκος ἰσραήλ ⸰ καὶ 43

---

**v.32** T*: ο θεος, V: ∅. **v.32** T*: μωσης, V: μωυσης. **v.33** T*: εν, V: εφ. **v.34** T*: αποστελω, V: αποστειλω. **v.35** TKV: μωυσην, M: μωσην. **v.35** T*: αρχοντα, V: [και] αρχοντα. **v.35** T*: απεστειλεν εν, V: απεσταλκεν συν. **v.36** TK: αιγυπτου, MV: αιγυπτω. **v.36** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.37** TKV: μωυσης, M: μωσης. **v.37** T*: ειπων, V: ειπας. **v.37** TK: κυριος ο θεος υμων, M: κυριος ο θεος ημων, V: ο θεος. **v.37** TK: αυτου ακουσεσθε, MV: ∅. **v.39** T*: αλλ, V: αλλα. **v.39** TK: ταις καρδιαις, M: τη καρδια, V: εν ταις καρδιαις. **v.40** T*: μωσης, V: μωυσης. **v.40** T*: γεγονεν, V: εγενετο. **v.42** T*: τεσσαρακοντα, V: τεσσερακοντα.

ἀνελάβετε τὴν σκηνὴν τοῦ μολόχ καὶ τὸ ἄστρον τοῦ θεοῦ
ὑμῶν ῥεμφὰν τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐ-
44 τοῖς καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα βαβυλῶνος ◦ ἡ σκηνὴ τοῦ
μαρτυρίου ἦν ἐν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ καθὼς δι-
ετάξατο ὁ λαλῶν τῷ μωσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν
45 ἑωράκει ◦ ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν
μετὰ ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν ὧν ἐξῶσεν ὁ θεὸς
ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν ἕως τῶν ἡμερῶν δαβίδ ◦
46 ὃς εὗρεν χάριν ἐνώπιον τοῦ θεοῦ καὶ ᾐτήσατο εὑρεῖν σκή-
47 νωμα τῷ θεῷ ἰακώβ ◦ σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον ◦
48 ἀλλ᾽ οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ καθὼς
49 ὁ προφήτης λέγει ◦ ὁ οὐρανός μοι θρόνος ἡ δὲ γῆ ὑποπό-
διον τῶν ποδῶν μου ποῖον οἶκον οἰκοδομήσετέ μοι λέγει
50 κύριος ἢ τίς τόπος τῆς καταπαύσεώς μου ◦ οὐχὶ ἡ χείρ μου
51 ἐποίησεν ταῦτα πάντα ◦ σκληροτράχηλοι καὶ ἀπερίτμητοι
τῇ˚ καρδίᾳ καὶ τοῖς ὠσὶν ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ
52 ἀντιπίπτετε ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς ◦ τίνα τῶν προ-
φητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν καὶ ἀπέκτειναν τοὺς
προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου οὗ νῦν
53 ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε ◦ οἵτινες ἐλάβετε τὸν
54 νόμον εἰς διαταγὰς ἀγγέλων καὶ οὐκ ἐφυλάξατε ◦ ἀκούον-
τες δὲ ταῦτα διεπρίοντο ταῖς καρδίαις αὐτῶν καὶ ἔβρυχον
55 τοὺς ὀδόντας ἐπ᾽ αὐτόν ◦ ὑπάρχων δὲ πλήρης πνεύματος
ἁγίου ἀτενίσας εἰς τὸν οὐρανὸν εἶδεν δόξαν θεοῦ καὶ ἰη-
56 σοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ ◦ καὶ εἶπεν ἰδοὺ θεωρῶ
τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου
57 ἐκ δεξιῶν ἑστῶτα τοῦ θεοῦ ◦ κράξαντες δὲ φωνῇ μεγάλῃ
συνέσχον τὰ ὦτα αὐτῶν καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐ-
58 τόν ◦ καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως ἐλιθοβόλουν καὶ οἱ
μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεα-

**v.43** T*: ρεμφαν, V: ραιφαν. **v.44** T: εν, KMV: ∅. **v.44** T*: μωση, V: μωυση. **v.45** T*: δαβιδ, V: δαυιδ. **v.46** T*: θεω, V: οικω. **v.47** T*: ωκοδομησεν, V: οικοδομησεν. **v.48** T*: ναοις, V: ∅. **v.51** T*: τη καρδια, V: καρδιαις. **v.52** T*: γεγενησθε, V: εγενεσθε. **v.56** T*: ανεωγμενους, V: διηνοιγμενους. **v.58** TKV: αυτων, M: ∅.

νίου καλουμένου σαύλου ⸰ καὶ ἐλιθοβόλουν τὸν στέφανον 59
ἐπικαλούμενον καὶ λέγοντα κύριε ἰησοῦ δέξαι τὸ πνεῦμά
μου ⸰ θεὶς δὲ τὰ γόνατα ἔκραξεν φωνῇ μεγάλῃ κύριε μὴ 60
στήσῃς αὐτοῖς τὴν᾽ ἁμαρτίαν ταύτην καὶ τοῦτο εἰπὼν ἐκοι-
μήθη ⸰

Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ ἐγένετο δὲ **8**
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν
ἐν ἱεροσολύμοις πάντες τε διεσπάρησαν κατὰ τὰς χώρας
τῆς ἰουδαίας καὶ σαμαρείας πλὴν τῶν ἀποστόλων ⸰ συνε- 2
κόμισαν δὲ τὸν στέφανον ἄνδρες εὐλαβεῖς καὶ ἐποιήσανto
κοπετὸν μέγαν ἐπ᾽ αὐτῷ ⸰ σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκ- 3
κλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος σύρων τε ἄν-
δρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν ⸰ οἱ μὲν οὖν δι- 4
ασπαρέντες διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον ⸰ φίλιππος 5
δὲ κατελθὼν εἰς πόλιν τῆς σαμαρείας ἐκήρυσσεν αὐτοῖς τὸν
χριστόν ⸰ προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ 6
φιλίππου ὁμοθυμαδὸν ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν
τὰ σημεῖα ἃ ἐποίει ⸰ πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα 7
ἀκάθαρτα βοῶντα μεγάλῃ᾽ φωνῇ ἐξήρχετο πολλοὶ δὲ πα-
ραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν ⸰ καὶ᾽ ἐγένετο χα- 8
ρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ ⸰ ἀνὴρ δέ τις ὀνόματι σίμων 9
προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς
σαμαρείας λέγων εἶναί τινα ἑαυτὸν μέγαν ⸰ ᾧ προσεῖχον 10
πάντες ἀπὸ μικροῦ ἕως μεγάλου λέγοντες οὗτός ἐστιν ἡ
δύναμις τοῦ θεοῦ ἡ μεγάλη ⸰ προσεῖχον δὲ αὐτῷ διὰ τὸ ἱ- 11
κανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς ⸰ ὅτε δὲ ἐπί- 12
στευσαν τῷ φιλίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας
τοῦ θεοῦ καὶ τοῦ ὀνόματος τοῦ ἰησοῦ χριστοῦ ἐβαπτίζοντο
ἄνδρες τε καὶ γυναῖκες ⸰ ὁ δὲ σίμων καὶ αὐτὸς ἐπίστευ- 13

**v.60** T*: την αμαρτιαν ταυτην, V: ταυτην την αμαρτιαν. **8. v.1** TKV: τη, M: τω. **v.1** TK: τε, MV: δε. **v.2** T*: εποιησαντο, V: εποιησαν. **v.5** T*: πολιν, V: [την] πολιν. **v.6** T*: τε, V: δε. **v.7** T*: πολλων, V: πολλοι. **v.7** TK: μεγαλη φωνη εξηρχετο, M: φωνη μεγαλη εξηρχετο, V: φωνη μεγαλη εξηρχοντο. **v.8** T*: και εγενετο χαρα μεγαλη, V: εγενετο δε πολλη χαρα. **v.9** T*: εξιστων, V: εξιστανων. **v.10** TKV: παντες, M: ∅. **v.10** T*: μεγαλη, V: καλουμενη μεγαλη. **v.12** T*: τα, V: ∅. **v.12** TK: του, MV: ∅.

σεν καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ φιλίππῳ θεωρῶν
14 τε σημεῖα˚ καὶ δυνάμεις μεγάλας γινομένας ἐξίστατο ◦ ἀ-
κούσαντες δὲ οἱ ἐν ἱεροσολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ
σαμάρεια τὸν λόγον τοῦ θεοῦ ἀπέστειλαν πρὸς αὐτοὺς τὸν
15 πέτρον καὶ ἰωάννην ◦ οἵτινες καταβάντες προσηύξαντο περὶ
16 αὐτῶν ὅπως λάβωσιν πνεῦμα ἅγιον ◦ οὐπω γὰρ ἦν ἐπ᾽ οὐ-
δενὶ αὐτῶν ἐπιπεπτωκὸς μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον
17 εἰς τὸ ὄνομα τοῦ κυρίου ἰησοῦ ◦ τότε ἐπετίθουν τὰς χεῖρας
18 ἐπ᾽ αὐτοὺς καὶ ἐλάμβανον πνεῦμα ἅγιον ◦ θεαδάμενος δὲ
ὁ σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων
δίδοται τὸ πνεῦμα τὸ˚ ἅγιον προσήνεγκεν αὐτοῖς χρήματα ◦
19 λέγων δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην ἵνα ᾧ˜ ἂν ἐπιθῶ τὰς
20 χεῖρας λαμβάνῃ πνεῦμα ἅγιον ◦ πέτρος δὲ εἶπεν πρὸς αὐ-
τὸν τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν ὅτι τὴν δω-
21 ρεὰν τοῦ θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι ◦ οὐκ ἔστιν
σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ ἡ γὰρ καρδία
22 σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ θεοῦ ◦ μετανόησον οὖν
ἀπὸ τῆς κακίας σου ταύτης καὶ δεήθητι τοῦ θεοῦ εἰ ἄρα
23 ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου ◦ εἰς γὰρ χολὴν
24 πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα ◦ ἀποκριθεὶς
δὲ ὁ σίμων εἶπεν δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν κύ-
25 ριον ὅπως μηδὲν ἐπέλθῃ ἐπ᾽ ἐμὲ ὧν˜ εἰρήκατε ◦ οἱ μὲν οὖν
διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ κυρίου
ὑπέστρεψαν˚ εἰς ἱερουσαλὴμ πολλάς τε κώμας τῶν σαμα-
26 ρειτῶν˚ εὐηγγελίσαντο ◦ ἄγγελος δὲ κυρίου ἐλάλησεν πρὸς
φίλιππον λέγων ἀνάστηθι καὶ πορεύου κατὰ μεσημβρίαν
ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ ἱερουσαλὴμ εἰς γά-
27 ζαν αὕτη ἐστὶν ἔρημος ◦ καὶ ἀναστὰς ἐπορεύθη καὶ ἰδοὺ
ἀνὴρ αἰθίοψ εὐνοῦχος δυνάστης κανδάκης τῆς βασιλίσ-

---

**v.13** TV: σημεια και δυναμεις μεγαλας γινομενας, KM: δυναμεις και σημεια γινομενα. **v.14** T*: τον, V: ∅. **v.16** T*: ουπω, V: ουδεπω. **v.16** TKV: κυριου, M: χριστου. **v.17** T*: επετιθουν, V: επετιθεσαν. **v.18** T*: θεασαμενος, V: ιδων. **v.18** T*: το αγιον, V: ∅. **v.19** T: αν, KMV: εαν. **v.21** T*: ενωπιον, V: εναντι. **v.22** T*: θεου, V: κυριου. **v.25** T*: υπεστρεψαν εις ιερουσαλημ, V: υπεστρεφον εις ιεροσολυμα. **v.25** T*: σαμαρειτων ευηγγελισαντο, V: σαμαριτων ευηγγελιζοντο. **v.27** T*: της, V: ∅.

σης αἰθιόπων ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς ὃς ἐληλύ-
θει προσκυνήσων εἰς ἱερουσαλήμ ⸰ ἦν τε ὑποστρέφων καὶ 28
καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ κἀὶ ἀνεγίνωσκεν τὸν
προφήτην ἡσαΐαν ⸰ εἶπεν δὲ τὸ πνεῦμα τῷ φιλίππῳ πρό- 29
σελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ ⸰ προσδραμὼν δὲ 30
ὁ φίλιππος ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν˚ προφή-
την ἡσαΐαν καὶ εἶπεν ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις ⸰
ὁ δὲ εἶπεν πῶς γὰρ ἂν δυναίμην ἐὰν μή τις ὁδήγησῇ με 31
παρεκάλεσέν τε τὸν φίλιππον ἀναβάντα καθίσαι σὺν αὐ-
τῷ ⸰ ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν ἦν αὕτη 32
ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ
κείροντος αὐτὸν ἄφωνος οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐ-
τοῦ ⸰ ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη τὴν δὲ˚ 33
γενεὰν αὐτοῦ τίς διηγήσεται ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ
αὐτοῦ ⸰ ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ φιλίππῳ εἶπεν δέο- 34
μαί σου περὶ τίνος ὁ προφήτης λέγει τοῦτο περὶ ἑαυτοῦ ἢ
περὶ ἑτέρου τινός ⸰ ἀνοίξας δὲ ὁ φίλιππος τὸ στόμα αὐτοῦ 35
καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης εὐηγγελίσατο αὐτῷ
τὸν ἰησοῦν ⸰ ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν ἦλθον ἐπί τι 36
ὕδωρ καί φησιν ὁ εὐνοῦχος ἰδοὺ ὕδωρ τί κωλύει με βα-
πτισθῆναι ⸰ εἶπεν˚ δὲ ὁ φίλιππος εἰ πιστεύεις ἐξ ὅλης τῆς 37
καρδίας ἔξεστιν ἀποκριθεὶς δὲ εἶπεν πιστεύω τὸν υἱὸν τοῦ
θεοῦ εἶναι τὸν ἰησοῦν χριστόν ⸰ καὶ ἐκέλευσεν στῆναι τὸ 38
ἅρμα καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ ὅ τε φίλιππος
καὶ ὁ εὐνοῦχος καὶ ἐβάπτισεν αὐτόν ⸰ ὅτε δὲ ἀνέβησαν ἐκ 39
τοῦ ὕδατος πνεῦμἀ κυρίου ἥρπασεν τὸν φίλιππον καὶ οὐκ
εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος ἐπορεύετο γὰρ τὴν ὁδὸν
αὐτοῦ χαίρων ⸰ φίλιππος δὲ εὑρέθη εἰς ἄζωτον καὶ διερχό- 40
μενος εὐηγγελίζετο τὰς πόλεις πάσας ἕως τοῦ ἐλθεῖν αὐτὸν
εἰς καισάρειαν ⸰

**9** Ὁ δὲ σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς

**v.28** TMV: και, K: ∅. **v.30** T*: τον προφητην ησαιαν, V: ησαιαν τον προφητην. **v.31** T*: οδηγηση, V: οδηγησει. **v.32** TK: κειροντος, MV: κειραντος. **v.33** T*: δε, V: ∅. **v.37** TK: ειπεν ... χριστον, MV: ∅. **v.39** E: πνευμα, F: πνευμα αγιον επεπεσεν επι τον ευνουχον αγγελος δε.

2 μαθητὰς τοῦ κυρίου προσελθὼν τῷ ἀρχιερεῖ ◦ ἠτήσατο παρ᾽
αὐτοῦ ἐπιστολὰς εἰς δαμασκὸν πρὸς τὰς συναγωγὰς ὅπως
ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας
3 δεδεμένους ἀγάγῃ εἰς ἱερουσαλήμ ◦ ἐν δὲ τῷ πορεύεσθαι
ἐγένετο αὐτὸν ἐγγίζειν τῇ δαμασκῷ καὶ˚ ἐξαίφνης περιή-
4 στραψεν˚ αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ ◦ καὶ πεσὼν ἐπὶ τὴν
γῆν ἤκουσεν φωνὴν λέγουσαν αὐτῷ σαοὺλ σαοὺλ τί με δι-
5 ώκεις ◦ εἶπεν δὲ τίς εἶ κύριε ὁ δὲ κύριος˚ εἶπεν ἐγώ εἰμι
ἰησοῦς ὃν σὺ διώκεις σκληρόν˚ σοι πρὸς κέντρα λακτίζειν ◦
6 τρέμων˚ τε καὶ θαμβῶν εἶπεν κύριε τί με θέλεις ποιῆσαι
καὶ ὁ κύριος πρὸς αὐτὸν ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πό-
7 λιν καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν ◦ οἱ δὲ ἄνδρες οἱ
συνοδεύοντες αὐτῷ εἱστήκεισαν ἐνεοί ἀκούοντες μὲν τῆς
8 φωνῆς μηδένα δὲ θεωροῦντες ◦ ἠγέρθη δὲ ὁ˚ σαῦλος ἀπὸ
τῆς γῆς ἀνεῳγμένων δὲ˚ τῶν ὀφθαλμῶν αὐτοῦ οὐδένα ἔ-
βλεπεν χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς δαμασκόν ◦
9 καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων καὶ οὐκ ἔφαγεν οὐδὲ ἔ-
10 πιεν ◦ ἦν δέ τις μαθητὴς ἐν δαμασκῷ ὀνόματι ἁνανίας καὶ
εἶπεν πρὸς αὐτὸν ὁ˚ κύριος ἐν ὁράματι ἁνανία ὁ δὲ εἶπεν
11 ἰδοὺ ἐγὼ κύριε ◦ ὁ δὲ κύριος πρὸς αὐτὸν ἀναστὰς πορεύ-
θητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐθεῖαν καὶ ζήτησον ἐν
οἰκίᾳ ἰούδα σαῦλον ὀνόματι ταρσέα ἰδοὺ γὰρ προσεύχεται ◦
12 καὶ εἶδεν ἐν˚ ὁράματι ἄνδρα ὀνόματι˚ ἁνανίαν εἰσελθόντα
13 καὶ ἐπιθέντα αὐτῷ χεῖρα ὅπως ἀναβλέψῃ ◦ ἀπεκρίθη δὲ ὁ˚
ἁνανίας κύριε ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τού-
του ὅσα κακὰ ἐποίησεν˚ τοῖς ἁγίοις σου ἐν ἱερουσαλήμ ◦
14 καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας

---

**9. v.3** T*: και εξαιφνης, V: εξαιφνης τε. **v.3** T*: περιηστραψεν αυτον, V: αυτον περιηστραψεν. **v.3** T*: απο, V: εκ. **v.5** T*: κυριος ειπεν, V: ∅. **v.5** TK: σκληρον σοι προς κεντρα λακτιζειν, MV: ∅. **v.6** TK: τρεμων τε και θαμβων ειπεν κυριε τι με θελεις ποιησαι και ο κυριος προς αυτον, MV: αλλα. **v.6** T*: τι, V: ο τι. **v.7** TK: εννεοι, MV: ενεοι. **v.8** T*: ο, V: ∅. **v.8** TKV: δε, M: τε. **v.8** T*: ουδενα, V: ουδεν. **v.10** T*: ο κυριος εν οραματι, V: εν οραματι ο κυριος. **v.12** T*: εν οραματι ανδρα, V: ανδρα [εν οραματι]. **v.12** T*: ονοματι ανανιαν, V: ανανιαν ονοματι. **v.12** T*: χειρα, V: [τας] χειρας. **v.13** TK: ο, MV: ∅. **v.13** T*: ακηκοα, V: ηκουσα. **v.13** T*: εποιησεν τοις αγιοις σου, V: τοις αγιοις σου εποιησεν.

τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου ⸰ εἶπεν δὲ πρὸς αὐτὸν 15
ὁ κύριος πορεύου ὅτι σκεῦος ἐκλογῆς μοι˚ ἐστὶν οὗτος τοῦ
βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν ϗαὶ βασιλέων υἱῶν
τε ἰσραήλ ⸰ ἐγὼ γὰρ ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ 16
ὀνόματός μου παθεῖν ⸰ ἀπῆλθεν δὲ ἀνανίας καὶ εἰσῆλθεν 17
εἰς τὴν οἰκίαν καὶ ἐπιθεὶς ἐπ᾽ αὐτὸν τὰς χεῖρας εἶπεν σαοὺλ
ἀδελφὲ ὁ κύριος ἀπέσταλκέν με ἰηȣ̑ῦς ὁ ὀφθείς σοι ἐν
τῇ ὁδῷ ᾗ ἤρχου ὅπως ἀναβλέψῃς καὶ πλησθῇς πνεύματος
ἁγίου ⸰ καὶ εὐθέως ἀπέπεσὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτ̔οῦ 18
ὡσεὶ λεπίδες ἀνέβλεψέν τε παραχ̔ρῆμα καὶ ἀναστὰς ἐβα-
πτίσθη ⸰ καὶ λαβὼν τροφὴν ἐνίσχυσεν ἐγένετο δὲ ὁ˚ σαῦλος 19
μετὰ τῶν ἐν δαμασκῷ μαθητῶν ἡμέρας τινάς ⸰ καὶ εὐθέως 20
ἐν ταῖς συναγωγαῖς ἐκήρυσσεν τὸν χριȣ̑τὸν ὅτι οὗτός ἐστιν
ὁ υἱὸς τοῦ θεοῦ ⸰ ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες καὶ 21
ἔλεγον οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν̓ ἰερουσαλὴμ τοὺς ἐ-
πικαλουμένους τὸ ὄνομα τοῦτο καὶ ὧδε εἰς τοῦτο ἐληλύθει
ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς ⸰ σαῦλος 22
δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυν̓εν τοὺς ἰουδαίους
τοὺς κατοικοῦντας ἐν δαμασκῷ συμβιβάζων ὅτι οὗτός ἐστιν
ὁ χριστός ⸰ ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναὶ συνεβουλεύ- 23
σαντο οἱ ἰουδαῖοι ἀνελεῖν αὐτόν ⸰ ἐγνώσθη δὲ τῷ σαύλῳ ἡ 24
ἐπιβουλὴ αὐτῶν παρετηροῦν˚ τε τὰς πύλας ἡμέρας τε καὶ
νυκτὸς ὅπως αὐτὸν ἀνέλωσιν ⸰ λαβόντες δὲ αὐτὸν˚ οἱ μαθη- 25
ταὶ νυκτὸς καθῆκαν˚ διὰ τοῦ τείχους χαλάσαντες ἐν σπυ-
ρίδι ⸰ παραγενόμενος δὲ ὁ˚ σαῦλος εἰς̔ ἰερουσαλὴμ ἐπει- 26
ρᾶ̓το κολλᾶσθαι τοῖς μαθηταῖς καὶ πάντες ἐφοβοῦντο αὐτὸν
μὴ πιστεύοντες ὅτι ἐστὶν μαθητής ⸰ βαρνάβας δὲ ἐπιλαβό- 27
μενος αὐτὸν ἤγαγεν πρὸς τοὺς ἀποστόλους καὶ διηγήσατο

---

**v.15** T*: μοι εστιν, V: εστιν μοι. **v.15** T*: και, V: τε και. **v.17** TKV: ιησους, M: ∅. **v.18** T*: απεπεσον, V: απεπεσαν αυτου. **v.18** T*: αυτου ωσει, V: ως. **v.18** TK: παραχρημα, MV: ∅. **v.19** T*: ο σαυλος, V: ∅. **v.20** T*: χριστον, V: ιησουν. **v.21** T*: εν, V: εις. **v.21** TKV: εληλυθει, M: εληλυθεν. **v.22** T*: συνεχυνεν, V: συνεχυννεν. **v.24** T*: παρετηρουν τε, V: παρετηρουντο δε και. **v.25** T*: αυτον οι μαθηται, V: οι μαθηται αυτου. **v.25** T*: καθηκαν δια του τειχους, V: δια του τειχους καθηκαν αυτον. **v.26** T*: ο σαυλος, V: ∅. **v.26** TKV: εις, M: εν. **v.26** T*: επειρατο, V: επειραζεν.

αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδεν τὸν κύριον καὶ ὅτι ἐλάλησεν
αὐτῷ καὶ πῶς ἐν δαμασκῷ ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι
28 τοῦ ἰησοῦ ⸰ καὶ ἦν μετ᾽ αὐτῶν εἰσπορευόμενος καὶ˚ ἐκπο-
29 ρευόμενος ἐν ἰερουσαλήμ ⸰ κἀὶ παρρησιαζόμενος ἐν τῷ ὀ-
νόματι τοῦ κυρίου ἰησοῦ ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς
30 ἑλληνιστὰς οἱ δὲ ἐπεχείρουν αὐτὸν˚ ἀνελεῖν ⸰ ἐπιγνόντες δὲ
οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς καισάρειαν καὶ ἐξαπέστει-
31 λαν αὐτὸν εἰς ταρσόν ⸰ αἱ˚ μὲν οὖν ἐκκλησίαι καθ᾽ ὅλης τῆς
ἰουδαίας καὶ γαλιλαίας καὶ σαμαρείας εἶχὸν εἰρήνην οἰκο-
δομούμεναι˚ καὶ πορευομέναι τῷ φόβῳ τοῦ κυρίου καὶ τῇ
32 παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνὸντο ⸰ ἐγένετο
δὲ πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς
33 ἁγίους τοὺς κατοικοῦντας λύδδαν̓ ⸰ εὗρεν δὲ ἐκεῖ ἄνθρω-
πόν τινα αἰνέαν˚ ὀνόματι ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ
34 κραββάτω ὃς ἦν παραλελυμένος ⸰ καὶ εἶπεν αὐτῷ ὁ πέτρος
αἰνέα ἰᾶταί σε ἰησοῦς ὁ˚ χριστὸς ἀνάστηθι καὶ στρῶσον
35 σεαυτῷ καὶ εὐθέως ἀνέστη ⸰ καὶ εἶδὸν αὐτὸν πάντες οἱ κα-
τοικοῦντες λύδδαν̓ καὶ τὸν σαρωνᾶν̓ οἵτινες ἐπέστρεψαν ἐπὶ
36 τὸν κύριον ⸰ ἐν ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι ταβιθὰ
ἣ διερμηνευομένη λέγεται δορκὰς αὕτη ἦν πλήρης ἀγα-
37 θῶν˚ ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει ⸰ ἐγένετο δὲ ἐν ταῖς
ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν λούσαν-
38 τες δὲ αὐτὴν˚ ἔθηκαν ἐν ὑπερῴῳ ⸰ ἐγγὺς δὲ οὔσης λύδδης
τῇ ἰόππῃ οἱ μαθηταὶ ἀκούσαντες ὅτι πέτρος ἐστὶν ἐν αὐτῇ
ἀπέστειλαν δύο˚ ἄνδρας πρὸς αὐτὸν παρακαλοῦντες μὴ ὀ-
39 κνῆσάι διελθεῖν ἕως αὐτ̊ῶν ⸰ ἀναστὰς δὲ πέτρος συνῆλθεν
αὐτοῖς ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον καὶ

---

**v.28** TK: και εκπορευομενος εν, M: εις, V: και εκπορευομενος εις. **v.29** T*: και, V: ∅. **v.29** T*: ιησου, V: ∅. **v.29** T*: αυτον ανελειν, V: ανελειν αυτον. **v.31** T*: αι μεν ουν εκκλησιαι, V: η μεν ουν εκκλησια. **v.31** T*: ειχον, V: ειχεν. **v.31** T*: οικοδομουμεναι και πορευομεναι, V: οικοδομουμενη και πορευομενη. **v.31** T*: επληθυνοντο, V: επληθυνετο. **v.32** T*: λυδδαν, V: λυδδα. **v.33** T*: αινεαν ονοματι, V: ονοματι αινεαν. **v.33** T*: κραββατω, V: κραβαττου. **v.34** T*: ο, V: ∅. **v.35** T*: ειδον, V: ειδαν. **v.35** T*: λυδδαν, V: λυδδα. **v.35** T: σαρωναν, KV: σαρωνα, M: ασσαρωνα. **v.36** T*: αγαθων εργων, V: εργων αγαθων. **v.37** T*: αυτην εθηκαν, V: εθηκαν [αυτην]. **v.38** T*: λυδδης, V: λυδδας. **v.38** TKV: δυο ανδρας, M: ∅. **v.38** T*: οκνησαι, V: οκνησης. **v.38** T*: αυτων, V: ημων.

παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ δορκάς· ἐκβαλὼν δὲ ἔξω πάντας ὁ πέτρος θεὶς τὰ γόνατα 40
προσηύξατο καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπεν ταβιθὰ ἀνάστηθι ἡ δὲ ἤνοιξεν τοὺς ὀφθαλμοὺς αὐτῆς καὶ ἰδοῦσα τὸν πέτρον ἀνεκάθισεν· δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτὴν 41
φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν ζῶσαν· γνωστὸν δὲ ἐγένετο καθ᾽ ὅλης τῆς ἰόππης καὶ πολ- 42
λοὶ˚ ἐπίστευσαν ἐπὶ τὸν κύριον· ἐγένετο δὲ ἡμέρας ἱκανὰς 43
μεῖναι αὐτὸν ἐν ἰόππῃ παρά τινι σίμωνι βυρσεῖ·

**10** Ἀνὴρ δέ τις ἦν ἐν καισαρείᾳ ὀνόματι κορνήλιος ἑκα-
τοντάρχης ἐκ σπείρης τῆς καλουμένης ἰταλικῆς· εὐσεβὴς 2
καὶ φοβούμενος τὸν θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ καὶ δεόμενος τοῦ θεοῦ
διαπαντός· εἶδεν ἐν ὁράματι φανερῶς ὡσεὶ ὥραν˚ ἐννάτην 3
τῆς ἡμέρας ἄγγελον τοῦ θεοῦ εἰσελθόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ κορνήλιε· ὁ δὲ ἀτενίσας αὐτῷ καὶ ἔμφοβος 4
γενόμενος εἶπεν τί ἐστιν κύριε εἶπεν δὲ αὐτῷ αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον
ἐνώπιον τοῦ θεοῦ· καὶ νῦν πέμψον εἰς˚ ἰόππην ἄνδρας καὶ 5
μετάπεμψαι σίμωνα ὃς˚ ἐπικαλεῖται πέτρος· οὗτος ξενίζε- 6
ται παρά τινι σίμωνι βυρσεῖ ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν
οὗτος˚ λαλήσει σοι τί σε δεῖ ποιεῖν· ὡς δὲ ἀπῆλθεν ὁ ἄγγε- 7
λος ὁ λαλῶν τῷ˚ κορνηλίῳ φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ
καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ· καὶ 8
ἐξηγησάμενος αὐτοῖς˚ ἅπαντα ἀπέστειλεν αὐτοὺς εἰς τὴν
ἰόππην· τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ τῇ 9
πόλει ἐγγιζόντων ἀνέβη πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι

**v.40** T*: θεις, V: και θεις. **v.42** T*: πολλοι επιστευσαν, V: επιστευσαν πολλοι. **v.43** T*: αυτον, V: ∅. **10. v.1** T*: ην, V: ∅. **v.2** T*: τε, V: ∅. **v.2** T: διαπαντος, ΚΜV: δια παντος. **v.3** ΤΚ: ωραν εννατην, Μ: ωραν ενατην, V: περι ωραν ενατην. **v.4** T*: ενωπιον, V: εμπροσθεν. **v.5** T*: εις ιοππην ανδρας, V: ανδρας εις ιοππην. **v.5** ΤΚ: ος επικαλειται πετρος, Μ: τον επικαλουμενον πετρον, V: τινα ος επικαλειται πετρος. **v.6** ΤΚ: ουτος λαλησει σοι τι σε δει ποιειν, ΜV: ∅. **v.7** T*: τω κορνηλιω, V: αυτω. **v.7** T*: αυτου, V: ∅. **v.8** T*: αυτοις απαντα, V: απαντα αυτοις.

περὶ ὥραν ἕκτην ◦ ἐγένετο δὲ πρόσπεινος καὶ ἤθελεν γεύ-
σασθαι παρασκευαζόντων δὲ ἐκείνων˚ ἐπέπεσεν ἐπ᾽ αὐτὸν
ἔκστασις ◦ καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον καὶ κατα-
βαῖνον ἐπ᾽˚ αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην τέσσαρσιν
ἀρχαῖς δεδεμένον˚ καὶ καθιέμενον ἐπὶ τῆς γῆς ◦ ἐν ᾧ ὑπῆρ-
χεν πάντα τὰ τετράποδα τῆς˚ γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρ-
πετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ◦ καὶ ἐγένετο φωνὴ πρὸς
αὐτὸν ἀναστὰς πέτρε θῦσον καὶ φάγε ◦ ὁ δὲ πέτρος εἶπεν
μηδαμῶς κύριε ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ˚ ἀκά-
θαρτον ◦ καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτὸν ἃ ὁ θεὸς
ἐκαθάρισεν σὺ μὴ κοίνου ◦ τοῦτο δὲ ἐγένετο ἐπὶ τρὶς καὶ
πάλιν˚ ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν ◦ ὡς δὲ ἐν ἑαυ-
τῷ διηπόρει ὁ πέτρος τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδεν κἀὶ ἰδοὺ οἱ
ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ κορνηλίου διερωτήσαντες
τὴν οἰκίαν ὄἰμωνος ἐπέστησαν ἐπὶ τὸν πυλῶνα ◦ καὶ φω-
νήσαντες ἐπυνθάνοντο εἰ σίμων ὁ ἐπικαλούμενος πέτρος
ἐνθάδε ξενίζεται ◦ τοῦ δὲ πέτρου ἐνθυμουμένου περὶ τοῦ ὁ-
ράματος εἶπεν αὐτῷ τὸ πνεῦμα ἰδοὺ ἄνδρες τρεῖς˚ ζητοῦσιν
σε ◦ ἀλλὰ ἀναστὰς κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς μη-
δὲν διακρινόμενος διότι ἐγὼ ἀπέσταλκα αὐτούς ◦ καταβὰς
δὲ πέτρος πρὸς τοὺς ἄνδρας τοὺς˚ ἀπεσταλμένους ἀπὸ τοῦ
κορνηλίου πρὸς αὐτὸν εἶπεν ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε τίς ἡ
αἰτία δι᾽ ἣν πάρεστε ◦ οἱ δὲ εἶπὸν κορνήλιος ἑκατοντάρχης
ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν θεὸν μαρτυρούμενός τε
ὑπὸ ὅλου τοῦ ἔθνους τῶν ἰουδαίων ἐχρηματίσθη ὑπὸ ἀγ-
γέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ καὶ
ἀκοῦσαι ῥήματα παρὰ σοῦ ◦ εἰσκαλεσάμενος οὖν αὐτοὺς
ἐξένισεν τῇ δὲ ἐπαύριον ὁ˚ πέτρος ἐξῆλθεν σὺν αὐτοῖς καί

---

**v.10** T*: εκεινων επεπεσεν, V: αυτων εγενετο. **v.11** T*: επ αυτον, V: ∅. **v.11** T*: δεδεμενον και, V: ∅. **v.12** T*: της γης και τα θηρια και τα ερπετα και τα πετεινα, V: και ερπετα της γης και πετεινα. **v.14** T*: η, V: και. **v.16** T*: παλιν ανεληφθη, V: ευθυς ανελημφθη. **v.17** T*: και, V: ∅. **v.17** T*: απο, V: υπο. **v.17** T*: σιμωνος, V: του σιμωνος. **v.19** TK: ενθυμουμενου, MV: διενθυμουμενου. **v.19** TK: τρεις ζητουσιν, M: ζητουσιν, V: τρεις ζητουντες. **v.20** T*: διοτι, V: οτι. **v.21** TK: τους απεσταλμενους απο του κορνηλιου προς αυτον, MV: ∅. **v.22** T*: ειπον, V: ειπαν. **v.23** T*: ο πετρος, V: αναστας.

τινες τῶν ἀδελφῶν τῶν ἀπὸ ἧς ἰόππης συνῆλθον αὐτῷ· καὶ˚ τῇ ἐπαύριον εἰσῆλθὸν εἰς τὴν καισάρειαν ὁ δὲ κορ- 24
νήλιος ἦν προσδοκῶν αὐτοὺς συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους· ὡς δὲ ἐγένετο 25
ἐἰσελθεῖν τὸν πέτρον συναντήσας αὐτῷ ὁ κορνήλιος πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν· ὁ δὲ πέτρος αὐτὸν˚ ἤγει- 26
ρεν λέγων ἀνάστηθι κἀγὼ αὐτὸς ἄνθρωπός εἰμι· καὶ συν- 27
ομιλῶν αὐτῷ εἰσῆλθεν καὶ εὑρίσκει συνεληλυθότας πολλούς· ἔφη τε πρὸς αὐτοὺς ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν 28
ἐστιν ἀνδρὶ ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ καὶ˚ ἐμοὶ ὁ θεὸς ἔδειξεν μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον· διὸ καὶ ἀναντιρρήτως ἦλθον μεταπεμ- 29
φθεὶς πυνθάνομαι οὖν τίνι λόγῳ μετεπέμψασθέ με· καὶ ὁ 30
κορνήλιος ἔφη ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων˚ καὶ τὴν ἐννάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ· καί φησιν κορνήλιε εἰσηκούσθη σου ἡ προσευ- 31
χὴ καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ θεοῦ· πέμψον οὖν εἰς ἰόππην καὶ μετακάλεσαι σίμωνα ὃς ἐπι- 32
καλεῖται πέτρος οὗτος ξενίζεται ἐν οἰκίᾳ σίμωνος βυρσέως παρὰ θάλασσαν ὃς˚ παραγενόμενος λαλήσει σοι· ἐξαυτῆς 33
οὖν ἔπεμψα πρός σε σύ τε καλῶς ἐποίησας παραγενόμενος νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ θεοῦ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ θεοῦ· ἀνοίξας 34
δὲ πέτρος τὸ στόμα εἶπεν ἐπ᾽ ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστιν προσωπολήπτης ὁ θεός· ἀλλ᾽ ἐν παντὶ ἔθνει 35
ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν· τὸν λόγον ὃν ἀπέστειλεν τοῖς υἱοῖς ἰσραὴλ εὐ- 36
αγγελιζόμενος εἰρήνην διὰ ἰησοῦ χριστοῦ οὗτός ἐστιν πάν-

**v.23** TK: της, MV: ∅. **v.24** T*: και τη, V: τη δε. **v.24** T*: εισηλθον, V: εισηλθεν. **v.25** TK: εισελθειν, MV: του εισελθειν. **v.26** TK: αυτον ηγειρεν, MV: ηγειρεν αυτον. **v.26** T*: καγω, V: και εγω. **v.28** T*: και εμοι, V: καμοι. **v.30** TK: νηστευων και την εννατην ωραν, M: νηστευων και την ενατην ωραν, V: την ενατην. **v.32** T*: ος παραγενομενος λαλησει σοι, V: ∅. **v.33** T*: θεου, V: κυριου. **v.34** T*: προσωποληπτης, V: προσωπολημπτης.

37 των κύριος ⸰ ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ᾽ ὅλης τῆς
ἰουδαίας ἀρξάμενοΰ ἀπὸ τῆς γαλιλαίας μετὰ τὸ βάπτισμα
38 ὃ ἐκήρυξεν ἰωάννης ⸰ ἰησοῦν τὸν ἀπὸ ναζαρὲτ ὡς ἔχρισεν
αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει ὃς διῆλθεν εὐ-
εργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους
39 ὑπὸ τοῦ διαβόλου ὅτι ὁ θεὸς ἦν μετ᾽ αὐτοῦ ⸰ καὶ ἡμεῖς
ἐσμεν μάρτυρες πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν ἰ-
ουδαίων καὶ ἐν ἱερουσαλὴμ ὃν ἀνὲῖλον κρεμάσαντες ἐπὶ
40 ξύλου ⸰ τοῦτον ὁ θεὸς ἤγειρεν ῇ τρίτῃ ἡμέρᾳ καὶ ἔδωκεν
41 αὐτὸν ἐμφανῆ γενέσθαι ⸰ οὐ παντὶ τῷ λαῷ ἀλλὰ μάρτυσιν
τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ θεοῦ ἡμῖν οἵτινες συν-
εφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν
42 ἐκ νεκρῶν ⸰ καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ δι-
αμαρτύρασθαι ὅτι ἀὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ θεοῦ
43 κριτὴς ζώντων καὶ νεκρῶν ⸰ τούτῳ πάντες οἱ προφῆται μαρ-
τυροῦσιν ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ
44 πάντα τὸν πιστεύοντα εἰς αὐτόν ⸰ ἔτι λαλοῦντος τοῦ πέτρου
τὰ ῥήματα ταῦτα ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας
45 τοὺς ἀκούοντας τὸν λόγον ⸰ καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς
πιστοὶ ὅσοι συνῆλθὸν τῷ πέτρῳ ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δω-
46 ρεὰ τοῦ ἁγίου πνεύματος ἐκκέχυται ⸰ ἤκουον γὰρ αὐτῶν
λαλούντων γλώσσαις καὶ μεγαλυνόντων τὸν θεὸν τότε ἀπε-
47 κρίθη ὁ˚ πέτρος ⸰ μήτι τὸ ὕδωρ κωλῦσαι˚ δύναταί τις τοῦ
μὴ βαπτισθῆναι τούτους οἵτινες τὸ πνεῦμα τὸ ἅγιον ἔλα-
48 βον κἀθὼς καὶ ἡμεῖς ⸰ προσέταξεν τε αὐτοὺς βαπτισθῆναι˚
ἐν τῷ ὀνόματι τοῦ κυρίου τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι
ἡμέρας τινάς ⸰

**11** Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κα-
τὰ τὴν ἰουδαίαν ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ

---

**v.37** T*: αρξαμενον, V: αρξαμενος. **v.38** TM: ναζαρετ, KV: ναζαρεθ. **v.39** T*: εσμεν, V: ∅. **v.39** TK: ανειλον, M: και ανειλον, V: και ανειλαν. **v.40** T*: τη, V: [εν] τη. **v.42** T*: αυτος, V: ουτος. **v.45** T*: συνηλθον, V: συνηλθαν. **v.46** T*: ο, V: ∅. **v.47** T*: κωλυσαι δυναται, V: δυναται κωλυσαι. **v.47** T*: καθως, V: ως. **v.48** T*: τε, V: δε. **v.48** T*: βαπτισθηναι εν τω ονοματι του κυριου, V: εν τω ονοματι ιησου χριστου βαπτισθηναι.

θεοῦ ⸰ καὶ˚ ὅτε ἀνέβη πέτρος εἰς ἱεροσόλυμά διεκρίνοντο 2
πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς ⸰ λέγοντες ὅτι πρὸς˚ ἄνδρας 3
ἀκροβυστίαν ἔχοντας εἰσῆλθες καὶ συνέφαγες αὐτοῖς ⸰ ἀρ- 4
ξάμενος δὲ ὁ˚ πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς λέγων ⸰ ἐγὼ 5
ἤμην ἐν πόλει ἰόππῃ προσευχόμενος καὶ εἶδον ἐν ἐκστάσει
ὅραμα καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην τέσσαρσιν
ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ καὶ ἦλθεν ἄχριȣ̔ ἐμοῦ ⸰
εἰς ἣν ἀτενίσας κατενόουν καὶ εἶδον τὰ τετράποδα τῆς γῆς 6
καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ⸰
ἤκουσα δὲ φωνῆς λεγούσης μοι ἀναστὰς πέτρε θῦσον καὶ 7
φάγε ⸰ εἶπον δὲ μηδαμῶς κύριε ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρ- 8
τον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου ⸰ ἀπεκρίθη δέ μοι 9
φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ ἃ ὁ θεὸς ἐκαθάρισεν
σὺ μὴ κοίνου ⸰ τοῦτο δὲ ἐγένετο ἐπὶ τρὶς καὶ πάλιν˚ ἀνε- 10
σπάσθη ἅπαντα εἰς τὸν οὐρανόν ⸰ καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς 11
ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην ἀπεσταλμένοι
ἀπὸ καισαρείας πρός με ⸰ εἶπεν δέ μοι˚ τὸ πνεῦμα συνελ- 12
θεῖν αὐτοῖς μηδὲν διακρινόμενον ἦλθον δὲ σὺν ἐμοὶ καὶ
οἱ ἓξ ἀδελφοὶ οὗτοι καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀν-
δρός ⸰ ἀπήγγειλέν τε ἡμῖν πῶς εἶδεν τὸν ἄγγελον ἐν τῷ 13
οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ ἀπόστειλον εἰς ἰόπ-
πην ἄνδρας καὶ μετάπεμψαι σίμωνα τὸν ἐπικαλούμενον
πέτρον ⸰ ὃς λαλήσει ῥήματα πρός σε ἐν οἷς σωθήσῃ σὺ καὶ 14
πᾶς ὁ οἶκός σου ⸰ ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν ἐπέπεσεν 15
τὸ πνεῦμα τὸ ἅγιον ἐπ᾽ αὐτοὺς ὥσπερ καὶ ἐφ᾽ ἡμᾶς ἐν ἀρ-
χῇ ⸰ ἐμνήσθην δὲ τοῦ ῥήματος κȣ̔ρίου ὡς ἔλεγεν ἰωάννης 16

---

**11. v.2** T*: και οτε ... περιτομης, V: οτε δε ... περιτομης, D: ο μεν ου πετρος δια ικανου χρονου ηθελησαι πορευθηναι εις ιεροσολυμα και προσφωνησας τους αδελφους και επιστηριξας αυτους πολυν λογον ποιουμενος δια των χωρων διδασκων αυτους ος και κατηντησεν αυτοις και απηγγειλεν αυτοις την χαριν του θεου οι δε εκ περιτομης αδελφοι διεκρινοντο προς αυτον. **v.2** T*: ιεροσολυμα, V: ιερουσαλημ. **v.3** T*: προς ανδρας ακροβυστιαν εχοντας εισηλθες, V: εισηλθες προς ανδρας ακροβυστιαν εχοντας. **v.4** T*: ο, V: ∅. **v.5** T*: αχρις, V: αχρι. **v.7** T*: φωνης, V: και φωνης. **v.8** T*: παν, V: ∅. **v.9** T*: μοι, V: ∅. **v.10** T*: παλιν ανεσπασθη, V: ανεσπασθη παλιν. **v.11** T*: ημην, V: ημεν. **v.12** T*: μοι το πνευμα, V: το πνευμα μοι. **v.12** T*: διακρινομενον, V: διακριναντα. **v.13** T*: τε, V: δε. **v.13** T*: αυτω, V: ∅. **v.13** T*: ανδρας, V: ∅. **v.16** T*: κυριου, V: του κυριου.

μὲν ἐβάπτισεν ὕδατι ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι
17 ἁγίῳ· εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ θεὸς ὡς
καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν κύριον ἰησοῦν χριστὸν ἐγὼ
18 δὲ˚ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν θεόν· ἀκούσαντες δὲ
ταῦτα ἡσύχασαν καὶ ἐδόξαζον τὸν θεὸν λέγοντες ἄραγε καὶ
19 τοῖς ἔθνεσιν ὁ θεὸς τὴν μετάνοιαν ἔδωκεν˚ εἰς ζωήν· οἱ
μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ
στεφάνῳ διῆλθον ἕως φοινίκης καὶ κύπρου καὶ ἀντιοχείας
20 μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον ἰουδαίοις· ἦσαν
δέ τινες ἐξ αὐτῶν ἄνδρες κύπριοι καὶ κυρηναῖοι οἵτινες
εἰσελθόντες εἰς ἀντιόχειαν ἐλάλουν πρὸς τοὺς ἑλληνιστὰς
21 εὐαγγελιζόμενοι τὸν κύριον ἰησοῦν· καὶ ἦν χεὶρ κυρίου
μετ᾽ αὐτῶν πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν
22 κύριον· ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς
ἐν˚ ἱεροσολύμοις περὶ αὐτῶν καὶ ἐξαπέστειλαν βαρνάβαν
23 διελθεῖν ἕως ἀντιοχείας· ὃς παραγενόμενος καὶ ἰδὼν τὴν
χάριν τοῦ θεοῦ ἐχάρη καὶ παρεκάλει πάντας τῇ προθέσει
24 τῆς καρδίας προσμένειν τῷ κυρίῳ· ὅτι ἦν ἀνὴρ ἀγαθὸς
καὶ πλήρης πνεύματος ἁγίου καὶ πίστεως καὶ προσετέθη
25 ὄχλος ἱκανὸς τῷ κυρίῳ· ἐξῆλθεν δὲ εἰς ταρσὸν ὁ˚ βαρνά-
26 βας ἀναζητῆσαι σαῦλον· καὶ εὑρὼν αὐτὸν˚ ἤγαγεν αὐτὸν
εἰς ἀντιόχειαν ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν ὅλον συναχθῆ-
ναι ἐν τῇ ἐκκλησίᾳ καὶ διδάξαι ὄχλον ἱκανὸν χρηματίσαι
27 τε πρώτως ἐν ἀντιοχείᾳ τοὺς μαθητὰς χριστιανούς· ἐν ταύ-
ταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ ἱεροσολύμων προφῆται
28 εἰς ἀντιόχειαν· ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι ἄγαβος
ἐσήμανεν διὰ τοῦ πνεύματος λιμὸν μέγαν μέλλειν ἔσεσθαι
ἐφ᾽ ὅλην τὴν οἰκουμένην ὅστις˚ καὶ ἐγένετο ἐπὶ κλαυδίου

---

**v.17** T*: δε, V: ∅. **v.17** E: θεον, D: θεον του μη δουναι αυτοις πνευμα αγιον πιστευσασιν επ αυτω. **v.18** T*: εδοξαζον, V: εδοξασαν. **v.18** T*: αραγε, V: αρα. **v.18** T*: εδωκεν εις ζωην, V: εις ζωην εδωκεν. **v.20** T*: εισελθοντες, V: ελθοντες. **v.20** T*: προς, V: και προς. **v.21** T*: πιστευσας, V: ο πιστευσας. **v.22** T*: εν ιεροσολυμοις, V: ουσης εν ιερουσαλημ. **v.23** T*: του, V: [την] του. **v.25** T*: ο βαρναβας, V: ∅. **v.26** TK: αυτον ηγαγεν αυτον, M: ηγαγεν αυτον, V: ηγαγεν. **v.26** T*: αυτους, V: αυτοις και. **v.26** TKV: εν, M: ∅. **v.26** T*: πρωτον, V: πρωτως. **v.28** T*: μεγαν, V: μεγαλην. **v.28** T*: οστις και, V: ητις.

καίσαρος· τῶν δὲ μαθητῶν καθὼς ἠὐπορεῖτό τις ὥρισαν 29
ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν
τῇ ἰουδαίᾳ ἀδελφοῖς· ὃ καὶ ἐποίησαν ἀποστείλαντες πρὸς 30
τοὺς πρεσβυτέρους διὰ χειρὸς βαρνάβα καὶ σαύλου·

Κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν ἡρώδης ὁ βασιλεὺς **12**
τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας· ἀνεῖλεν 2
δὲ ἰάκωβον τὸν ἀδελφὸν ἰωάννου μαχαίρᾳ· καὶ᾽ ἰδὼν ὅτι 3
ἀρεστόν ἐστιν τοῖς ἰουδαίοις προσέθετο συλλαβεῖν καὶ πέ-
τρον ἦσαν δὲ ἡμέραι τῶν ἀζύμων· ὃν καὶ πιάσας ἔθετο εἰς 4
φυλακὴν παραδοὺς τέσσαρσιν τετραδίοις στρατιωτῶν φυ-
λάσσειν αὐτὸν βουλόμενος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν
τῷ λαῷ· ὁ μὲν οὖν πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ προσ- 5
ευχὴ δὲ ἦν ἐκτενῶς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν
θεὸν ὑπὲρ αὐτοῦ· ὅτε δὲ ἔμελλεν᾽ αὐτὸν προάγειν ὁ ἡρώ- 6
δης τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ πέτρος κοιμώμενος μεταξὺ δύο
στρατιωτῶν δεδεμένος ἁλύσεσιν δυσὶν φύλακές τε πρὸ τῆς
θύρας ἐτήρουν τὴν φυλακήν· καὶ ἰδοὺ ἄγγελος κυρίου 7
ἐπέστη καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι πατάξας δὲ τὴν
πλευρὰν τοῦ πέτρου ἤγειρεν αὐτὸν λέγων ἀνάστα ἐν τά-
χει καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν· εἶπεν 8
τε ὁ ἄγγελος πρὸς αὐτὸν περίζωσαι καὶ ὑπόδησαι τὰ σαν-
δάλιά σου ἐποίησεν δὲ οὕτως καὶ λέγει αὐτῷ περιβαλοῦ τὸ
ἱμάτιόν σου καὶ ἀκολούθει μοι· καὶ ἐξελθὼν ἠκολούθει 9
αὐτῷ καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστιν τὸ γινόμενον διὰ τοῦ
ἀγγέλου ἐδόκει δὲ ὅραμα βλέπειν· διελθόντες δὲ πρώτην 10
φυλακὴν καὶ δευτέραν ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν
τὴν φέρουσαν εἰς τὴν πόλιν ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς
καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν καὶ εὐθέως ἀπέστη
ὁ ἄγγελος ἀπ᾽ αὐτοῦ· καὶ ὁ πέτρος γενόμενος᾽ ἐν ἑαυτῷ 11

---

**v.28** T*: καισαρος, V: ∅. **v.29** TK: ηυπορειτο, MV: ευπορειτο. **12. v.2** T*: μαχαιρα, V: μαχαιρη. **v.3** T*: και ιδων, V: ιδων δε. **v.3** TK: ημεραι, M: αι ημεραι, V: [αι] ημεραι. **v.5** T*: εκτενης, V: εκτενως. **v.5** T*: υπερ, V: περι. **v.6** T*: εμελλεν αυτον προαγειν, V: ημελλεν προαγαγειν αυτον. **v.7** T*: εξεπεσον, V: εξεπεσαν. **v.8** T*: τε, V: δε. **v.8** T*: περιζωσαι, V: ζωσαι. **v.9** T*: αυτω, V: ∅. **v.10** T*: ηλθον, V: ηλθαν. **v.10** T*: ηνοιχθη, V: ηνοιγη. **v.10** E: εξελθοντες, D: εξελθοντες κατεβησαν ϛ̄ βαθμους και.

εἶπεν νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλεν κύριος τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλετό με ἐκ χειρὸς ἡρώδου καὶ πάσης τῆς
12 προσδοκίας τοῦ λαοῦ τῶν ἰουδαίων ◦ συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν μαρίας τῆς μητρὸς ἰωάννου τοῦ ἐπικαλουμένου μάρκου οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμε-
13 νοι ◦ κρούσαντος δὲ τοῦ˚ πέτρου τὴν θύραν τοῦ πυλῶνος
14 προσῆλθεν παιδίσκη ὑπακοῦσαι ὀνόματι ῥόδη ◦ καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ πέτρου ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξεν τὸν πυλῶνα εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν πέ-
15 τρον πρὸ τοῦ πυλῶνος ◦ οἱ δὲ πρὸς αὐτὴν εἶπόν μαίνῃ ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν οἱ δ˚ ἔλεγον ὁ ἄγγελος αὐτοῦ˚
16 ἐστιν ◦ ὁ δὲ πέτρος ἐπέμενεν κρούων ἀνοίξαντες δὲ εἶδόν
17 αὐτὸν καὶ ἐξέστησαν ◦ κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾷν διηγήσατο αὐτοῖς πῶς ὁ κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλακῆς εἶπεν δὲ˚ ἀπαγγείλατε ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς
18 ταῦτα καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον ◦ γενομένης δὲ ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις τί
19 ἄρα ὁ πέτρος ἐγένετο ◦ ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρὼν ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι καὶ κατελθὼν ἀπὸ τῆς ἰουδαίας εἰς τὴν καισάρειαν διέτρι-
20 βεν ◦ ἦν δὲ ὁ˚ ἡρώδης θυμομαχῶν τυρίοις καὶ σιδωνίοις ὁμοθυμαδὸν δὲ παρῆσαν πρὸς αὐτὸν καὶ πείσαντες βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως ᾐτοῦντο εἰρήνην διὰ τὸ
21 τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς ◦ τακτῇ δὲ ἡμέρᾳ ὁ ἡρώδης ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν καὶ καθί-
22 σας ἐπὶ τοῦ βήματος ἐδημηγόρει πρὸς αὐτούς ◦ ὁ δὲ δῆμος
23 ἐπεφώνει θεοῦ˚ φωνὴ καὶ οὐκ ἀνθρώπου ◦ παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος κυρίου ἀνθ᾽ ὧν οὐκ ἔδωκεν τὴν
24 δόξαν τῷ θεῷ καὶ γενόμενος˚ σκωληκόβρωτος ἐξέψυξεν ◦ ὁ

**v.11** T*: γενομενος εν εαυτω, V: εν εαυτω γενομενος. **v.11** T*: κυριος, V: [ο] κυριος. **v.11** T*: εξειλετο, V: εξειλατο. **v.12** T*: μαριας, V: της μαριας. **v.13** T*: του πετρου, V: αυτου. **v.15** T*: ειπον, V: ειπαν. **v.15** TK: δ, MV: δε. **v.15** T*: αυτου εστιν, V: εστιν αυτου. **v.16** T*: ειδον, V: ειδαν. **v.17** T*: δε, V: τε. **v.19** T*: την, V: ∅. **v.20** T*: ο ηρωδης, V: ∅. **v.22** TKV: θεου φωνη, M: φωνη θεου. **v.23** TKV: την, M: ∅. **v.23** E: γενομενος σκωληκοβρωτος, D: καταβας απο του βηματος γενομενος κωληκοβρωτος ετι ζων και ουτως.

δὲ λόγος τοῦ θεοῦ ηὔξανεν καὶ ἐπληθύνετο ◦ βαρνάβας δὲ 25
καὶ σαῦλος ὑπέστρεψαν ἐξ˚ ἰερουσαλὴμ πληρώσαντες τὴν
διακονίαν συμπαραλαβόντες κἀὶ ἰωάννην τὸν ἐπικληθέντα
μάρκον ◦

**13** ⁷Ησαν δέ τινες ἐν ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν
προφῆται καὶ διδάσκαλοι ὅ τε βαρνάβας καὶ συμεὼν ὁ κα-
λούμενος νίγερ καὶ λούκιος ὁ κυρηναῖος μαναήν τε ἡρώ-
δου τοῦ τετρἀρχου σύντροφος καὶ σαῦλος ◦ λειτουργούν- 2
των δὲ αὐτῶν τῷ κυρίῳ καὶ νηστευόντων εἶπεν τὸ πνεῦμα τὸ
ἅγιον ἀφορίσατε δή μοι τόν τε˚ βαρνάβαν καὶ τὸν σαῦλον
εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς ◦ τότε νηστεύσαντες 3
καὶ προσευξάμενοι καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς ἀπέλυ-
σαν ◦ ὑμῖν μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ˚ πνεύματος τοῦ 4
ἁγίου κατῆλθον εἰς τὴν σελεύκειαν ἐκεῖθέν τε ἀπέπλευσαν
εἰς τὴν κύπρον ◦ καὶ γενόμενοι ἐν σαλαμῖνι κατήγγελλον 5
τὸν λόγον τοῦ θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν ἰουδαίων εἶχον
δὲ καὶ ἰωάννην ὑπηρέτην ◦ διελθόντες δὲ τὴν νῆσον ἄχρι 6
πάφου εὗρόν τινα μάγον ψευδοπροφήτην ἰουδαῖον ᾧ ὄ-
νομα βαρϊησοῦς ◦ ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ σεργίῳ παύλῳ 7
ἀνδρὶ συνετῷ οὗτος προσκαλεσάμενος βαρνάβαν καὶ σαῦ-
λον ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ ◦ ἀνθίστατο 8
δὲ αὐτοῖς ἐλύμας ὁ μάγος οὕτως γὰρ μεθερμηνεύεται τὸ
ὄνομα αὐτοῦ ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πί-
στεως ◦ σαῦλος δὲ ὁ καὶ παῦλος πλησθεὶς πνεύματος ἁγίου 9
κἀὶ ἀτενίσας εἰς αὐτόν ◦ εἶπεν ὦ πλήρης παντὸς δόλου καὶ 10
πάσης ῥᾳδιουργίας υἱὲ διαβόλου ἐχθρὲ πάσης δικαιοσύ-
νης οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς κυρίου τὰς εὐθείας ◦
καὶ νῦν ἰδοὺ χεὶρ τοῦ κυρίου ἐπὶ σὲ καὶ ἔσῃ τυφλὸς μὴ 11
βλέπων τὸν ἥλιον ἄχρι καιροῦ παραχρῆμα δὲ˚ ἐπέπεσεν

**v.25** TK: εξ, MV: εις. **v.25** T*: και, V: ∅. **13. v.1** T*: τινες, V: ∅. **v.1** T*: τετραρχου, V: τετρααρχου. **v.2** TK: τε, MV: ∅. **v.2** T*: τον, V: ∅. **v.4** T*: ουτοι, V: αυτοι. **v.4** T*: του πνευματος του αγιου, V: του αγιου πνευματος. **v.4** T*: την, V: ∅. **v.4** TKV: τε, M: δε. **v.6** T*: την, V: ολην την. **v.6** T*: τινα, V: ανδρα τινα. **v.6** TK: βαριησους, M: βαριησουν, V: βαριησου. **v.9** T*: και, V: ∅. **v.10** T*: κυριου, V: [του] κυριου. **v.11** TK: του, MV: ∅. **v.11** T*: δε επεπεσεν, V: τε επεσεν.

ἐπ᾽ αὐτὸν ἀχλὺς καὶ σκότος καὶ περιάγων ἐζήτει χειραγω-
12 γούς ◦ τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσεν ἐκ-
13 πλησσόμενος ἐπὶ τῇ διδαχῇ τοῦ κυρίου ◦ ἀναχθέντες δὲ
ἀπὸ τῆς πάφου οἱ περὶ τὸν παῦλον ἦλθον εἰς πέργην τῆς
παμφυλίας ἰωάννης δὲ ἀποχωρήσας ἀπ᾽ αὐτῶν ὑπέστρεψεν
14 εἰς ἱεροσόλυμα ◦ αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς πέργης πα-
ρεγένοντο εἰς ἀντιόχειαν τῆς˚ πισιδίας καὶ εἰσελθόντες εἰς
15 τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων ἐκάθισαν ◦ μετὰ δὲ
τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν ἀπέστειλαν οἱ
ἀρχισυνάγωγοι πρὸς αὐτοὺς λέγοντες ἄνδρες ἀδελφοὶ εἰ
ἔστιν˚ λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαὸν λέγετε ◦
16 ἀναστὰς δὲ παῦλος καὶ κατασείσας τῇ χειρὶ εἶπεν ἄνδρες
17 ἰσραηλῖται καὶ οἱ φοβούμενοι τὸν θεὸν ἀκούσατε ◦ ὁ θε-
ὸς τοῦ λαοῦ τούτου ἰσραὴλ ἐξελέξατο τοὺς πατέρας ἡμῶν
καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν γῇ αἰγύπτῳ καὶ
18 μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς ◦ καὶ
ὡς τεσσαρακονταετῆ χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ
19 ἐρήμῳ ◦ καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ χαναάν κατεκληρο-
20 δότησεν˚ αὐτοὶς τὴν γῆν αὐτῶν ◦ καὶ˚ μετὰ ταῦτα ὡς ἔτεσιν
τετρακοσίοις καὶ πεντήκοντα ἔδωκεν κριτὰς ἕως σαμου-
21 ὴλ τοῦ προφήτου ◦ κἀκεῖθεν ἠτήσαντο βασιλέα καὶ ἔδωκεν
αὐτοῖς ὁ θεὸς τὸν σαοὺλ υἱὸν κὶς ἄνδρα ἐκ φυλῆς βενιαμὶν
22 ἔτη τεσσαράκοντα ◦ καὶ μεταστήσας αὐτὸν ἤγειρεν αὐτοῖς˚
τὸν δαβὶδ εἰς βασιλέα ᾧ καὶ εἶπεν μαρτυρήσας εὗρον δαβὶδ
τὸν τοῦ ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου ὃς ποιήσει
23 πάντα τὰ θελήματά μου ◦ τούτου ὁ θεὸς ἀπὸ τοῦ σπέρ-
ματος κατ᾽ ἐπαγγελίαν ἤγεἰρεν τῷ ἰσραὴλ σωτῆρα˚ ἰησοῦν ◦
24 προκηρύξαντος ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ

**v.13** T*: τον, V: ∅. **v.14** T*: της πισιδιας, V: την πισιδιαν. **v.14** T*: εισελθοντες, V: [εισ]ελθοντες. **v.15** T*: εστιν λογος εν υμιν, V: τις εστιν εν υμιν λογος. **v.17** TKV: ισραηλ, M: ∅. **v.17** T*: αιγυπτω, V: αιγυπτου. **v.18** T*: τεσσαρακονταετη, V: τεσσερακονταετη. **v.19** TK: κατεκληροδοτησεν αυτοις, M: κατεκληρονομησεν αυτοις, V: κατεκληρονομησεν. **v.20** T*: και μετα ταυτα ως ετεσιν τετρακοσιοις και πεντηκοντα, V: ως ετεσιν τετρακοσιοις και πεντηκοντα και μετα ταυτα. **v.21** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.22** T*: αυτοις τον δαβιδ, V: τον δαυιδ αυτοις. **v.22** T*: δαβιδ, V: δαυιδ. **v.23** TK: ηγειρεν, MV: ηγαγεν. **v.23** TKV: σωτηρα ιησουν, M: σωτηριαν.

βάπτισμα μετανοίας παντὶ τῷ λαῷ ἰσραήλ· ὡς δὲ ἐπλήρου 25
ὁ ἰωάννης τὸν δρόμον ἔλεγεν τίνα με ὑπονοεῖτε εἶναι οὐκ
εἰμὶ ἐγὼ ἀλλ᾽ ἰδοὺ ἔρχεται μετ᾽ ἐμὲ οὗ οὐκ εἰμὶ ἄξιος τὸ
ὑπόδημα τῶν ποδῶν λῦσαι· ἄνδρες ἀδελφοὶ υἱοὶ γένους 26
ἀβραὰμ καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν θεὸν ὑμῖν ὁ λόγος
τῆς σωτηρίας ταύτης ἀπεστάλη· οἱ γὰρ κατοικοῦντες ἐν ἰ- 27
ερουσαλὴμ καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες καὶ
τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγι-
νωσκομένας κρίναντες ἐπλήρωσαν· καὶ μηδεμίαν αἰτίαν 28
θανάτου εὑρόντες ᾐτήσαντο πιλάτον ἀναιρεθῆναι αὐτόν·
ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα καθε- 29
λόντες ἀπὸ τοῦ ξύλου ἔθηκαν εἰς μνημεῖον· ὁ δὲ θεὸς 30
ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους 31
τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς γαλιλαίας εἰς ἰερουσαλὴμ
οἵτινές εἰσιν μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν· καὶ ἡμεῖς 32
ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν
γενομένην· ὅτι ταύτην ὁ θεὸς ἐκπεπλήρωκεν τοῖς τέκνοις 33
αὐτῶν ἡμῖν ἀναστήσας ἰησοῦν ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ
δευτέρῳ γέγραπται υἱός μου εἶ σὺ ἐγὼ σήμερον γεγέννη-
κά σε· ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν μηκέτι μέλλοντα 34
ὑποστρέφειν εἰς διαφθορὰν οὕτως εἴρηκεν ὅτι δώσω ὑμῖν
τὰ ὅσια δαβὶδ τὰ πιστά· διὸ καὶ ἐν ἑτέρῳ λέγει οὐ δώσεις 35
τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν· δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ 36
ὑπηρετήσας τῇ τοῦ θεοῦ βουλῇ ἐκοιμήθη καὶ προσετέθη
πρὸς τοὺς πατέρας αὐτοῦ καὶ εἶδεν διαφθοράν· ὃν δὲ ὁ 37
θεὸς ἤγειρεν οὐκ εἶδεν διαφθοράν· γνωστὸν οὖν ἔστω ὑ- 38
μῖν ἄνδρες ἀδελφοὶ ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν
καταγγέλλεται· καὶ ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν τῷ 39
νόμῳ μωσέως δικαιωθῆναι ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαι-

**v.24** TKV: παντι τω λαω ισραηλ, M: τω ισραηλ. **v.25** T*: ο, V: ∅. **v.25** T*: τινα με, V: τι εμε. **v.26** T*: υμιν, V: ημιν. **v.26** T*: απεσταλη, V: εξαπεσταλη. **v.27** TKV: εν, M: ∅. **v.29** TK: απαντα, MV: παντα. **v.31** T*: εισιν, V: [νυν] εισιν. **v.33** T*: τω ψαλμω τω δευτερω γεγραπται, V: τω ψαλμω γεγραπται τω δευτερω, D: τω πρωτω ψαλμω γεγραπται. **v.34** T*: δαβιδ, V: δαυιδ. **v.35** T*: διο, V: διοτι. **v.36** T*: δαβιδ, V: δαυιδ. **v.39** TK: τω νομω μωσεως, M: τω νομω μωυσεως, V: νομω μωυσεως.

40 οὖται ◦ βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ᾽ ὑμᾶς τὸ εἰρημένον ἐν
41 τοῖς προφήταις ◦ ἴδετε οἱ καταφρονηταὶ καὶ θαυμάσατε καὶ
ἀφανίσθητε ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν
42 ἔργον ᾧ οὐ μὴ πιστεύσητε ἐάν τις ἐκδιηγῆται ὑμῖν ◦ ἐξι-
όντων δὲ ἐκ τῆς συναγωγῆς τῶν ἰουδαίων παρεκάλουν τὰ
ἔθνη εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα
43 ταῦτα ◦ λυθείσης δὲ τῆς συναγωγῆς ἠκολούθησαν πολλοὶ
τῶν ἰουδαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ παύλῳ
καὶ τῷ βαρνάβᾳ οἵτινες προσλαλοῦντες αὐτοῖς ἔπειθον αὐ-
44 τοὺς ἐμμένειν τῇ χάριτι τοῦ θεοῦ ◦ τῷ δὲ ἐρχομένῳ σαβ-
βάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον
45 τοῦ θεοῦ ◦ ἰδόντες δὲ οἱ ἰουδαῖοι τοὺς ὄχλους ἐπλήσθη-
σαν ζήλου καὶ ἀντέλεγον τοῖς ὑπὸ τοῦ παύλου λεγομένοις
46 ἀντιλέγοντες καὶ βλασφημοῦντες ◦ παρρησιασάμενοι δὲ ὁ
παῦλος καὶ ὁ βαρνάβας εἶπόν ὑμῖν ἦν ἀναγκαῖον πρῶτον
λαληθῆναι τὸν λόγον τοῦ θεοῦ ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐ-
τὸν καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς ἰδοὺ
47 στρεφόμεθα εἰς τὰ ἔθνη ◦ οὕτως γὰρ ἐντέταλται ἡμῖν ὁ κύ-
ριος τέθεικά σε εἰς φῶς ἐθνῶν τοῦ εἶναί σε εἰς σωτηρίαν
48 ἕως ἐσχάτου τῆς γῆς ◦ ἀκούοντα δὲ τὰ ἔθνη ἔχαιρόν καὶ
ἐδόξαζον τὸν λόγον τοῦ κυρίου καὶ ἐπίστευσαν ὅσοι ἦσαν
49 τεταγμένοι εἰς ζωὴν αἰώνιον ◦ διεφέρετο δὲ ὁ λόγος τοῦ κυ-
50 ρίου διʼ ὅλης τῆς χώρας ◦ οἱ δὲ ἰουδαῖοι παρώτρυναν τὰς
σεβομένας γυναῖκας κἀὶ τὰς εὐσχήμονας καὶ τοὺς πρώτους
τῆς πόλεως καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν παῦλον καὶ τὸν
51 βαρνάβαν καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν ◦ οἱ
δὲ ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν αὐτῶν ἐπʼ αὐ-
52 τοὺς ἦλθον εἰς ἰκόνιον ◦ οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς

---

**v.40** T*: εφ υμας, V: ∅. **v.41** T*: εγω εργαζομαι, V: εργαζομαι εγω. **v.41** TK: εργον ω, M: ο, V: εργον ο. **v.42** T*: εκ της συναγωγης των ιουδαιων παρεκαλουν τα εθνη, V: αυτων παρεκαλουν. **v.43** TKV: αυτοις, M: ∅. **v.43** T*: επιμενειν, V: προσμενειν. **v.44** TKV: δε, M: τε. **v.44** T*: θεου, V: κυριου. **v.45** T*: του, V: ∅. **v.45** T*: λεγομενοις αντιλεγοντες και, V: λαλουμενοις. **v.46** T*: δε, V: τε. **v.46** T*: ειπον, V: ειπαν. **v.46** T*: δε, V: ∅. **v.48** TKV: εχαιρον, M: εχαιρεν. **v.50** T*: και, V: ∅. **v.50** T*: τον, V: ∅. **v.51** T*: αυτων, V: ∅. **v.52** T*: δε, V: τε.

καὶ πνεύματος ἁγίου ⸰

**14** Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς
εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων καὶ λαλῆσαι οὕτως ὥστε
πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος ⸰ 2 οἱ δὲ
ἀπειθοῦντες Ἰουδαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς
τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν ⸰ 3 ἱκανὸν μὲν οὖν χρόνον διέ-
τριψαν παρρησιαζόμενοι ἐπὶ τῷ κυρίῳ τῷ μαρτυροῦντι τῷ
λόγῳ τῆς χάριτος αὐτοῦ καὶ διδόντι σημεῖα καὶ τέρατα γί-
νεσθαι διὰ τῶν χειρῶν αὐτῶν ⸰ 4 ἐσχίσθη δὲ τὸ πλῆθος τῆς
πόλεως καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις οἱ δὲ σὺν τοῖς
ἀποστόλοις ⸰ 5 ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰου-
δαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν ὑβρίσαι καὶ λιθοβολῆσαι
αὐτούς ⸰ 6 συνιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαο-
νίας Λύστραν καὶ Δέρβην καὶ τὴν περίχωρον ⸰ 7 κἀκεῖ ἦσαν˚
εὐαγγελιζόμενοι ⸰ 8 καί τις ἀνὴρ ἐν˚ Λύστροις ἀδύνατος τοῖς
ποσὶν ἐκάθητο χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων
ὃς οὐδέποτε περιεπεπατήκει ⸰ 9 οὗτος ἤκουεν τοῦ Παύλου
λαλοῦντος ὃς ἀτενίσας αὐτῷ καὶ ἰδὼν ὅτι πίστιν˚ ἔχει τοῦ
σωθῆναι ⸰ 10 εἶπεν μεγάλῃ τῇ φωνῇ ἀνάστηθι ἐπὶ τοὺς πόδας
σου ὀρθὸς καὶ ἥλλετο καὶ περιεπάτει ⸰ 11 οἱ δὲ˚ ὄχλοι ἰδόντες
ὃ ἐποίησεν ὁ˚ Παῦλος ἐπῆραν τὴν φωνὴν αὐτῶν Λυκαονιστὶ
λέγοντες οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς
ἡμᾶς ⸰ 12 ἐκάλουν τε τὸν μὲν Βαρνάβαν Δία τὸν δὲ Παῦλον
Ἑρμῆν ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου ⸰ 13 ὁ δὲ˚ ἱ-
ερεὺς τοῦ Διὸς τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν ταύρους
καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας σὺν τοῖς ὄχλοις
ἤθελεν θύειν ⸰ 14 ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρνάβας καὶ
Παῦλος διαρρήξαντες τὰ ἱμάτια αὐτῶν εἰσεπήδησαν εἰς τὸν
ὄχλον κράζοντες ⸰ 15 καὶ λέγοντες ἄνδρες τί ταῦτα ποιεῖτε καὶ

**14. v.2** T*: απειθουντες, V: απειθησαντες. **v.3** T*: τω, V: [επι] τω. **v.3** TK: και, MV: ∅. **v.7** T*: ησαν ευαγγελιζομενοι, V: ευαγγελιζομενοι ησαν. **v.8** T*: εν λυστροις αδυνατος, V: αδυνατος εν λυστροις. **v.8** T*: υπαρχων, V: ∅. **v.8** TM: περιπεπατηκει, K: περιεπεπατηκει, V: περιεπατησεν. **v.9** TK: ηκουεν, MV: ηκουσεν. **v.9** T*: πιστιν εχει, V: εχει πιστιν. **v.10** T*: τη, V: ∅. **v.10** T*: ηλλετο, V: ηλατο. **v.11** T*: δε, V: τε. **v.11** T*: ο, V: ∅. **v.12** T*: μεν, V: ∅. **v.13** T*: δε, V: τε. **v.13** T*: αυτων, V: ∅. **v.14** T*: εισεπηδησαν, V: εξεπηδησαν.

ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι εὐαγγελιζόμενοι
ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ ὁν θεὸν ὁν
ζῶντα ὃς ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασ-
16 σαν καὶ πάντα τὰ ἐν αὐτοῖς ⸰ ὃς ἐν ταῖς παρῳχημέναις γε-
νεαῖς εἴασεν πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν ⸰
17 καί᾽ τοι γε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ἀγαθοποιῶν οὐ-
ρανόθεν ὑμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς καρποφόρους ἐμ-
18 πιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ὑμῶν ⸰ καὶ
ταῦτα λέγοντες μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύ-
19 ειν αὐτοῖς ⸰ ἐπῆλθὸν δὲ ἀπὸ ἀντιοχείας καὶ ἰκονίου ἰουδαῖοι
καὶ πείσαντες τοὺς ὄχλους καὶ λιθάσαντες τὸν παῦλον ἔσυρον ἔξω τῆς πόλεως νομίσαντες᾽ αὐτὸν τεθνάναι ⸰
20 κυκλωσάντων δὲ αὐτὸν᾽ τῶν μαθητῶν ἀναστὰς εἰσῆλθεν εἰς
τὴν πόλιν καὶ τῇ ἐπαύριον ἐξῆλθεν σὺν τῷ βαρνάβᾳ εἰς
21 δέρβην ⸰ εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην καὶ μαθη-
τεύσαντες ἱκανοὺς ὑπέστρεψαν εἰς τὴν λύστραν κἀὶ ἰκό-
22 νιον κἀὶ ἀντιόχειαν ⸰ ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθη-
τῶν παρακαλοῦντες ἐμμένειν τῇ πίστει καὶ ὅτι διὰ πολλῶν
θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ ⸰
23 χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους᾽ κατ᾽ ἐκκλησίαν
προσευξάμενοι μετὰ νηστειῶν παρέθεντο αὐτοὺς τῷ κυρίῳ
24 εἰς ὃν πεπιστεύκεισαν ⸰ καὶ διελθόντες τὴν πισιδίαν ἦλθον
25 εἰς ῥαμφυλίαν ⸰ καὶ λαλήσαντες ἐν πέργῃ τὸν λόγον κατέ-
26 βησαν εἰς ἀττάλειαν ⸰ κἀκεῖθεν ἀπέπλευσαν εἰς ἀντιόχειαν
ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ θεοῦ εἰς τὸ ἔργον ὃ
27 ἐπλήρωσαν ⸰ παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκ-
κλησίαν ἀνήγγειλἀν ὅσα ἐποίησεν ὁ θεὸς μετ᾽ αὐτῶν καὶ
28 ὅτι ἤνοιξεν τοῖς ἔθνεσιν θύραν πίστεως ⸰ διέτριβον δὲ ἐκεῖ
χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς ⸰

---

**v.15** T*: τον, V: ∅. **v.17** TK: και τοι γε, M: καιτοιγε, V: καιτοι. **v.17** T*: εαυτον, V: αυτον. **v.17** T*: αγαθοποιων, V: αγαθουργων. **v.17** TK: ημιν, MV: υμιν. **v.17** T*: ημων, V: υμων. **v.19** T*: επηλθον, V: επηλθαν. **v.19** T*: νομισαντες αυτον τεθναναι, V: νομιζοντες αυτον τεθνηκεναι. **v.20** T*: αυτον των μαθητων, V: των μαθητων αυτον. **v.21** T*: και, V: και εις. **v.23** T*: πρεσβυτερους κατ εκκλησιαν, V: κατ εκκλησιαν πρεσβυτερους. **v.24** T*: παμφυλιαν, V: την παμφυλιαν. **v.27** T*: ανηγγειλαν, V: ανηγγελλον. **v.28** T*: εκει, V: ∅.

Καί τινες κατελθόντες ἀπὸ τῆς ἰουδαίας ἐδίδασκον τοὺς **15**
ἀδελφοὺς ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει μωϋσέως οὐ δύ-
νασθε σωθῆναι· γενομένης οὖν στάσεως καὶ ὁυζητήσεως 2
οὐκ ὀλίγης τῷ παύλῳ καὶ τῷ βαρνάβᾳ πρὸς αὐτοὺς ἔτα-
ξαν ἀναβαίνειν παῦλον καὶ βαρνάβαν καί τινας ἄλλους ἐξ
αὐτῶν πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς ἱερου-
σαλὴμ περὶ τοῦ ζητήματος τούτου· οἱ μὲν οὖν προπεμ- 3
φθέντες ὑπὸ τῆς ἐκκλησίας διήρχοντο τὴν φοινίκην καὶ
σαμάρειαν ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν καὶ
ἐποίουν χαρὰν μεγάλην πᾶσιν τοῖς ἀδελφοῖς· παραγενό- 4
μενοι δὲ εἰς ἱερουσαλὴμ ἀπεδέχθησαν˚ ὑπὸ τῆς ἐκκλησίας
καὶ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων ἀνήγγειλάν τε ὅσα
ὁ θεὸς ἐποίησεν μετ᾽ αὐτῶν· ἐξανέστησαν δέ τινες τῶν ἀ- 5
πὸ τῆς αἱρέσεως τῶν φαρισαίων πεπιστευκότες λέγοντες ὅτι
δεῖ περιτέμνειν αὐτοὺς παραγγέλλειν τε τηρεῖν τὸν νόμον
μωϋσέως· συνήχθησαν δὲ˚ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτε- 6
ροι ἰδεῖν περὶ τοῦ λόγου τούτου· πολλῆς δὲ ὁυζητήσεως 7
γενομένης ἀναστὰς πέτρος εἶπεν πρὸς αὐτοὺς ἄνδρες ἀ-
δελφοὶ ὑμεῖς ἐπίστασθε ὅτι ἀφ᾽ ἡμερῶν ἀρχαίων ὁ˚ θεὸς
ἐν ἡμῖν ἐξελέξατο διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη
τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι· καὶ ὁ καρδιο- 8
γνώστης θεὸς ἐμαρτύρησεν αὐτοῖς δοὺς αὐτοῖς τὸ πνεῦμα
τὸ ἅγιον καθὼς καὶ ἡμῖν· καὶ οὐδὲν διέκρινεν μεταξὺ ἡ- 9
μῶν τε καὶ αὐτῶν τῇ πίστει καθαρίσας τὰς καρδίας αὐ-
τῶν· νῦν οὖν τί πειράζετε τὸν θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν 10
τράχηλον τῶν μαθητῶν ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡ-
μεῖς ἰσχύσαμεν βαστάσαι· ἀλλὰ διὰ τῆς χάριτος κυρίου˚ 11
ἰησοῦ χριστοῦ πιστεύομεν σωθῆναι καθ᾽ ὃν τρόπον κἀκεῖ-
νοι· ἐσίγησεν˚ δὲ πᾶν τὸ πλῆθος καὶ ἤκουον βαρνάβα καὶ 12

**15. v.1** T*: περιτεμνησθε, V: περιτμηθητε. **v.1** TK: μωυσεως, M: μωσεως, V: τω μωυσεως. **v.2** T*: ουν, V: δε. **v.2** TK: συζητησεως, MV: ζητησεως. **v.3** T*: την, V: την τε. **v.4** T*: απεδεχθησαν υπο, V: παρεδεχθησαν απο. **v.6** T*: δε, V: τε. **v.7** T*: συζητησεως, V: ζητησεως. **v.7** T*: ο θεος εν ημιν εξελεξατο, V: εν υμιν εξελεξατο ο θεος. **v.8** T*: αυτοις, V: ∅. **v.9** T*: ουδεν, V: ουθεν. **v.11** TK: κυριου ιησου χριστου, MV: του κυριου ιησου. **v.12** E: εσιγησεν δε, D: συγκατατιθεμενων δε των πρεσβυτερων τοις υπο του πετρου ειρημενοις εσιγησεν.

παύλου ἐξηγουμένων ὅσα ἐποίησεν ὁ θεὸς σημεῖα καὶ τέ-
13 ρατα ἐν τοῖς ἔθνεσιν δι᾽ αὐτῶν ◦ μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς
ἀπεκρίθη ἰάκωβος λέγων ἄνδρες ἀδελφοὶ ἀκούσατέ μου ◦
14 συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ὁ θεὸς ἐπεσκέψατο λα-
15 βεῖν ἐξ ἐθνῶν λαὸν ἐπὶ τῷ ὀνόματι αὐτοῦ ◦ καὶ τούτῳ συμ-
16 φωνοῦσιν οἱ λόγοι τῶν προφητῶν καθὼς γέγραπται ◦ μετὰ
ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν δαβὶδ τὴν
πεπτωκυῖαν καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω
17 καὶ ἀνορθώσω αὐτήν ◦ ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοι-
ποι τῶν ἀνθρώπων τὸν κύριον καὶ πάντα τὰ ἔθνη ἐφ᾽ οὓς
ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτοὺς λέγει κύριος ὁ˚ ποι-
18 ῶν ταῦτα πάντα ◦ γνωστὰ ἀπ᾽ αἰῶνός ἐστιν˚ τῷ θεῷ πάντα
19 τὰ ἔργα αὐτοῦ ◦ διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ
20 τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν θεόν ◦ ἀλλὰ ἐπιστεῖλαι
αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων
21 καὶ τῆς πορνείας καὶ τοῦ πνικτοῦ καὶ τοῦ αἵματος ◦ μωσῆς
γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐ-
τὸν ἔχει ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινω-
22 σκόμενος ◦ τότε ἔδοξεν τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέ-
ροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν
πέμψαι εἰς ἀντιόχειαν σὺν τῷ παύλῳ καὶ βαρνάβᾳ ἰούδαν
τὸν ἐπικαλούμενον˚ βαρσαβᾶν καὶ σίλαν ἄνδρας ἡγουμέ-
23 νους ἐν τοῖς ἀδελφοῖς ◦ γράψαντες διὰ χειρὸς αὐτῶν τάδε
οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ˚ οἱ ἀδελφοὶ τοῖς κατὰ
τὴν ἀντιόχειαν καὶ συρίαν καὶ κιλικίαν ἀδελφοῖς τοῖς ἐξ
24 ἐθνῶν χαίρειν ◦ ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελ-
θόντες ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς
ὑμῶν λέγοντες˚ περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον οἷς οὐ
25 διεστειλάμεθα ◦ ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν ἐκ-

---

**v.14** T*: επι, V: ∅. **v.16** T*: δαβιδ, V: δαυιδ. **v.17** T*: ο ποιων ταυτα παντα, V: ποιων ταυτα. **v.18** T*: εστιν . . . αυτου, V: ∅. **v.20** T*: απο, V: ∅. **v.21** T*: μωσης, V: μωυσης. **v.22** TKV: τω, M: ∅. **v.22** TK: επικαλουμενον βαρσαβαν, M: επικαλουμενον βαρσαββαν, V: καλουμενον βαρσαββαν. **v.23** T*: ταδε, V: ∅. **v.23** T*: και οι, V: ∅. **v.24** T*: λεγοντες περιτεμνεσθαι και τηρειν τον νομον, V: ∅.

λεξαμένοὺς ἄνδρας πέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπη-
τοῖς ἡμῶν βαρνάβᾳ καὶ παύλῳ ◦ ἀνθρώποις παραδεδωκό- 26
σιν τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ ◦ ἀπεστάλκαμεν οὖν ἰούδαν καὶ σίλαν καὶ 27
αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά ◦ ἔδοξεν γὰρ τῷ 28
ἁγίῳ˚ πνεύματι καὶ ἡμῖν μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βά-
ρος πλὴν τῶν˚ ἐπάναγκες τούτων ◦ ἀπέχεσθαι εἰδωλοθύτων 29
καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας˚ ἐξ ὧν διατηροῦντ-
τες ἑαυτοὺς εὖ πράξετε˚ ἔρρωσθε ◦ οἱ μὲν οὖν ἀπολυθέντες 30
ἦλθὸν εἰς ἀντιόχειαν καὶ συναγαγόντες τὸ πλῆθος ἐπέδω-
καν τὴν ἐπιστολήν ◦ ἀναγνόντες δὲ ἐχάρησαν ἐπὶ τῇ παρα- 31
κλήσει ◦ ἰούδας τε καὶ σίλας καὶ αὐτοὶ προφῆται ὄντες διὰ 32
λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπεστήρι-
ξαν ◦ ποιήσαντες δὲ χρόνον ἀπελύθησαν μετ᾽ εἰρήνης ἀπὸ 33
τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους ◦ ἔδοξεν˚ δὲ τῷ σίλᾳ 34
ἐπιμεῖναι αὐτοῦ ◦ παῦλος δὲ καὶ βαρνάβας διέτριβον ἐν ἀν- 35
τιοχείᾳ διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων
πολλῶν τὸν λόγον τοῦ κυρίου ◦ μετὰ δέ τινας ἡμέρας εἶπεν 36
παῦλος˚ πρὸς βαρνάβαν ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα
τοὺς ἀδελφοὺς ἡμῶν˚ κατὰ πᾶσαν πόλιν ἐν αἷς κατηγγεί-
λαμεν τὸν λόγον τοῦ κυρίου πῶς ἔχουσιν ◦ βαρνάβας δὲ 37
ἐβουλεύσατο˚ συμπαραλαβεῖν τὸν ἰωάννην τὸν καλούμε-
νον μάρκον ◦ παῦλος δὲ ἠξίου τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν 38
ἀπὸ παμφυλίας καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον
μὴ συμπαραλάβεῖν τοῦτον ◦ ἐγένετο ὀῦν παροξυσμὸς ὥστε 39
ἀποχωρισθῆναι αὐτοὺς ἀπ᾽ ἀλλήλων τόν τε βαρνάβαν πα-
ραλαβόντα τὸν μάρκον ἐκπλεῦσαι εἰς κύπρον ◦ παῦλος δὲ 40

---

**v.25** T*: εκλεξαμενους, V: εκλεξαμενοις. **v.28** T*: αγιω πνευματι, V: πνευματι τω αγιω. **v.28** T*: των επαναγκες τουτων, V: τουτων των επαναγκες. **v.29** T*: πνικτου, V: πνικτων. **v.29** E: πορνειας, D: πορνειας και οσα μη θελετε εαυτοις γινεσθαι ετερω μη ποιειν. **v.29** E: πραξετε, D: πραξετε φερομενοι εν τω αγιω πνευματι. **v.30** T*: ηλθον, V: κατηλθον. **v.32** TMV: τε, K: δε. **v.33** T*: αποστολους, V: αποστειλαντας αυτους. **v.34** TK: εδοξεν . . . αυτου, MV: ∅. **v.36** T*: παυλος προς βαρναβαν, V: προς βαρναβαν παυλος. **v.36** T*: ημων κατα πασαν πολιν, V: κατα πολιν πασαν. **v.37** T*: εβουλευσατο, V: εβουλετο. **v.37** T*: τον, V: και τον. **v.38** T*: συμπαραλαβειν, V: συμπαραλαμβανειν. **v.39** T*: ουν, V: δε.

ἐπιλεξάμενος σίλαν ἐξῆλθεν παραδοθεὶς τῇ χάριτι τοῦ θεοῦ
41 ὑπὸ τῶν ἀδελφῶν ⸰ διήρχετο δὲ τὴν συρίαν καὶ κιλικίαν ἐ-
πιστηρίζων τὰς ἐκκλησίας ⸰

**16** Κατήντησεν δὲ εἰς˚ δέρβην καὶ λύστραν καὶ ἰδοὺ μα-
θητής τις ἦν ἐκεῖ ὀνόματι τιμόθεος υἱὸς γυναικός τινος
2 ἰουδαίας πιστῆς πατρὸς δὲ ἕλληνος ⸰ ὃς ἐμαρτυρεῖτο ὑ-
3 πὸ τῶν ἐν λύστροις καὶ ἰκονίῳ ἀδελφῶν ⸰ τοῦτον ἠθέλησεν
ὁ παῦλος σὺν αὐτῷ ἐξελθεῖν καὶ λαβὼν περιέτεμεν αὐτὸν
διὰ τοὺς ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις ᾔ-
δεισαν γὰρ ἅπαντες τὸν˚ πατέρα αὐτοῦ ὅτι ἕλλην ὑπῆρ-
4 χεν ⸰ ὡς δὲ διεπορεύοντο τὰς πόλεις παρεδίδουν αὐτοῖς
φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων
5 καὶ τῶν˚ πρεσβυτέρων τῶν ἐν ἱερουσαλήμ ⸰ αἱ μὲν οὖν ἐκ-
κλησίαι ἐστερεοῦντο τῇ πίστει καὶ ἐπερίσσευον τῷ ἀριθμῷ
6 καθ᾽ ἡμέραν ⸰ διελθόντες δὲ τὴν φρυγίαν καὶ τὴν γαλατι-
κὴν χώραν κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι
7 τὸν λόγον ἐν τῇ ἀσίᾳ ⸰ ἐλθόντες˙ κατὰ τὴν μυσίαν ἐπείραζον
κατὰ τὴν βιθυνίαν πορεύεσθαι καὶ οὐκ εἴασεν αὐτοὺς τὸ
8 πνεῦμα˙ ⸰ παρελθόντες δὲ τὴν μυσίαν κατέβησαν εἰς τρω-
9 άδα ⸰ καὶ ὅραμα διὰ τῆς νυκτὸς ὤφθη˚ τῷ παύλῳ ἀνήρ
τις˚ ἦν μακεδὼν ἑστὼς παρακαλῶν αὐτὸν καὶ λέγων δια-
10 βὰς εἰς μακεδονίαν βοήθησον ἡμῖν ⸰ ὡς δὲ τὸ ὅραμα εἶδεν
εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν μακεδονίαν συμβιβά-
ζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ κύριος εὐαγγελίσασθαι
11 αὐτούς ⸰ ἀναχθέντες˚ οὖν ἀπὸ τῆς τρωάδος εὐθυδρομήσα-
12 μεν εἰς σαμοθρᾴκην τῇ τε ἐπιούσῃ εἰς νεάπολιν ⸰ ἐκειθέν˚

---

**v.40** T*: θεου, V: κυριου. **v.41** T*: κιλικιαν, V: [την] κιλικιαν. **v.41** E: εκκλησιας, D: εκκλησιας παραδιδους τας εντολας των πρεσβυτερων. **16. v.1** T*: εις δερβην και λυστραν, V: [και] εις δερβην και εις λυστραν. **v.1** T*: τινος, V: ∅. **v.3** T*: τον πατερα αυτου οτι ελλην, V: οτι ελλην ο πατηρ αυτου. **v.4** T*: παρεδιδουν, V: παρεδιδοσαν. **v.4** T*: των πρεσβυτερων των εν ιερουσαλημ, V: πρεσβυτερων των εν ιεροσολυμοις. **v.6** T*: διελθοντες, V: διηλθον. **v.6** T*: την, V: ∅. **v.7** T*: ελθοντες, V: ελθοντες δε. **v.7** T*: κατα, V: εις. **v.7** T*: πορευεσθαι, V: πορευθηναι. **v.7** T*: πνευμα, V: πνευμα ιησου. **v.9** T*: ωφθη τω παυλω, V: τω παυλω ωφθη. **v.9** T*: τις ην μακεδων εστως, V: μακεδων τις ην εστως και. **v.10** T*: την, V: ∅. **v.10** T*: κυριος, V: θεος. **v.11** T*: αναχθεντες ουν, V: αναχθεντες δε, D: τη δε επαυριον αναχθεντες. **v.11** T*: της, V: ∅. **v.11** T*: τε, V: δε. **v.11** T*: νεαπολιν, V: νεαν πολιν. **v.12** T*: εκειθεν τε, V: κακειθεν.

τε εἰς φιλίππους ἥτις ἐστὶν πρώτη˚ τῆς μερίδος τῆς μακεδο-
νίας πόλις κολωνία ἦμεν δὲ ἐν ταύτῃ τῇ πόλει διατρίβον-
τες ἡμέρας τινάς· τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν 13
ἔξω τῆς πόλεως παρὰ ποταμὸν οὗ ἐνομίζετο˚ προσευχὴ εἶ-
ναι καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξίν·
καί τις γυνὴ ὀνόματι λυδία πορφυρόπωλις πόλεως θυατεί- 14
ρων σεβομένη τὸν θεὸν ἤκουεν ἧς ὁ κύριος διήνοιξεν τὴν
καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ παύλου· ὡς 15
δὲ ἐβαπτίσθη καὶ ὁ οἶκος αὐτῆς παρεκάλεσεν λέγουσα εἰ
κεκρίκατέ με πιστὴν τῷ κυρίῳ εἶναι εἰσελθόντες εἰς τὸν
οἶκόν μου μείνατε καὶ παρεβιάσατο ἡμᾶς· ἐγένετο δὲ πο- 16
ρευομένων ἡμῶν εἰς προσευχὴν παιδίσκην τινὰ ἔχουσαν
πνεῦμα πύθωνος˚ ἀπαντῆσαι ἡμῖν ἥτις ἐργασίαν πολλὴν
παρεῖχεν τοῖς κυρίοις αὐτῆς μαντευομένη· αὕτη κατακο- 17
λουθήσαὁα τῷ παύλῳ καὶ ἡμῖν ἔκραζεν λέγουσα οὗτοι οἱ
ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσὶν οἵτινες καταγ-
γέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας· τοῦτο δὲ ἐποίει ἐπὶ πολ- 18
λὰς ἡμέρας διαπονηθεὶς δὲ ὁ˚ παῦλος καὶ ἐπιστρέψας τῷ
πνεύματι εἶπεν παραγγέλλω σοι ἐν τῷ ὀνόματι ἰησοῦ χρι-
στοῦ ἐξελθεῖν ἀπ᾽ αὐτῆς καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ· ἰδόντες 19
δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν
ἐπιλαβόμενοι τὸν παῦλον καὶ τὸν σίλαν εἵλκυσαν εἰς τὴν ἀ-
γορὰν ἐπὶ τοὺς ἄρχοντας· καὶ προσαγαγόντες αὐτοὺς τοῖς 20
στρατηγοῖς εἶπόν οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν
τὴν πόλιν ἰουδαῖοι ὑπάρχοντες· καὶ καταγγέλλουσιν ἔθη 21
ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν ῥωμαίοις οὖ-
σιν· καὶ συνεπέστη ὁ ὄχλος κατ᾽ αὐτῶν καὶ οἱ στρατηγοὶ 22
περιρρήξαντες αὐτῶν τὰ ἱμάτια ἐκέλευον ῥαβδίζειν· πολ- 23
λάς τε ἐπιθέντες αὐτοῖς πληγὰς ἔβαλον εἰς φυλακὴν πα-

**v.12** T*: πρωτη της, V: πρωτη[ς]. **v.12** TKV: κολωνια, M: κολωνεια. **v.12** TKV: ταυτη, M: αυτη. **v.13** T*: πολεως, V: πυλης. **v.13** T*: ενομιζετο προσευχη, V: ενομιζομεν προσευχην. **v.15** T*: μεινατε, V: μενετε. **v.16** T*: προσευχην, V: την προσευχην. **v.16** T*: πυθωνος απαντησαι, V: πυθωνα υπαντησαι. **v.17** T*: κατακολουθησασα, V: κατακολουθουσα. **v.17** T*: ημιν, V: υμιν. **v.18** T*: ο, V: ∅. **v.18** T*: τω, V: ∅. **v.20** T*: ειπον, V: ειπαν. **v.22** T*: περιρρηξαντες, V: περιρηξαντες.

24 ραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς ◦ ὃς
παραγγελίαν τοιαύτην εἰληφὼς ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσω-
τέραν φυλακὴν καὶ τοὺς πόδας αὐτῶν˚ ἠσφαλίσατο εἰς τὸ
25 ξύλον ◦ κατὰ δὲ τὸ μεσονύκτιον παῦλος καὶ σίλας προσ-
ευχόμενοι ὕμνουν τὸν θεὸν ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέ-
26 σμιοι ◦ ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας ὥστε σαλευθῆναι
τὰ θεμέλια τοῦ δεσμωτηρίου ἀνεῴχθησάν˚ τε παραχρῆμα
27 αἱ θύραι πᾶσαι καὶ πάντων τὰ δεσμὰ ἀνέθη ◦ ἔξυπνος δὲ
γενόμενος ὁ δεσμοφύλαξ καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας
τῆς φυλακῆς σπασάμενος μάχαιραν˚ ἔμελλεν ἑαυτὸν ἀ-
28 ναιρεῖν νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους ◦ ἐφώνησεν
δὲ φωνῇ˚ μεγάλῃ ὁ παῦλος λέγων μηδὲν πράξῃς σεαυτῷ
29 κακὸν ἅπαντες γάρ ἐσμεν ἐνθάδε ◦ αἰτήσας δὲ φῶτα εἰσ-
επήδησεν καὶ ἔντρομος γενόμενος προσέπεσεν τῷ παύλῳ
30 καὶ τῷ σίλᾳ ◦ καὶ προαγαγὼν αὐτοὺς ἔξω ἔφη κύριοι τί με
31 δεῖ ποιεῖν ἵνα σωθῶ ◦ οἱ δὲ εἶπόν πίστευσον ἐπὶ τὸν κύ-
32 ριον ἰησοῦν χριστὸν καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου ◦ καὶ
ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ κυρίου κἀὶ πᾶσιν τοῖς ἐν
33 τῇ οἰκίᾳ αὐτοῦ ◦ καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ
τῆς νυκτὸς ἔλουσεν ἀπὸ τῶν πληγῶν καὶ ἐβαπτίσθη αὐ-
34 τὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα ◦ ἀναγαγών τε αὐτοὺς
εἰς τὸν οἶκον αὐτοῦ παρέθηκεν τράπεζαν καὶ ἠγαλλιάσατο˚
35 πανοικὶ πεπιστευκὼς τῷ θεῷ ◦ ἡμέρας δὲ γενομένης ἀπέ-
στειλαν˚ οἱ στρατηγοὶ τοὺς ῥαβδούχους λέγοντες ἀπόλυσον
36 τοὺς ἀνθρώπους ἐκείνουṣ ◦ ἀπήγγειλεν δὲ ὁ δεσμοφύλαξ
τοὺς λόγους τούτους πρὸς τὸν παῦλον ὅτι ἀπεστάλκαὁιν
οἱ στρατηγοὶ ἵνα ἀπολυθῆτε νῦν οὖν ἐξελθόντες πορεύεσθε
37 ἐν εἰρήνῃ ◦ ὁ δὲ παῦλος ἔφη πρὸς αὐτοὺς δείραντες ἡμᾶς

---

**v.24** T*: ειληφως, V: λαβων. **v.24** T*: αυτων ησφαλισατο, V: ησφαλισατο αυτων. **v.26** T*: ανεωχθησαν τε, V: ηνεωχθησαν δε. **v.27** T*: μαχαιραν εμελλεν, V: [την] μαχαιραν ημελλεν. **v.28** T*: φωνη μεγαλη, V: μεγαλη φωνη. **v.31** T*: ειπον, V: ειπαν. **v.31** T*: χριστον, V: ∅. **v.32** T*: και, V: συν. **v.34** T*: αυτου, V: ∅. **v.34** TK: ηγαλλιασατο πανοικι, M: ηγαλλιατο πανοικι, V: ηγαλλιασατο πανοικει. **v.35** E: απεστειλαν οι στρατηγοι, D: συνηλθον οι στρατηγοι επι το αυτο εις την αγοραν και αναμνησθεντες τον σεισμον τον γεγονοτα εφοβηθησαν και απεστειλαν. **v.35** E: εκεινους, D: εκεινους ους εχθες παρελαβες. **v.36** T*: απεσταλκασιν, V: απεσταλκαν.

δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους ῥωμαίους ὑπάρχοντας
ἔβαλὸν εἰς φυλακὴν καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν οὐ
γὰρ ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν ⸰ ἀνήγγειλαν 38
δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα καὶ˚ ἐ-
φοβήθησαν ἀκούσαντες ὅτι ῥωμαῖοί εἰσιν ⸰ καὶ ἐλθόντες 39
παρεκάλεσαν αὐτοὺς καὶ ἐξαγαγόντες ἠρώτων ἐξέλθεῖν τῆς
πόλεως ⸰ ἐξελθόντες δὲ ἐκ̓ τῆς φυλακῆς εἰσῆλθον ἐἰς τὴν 40
λυδίαν καὶ ἰδόντες τοὺς˚ ἀδελφοὺς παρεκάλεσαν αὐτοὺς
καὶ ἐξῆλθον ⸰

Διοδεύσαντες δὲ τὴν ἀμφίπολιν καὶ ἀπ̓ολλωνίαν ἦλθον **17**
εἰς θεσσαλονίκην ὅπου ἦν ἡ˚ συναγωγὴ τῶν ἰουδαίων ⸰ κα- 2
τὰ δὲ τὸ εἰωθὸς τῷ παύλῳ εἰσῆλθεν πρὸς αὐτοὺς καὶ ἐπὶ
σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν ⸰ διανοί- 3
γων καὶ παρατιθέμενος ὅτι τὸν χριστὸν ἔδει παθεῖν καὶ ἀ-
ναστῆναι ἐκ νεκρῶν καὶ ὅτι οὗτός ἐστιν ὁ χριστὸς ἰ̓ησοῦς
ὃν ἐγὼ καταγγέλλω ὑμῖν ⸰ καί τινες ἐξ αὐτῶν ἐπείσθησαν 4
καὶ προσεκληρώθησαν τῷ παύλῳ καὶ τῷ σίλᾳ τῶν τε σε-
βομένων ἑλλήνων πολὺ˚ πλῆθος γυναικῶν τε τῶν πρώτων
οὐκ ὀλίγαι ⸰ ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες˚ ἰουδαῖοι καὶ 5
προσλαβόμενοι τῶν ἀγοραίων τινὰς˚ ἄνδρας πονηροὺς καὶ
ὀχλοποιήσαντες ἐθορύβουν τὴν πόλιν ἐπιστάντες˚ τε τῇ οἰ-
κίᾳ ἰάσονος ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον ⸰ μὴ 6
εὑρόντες δὲ αὐτοὺς ἔσυρον τὸν ἰάσονα καί τινας ἀδελφοὺς
ἐπὶ τοὺς πολιτάρχας βοῶντες ὅτι οἱ τὴν οἰκουμένην ἀνα-
στατώσαντες οὗτοι καὶ ἐνθάδε πάρεισιν ⸰ οὓς ὑποδέδεκται 7
ἰάσων καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων καίσαρος

---

**v.37** T*: εβαλον, V: εβαλαν. **v.37** TKV: ημας, M: ∅. **v.38** T*: ανηγγειλαν, V: απηγγειλαν. **v.38** T*: και εφοβηθησαν, V: εφοβηθησαν δε. **v.39** T*: εξελθειν, V: απελθειν απο. **v.40** T*: εκ, V: απο. **v.40** TK: εις, MV: προς. **v.40** T*: τους αδελφους παρεκαλεσαν αυτους και εξηλθον, V: παρεκαλεσαν τους αδελφους και εξηλθαν. **17. v.1** T*: απολλωνιαν, V: την απολλωνιαν. **v.1** T*: η, V: ∅. **v.2** TK: διελεγετο, MV: διελεξατο. **v.3** T*: ιησους, V: [ο] ιησους. **v.4** T*: πολυ πληθος, V: πληθος πολυ. **v.5** TKV: ζηλωσαντες, M: προσλαβομενοι. **v.5** TK: απειθουντες ιουδαιοι και προσλαβομενοι, M: ιουδαιοι οι απειθουντες, V: ιουδαιοι και προσλαβομενοι. **v.5** T*: τινας ανδρας, V: ανδρας τινας. **v.5** T*: επισταντες τε, V: και επισταντες. **v.5** T*: αγαγειν, V: προαγαγειν. **v.6** T*: τον, V: ∅.

8 πράττουσιν βασιλέα λέγοντες˚ ἕτερον εἶναι Ἰησοῦν· ἐτάρ-
ξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα·
9 καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν
10 ἀπέλυσαν αὐτούς· οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς
ἐξέπεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς Βέροιαν οἵτινες
παραγενόμενοι εἰς τὴν συναγωγὴν τῶν˚ Ἰουδαίων ἀπῄεσαν·
11 οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ οἵτινες ἐ-
δέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας τὸ καθ᾽ ἡμέραν
12 ἀνακρίνοντες τὰς γραφὰς εἰ ἔχοι ταῦτα οὕτως· πολλοὶ μὲν
οὖν ἐξ αὐτῶν ἐπίστευσαν καὶ τῶν ἑλληνίδων γυναικῶν τῶν
13 εὐσχημόνων καὶ ἀνδρῶν οὐκ ὀλίγοι· ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ
τῆς Θεσσαλονίκης Ἰουδαῖοι ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλη
ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ ἦλθον κἀκεῖ σαλεύοντες
14 τοὺς ὄχλους· εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ
ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν ὑπέμενον˚ δὲ ὅ
15 τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ· οἱ δὲ καθιστῶντες τὸν Παῦλον
ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν καὶ λαβόντες ἐντολὴν πρὸς τὸν
Σίλαν καὶ Τιμόθεον ἵνα ὡς τάχιστα ἔλθωσιν πρὸς αὐτὸν ἐξῆ-
16 εσαν· ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου
παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ θεωροῦντι κατείδω-
17 λον οὖσαν τὴν πόλιν· διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ
τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις καὶ ἐν τῇ ἀγορᾷ κατὰ
18 πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας· τινὲς δὲ τῶν˚
ἐπικουρείων καὶ τῶν στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ
καί τινες ἔλεγον τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν οἱ
δὲ ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι ὅτι τὸν Ἰησοῦν
19 καὶ τὴν ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο· ἐπιλαβόμενοί τε
αὐτοῦ ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον λέγοντες δυνάμεθα

---

**v.7** TK: πραττουσιν, MV: πρασσουσιν. **v.7** T$^{*}$: λεγοντες ετερον, V: ετερον λεγοντες. **v.10** T$^{*}$: της, V: ∅. **v.10** TKV: των ιουδαιων απηεσαν, M: απηεσαν των ιουδαιων. **v.11** T$^{*}$: το, V: ∅. **v.13** T$^{*}$: σαλευοντες, V: σαλευοντες και ταρασσοντες. **v.14** T$^{*}$: ως, V: εως. **v.14** T$^{*}$: υπεμενον δε, V: υπεμειναν τε. **v.15** T$^{*}$: καθιστωντες, V: καθιστανοντες. **v.15** T$^{*}$: αυτον, V: ∅. **v.15** T$^{*}$: τιμοθεον, V: τον τιμοθεον. **v.16** T$^{*}$: θεωρουντι, V: θεωρουντος. **v.18** TK: των επικουρειων και των στωικων, M: και των επικουρειων και των στοικων, V: και των επικουρειων και στοικων. **v.18** TK: αυτοις, MV: ∅.

γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή· ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν βουλό- 20
μεθα οὖν γνῶναι τί᾽ ἂν θέλοι ταῦτα εἶναι· ἀθηναῖοι δὲ πάν- 21
τες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον ἐὐκαίρουν
ἢ λέγειν τι καὶ᾽ ἀκούειν καινότερον· σταθεὶς δὲ ὁ παῦ- 22
λος ἐν μέσῳ τοῦ ἀρείου πάγου ἔφη ἄνδρες ἀθηναῖοι κατὰ
πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ· διερχόμενος 23
γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν εὗρον καὶ βωμὸν
ἐν ᾧ ἐπεγέγραπτο ἀγνώστῳ θεῷ ὃν οὖν ἀγνοοῦντες εὐσε-
βεῖτε τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν· ὁ θεὸς ὁ ποιήσας τὸν 24
κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ οὗτος οὐρανοῦ καὶ γῆς κύ-
ριος᾽ ὑπάρχων οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ· οὐ- 25
δὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος
αὐτὸς διδοὺς πᾶσιν ζωὴν καὶ πνοὴν καὶτὰ πάντα· ἐποίη- 26
σέν τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ
πᾶν᾽ τὸ πρόσωπον τῆς γῆς ὁρίσας προτεταγμένους καιρούς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν· ζητεῖν τὸν 27
κύριον εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν καίτοιγε
οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα· ἐν αὐτῷ 28
γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν ὡς καί τινες τῶν καθ᾽
ὑμᾶς ποιητῶν εἰρήκασιν τοῦ γὰρ καὶ γένος ἐσμέν· γένος 29
οὖν ὑπάρχοντες τοῦ θεοῦ οὐκ ὀφείλομεν νομίζειν χρυσῷ
ἢ ἀργύρῳ ἢ λίθῳ χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀν-
θρώπου τὸ θεῖον εἶναι ὅμοιον· τοὺς μὲν οὖν χρόνους τῆς 30
ἀγνοίας ὑπεριδὼν ὁ θεὸς τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώ-
ποις πᾶσιν πανταχοῦ μετανοεῖν· διότι ἔστησεν ἡμέραν ἐν 31
ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ἐν᾽ ἀνδρὶ
ᾧ ὥρισεν πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νε-

**v.20** T*: τι αν θελοι, V: τινα θελει. **v.21** T*: ευκαιρουν, V: ηυκαιρουν. **v.21** T*: και ακουειν, V: η ακουειν τι. **v.23** T*: ον, V: ο. **v.23** T*: τουτον, V: τουτο. **v.24** T*: κυριος υπαρχων, V: υπαρχων κυριος. **v.25** T*: ανθρωπων, V: ανθρωπινων. **v.25** TM: κατα, KV: και τα. **v.26** T*: αιματος, V: ∅, F: στοματος. **v.26** T*: παν το προσωπον, V: παντος προσωπου. **v.26** TK: προτεταγμενους, MV: προστεταγμενους. **v.27** T*: κυριον, V: θεον. **v.27** TK: καιτοιγε, M: καιγε, V: και γε. **v.30** T*: πασιν, V: παντας. **v.31** T*: διοτι, V: καθοτι. **v.31** E: εν ανδρι, D: ανδρι ιησου.

32 κρῶν ⸰ ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν οἱ μὲν ἐχλεύαζον
33 οἱ δὲ εἶπόν ἀκουσόμεθά σου πάλιν˚ περὶ τούτου ⸰ κἀὶ οὕ-
34 τως ὁ παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν ⸰ τινὲς δὲ ἄνδρες
κολληθέντες αὐτῷ ἐπίστευσαν ἐν οἷς καὶ διονύσιος ὁ ἀρεο-
παγίτης καὶ γυνὴ ὀνόματι δάμαρις καὶ ἕτεροι σὺν αὐτοῖς ⸰

**18** Μετὰ δὲ˚ ταῦτα χωρισθεὶς ὁ˚ παῦλος ἐκ τῶν ἀθηνῶν ἦλ-
2 θεν εἰς κόρινθον ⸰ καὶ εὑρών τινα ἰουδαῖον ὀνόματι ἀκύ-
λαν ποντικὸν τῷ γένει προσφάτως ἐληλυθότα ἀπὸ τῆς ἰ-
ταλίας καὶ πρίσκιλλαν γυναῖκα αὐτοῦ διὰ τὸ διατεταχέναι
κλαύδιον χωρίζεσθαι πάντας τοὺς ἰουδαίους ἐκ τῆς ῥώμης
3 προσῆλθεν αὐτοῖς ⸰ καὶ διὰ τὸ ὁμότεχνον εἶναι ἔμενεν παρ᾽
4 αὐτοῖς καὶ ἠργάζετο ἦσαν γὰρ σκηνοποιοὶ τὴν˚ τέχνην ⸰ δι-
ελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον ἔπειθέν τε
5 ἰουδαίους καὶ ἕλληνας ⸰ ὡς δὲ κατῆλθον ἀπὸ τῆς μακε-
δονίας ὅ τε σίλας καὶ ὁ τιμόθεος συνείχετο τῷ πνεύματι
ὁ παῦλος διαμαρτυρόμενος τοῖς ἰουδαίοις τὸν χριστὸν ἰη-
6 σοῦν ⸰ ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων ἐκ-
τιναξάμενος τὰ ἱμάτια εἶπεν πρὸς αὐτοὺς τὸ αἷμα ὑμῶν
ἐπὶ τὴν κεφαλὴν ὑμῶν καθαρὸς ἐγὼ ἀπὸ τοῦ νῦν εἰς τὰ
7 ἔθνη πορεύσομαι ⸰ καὶ μεταβὰς ἐκεῖθεν ἦλθὲν εἰς οἰκίαν
τινὸς ὀνόματι ἰούστου σεβομένου τὸν θεὸν οὗ ἡ οἰκία ἦν
8 συνομοροῦσα τῇ συναγωγῇ ⸰ κρίσπος δὲ ὁ ἀρχισυνάγωγος
ἐπίστευσεν τῷ κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ καὶ πολλοὶ τῶν
9 κορινθίων ἀκούοντες ἐπίστευον καὶ ἐβαπτίζοντο ⸰ εἶπεν δὲ
ὁ κύριος δι˚ ὁράματος ἐν νυκτὶ τῷ παύλῳ μὴ φοβοῦ ἀλ-
10 λὰ λάλει καὶ μὴ σιωπήσῃς ⸰ διότι ἐγώ εἰμι μετὰ σοῦ καὶ
οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε διότι λαός ἐστίν μοι
11 πολὺς ἐν τῇ πόλει ταύτῃ ⸰ ἐκάθισέν τε ἐνιαυτὸν καὶ μῆνας
12 ἓξ διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ θεοῦ ⸰ γαλλίωνος δὲ

**v.32** T*: ειπον, V: ειπαν. **v.32** T*: παλιν περι τουτου, V: περι τουτου και παλιν. **v.33** T*: και, V: ∅. **18. v.1** T*: δε, V: ∅. **v.1** T*: ο παυλος, V: ∅. **v.2** TKV: διατεταχεναι, M: τεταχεναι. **v.2** T*: εκ, V: απο. **v.3** T*: ειργαζετο, V: ηργαζετο. **v.3** T*: την τεχνην, V: τη τεχνη. **v.5** T*: πνευματι, V: λογω. **v.5** T*: τον, V: ειναι τον. **v.7** T*: ηλθεν, V: εισηλθεν. **v.7** T*: ιουστου, V: τιτιου ιουστου. **v.9** T*: δι οραματος εν νυκτι, V: εν νυκτι δι οραματος. **v.11** T*: τε, V: δε.

ἀνθυπατεύοντος τῆς ἀχαΐας κατεπέστησαν ὁμοθυμαδὸν οἱ
ἰουδαῖοι τῷ παύλῳ καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα ◦ λέγον- 13
τες ὅτι παρὰ τὸν νόμον οὗτος˚ ἀναπείθει τοὺς ἀνθρώπους
σέβεσθαι τὸν θεόν ◦ μέλλοντος δὲ τοῦ παύλου ἀνοίγειν τὸ 14
στόμα εἶπεν ὁ γαλλίων πρὸς τοὺς ἰουδαίους εἰ μὲν οὖν
ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρὸν ὦ ἰουδαῖοι κατὰ
λόγον ἂν ἠνεσχόμην ὑμῶν ◦ εἰ δὲ ζήτημά ἐστιν περὶ λό- 15
γου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ᾽ ὑμᾶς ὄψεσθε αὐτοὶ
κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι ◦ καὶ ἀπήλα- 16
σεν αὐτοὺς ἀπὸ τοῦ βήματος ◦ ἐπιλαβόμενοι δὲ πάντες οἱ˚ 17
ἕλληνες σωσθένην τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμπροσθεν
τοῦ βήματος καὶ οὐδὲν τούτων τῷ γαλλίωνι ἔμελεν ◦ ὁ δὲ 18
παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανὰς τοῖς ἀδελφοῖς ἀπο-
ταξάμενος ἐξέπλει εἰς τὴν συρίαν καὶ σὺν αὐτῷ πρίσκιλλα
καὶ ἀκύλας κειράμενος τὴν˚ κεφαλὴν ἐν κεγχρεαῖς εἶχεν
γὰρ εὐχήν ◦ κατήντησεν δὲ εἰς ἔφεσον κἀκείνους κατέλι- 19
πεν αὐτοῦ αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν διελέχθη
τοῖς ἰουδαίοις ◦ ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον 20
μεῖναι παρ᾽˚ αὐτοῖς οὐκ ἐπένευσεν ◦ ἀλλ᾽˚ ἀπετάξατο αὐ- 21
τοῖς εἰπὼν δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποι-
ῆσαι εἰς ἱεροσόλυμα πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς τοῦ
θεοῦ θέλοντος κἀι ἀνήχθη ἀπὸ τῆς ἐφέσου ◦ καὶ κατελθὼν 22
εἰς καισάρειαν ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν
κατέβη εἰς ἀντιόχειαν ◦ καὶ ποιήσας χρόνον τινὰ ἐξῆλθεν 23
διερχόμενος καθεξῆς τὴν γαλατικὴν χώραν καὶ φρυγίαν
ἐπιστηρίζων πάντας τοὺς μαθητάς ◦ ἰουδαῖος δέ τις ἀπολ- 24
λὼς ὀνόματι ἀλεξανδρεὺς τῷ γένει ἀνὴρ λόγιος κατήντησεν
εἰς ἔφεσον δυνατὸς ὢν ἐν ταῖς γραφαῖς ◦ οὗτος ἦν κατηχη- 25

---

**v.12** T*: ανθυπατευοντος, V: ανθυπατου οντος. **v.13** T*: ουτος αναπειθει, V: αναπειθει ουτος. **v.14** T*: ουν, V: ∅. **v.14** T*: ηνεσχομην, V: ανεσχομην. **v.15** T*: ζητημα, V: ζητηματα. **v.15** T*: γαρ, V: ∅. **v.17** T*: οι ελληνες, V: ∅. **v.17** TKV: εμελεν, M: εμελλεν. **v.18** T*: την κεφαλην εν κεγχρεαις, V: εν κεγχρεαις την κεφαλην. **v.19** T*: κατηντησεν, V: κατηντησαν. **v.19** TKV: κακεινους, M: και εκεινους. **v.19** T*: διελεχθη, V: διελεξατο. **v.20** T*: παρ αυτοις, V: ∅. **v.21** T*: αλλ απεταξατο αυτοις ειπων δει με παντως την εορτην την ερχομενην ποιησαι εις ιεροσολυμα παλιν δε, V: αλλα αποταξαμενος και ειπων παλιν. **v.21** T*: και, V: ∅.

μένος τὴν ὁδὸν τοῦ κυρίου καὶ ζέων τῷ πνεύματι ἐλάλει
καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ κυρίου ἐπιστάμενος
26 μόνον τὸ βάπτισμα ἰωάννου· οὗτός τε ἤρξατο παρρησιά-
ζεσθαι ἐν τῇ συναγωγῇ ἀκούσαντες δὲ αὐτοῦ Ακύλας˚ καὶ
πρίσκιλλα προσελάβοντο αὐτὸν καὶ ἀκριβέστερον αὐτῷ ἐξ-
27 έθεντο τὴν τοῦ˚ θεοῦ ὁδόν· βουλομένου δὲ αὐτοῦ διελθεῖν
εἰς τὴν ἀχαΐαν προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς
μαθηταῖς ἀποδέξασθαι αὐτὸν ὃς παραγενόμενος συνεβά-
28 λετο πολὺ τοῖς πεπιστευκόσιν διὰ τῆς χάριτος· εὐτόνως
γὰρ τοῖς ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ ἐπιδεικνὺς διὰ
τῶν γραφῶν εἶναι τὸν χριστὸν ἰησοῦν·

**19** Ἐγένετο δὲ ἐν τῷ τὸν ἀπολλὼ εἶναι ἐν κορίνθῳ παῦ-
λον διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς ἔφεσον καὶ
2 εὑρών τινας μαθητάς· εἶπεν πρὸς αὐτοὺς εἰ πνεῦμα ἅγιον
ἐλάβετε πιστεύσαντες οἱ δὲ εἶπον πρὸς αὐτὸν ἀλλ᾽ οὐδὲ
3 εἰ πνεῦμα ἅγιόν ἐστιν ἠκούσαμεν· εἶπέν τε πρὸς˚ αὐτοὺς
εἰς τί οὖν ἐβαπτίσθητε οἱ δὲ εἶπον εἰς τὸ ἰωάννου βάπτι-
4 σμα· εἶπεν δὲ παῦλος ἰωάννης μὲν ἐβάπτισεν βάπτισμα
μετανοίας τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα
5 πιστεύσωσιν τουτέστιν εἰς τὸν χριστὸν ἰησοῦν· ἀκούσαντες
6 δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ κυρίου ἰησοῦ· καὶ ἐπι-
θέντος αὐτοῖς τοῦ παύλου τὰς χεῖρας ἦλθεν τὸ πνεῦμα τὸ
ἅγιον ἐπ᾽ αὐτοὺς ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον·
7, 8 ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο· εἰσελθὼν δὲ εἰς
τὴν συναγωγὴν ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγό-
9 μενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ· ὡς δέ
τινες ἐσκληρύνοντο καὶ ἠπείθουν κακολογοῦντες τὴν ὁδὸν
ἐνώπιον τοῦ πλήθους ἀποστὰς ἀπ᾽ αὐτῶν ἀφώρισεν τοὺς
μαθητὰς καθ᾽ ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ τυράννου

---

**v.25** T*: κυριου, V: ιησου. **v.26** T*: ακυλας και πρισκιλλα, V: πρισκιλλα και ακυλας. **v.26** T*: του θεου οδον, V: οδον [του θεου]. **19. v.1** T*: ελθειν, V: [κατ]ελθειν. **v.1** T*: ευρων, V: ευρειν. **v.2** T*: ειπεν, V: ειπεν τε. **v.2** T*: ειπον, V: ∅. **v.2** T*: ουδε, V: ουδ. **v.3** T*: προς αυτους, V: ∅. **v.3** T*: ειπον, V: ειπαν. **v.4** T*: μεν, V: ∅. **v.4** T: τουτεστιν, KMV: τουτ εστιν. **v.4** T*: χριστον, V: ∅. **v.6** T*: προεφητευον, V: επροφητευον. **v.7** T*: δεκαδυο, V: δωδεκα.

τινός· τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο ὥστε πάντας τοὺς κα- 10
τοικοῦντας τὴν ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ κυρίου ἰησοῦ
ἰουδαίους τε καὶ ἕλληνας· δυνάμεις τε οὐ τὰς τυχούσας 11
ἐποίει ὁ θεὸς διὰ τῶν χειρῶν παύλου· ὥστε καὶ ἐπὶ τοὺς 12
ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια
ἢ σιμικίνθια καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους τά
τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν· ἐπεχείρη- 13
σαν δέ τινες ἀπὸ τῶν περιερχομένων ἰουδαίων ἐξορκιστῶν
ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄ-
νομα τοῦ κυρίου ἰησοῦ λέγοντες ὁρκίζομεν ὑμᾶς τὸν ἰη-
σοῦν ὃν ὁ παῦλος κηρύσσει· ἦσαν δέ τινες υἱοὶ σκευᾶ 14
ἰουδαίου ἀρχιερέως ἑπτὰ οἳ τοῦτο ποιοῦντες· ἀποκριθὲν 15
δὲ τὸ πνεῦμα τὸ πονηρὸν εἶπεν τὸν ἰησοῦν γινώσκω καὶ
τὸν παῦλον ἐπίσταμαι ὑμεῖς δὲ τίνες ἐστέ· καὶ ἐφαλλό- 16
μενος ἐπ' αὐτοὺς ὁ ἄνθρωπος ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πο-
νηρὸν καὶ κατακυριεύσας αὐτῶν ἴσχυσεν κατ' αὐτῶν ὥστε
γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐ-
κείνου· τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν ἰουδαίοις τε καὶ 17
ἕλλησιν τοῖς κατοικοῦσιν τὴν ἔφεσον καὶ ἐπέπεσεν φόβος
ἐπὶ πάντας αὐτοὺς καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ κυρίου
ἰησοῦ· πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογού- 18
μενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν· ἱκανοὶ δὲ τῶν 19
τὰ περίεργα πραξάντων συνενέγκαντες τὰς βίβλους κατέ-
καιον ἐνώπιον πάντων καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν
καὶ εὗρον ἀργυρίου μυριάδας πέντε· οὕτως κατὰ κράτος 20
ὁ λόγος τοῦ κυρίου ηὔξανεν καὶ ἴσχυεν· ὡς δὲ ἐπληρώθη 21
ταῦτα ἔθετο ὁ παῦλος ἐν τῷ πνεύματι διελθὼν τὴν μακε-
δονίαν καὶ ἀχαΐαν πορεύεσθαι εἰς ἱερουσάλημ εἰπὼν ὅτι

**v.9** T*: τινος, V: ∅. **v.10** T*: ιησου, V: ∅. **v.11** T*: εποιει ο θεος, V: ο θεος εποιει. **v.12** T*: επιφερεσθαι, V: αποφερεσθαι. **v.12** T*: εξερχεσθαι απ αυτων, V: εκπορευεσθαι. **v.13** T*: απο, V: και. **v.13** T*: ορκιζομεν, V: ορκιζω. **v.13** T*: ο, V: ∅. **v.14** T*: τινες υιοι, V: τινος. **v.14** T*: οι, V: υιοι. **v.15** T*: τον ιησουν, V: αυτοις τον [μεν] ιησουν. **v.16** T*: εφαλλομενος επ αυτους ο ανθρωπος, V: εφαλομενος ο ανθρωπος επ αυτους. **v.16** TK: και κατακυριευσας αυτων, M: και κατακυριευσαν αυτων, V: κατακυριευσας αμφοτερων. **v.20** T*: ο λογος του κυριου, V: του κυριου ο λογος. **v.21** T*: ιερουσαλημ, V: ιεροσολυμα.

22 μετὰ τὸ γενέσθαι με ἐκεῖ δεῖ με καὶ ῥώμην ἰδεῖν ◦ ἀπο-
στείλας δὲ εἰς τὴν μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ
τιμόθεον καὶ ἔραστον αὐτὸς ἐπέσχεν χρόνον εἰς τὴν ἀσίαν ◦
23 ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος
24 περὶ τῆς ὁδοῦ ◦ δημήτριος γάρ τις ὀνόματι ἀργυροκόπος
ποιῶν ναοὺς ἀργυροῦς ἀρτέμιδος παρείχετο τοῖς τεχνίταις
25 ἐργασίαν˚ οὐκ ὀλίγην ◦ οὓς συναθροίσας καὶ τοὺς περὶ τὰ
τοιαῦτα ἐργάτας εἶπεν ἄνδρες ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς
26 ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστιν ◦ καὶ θεωρεῖτε καὶ ἀκού-
ετε ὅτι οὐ μόνον ἐφέσου ἀλλὰ σχεδὸν πάσης τῆς ἀσίας ὁ
παῦλος οὗτος πείσας μετέστησεν ἱκανὸν ὄχλον λέγων ὅτι
27 οὐκ εἰσὶν θεοὶ οἱ διὰ χειρῶν γινόμενοι ◦ οὐ μόνον δὲ τοῦτο
κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν ἀλλὰ καὶ
τὸ τῆς μεγάλης θεᾶς ἀρτέμιδος˚ ἱερὸν εἰς οὐδὲν λογισθῆ-
ναι μέλλειν δὲ˚ καὶ καθαιρεῖσθαι τὴν˚ μεγαλειότητα αὐτῆς
28 ἣν ὅλη ἡ ἀσία καὶ ἡ οἰκουμένη σέβεται ◦ ἀκούσαντες δὲ
καὶ γενόμενοι πλήρεις θυμοῦ ἔκραζον λέγοντες μεγάλη
29 ἡ ἄρτεμις ἐφεσίων ◦ καὶ ἐπλήσθη ἡ πόλις ὅλὴ συγχύσεως
ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον συναρπάσαντες
γάϊον καὶ ἀρίσταρχον μακεδόνας συνεκδήμους τοῦ παύ-
30 λου ◦ τοῦ˚ δὲ παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον
31 οὐκ εἴων αὐτὸν οἱ μαθηταί ◦ τινὲς δὲ καὶ τῶν ἀσιαρχῶν
ὄντες αὐτῷ φίλοι πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ
32 δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον ◦ ἄλλοι μὲν οὖν ἄλλο τι ἔ-
κραζον ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη καὶ οἱ πλείους
33 οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν ◦ ἐκ δὲ τοῦ ὄ-
χλου �προεβίβασαν ἀλέξανδρον προβαλόντων αὐτὸν τῶν ἰ-
ουδαίων ὁ δὲ ἀλέξανδρος κατασείσας τὴν χεῖρα ἤθελεν ἀ-
34 πολογεῖσθαι τῷ δήμῳ ◦ ἐπιγνόντῶν δὲ ὅτι ἰουδαῖός ἐστιν

---

**v.24** T*: εργασιαν ουκ ολιγην, V: ουκ ολιγην εργασιαν. **v.25** T*: ημων, V: ημιν. **v.27** TKV: αρτεμιδος ιερον, M: ιερον αρτεμιδος. **v.27** TK: ουδεν, MV: ουθεν. **v.27** TM: δε, KV: τε. **v.27** T*: την μεγαλειοτητα, V: της μεγαλειοτητος. **v.29** TK: ολη, M: ολη της, V: της. **v.29** TK: του, MV: ∅. **v.30** T*: του δε παυλου, V: παυλου δε. **v.32** T*: ενεκεν, V: ενεκα. **v.33** T*: προεβιβασαν, V: συνεβιβασαν. **v.33** TMV: προβαλοντων, K: προβαλλοντων. **v.34** TK: επιγνοντων, MV: επιγνοντες.

φωνὴ ἐγένετο μία ἐκ πάντων ὡς ἐπὶ ὥρας δύο κραζόντων
μεγάλη ἡ ἄρτεμις ἐφεσίων ◦ καταστείλας δὲ ὁ γραμματεὺς 35
τὸν ὄχλον φησὶν ἄνδρες ἐφέσιοι τίς γάρ ἐστιν ἄνθρωπος ὃς
οὐ γινώσκει τὴν ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς με-
γάλης θεᾶς ἀρτέμιδος καὶ τοῦ διοπετοῦς ◦ ἀναντιρρήτων 36
οὖν ὄντων τούτων δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρ-
χειν καὶ μηδὲν προπετὲς πράττειν ◦ ἠγάγετε γὰρ τοὺς ἄν- 37
δρας τούτους οὔτε ἱεροσύλους οὔτε βλασφημοῦντας τὴν
θεὰν ὑμῶν ◦ εἰ μὲν οὖν δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖ- 38
ται πρός τινα λόγον ἔχουσιν ἀγοραῖοι ἄγονται καὶ ἀνθύ-
πατοί εἰσιν ἐγκαλείτωσαν ἀλλήλοις ◦ εἰ δέ τι περὶ ἑτέρων 39
ἐπιζητεῖτε ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται ◦ καὶ γὰρ 40
κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον μη-
δενὸς αἰτίου ὑπάρχοντος περὶ οὗ δυνησόμεθα ἀποδοῦναι
λόγον τῆς συστροφῆς ταύτης ◦ καὶ ταῦτα εἰπὼν ἀπέλυσεν 41
τὴν ἐκκλησίαν ◦

Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον προσκαλεσάμενος **20**
ὁ παῦλος τοὺς μαθητὰς καὶ ἀσπασάμενος ἐξῆλθεν πορευ-
θῆναι εἰς τὴν μακεδονίαν ◦ διελθὼν δὲ τὰ μέρη ἐκεῖνα καὶ 2
παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ ἦλθεν εἰς τὴν ἑλλάδα ◦
ποιήσας τε μῆνας τρεῖς γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ 3
τῶν ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν συρίαν ἐγένετο
γνώμη τοῦ ὑποστρέφειν διὰ μακεδονίας ◦ συνείπετο δὲ αὐ- 4
τῷ ἄχρι τῆς ἀσίας σώπατρος βεροιαῖος θεσσαλονικέων δὲ
ἀρίσταρχος καὶ σεκοῦνδος καὶ γάϊος δερβαῖος καὶ τιμόθεος
ἀσιανοὶ δέ τυχικὸς καὶ τρόφιμος ◦ οὗτοι προελθόντες ἔμε- 5
νον ἡμᾶς ἐν τρωάδι ◦ ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέ- 6

---

**v.35** T*: ανθρωπος, V: ανθρωπων. **v.35** T*: θεας, V: ∅. **v.36** TK: πραττειν, MV: πρασσειν. **v.37** TK: θεαν υμων, M: θεον υμων, V: θεον ημων. **v.38** TK: προς τινα λογον εχουσιν, MV: εχουσι προς τινα λογον. **v.39** T*: περι ετερων, V: περαιτερω. **v.40** TK: ου, M: ου ου, V: ου [ου]. **v.40** TK: αποδουναι λογον, M: δουναι λογον, V: αποδουναι λογον περι. **20. v.1** T*: προσκαλεσαμενος, V: μεταπεμψαμενος. **v.1** T*: ασπασαμενος, V: παρακαλεσας ασπασαμενος. **v.1** T*: πορευθηναι, V: πορευεσθαι. **v.1** T*: την, V: ∅. **v.3** T*: αυτω επιβουλης, V: επιβουλης αυτω. **v.3** T*: γνωμη, V: γνωμης. **v.4** T*: αχρι της ασιας σωπατρος, V: σωπατρος πυρρου. **v.5** TK: προελθοντες, M: προσελθοντες, V: δε προελθοντες.

ρας τῶν ἀζύμων ἀπὸ φιλίππων καὶ ἤλθομεν πρὸς αὐτοὺς
εἰς τὴν τρωάδα ἄχριȣ ἡμερῶν πέντε ὀῦ διετρίψαμεν ἡμέρας
7 ἑπτά ◦ ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων συνηγμένων τῶν˚ μαθη-
τῶν τοῦ κλάσαι ἄρτον ὁ παῦλος διελέγετο αὐτοῖς μέλλων
ἐξιέναι τῇ ἐπαύριον παρέτεινέν τε τὸν λόγον μέχρι μεσονυ-
8 κτίου ◦ ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ οῦ ἦσαν
9 συνηγμένοι ◦ καθήμενος δέ τις νεανίας ὀνόματι εὔτυχος ἐ-
πὶ τῆς θυρίδος καταφερόμενος ὕπνῳ βαθεῖ διαλεγομένου
τοῦ παύλου ἐπὶ πλεῖον κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου ἔπεσεν
10 ἀπὸ τοῦ τριστέγου κάτω καὶ ἤρθη νεκρός ◦ καταβὰς δὲ ὁ
παῦλος ἐπέπεσεν αὐτῷ καὶ συμπεριλαβὼν εἶπεν μὴ θορυ-
11 βεῖσθε ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν ◦ ἀναβὰς δὲ καὶ
κλάσας ἄῤτον καὶ γευσάμενος ἐφ᾽ ἱκανόν τε ὁμιλήσας ἄ-
12 χριȣ αὐγῆς οὕτως ἐξῆλθεν ◦ ἤγαγον δὲ τὸν παῖδα ζῶντα καὶ
13 παρεκλήθησαν οὐ μετρίως ◦ ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ
πλοῖον ἀνήχθημεν ἐῒς τὴν ἄσσον ἐκεῖθεν μέλλοντες ἀνα-
λαμβάνειν τὸν παῦλον οὕτως γὰρ ἦν˚ διατεταγμένος μέλ-
14 λων αὐτὸς πεζεύειν ◦ ὡς δὲ συνέβαλὲν ἡμῖν εἰς τὴν ἄσσον
15 ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς μιτυλήνην ◦ κἀκεῖθεν ἀπο-
πλεύσαντες τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντικῤὺ χίου τῇ δὲ
ἑτέρᾳ παρεβάλομεν εἰς σάμον καὶ˚ μείναντες ἐν τρωγυλλίῳ
16 τῇ ἐχομένῃ ἤλθομεν εἰς μίλητον ◦ ἔκρινεν γὰρ ὁ παῦλος
παραπλεῦσαι τὴν ἔφεσον ὅπως μὴ γένηται αὐτῷ χρονοτρι-
βῆσαι ἐν τῇ ἀσίᾳ ἔσπευδεν γὰρ εἰ δυνατὸν ἦν᾽ αὐτῷ τὴν ἡ-
17 μέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς ἱεροσόλυμα ◦ ἀπὸ δὲ
τῆς μιλήτου πέμψας εἰς ἔφεσον μετεκαλέσατο τοὺς πρε-
18 σβυτέρους τῆς ἐκκλησίας ◦ ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν
εἶπεν αὐτοῖς ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας ἀφ᾽ ἧς
ἐπέβην εἰς τὴν ἀσίαν πῶς μεθ᾽ ὑμῶν τὸν πάντα χρόνον ἐγε-

**v.6** TK: αχρις, MV: αχρι. **v.6** T*: ου, V: οπου. **v.7** TK: των μαθητων του, M: των μαθητων, V: ημων. **v.8** TK: ησαν, MV: ημεν. **v.9** T*: καθημενος, V: καθεζομενος. **v.11** T*: αρτον, V: τον αρτον. **v.11** T*: αχρις, V: αχρι. **v.13** TKV: προελθοντες, M: προσελθοντες. **v.13** T*: εις, V: επι. **v.13** T*: ην διατεταγμενος, V: διατεταγμενος ην. **v.14** T*: συνεβαλεν, V: συνεβαλλεν. **v.15** T*: αντικρυ, V: αντικρυς. **v.15** T*: και μειναντες εν τρωγυλλιω τη, V: τη δε. **v.16** T*: εκρινεν, V: κεκρικει. **v.16** T*: ην, V: ειη.

νόμην ◦ δουλεύων τῷ κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης 19
καὶ ⸀πολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμβάντων μοι
ἐν ταῖς ἐπιβουλαῖς τῶν ἰουδαίων ◦ ὡς οὐδὲν ὑπεστειλάμην 20
τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι ὑ-
μᾶς δημοσίᾳ καὶ κατ᾽ οἴκους ◦ διαμαρτυρόμενος ἰουδαίοις 21
τε καὶ ἕλλησιν τὴν εἰς ⸀τὸν θεὸν μετάνοιαν καὶ πίστιν ⸀τὴν εἰς
τὸν κύριον ἡμῶν ἰησοῦν χρι⸀στόν ◦ καὶ νῦν ἰδοὺ ἐγὼ˚ δεδε- 22
μένος τῷ πνεύματι πορεύομαι εἰς ἰερουσαλὴμ τὰ ἐν αὐτῇ
συναντήσοντά μοι μὴ εἰδώς ◦ πλὴν ὅτι τὸ πνεῦμα τὸ ἅγιον 23
κατὰ πόλιν διαμαρτύρεταί λέγον ὅτι δεσμά με˚ καὶ θλίψεις
μένουσιν ◦ ἀλλ᾽ οὐδενὸς λόγον˚ ποιοῦμαι οὐδὲ˚ ἔχω τὴν ψυ- 24
χήν μου τιμίαν ἐμαυτῷ ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ˚
χαρᾶς καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ κυρίου ἰη-
σοῦ διαμαρτύρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ θεοῦ ◦
καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα ὅτι οὐκ˚ ἔτι ὄψεσθε τὸ πρόσωπόν 25
μου ὑμεῖς πάντες ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν
τοῦ˚ θεοῦ ◦ διὸ˚ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ ὅτι 26
καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων ◦ οὐ γὰρ ὑπεστειλά- 27
μην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν˚ πᾶσαν τὴν βουλὴν τοῦ θεοῦ ◦
προσέχετε ὀῦν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς τὸ 28
πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλη-
σίαν τοῦ˚ θεοῦ ἣν περιεποιήσατο διὰ τοῦ˚ ἰδίου αἵματος ◦
ἐγὼ γὰρ˚ οἶδα τοῦτο ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου 29
λύκοι βαρεῖς εἰς ὑμᾶς μὴ φειδόμενοι τοῦ ποιμνίου ◦ καὶ ἐξ 30
ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα
τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν ◦ διὸ γρηγορεῖτε 31
μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυ-
σάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ◦ καὶ ταν῀ῦν 32

**v.19** T*: πολλων, V: ∅. **v.21** T*: τον, V: ∅. **v.21** T*: την, V: ∅. **v.21** TK: χριστον, MV: ∅. **v.22** T*: εγω δεδεμενος, V: δεδεμενος εγω. **v.23** T*: διαμαρτυρεται, V: διαμαρτυρεται μοι. **v.23** T*: με και θλιψεις, V: και θλιψεις με. **v.24** T*: λογον, V: λογου. **v.24** T*: ουδε εχω την ψυχην μου, V: την ψυχην. **v.24** T*: μετα χαρας, V: ∅. **v.25** T: ουκ ετι, KMV: ουκετι. **v.25** T*: του θεου, V: ∅. **v.26** T*: διο, V: διοτι. **v.26** T*: εγω, V: ειμι. **v.27** T*: υμιν πασαν την βουλην του θεου, V: πασαν την βουλην του θεου υμιν. **v.28** T*: ουν, V: ∅. **v.28** TKV: του θεου, M: του κυριου και θεου. **v.28** T*: του ιδιου αιματος, V: του αιματος του ιδιου. **v.29** T*: γαρ οιδα τουτο, V: οιδα.

παρατίθεμαι ὑμᾶς ἀδελφοὶ τῷ θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος
αὐτοῦ τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι ὑμῖν κλη-
33 ρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν ⸰ ἀργυρίου ἢ χρυσίου
34 ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα ⸰ αὐτοὶ δὲ˚ γινώσκετε ὅτι
ταῖς χρείαις μου καὶ τοῖς οὖσιν μετ᾽ ἐμοῦ ὑπηρέτησαν αἱ
35 χεῖρες αὗται ⸰ πάντα ὑπέδειξα ὑμῖν ὅτι οὕτως κοπιῶντας
δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων μνημονεύειν τε τῶν
λόγων τοῦ κυρίου ἰησοῦ ὅτι αὐτὸς εἶπεν μακάριόν ἐστιν
36 διδόναι˚ μᾶλλον ἢ λαμβάνειν ⸰ καὶ ταῦτα εἰπὼν θεὶς τὰ
37 γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς προσηύξατο ⸰ ἱκανὸς δὲ
ἐγένετο˚ κλαυθμὸς πάντων καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχη-
38 λον τοῦ παύλου κατεφίλουν αὐτόν ⸰ ὀδυνώμενοι μάλιστα
ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει ὅτι οὐκέτι μέλλουσιν τὸ πρόσωπον
αὐτοῦ θεωρεῖν προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον ⸰

**21** ῾Ως δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ᾽ αὐ-
τῶν εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν κῶ῾ τῇ δὲ ἑξῆς εἰς
2 τὴν ῥόδον κἀκεῖθεν εἰς πάταρα ⸰ καὶ εὑρόντες πλοῖον δι-
3 απερῶν εἰς φοινίκην ἐπιβάντες ἀνήχθημεν ⸰ ἀναφάνάντες
δὲ τὴν κύπρον καὶ καταλιπόντες αὐτὴν εὐώνυμον ἐπλέο-
μεν εἰς συρίαν καὶ κατήχθημεν εἰς τύρον ἐκεῖσε γὰρ ἦν˚ τὸ
4 πλοῖον ἀποφορτιζόμενον τὸν γόμον ⸰ καὶ˚ ἀνευρόντες τοὺς
μαθητὰς ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτὰ οἵτινες τῷ παύλῳ
ἔλεγον διὰ τοῦ πνεύματος μὴ ἀναβαίνειν˚ εἰς ἱερουσαλήμ ⸰
5 ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας ἐξελθόντες ἐπο-
ρευόμεθα προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶν καὶ
τέκνοις ἕως ἔξω τῆς πόλεως καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν
6 αἰγιαλὸν προσηυξάμεθα ⸰ καὶ˚ ἀσπασάμενοι ἀλλήλους ἐ-
πέβημεν εἰς τὸ πλοῖον ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια ⸰

---

**v.32** T: τανυν, KMV: τα νυν. **v.32** T*: αδελφοι, V: ∅. **v.32** T*: εποικοδομησαι, V: οικοδομησαι. **v.32** T*: υμιν, V: την. **v.34** TK: δε, MV: ∅. **v.35** TK: διδοναι μαλλον, MV: μαλλον διδοναι. **v.37** T*: εγενετο κλαυθμος, V: κλαυθμος εγενετο. **21. v.1** T*: κων, V: κω. **v.3** TKV: αναφαναντες, M: αναφανεντες. **v.3** T*: κατηχθημεν, V: κατηλθομεν. **v.3** T*: ην το πλοιον, V: το πλοιον ην. **v.4** T: και ανευροντες τους, MK: και ανευροντες, V: ανευροντες δε τους. **v.4** T*: αναβαινειν εις ιερουσαλημ, V: επιβαινειν εις ιεροσολυμα. **v.5** T*: προσηυξαμεθα, V: προσευξαμενοι. **v.6** T*: και ασπασαμενοι αλληλους επεβημεν, V: απησπασαμεθα αλληλους και ανεβημεν.

ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ τύρου κατηντήσαμεν 7
εἰς πτολεμαΐδα καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς ἐμείνα-
μεν ἡμέραν μίαν παρ᾽ αὐτοῖς· τῇ δὲ ἐπαύριον ἐξελθόντες 8
οἱ περὶ τὸν παῦλον ἦλθον εἰς καισάρειαν καὶ εἰσελθόντες
εἰς τὸν οἶκον φιλίππου τοῦ εὐαγγελιστοῦ τόῦ ὄντος ἐκ τῶν
ἑπτὰ ἐμείναμεν παρ᾽ αὐτῷ· τούτῳ δὲ ἦσαν θυγατέρες παρ- 9
θένοι τέσσαρες προφητεύουσαι· ἐπιμενόντων δὲ ἡμῶν ἡ- 10
μέρας πλείους κατῆλθέν τις ἀπὸ τῆς ἰουδαίας προφήτης
ὀνόματι ἄγαβος· καὶ ἐλθὼν πρὸς ἡμᾶς καὶ ἄρας τὴν ζώνην 11
τοῦ παύλου δήσας τε αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας
εἶπεν τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον τὸν ἄνδρα οὗ ἐστιν ἡ
ζώνη αὕτη οὕτως δήσουσιν ἐν ἱερουσαλὴμ οἱ ἰουδαῖοι καὶ
παραδώσουσιν εἰς χεῖρας ἐθνῶν· ὡς δὲ ἠκούσαμεν ταῦτα 12
παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι τοῦ μὴ ἀναβαίνειν
αὐτὸν εἰς ἱερουσαλήμ· ἀπεκρίθη δὲ ὁ παῦλος τί ποιεῖτε 13
κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν ἐγὼ γὰρ οὐ
μόνον δεθῆναι ἀλλὰ καὶ ἀποθανεῖν εἰς ἱερουσαλὴμ ἑτοίμως
ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἰησοῦ· μὴ πειθομέ- 14
νου δὲ αὐτοῦ ἡσυχάσαμεν εἰπόντες τὸ θέλημα τοῦ κυρίου
γενέσθω· μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀποσκευασάμενοι 15
ἀνεβαίνομεν εἰς ἱερουσάλήμ· συνῆλθον δὲ καὶ τῶν μαθη- 16
τῶν ἀπὸ καισαρείας σὺν ἡμῖν ἄγοντες παρ᾽ ᾧ ξενισθῶμεν
μνάσωνί τινι κυπρίῳ ἀρχαίῳ μαθητῇ· γενομένων δὲ ἡμῶν 17
εἰς ἱεροσόλυμα ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί· τῇ δὲ 18
ἐπιούσῃ εἰσῄει ὁ παῦλος σὺν ἡμῖν πρὸς ἰάκωβον πάντες
τε παρεγένοντο οἱ πρεσβύτεροι· καὶ ἀσπασάμενος αὐτοὺς 19
ἐξηγεῖτο καθ᾽ ἓν ἕκαστον ὧν ἐποίησεν ὁ θεὸς ἐν τοῖς ἔθνε-
σιν διὰ τῆς διακονίας αὐτοῦ· οἱ δὲ ἀκούσαντες ἐδόξαζον 20

**v.8** TM: οι περι τον παυλον ηλθον, K: οι περι τον παυλον ηλθομεν, V: ηλθομεν. **v.8** TK: του, MV: ∅. **v.9** T*: παρθενοι τεσσαρες, V: τεσσαρες παρθενοι. **v.10** T*: ημων, V: ∅. **v.11** T*: τε αυτου, V: εαυτου. **v.11** TK: τας χειρας και τους ποδας, MV: τους ποδας και τας χειρας. **v.13** TK: απεκριθη δε, M: απεκριθη τε, V: τοτε απεκριθη. **v.14** T*: το θελημα του κυριου γενεσθω, V: του κυριου το θελημα γινεσθω. **v.15** TK: αποσκευασαμενοι, MV: επισκευασαμενοι. **v.15** T*: ιερουσαλημ, V: ιεροσολυμα. **v.17** T*: εδεξαντο, V: απεδεξαντο.

τὸν κύριον˚ εἶπόν τε αὐτῷ θεωρεῖς ἀδελφὲ πόσαι μυριάδες εἰσὶν ἰουδαίωѵ τῶν πεπιστευκότων καὶ πάντες ζηλωταὶ
21 τοῦ νόμου ὑπάρχουσιν˙ κατηχήθησαν δὲ περὶ σοῦ ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ μωσέως τοὺς κατὰ τὰ ἔθνη πάντας ἰουδαίους λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα μηδὲ
22 τοῖς ἔθεσιν περιπατεῖν˙ τί οὖν ἐστιν πάντως δεῖ˚ πλῆθος
23 συνελθεῖν ἀκούσονται γὰρ ὅτι ἐλήλυθας˙ τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχον-
24 τες ἐφ᾽ ἑαυτῶν˙ τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς καὶ δαπάνησον ἐπ᾽ αὐτοῖς ἵνα ξυρήσῶνται τὴν κεφαλὴν καὶ γνῶσιѵ πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν ἀλλὰ
25 στοιχεῖς καὶ αὐτὸς τὸν˚ νόμον φυλάσσων˙ περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν κρίναντες μηδὲν˚ τοιοῦτον τηρεῖν αὐτοὺς εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τό τε
26 εἰδωλόθυτον καὶ τὸ αἷμα καὶ πνικτὸν καὶ πορνείαν˙ τότε ὁ παῦλος παραλαβὼν τοὺς ἄνδρας τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερὸν διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ ἕως οὗ προσηνέχθη ὑπὲρ
27 ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά˙ ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι οἱ ἀπὸ τῆς ἀσίας ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ συνέχεον πάντα τὸν ὄχλον καὶ ἐπέβαλον
28 τὰς˚ χεῖρας ἐπ᾽ αὐτόν˙ κράζοντες ἄνδρες ἰσραηλῖται βοηθεῖτε οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχῇ διδάσκων ἔτι τε καὶ ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ κεκοίνωκεν τὸν ἅ-
29 γιον τόπον τοῦτον˙ ἦσαν γὰρ προεωρακότες τρόφιμον τὸν ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν
30 εἰσήγαγεν ὁ παῦλος˙ ἐκινήθη τε ἡ πόλις ὅλη καὶ ἐγένετο

---

**v.20** TK: κυριον ειπον τε, M: κυριον ειποντες, V: θεον ειπον τε. **v.20** T*: ιουδαιων, V: εν τοις ιουδαιοις. **v.21** T*: μωσεως, V: μωυσεως. **v.22** T*: δει πληθος συνελθειν ακουσονται γαρ, V: ακουσονται. **v.24** T*: ξυρησωνται, V: ξυρησονται. **v.24** T*: γνωσιν, V: γνωσονται. **v.24** T*: τον νομον φυλασσων, V: φυλασσων τον νομον. **v.25** TK: μηδεν τοιουτον τηρειν αυτους ει μη, M: μηδεν τοιουτο τηρειν αυτους ει μη, V: ∅. **v.25** T*: το, V: ∅. **v.27** T*: τας χειρας επ αυτον, V: επ αυτον τας χειρας. **v.28** T*: πανταχου, V: πανταχη. **v.29** TKV: προεωρακοτες, M: εωρακοτες.

συνδρομὴ τοῦ λαοῦ καὶ ἐπιλαβόμενοι τοῦ παύλου εἷλκον
αὐτὸν ἔξω τοῦ ἱεροῦ καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι ·
ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι ἀνέβη φάσις τῷ χιλιάρχῳ 31
τῆς σπείρης ὅτι ὅλη συγκέχυται ἱερουσαλήμ · ὃς ἐξαυτῆς 32
παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους κατέδραμεν ἐπ᾽
αὐτοὺς οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας
ἐπαύσαντο τύπτοντες τὸν παῦλον · τότε ἐγγίσας ὁ χιλίαρ- 33
χος ἐπελάβετο αὐτοῦ καὶ ἐκέλευσεν δεθῆναι ἁλύσεσιν δυσ-
ὶν καὶ ἐπυνθάνετο τίς ἂν εἴη καὶ τί ἐστιν πεποιηκώς · ἄλλοι 34
δὲ ἄλλο τι ἐβόων ἐν τῷ ὄχλῳ μὴ δυνάμενος δὲ γνῶναι τὸ
ἀσφαλὲς διὰ τὸν θόρυβον ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν
παρεμβολήν · ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμοὺς συνέβη 35
βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ
ὄχλου · ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ κρᾶζον αἶρε 36
αὐτόν · μέλλων τε εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ παῦ- 37
λος λέγει τῷ χιλιάρχῳ εἰ ἔξεστίν μοι εἰπεῖν τι πρός σε ὁ
δὲ ἔφη ἑλληνιστὶ γινώσκεις · οὐκ ἄρα σὺ εἶ ὁ αἰγύπτιος 38
ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς
τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων · εἶ- 39
πεν δὲ ὁ παῦλος ἐγὼ ἄνθρωπος μέν εἰμι ἰουδαῖος ταρσεὺς
τῆς κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης δέομαι δέ σου
ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν · ἐπιτρέψαντος δὲ 40
αὐτοῦ ὁ παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισεν τῇ
χειρὶ τῷ λαῷ πολλῆς δὲ σιγῆς γενομένης προσεφώνησεν τῇ
ἑβραΐδι διαλέκτῳ λέγων ·

Ἄνδρες ἀδελφοὶ καὶ πατέρες ἀκούσατέ μου τῆς πρὸς **22**
ὑμᾶς νῦν ἀπολογίας · ἀκούσαντες δὲ ὅτι τῇ ἑβραΐδι δια- 2
λέκτῳ προσεφώνει αὐτοῖς μᾶλλον παρέσχον ἡσυχίαν καί
φησιν · ἐγὼ μέν εἰμι ἀνὴρ ἰουδαῖος γεγεννημένος ἐν ταρ- 3
σῷ τῆς κιλικίας ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ

**v.31** T*: δε, V: τε. **v.31** T*: συγκεχυται, V: συγχυννεται. **v.32** T*: εκατονταρχους, V: εκατονταρχας. **v.33** TKV: τοτε εγγισας, M: εγγισας δε. **v.33** T*: αν, V: ∅. **v.34** T*: εβοων, V: επεφωνουν. **v.34** T*: δυναμενος δε, V: δυναμενου δε αυτου. **v.36** T*: κραζον, V: κραζοντες. **v.37** TKV: τι, M: ∅. **22. v.1** TK: νυν, MV: νυνι. **v.3** T*: μεν, V: ∅.

τοὺς πόδας γαμαλιὴλ πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου ζηλωτὴς ὑπάρχων τοῦ θεοῦ καθὼς πάντες
4 ὑμεῖς ἐστε σήμερον· ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θα-
νάτου δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε
5 καὶ γυναῖκας· ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι καὶ πᾶν
τὸ πρεσβυτέριον παρ᾽ ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς
τοὺς ἀδελφοὺς εἰς δαμασκὸν ἐπορευόμην ἄξων καὶ τοὺς
ἐκεῖσε ὄντας δεδεμένους εἰς ἱερουσαλὴμ ἵνα τιμωρηθῶ-
6 σιν· ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ δαμασκῷ
περὶ μεσημβρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι
7 φῶς ἱκανὸν περὶ ἐμέ· ἔπεσόν τε εἰς τὸ ἔδαφος καὶ ἤκουσα
8 φωνῆς λεγούσης μοι σαοὺλ σαοὺλ τί με διώκεις· ἐγὼ δὲ
ἀπεκρίθην τίς εἶ κύριε εἶπέν τε πρός με ἐγώ εἰμι ἰησοῦς
9 ὁ ναζωραῖος ὃν σὺ διώκεις· οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν
φῶς ἐθεάσαντο καὶ˚ ἔμφοβοι ἐγένοντο τὴν δὲ φωνὴν οὐκ
10 ἤκουσαν τοῦ λαλοῦντός μοι· εἶπον δὲ τί ποιήσω κύριε ὁ
δὲ κύριος εἶπεν πρός με ἀναστὰς πορεύου εἰς δαμασκὸν
κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποι-
11 ῆσαι· ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐ-
κείνου χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι ἦλθον εἰς
12 δαμασκόν· ἀνανίας δέ τις ἀνὴρ εὐσεβὴς κατὰ τὸν νόμον
μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων˚ ἰουδαίων·
13 ἐλθὼν πρός με καὶ ἐπιστὰς εἶπέν μοι σαοὺλ ἀδελφὲ ἀνά-
14 βλεψον κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν· ὁ δὲ εἶπεν
ὁ θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέ-
λημα αὐτοῦ καὶ ἰδεῖν τὸν δίκαιον καὶ ἀκοῦσαι φωνὴν ἐκ
15 τοῦ στόματος αὐτοῦ· ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας
16 ἀνθρώπους ὧν ἑώρακας καὶ ἤκουσας· καὶ νῦν τί μέλλεις
ἀναστὰς βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου ἐπι-
17 καλεσάμενος τὸ ὄνομα τοῦ˚ κυρίου· ἐγένετο δέ μοι ὑπο-
στρέψαντι εἰς ἱερουσαλὴμ καὶ προσευχομένου μου ἐν τῷ

**v.7** TK: επεσον, MV: επεσα. **v.9** T*: και εμφοβοι εγενοντο, V: ∅. **v.12** TK: ευσεβης, MV: ευλαβης. **v.12** TKV: κατοικουντων, M: κατοικουντων εν δαμασκω. **v.16** T*: του κυριου, V: αυτου.

ἱερῷ γενέσθαι με ἐν ἐκστάσει ◦ καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι 18
σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ ἱερουσαλὴμ διότι οὐ παρα-
δέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ ◦ κἀγὼ εἶπον κύριε 19
αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ
τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ ◦ καὶ ὅτε ἐξεχέῖτο 20
τὸ αἷμα στεφάνου τοῦ μάρτυρός σου καὶ αὐτὸς ἤμην ἐφε-
στὼς καὶ συνευδοκῶν τῇ˚ ἀναιρέσει αὐτοῦ κἀὶ φυλάσσων
τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν ◦ καὶ εἶπεν πρός με πο- 21
ρεύου ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε ◦ ἤκουον 22
δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου καὶ ἐπῆραν τὴν φωνὴν
αὐτῶν λέγοντες αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον οὐ γὰρ κα-
θῆκὸν αὐτὸν ζῆν ◦ κραυγαζόντων˚ δὲ αὐτῶν καὶ ῥιπτούντων 23
τὰ ἱμάτια καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα ◦ ἐκέλευ- 24
σεν αὐτὸν˚ ὁ χιλίαρχος ἄγεσθαι εἰς τὴν παρεμβολὴν εἰπὼν
μάστιξιν ἀνετάζεσθαι αὐτὸν ἵνα ἐπιγνῷ δι᾽ ἣν αἰτίαν οὕτως
ἐπεφώνουν αὐτῷ ◦ ὡς δὲ προέτεινέν αὐτὸν τοῖς ἱμᾶσιν εἶ- 25
πεν πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ παῦλος εἰ ἄνθρωπον
ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν ◦ ἀκούσας 26
δὲ ὁ ἑκατόνταρχὸς προσελθὼν ἀπήγγειλεν˚ τῷ χιλιάρχῳ λέ-
γων ὅρα τί μέλλεις ποιεῖν ὁ γὰρ ἄνθρωπος οὗτος ῥωμαῖός
ἐστιν ◦ προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ λέγε μοι εἶ 27
σὺ ῥωμαῖος εἰ ὁ δὲ ἔφη ναί ◦ ἀπεκρίθη τε ὁ χιλίαρχος ἐγὼ 28
πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην ὁ δὲ
παῦλος ἔφη ἐγὼ δὲ καὶ γεγέννημαι ◦ εὐθέως οὖν ἀπέστη- 29
σαν ἀπ᾽ αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν καὶ ὁ χιλίαρχος
δὲ ἐφοβήθη ἐπιγνοὺς ὅτι ῥωμαῖός ἐστιν καὶ ὅτι ἦν˚ αὐτὸν
δεδεκώς ◦ τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλὲς 30
τὸ τί κατηγορεῖται παρὰ τῶν ἰουδαίων ἔλυσεν αὐτὸν ἀπὸ˚

**v.18** T*: την, V: ∅. **v.20** T*: εξεχειτο, V: εξεχυννετο. **v.20** T*: τη αναιρεσει αυτου, V: ∅. **v.20** TKV: και, M: ∅. **v.22** TK: καθηκον, MV: καθηκεν. **v.23** TK: κραυγαζοντων δε, M: κραζοντων δε, V: κραυγαζοντων τε. **v.24** T*: αυτον ο χιλιαρχος αγεσθαι, V: ο χιλιαρχος εισαγεσθαι αυτον. **v.24** T*: ειπων, V: ειπας. **v.25** TM: προετεινεν, KV: προετειναν. **v.26** T*: εκατονταρχος, V: εκατονταρχης. **v.26** T*: απηγγειλεν τω χιλιαρχω, V: τω χιλιαρχω απηγγειλεν. **v.26** T*: ορα, V: ∅. **v.27** T*: ει, V: ∅. **v.28** T*: τε, V: δε. **v.29** T*: ην αυτον, V: αυτον ην. **v.30** T*: παρα, V: υπο. **v.30** T*: απο των δεσμων, V: ∅.

τῶν δεσμῶν καὶ ἐκέλευσεν ἐλθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον˚ τὸ συνέδριον αὐτῶν καὶ καταγαγὼν τὸν παῦλον ἔστησεν εἰς αὐτούς ⋄

**23** Ἀτενίσας δὲ ὁ παῦλος τῷ συνεδρίῳ εἶπεν ἄνδρες ἀδελφοὶ ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ θεῷ ἄχρι
2 ταύτης τῆς ἡμέρας ⋄ ὁ δὲ ἀρχιερεὺς ἀνανίας ἐπέταξεν τοῖς
3 παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα ⋄ τότε ὁ παῦλος πρὸς αὐτὸν εἶπεν τύπτειν σε μέλλει ὁ θεὸς τοῖχε κεκονιαμένε καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον καὶ παρα-
4 νομῶν κελεύεις με τύπτεσθαι ⋄ οἱ δὲ παρεστῶτες εἶπόν τὸν
5 ἀρχιερέα τοῦ θεοῦ λοιδορεῖς ⋄ ἔφη τε ὁ παῦλος οὐκ ᾔδειν ἀδελφοὶ ὅτι ἐστὶν ἀρχιερεὺς γέγραπται γὰρ ἄρχοντα
6 τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς ⋄ γνοὺς δὲ ὁ παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶν σαδδουκαίων τὸ δὲ ἕτερον φαρισαίων ἔκραξεν ἐν τῷ συνεδρίῳ ἄνδρες ἀδελφοὶ ἐγὼ φαρισαῖός εἰμι υἱὸς φαρισαίου περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ
7 κρίνομαι ⋄ τοῦτο δὲ αὐτοῦ λαλήσαντος ἐγένετο στάσις τῶν φαρισαίων καὶ τῶν σαδδουκαίων καὶ ἐσχίσθη τὸ πλῆθος ⋄
8 σαδδουκαῖοι μὲν γὰρ λέγουσιν μὴ εἶναι ἀνάστασιν μήδὲ ἄγγελον μήτε πνεῦμα φαρισαῖοι δὲ ὁμολογοῦσιν τὰ ἀμφό-
9 τερα ⋄ ἐγένετο δὲ κραυγὴ μεγάλη καὶ ἀναστάντες οἱ˚ γραμματεῖς τοῦ μέρους τῶν φαρισαίων διεμάχοντο λέγοντες οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ εἰ δὲ πνεῦμα
10 ἐλάλησεν αὐτῷ ἢ ἄγγελος μὴ˚ θεομαχῶμεν ⋄ πολλῆς δὲ γενομένης˚ στάσεως εὐλαβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ παῦλος ὑπ᾽ αὐτῶν ἐκέλευσεν τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν ἄγειν τε εἰς τὴν παρεμβολήν ⋄
11 τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ κύριος εἶπεν θάρσει παῦλε ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς ἱερουσαλὴμ

---

**v.30** T*: ελθειν, V: συνελθειν. **v.30** T*: ολον το συνεδριον αυτων, V: παν το συνεδριον. **23. v.4** T*: ειπον, V: ειπαν. **v.5** T*: γαρ, V: γαρ οτι. **v.6** T*: εκραξεν, V: εκραζεν. **v.6** T*: φαρισαιου, V: φαρισαιων. **v.7** T*: λαλησαντος, V: ειποντος. **v.7** T*: των, V: ∅. **v.8** T*: μηδε, V: μητε. **v.9** T*: οι γραμματεις, V: τινες των γραμματεων. **v.9** T*: μη θεομαχωμεν, V: ∅. **v.10** T*: γενομενης στασεως ευλαβηθεις, V: γινομενης στασεως φοβηθεις. **v.10** TKV: καταβαν, M: καταβηναι και. **v.11** T*: παυλε, V: ∅.

οὕτως σε δεῖ καὶ εἰς ῥώμην μαρτυρῆσαι. γενομένης δὲ 12
ἡμέρας ποιήσαντές τινες˚ τῶν ἰουδαίων συστροφὴν ἀνεθε-
μάτισαν ἑαυτοὺς λέγοντες μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ
ἀποκτείνωσιν τὸν παῦλον. ἦσαν δὲ πλείους τεσσαράκοντα 13
οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες. οἵτινες προσελ- 14
θόντες τοῖς ἀρχιερεῦσιν καὶ τοῖς πρεσβυτέροις εἶπόν ἀναθέ-
ματι ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύσασθαι ἕως οὗ
ἀποκτείνωμεν τὸν παῦλον. νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ 15
χιλιάρχῳ σὺν τῷ συνεδρίῳ ὅπως αὔριον˚ αὐτὸν καταγάγῃ
πρὸς ὑμᾶς ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ πε-
ρὶ αὐτοῦ ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτὸν ἕτοιμοί ἐσμεν τοῦ
ἀνελεῖν αὐτόν. ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς παύλου τὸ˚ 16
ἔνεδρον παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολὴν
ἀπήγγειλεν τῷ παύλῳ. προσκαλεσάμενος δὲ ὁ παῦλος ἕνα 17
τῶν ἑκατοντάρχων ἔφη τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς
τὸν χιλίαρχον ἔχει γάρ τι˚ ἀπαγγεῖλαι αὐτῷ. ὁ μὲν οὖν 18
παραλαβὼν αὐτὸν ἤγαγεν πρὸς τὸν χιλίαρχον καί φησιν
ὁ δέσμιος παῦλος προσκαλεσάμενός με ἠρώτησεν τοῦτον
τὸν νεανίᾶν ἀγαγεῖν πρός σε ἔχοντά τι λαλῆσαί σοι. ἐπιλα- 19
βόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος καὶ ἀναχωρήσας
κατ᾽ ἰδίαν ἐπυνθάνετο τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι. εἶ- 20
πεν δὲ ὅτι οἱ ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως
αὔριον εἰς˚ τὸ συνέδριον καταγάγῃς τὸν παῦλον ὡς μέλ-
λοντές τι ἀκριβέστερον πυνθάνεσθαι περὶ αὐτοῦ. σὺ οὖν 21
μὴ πεισθῇς αὐτοῖς ἐνεδρεύουσιν γὰρ αὐτὸν ἐξ αὐτῶν ἄν-
δρες πλείους τεσσαράκοντα οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς
μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ ἀνέλωσιν αὐτὸν καὶ νῦν ἕτοι-
μοί˚ εἰσιν προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν. ὁ μὲν 22

**v.12** T*: τινες των ιουδαιων συστροφην, V: συστροφην οι ιουδαιοι. **v.13** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.13** T*: πεποιηκοτες, V: ποιησαμενοι. **v.14** T*: ειπον, V: ειπαν. **v.15** T*: αυριον αυτον καταγαγη προς, V: καταγαγη αυτον εις. **v.16** TM: το ενεδρον, KV: την ενεδραν. **v.17** T*: τι απαγγειλαι, V: απαγγειλαι τι. **v.18** T*: νεανιαν, V: νεανισκον. **v.20** T*: εις το συνεδριον καταγαγης τον παυλον, V: τον παυλον καταγαγης εις το συνεδριον. **v.20** TK: μελλοντες, M: μελλοντα, V: μελλον. **v.21** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.21** T*: ετοιμοι εισιν, V: εισιν ετοιμοι.

οὖν χιλίαρχος ἀπέλυσεν τὸν νεανίαν παραγγείλας μηδενὶ
23 ἐκλαλῆσαι ὅτι ταῦτα ἐνεφάνισας πρός με ◦ καὶ προσκα-
λεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων εἶπεν ἑτοιμάσατε
στρατιώτας διακοσίους ὅπως πορευθῶσιν ἕως καισαρείας
καὶ ἱππεῖς ἑβδομήκοντα καὶ δεξιολάβους διακοσίους ἀπὸ
24 τρίτης ὥρας τῆς νυκτός ◦ κτήνη τε παραστῆσαι ἵνα ἐπιβιβά-
σαντες τὸν παῦλον διασώσωσιν πρὸς φήλικα τὸν ἡγεμόνα ◦
25, 26 γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον τοῦτον ◦ κλαύ-
27 διος λυσίας τῷ κρατίστῳ ἡγεμόνι φήλικι χαίρειν ◦ τὸν ἄν-
δρα τοῦτον συλληφθέντα ὑπὸ τῶν ἰουδαίων καὶ μέλλοντα
ἀναιρεῖσθαι ὑπ᾽ αὐτῶν ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξει-
28 λόμην˚ αὐτὸν μαθὼν ὅτι ῥωμαῖός ἐστιν ◦ βουλόμενος δὲ˚
γνῶναι τὴν αἰτίαν δι᾽ ἣν ἐνεκάλουν αὐτῷ κατήγαγον αὐτὸν
29 εἰς τὸ συνέδριον αὐτῶν ◦ ὃν εὗρον ἐγκαλούμενον περὶ ζη-
τημάτων τοῦ νόμου αὐτῶν μηδὲν δὲ˚ ἄξιον θανάτου ἢ δε-
30 σμῶν ἔγκλημα˚ ἔχοντα ◦ μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς
τὸν ἄνδρα μέλλειν˚ ἔσεσθαι ὑπὸ τῶν ἰουδαίων ἐξαυτῆς ἔ-
πεμψα πρός σε παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ
31 πρὸς αὐτὸν ἐπὶ σοῦ ἔρρωσο ◦ οἱ μὲν οὖν στρατιῶται κατὰ
τὸ διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν παῦλον ἤγαγον
32 διὰ τῆς νυκτὸς εἰς τὴν ἀντιπατρίδα ◦ τῇ δὲ ἐπαύριον ἐά-
σαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ ὑπέστρεψαν εἰς
33 τὴν παρεμβολήν ◦ οἵτινες εἰσελθόντες εἰς τὴν καισάρειαν
καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι παρέστησαν καὶ
34 τὸν παῦλον αὐτῷ ◦ ἀναγνοὺς δὲ ὁ˚ ἡγεμὼν καὶ ἐπερωτήσας
ἐκ ποίας ἐπαρχίας ἐστὶν καὶ πυθόμενος ὅτι ἀπὸ κιλικίας ◦
35 διακούσομαί σου ἔφη ὅταν καὶ οἱ κατήγοροί σου παραγέ-
νωνται ἐκέλευσέν˚ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ ἡρώδου

---

**v.22** T*: νεανιαν, V: νεανισκον. **v.25** T*: περιεχουσαν, V: εχουσαν. **v.27** T*: συλληφθεντα, V: συλλημφθεντα. **v.27** T*: εξειλομην αυτον, V: εξειλαμην. **v.28** T*: δε γνωναι, V: τε επιγνωναι. **v.28** T*: αυτον, V: ∅. **v.29** TKV: δε, M: ∅. **v.29** T*: εγκλημα εχοντα, V: εχοντα εγκλημα. **v.30** T*: μελλειν εσεσθαι υπο των ιουδαιων, V: εσεσθαι. **v.30** T*: ερρωσο, V: ∅. **v.31** T*: της, V: ∅. **v.32** T*: πορευεσθαι, V: απερχεσθαι. **v.34** T*: ο ηγεμων, V: ∅. **v.34** T*: επαρχιας, V: επαρχειας. **v.35** TK: εκελευσεν τε αυτον εν τω πραιτωριω του ηρωδου φυλασσεσθαι, M: εκελευσεν τε αυτον εν τω πραιτωριω ηρωδου φυλασσεσθαι, V: κελευσας εν τω πραιτωριω του ηρωδου φυλασσεσθαι αυτον.

φυλάσσεσθαι ⸰

Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς ἀνανίας μετὰ **24**
τῶν˚ πρεσβυτέρων καὶ ῥήτορος τερτύλλου τινὸς οἵτινες ἐν- 1
εφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ παύλου ⸰ κληθέντος δὲ αὐ- 2
τοῦ ἤρξατο κατηγορεῖν ὁ τέρτυλλος λέγων πολλῆς εἰρήνης
τυγχάνοντες διὰ σοῦ καὶ καὐορθωμάτων γινομένων τῷ ἔθνει
τούτῳ διὰ τῆς σῆς προνοίας ⸰ πάντῃ τε καὶ πανταχοῦ ἀπο- 3
δεχόμεθα κράτιστε φῆλιξ μετὰ πάσης εὐχαριστίας ⸰ ἵνα δὲ 4
μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω παρακαλῶ ἀκοῦσαί σε ἡμῶν
συντόμως τῇ σῇ ἐπιεικείᾳ ⸰ εὑρόντες γὰρ τὸν ἄνδρα τοῦ- 5
τον λοιμὸν καὶ κινοῦντα στάσιν̓ πᾶσιν τοῖς ἰουδαίοις τοῖς
κατὰ τὴν οἰκουμένην πρωτοστάτην τε τῆς τῶν ναζωραίων
αἱρέσεως ⸰ ὃς καὶ τὸ ἱερὸν ἐπείρασεν βεβηλῶσαι ὃν καὶ 6
ἐκρατήσαμεν καὶ˚ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν
κρίνειν ⸰ παρελθὼν˚ δὲ λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς 7
βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν ⸰ κελεύσας˚ τοὺς κα- 8
τηγόρους αὐτοῦ ἔρχεσθαι ἐπὶ σὲ παρ᾽ οὗ δυνήσῃ αὐτὸς
ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατη-
γοροῦμεν αὐτοῦ ⸰ συνέθεντο δὲ καὶ οἱ ἰουδαῖοι φάσκοντες 9
ταῦτα οὕτως ἔχειν ⸰ ἀπεκρίθη δὲ˚ ὁ παῦλος νεύσαντος αὐ- 10
τῷ τοῦ ἡγεμόνος λέγειν ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν
τῷ ἔθνει τούτῳ ἐπιστάμενος εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ
ἀπολογοῦμαι ⸰ δυναμένου σου γνῶναι ὅτι οὐ πλείους εἰ- 11
σίν μοι ἡμέραι ἢ˚ δεκαδύο ἀφ᾽ ἧς ἀνέβην προσκυνήσων
ἐν̓ ἱερουσαλήμ ⸰ καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα 12
διαλεγόμενον ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου οὔτε ἐν ταῖς
συναγωγαῖς οὔτε κατὰ τὴν πόλιν ⸰ οὔτε παραστῆσαί μὲ δύ- 13
νανται περὶ˚ ὧν νῦν κατηγοροῦσίν μου ⸰ ὁμολογῶ δὲ τοῦτό 14

**24. v.1** T*: των πρεσβυτερων, V: πρεσβυτερων τινων. **v.2** T*: κατορθωματων, V: διορθωματων. **v.5** T*: στασιν, V: στασεις. **v.6** TK: και . . . κρινειν, MV: ∅. **v.7** TK: παρελθων . . . απηγαγεν, MV: ∅. **v.8** TK: κελευσας . . . επι σε, MV: ∅. **v.9** TK: συνεθεντο, MV: συνεπεθεντο. **v.10** T*: δε, V: τε. **v.10** T*: ευθυμοτερον, V: ευθυμως. **v.11** T*: γνωναι, V: επιγνωναι. **v.11** TK: η, MV: ∅. **v.11** T*: δεκαδυο, V: δωδεκα. **v.11** T*: εν, V: εις. **v.12** T*: επισυστασιν, V: επιστασιν. **v.13** T*: ουτε, V: ουδε. **v.13** TM: με, KV: ∅. **v.13** T*: περι ων νυν, V: σοι περι ων νυνι.

σοι ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν οὕτως λατρεύω
τῷ πατρῴῳ θεῷ πιστεύων πᾶσιν τοῖς κατὰ τὸν νόμον καὶ
15 τοῖς προφήταις γεγραμμένοις· ἐλπίδα ἔχων εἰς τὸν θεὸν
ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται ἀνάστασιν μέλλειν ἔσε-
16 σθαι νεκρῶν δικαίων τε καὶ ἀδίκων· ἐν τούτῳ δὲ αὐτὸς ἀ-
σκῶ ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν θεὸν καὶ τοὺς
17 ἀνθρώπους διαπαντός· δι' ἐτῶν δὲ πλειόνων παρεγενό-
μην ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφο-
18 ράς· ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ οὐ μετὰ ὄχλου
19 οὐδὲ μετὰ θορύβου τινὲς δὲ ἀπὸ τῆς ἀσίας Ἰουδαῖοί· οὓς
δεῖ ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν εἴ τι ἔχοιεν πρός μέ·
20 ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν εἴ τι εὗρον ἐν ἐμοὶ ἀδίκημα στάν-
21 τος μου ἐπὶ τοῦ συνεδρίου· ἢ περὶ μιᾶς ταύτης φωνῆς ἧς
ἔκραξα ἑστὼς ἐν αὐτοῖς ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ
22 κρίνομαι σήμερον ὑφ' ὑμῶν· ἀκούσας δὲ ταῦτα ὁ φῆ-
λιξ ἀνεβάλετο αὐτοὺς ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁ-
δοῦ εἰπὼν ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ διαγνώσομαι
23 τὰ καθ' ὑμᾶς· διαταξάμενος τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι
τὸν παῦλον ἔχειν τε ἄνεσιν καὶ μηδένα κωλύειν τῶν ἰδίων
24 αὐτοῦ ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐτῷ· μετὰ δὲ ἡμέρας
τινὰς παραγενόμενος ὁ φῆλιξ σὺν δρουσίλλῃ τῇ γυναικὶ
αὐτοῦ οὔσῃ Ἰουδαίᾳ μετεπέμψατο τὸν παῦλον καὶ ἤκουσεν
25 αὐτοῦ περὶ τῆς εἰς χριστὸν πίστεως· διαλεγομένου δὲ αὐ-
τοῦ περὶ δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ
μέλλοντος ἔσεσθαι ἔμφοβος γενόμενος ὁ φῆλιξ ἀπεκρίθη
τὸ νῦν ἔχον πορεύου καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί
26 σε· ἅμα δὲ καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ

**v.14** T*: τοις, V: τοις εν τοις. **v.15** T*: νεκρων, V: ∅. **v.16** T*: δε, V: και. **v.16** TKV: εχειν, M: εχων. **v.16** T: διαπαντος, KMV: δια παντος. **v.17** T*: παρεγενομην ελεημοσυνας ποιησων εις το εθνος μου, V: ελεημοσυνας ποιησων εις το εθνος μου παρεγενομην. **v.18** T*: οις, V: αις. **v.18** TV: δε, KM: ∅. **v.19** TM: δει, KV: εδει. **v.19** T*: με, V: εμε. **v.20** TK: ει τι ευρον εν εμοι, M: τι ευρον εν εμοι, V: τι ευρον. **v.21** T*: εκραξα εστως εν αυτοις, V: εκεκραξα εν αυτοις εστως. **v.21** T*: υφ, V: εφ. **v.22** T*: ακουσας δε ταυτα ο φηλιξ ανεβαλετο αυτους, V: ανεβαλετο δε αυτους ο φηλιξ. **v.22** T*: ειπων, V: ειπας. **v.23** T*: τε, V: ∅. **v.23** T*: τον παυλον, V: αυτον. **v.23** T*: η προσερχεσθαι, V: ∅. **v.24** TK: γυναικι αυτου, M: γυναικι, V: ιδια γυναικι. **v.24** T*: χριστον, V: χριστον ιησουν. **v.25** T*: εσεσθαι, V: ∅.

τοῦ παύλου ὅπως˚ λύσῃ αὐτὸν διὸ καὶ πυκνότερον αὐτὸν
μεταπεμπόμενος ὡμίλει αὐτῷ ◦ διετίας δὲ πληρωθείσης ἔ- 27
λαβεν διάδοχον ὁ φῆλιξ πόρκιον φῆστον θέλων τε χάριταξ
καταθέσθαι τοῖς ἰουδαίοις ὁ φῆλιξ κατέλιπεν τὸν παῦλον
δεδεμένον ◦

Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ μετὰ τρεῖς ἡμέρας ἀνέβη **25**
εἰς ἱεροσόλυμα ἀπὸ καισαρείας ◦ ἐνεφάνισαν δὲ˚ αὐτῷ ὁ˚ 2
ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν ἰουδαίων κατὰ τοῦ παύλου
καὶ παρεκάλουν αὐτόν ◦ αἰτούμενοι χάριν κατ᾽ αὐτοῦ ὅπως 3
μεταπέμψηται αὐτὸν εἰς ἱερουσαλὴμ ἐνέδραν ποιοῦντες ἀ-
νελεῖν αὐτὸν κατὰ τὴν ὁδόν ◦ ὁ μὲν οὖν φῆστος ἀπεκρίθη 4
τηρεῖσθαι τὸν παῦλον ἐν˚ καισαρείᾳ ἑαυτὸν δὲ μέλλειν ἐν
τάχει ἐκπορεύεσθαι ◦ οἱ οὖν δυνατοὶ˚ ἐν ὑμῖν φησὶν συγ- 5
καταβάντες εἴ τι ἐστὶν ἐν˚ τῷ ἀνδρὶ τούτῳ κατηγορείτωσαν
αὐτοῦ ◦ διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους˚ ἢ δέκα 6
καταβὰς εἰς καισάρειαν τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βή-
ματος ἐκέλευσεν τὸν παῦλον ἀχθῆναι ◦ παραγενομένου δὲ 7
αὐτοῦ περιέστησαν᾽ οἱ ἀπὸ ἱεροσολύμων καταβεβηκότες ἰ-
ουδαῖοι πολλὰ καὶ βαρέα αἰτιάματα φέροντες˚ κατὰ τοῦ
παῦλου ἃ οὐκ ἴσχυον ἀποδεῖξαι ◦ ἀπολογουμένου˚ αὐτοῦ 8
ὅτι οὔτε εἰς τὸν νόμον τῶν ἰουδαίων οὔτε εἰς τὸ ἱερὸν οὔτε
εἰς καίσαρά τι ἥμαρτον ◦ ὁ φῆστος δὲ τοῖς˚ ἰουδαίοις θέλων 9
χάριν καταθέσθαι ἀποκριθεὶς τῷ παύλῳ εἶπεν θέλεις εἰς ἱ-
εροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ᾽ ἐμοῦ ◦
εἶπεν δὲ ὁ παῦλος ἐπὶ τοῦ βήματος καίσαρος ἑστώς εἰμι οὗ 10
με δεῖ κρίνεσθαι ἰουδαίους οὐδὲν ἠδίκησα ὡς καὶ σὺ κάλ-
λιον ἐπιγινώσκεις ◦ εἰ μὲν γὰρ ἀδικῶ καὶ ἄξιον θανάτου 11

---

**v.26** TK: δε, MV: ∅. **v.26** T*: οπως λυση αυτον, V: ∅. **v.27** T*: χαριτας, V: χαριτα.
**25. v.1** T*: επαρχια, V: επαρχεια. **v.2** T*: δε, V: τε. **v.2** T*: ο αρχιερευς, V: οι αρχιερεις. **v.4** T*: εν καισαρεια, V: εις καισαρειαν. **v.5** T*: δυνατοι εν υμιν φησιν, V: εν υμιν φησιν δυνατοι. **v.5** TM: εν τω ανδρι τουτω, K: ατοπον εν τω ανδρι τουτω, V: εν τω ανδρι ατοπον. **v.6** T*: πλειους η δεκα, V: ου πλειους οκτω η δεκα. **v.7** T*: περιεστησαν, V: περιεστησαν αυτον. **v.7** TK: αιτιαματα, MV: αιτιωματα. **v.7** T*: φεροντες κατα του παυλου, V: καταφεροντες. **v.8** T*: απολογουμενου αυτου, V: του παυλου απολογουμενου. **v.9** T*: τοις ιουδαιοις θελων, V: θελων τοις ιουδαιοις. **v.9** T*: κρινεσθαι, V: κριθηναι. **v.11** T*: γαρ, V: ουν.

πέπραχά τι οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν εἰ δὲ οὐδέν ἐστιν
ὧν οὗτοι κατηγοροῦσίν μου οὐδείς με δύναται αὐτοῖς χαρί-
12 σασθαι καίσαρα ἐπικαλοῦμαι ⋄ τότε ὁ φῆστος συλλαλήσας
μετὰ τοῦ συμβουλίου ἀπεκρίθη καίσαρα ἐπικέκλησαι ἐπὶ
13 καίσαρα πορεύσῃ ⋄ ἡμερῶν δὲ διαγενομένων τινῶν ἀγρίπ-
πας ὁ βασιλεὺς καὶ βερνίκη κατήντησαν εἰς καισάρειαν
14 ἀσπαζόμενοι τὸν φῆστον ⋄ ὡς δὲ πλείους ἡμέρας διέτριβον
ἐκεῖ ὁ φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν παῦλον λέ-
γων ἀνήρ τις ἐστὶν καταλελειμμένος ὑπὸ φήλικος δέσμιος ⋄
15 περὶ οὗ γενομένου μου εἰς ἱεροσόλυμα ἐνεφάνισαν οἱ ἀρ-
χιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν ἰουδαίων αἰτούμενοι κατ᾽
16 αὐτοῦ δίκην ⋄ πρὸς οὓς ἀπεκρίθην ὅτι οὐκ ἔστιν ἔθος ῥω-
μαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς˚ ἀπώλειαν πρὶν ἢ ὁ
κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους
17 τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος ⋄ συνελ-
θόντων οὖν αὐτῶν ἐνθάδε ἀναβολὴν μηδεμίαν ποιησάμε-
νος τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος ἐκέλευσα ἀχθῆναι
18 τὸν ἄνδρα ⋄ περὶ οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰ-
19 τίαν ἐπέφερον˚ ὧν ὑπενόουν ἐγώ ⋄ ζητήματα δέ τινα περὶ
τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτὸν καὶ περί τινος
20 ἰησοῦ τεθνηκότος ὃν ἔφασκεν ὁ παῦλος ζῆν ⋄ ἀπορούμε-
νος δὲ ἐγὼ ἐἰς τὴν περὶ τούτου ζήτησιν ἔλεγον εἰ βούλοιτο
πορεύεσθαι εἰς ἱερουσαλὴμ κἀκεῖ κρίνεσθαι περὶ τούτων ⋄
21 τοῦ δὲ παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν
τοῦ σεβαστοῦ διάγνωσιν ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως οὗ
22 πέμψω αὐτὸν πρὸς καίσαρα ⋄ ἀγρίππας δὲ πρὸς τὸν φῆ-
στον ἔφη ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι ὁ˚
23 δὲ αὔριον φησὶν ἀκούσῃ αὐτοῦ ⋄ τῇ οὖν ἐπαύριον ἐλθόν-
τος τοῦ ἀγρίππα καὶ τῆς βερνίκης μετὰ πολλῆς φαντασίας
καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις

---

**v.13** TK: ασπασομενοι, MV: ασπασαμενοι. **v.14** TKV: διετριβον, M: διετριβεν. **v.15** T*: δικην, V: καταδικην. **v.16** T*: εις απωλειαν, V: ∅. **v.18** T*: επεφερον ων υπενοουν εγω, V: εφερον ων εγω υπενοουν πονηρων. **v.20** TK: εις, MV: ∅. **v.20** T*: τουτου, V: τουτων. **v.20** T*: ιερουσαλημ, V: ιεροσολυμα. **v.21** T*: πεμψω, V: αναπεμψω. **v.22** T*: εφη, V: ∅. **v.22** T*: ο δε, V: ∅. **v.23** T*: τοις, V: ∅.

καὶ ἀνδράσιν τοῖς κατ᾽ ἐξοχὴν οὖσιν τῆς πόλεως καὶ κελεύσαντος τοῦ φήστου ἤχθη ὁ παῦλος· καί φησιν ὁ φῆστος 24
ἀγρίππα βασιλεῦ καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες
θεωρεῖτε τοῦτον περὶ οὗ ἅπαν τὸ πλῆθος τῶν ἰουδαίων ἐν-
έτυχόν μοι ἔν τε ἱεροσολύμοις καὶ ἐνθάδε ἐπιβοῶντες μὴ
δεῖν ζῆν˚ αὐτὸν μηκέτι· ἐγὼ δὲ κατᾳλαβόμενος μηδὲν ἄ- 25
ξιον θανάτου˚ αὐτὸν πεπραχέναι καὶ αὐτοῦ δὲ τούτου ἐπι-
καλεσαμένου τὸν σεβαστὸν ἔκρινα πέμπειν αὐτόν· περὶ 26
οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω διὸ προήγαγον
αὐτὸν ἐφ᾽ ὑμῶν καὶ μάλιστα ἐπὶ σοῦ βασιλεῦ ἀγρίππα ὅ-
πως τῆς ἀνακρίσεως γενομένης σχῶ τι γράψαι· ἄλογον 27
γάρ μοι δοκεῖ πέμποντα δέσμιον μὴ καὶ τὰς κατ᾽ αὐτοῦ
αἰτίας σημᾶναι·

Ἀγρίππας δὲ πρὸς τὸν παῦλον ἔφη ἐπιτρέπεταί σοι ὑπὲρ **26**
σεαυτοῦ λέγειν τότε ὁ παῦλος ἀπελογεῖτο˚ ἐκτείνας τὴν χεῖ-
ρα· περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ ἰουδαίων βασιλεῦ ἀ- 2
γρίππα ἥγημαι ἐμαυτὸν μακάριον μέλλων˚ ἀπολογεῖσθαι
ἐπὶ σοῦ σήμερον· μάλιστα γνώστην ὄντα σὲ πάντων τῶν 3
κατὰ ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων διὸ δέομαί ὀου μα-
κροθύμως ἀκοῦσαί μου· τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ 4
νεότητος τὴν ἀπ᾽ ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἴσασιν
ἰεροσολύμοις πάντες οἱ ἰουδαῖοι· προγινώσκοντές με 5
ἄνωθεν ἐὰν θέλωσιν μαρτυρεῖν ὅτι κατὰ τὴν ἀκριβεστάτην
αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα φαρισαῖος· καὶ νῦν 6
ἐπ᾽ ἐλπίδι τῆς πρὸς˚ τοὺς πατέρας ἐπαγγελίας γενομένης
ὑπὸ τοῦ θεοῦ ἕστηκα κρινόμενος· εἰς ἣν τὸ δωδεκάφυλον 7
ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει κα-

**v.23** T*: ουσιν, V: ∅. **v.24** T*: παν, V: απαν. **v.24** T*: επιβοωντες, V: βοωντες. **v.24** T*: ζην αυτον, V: αυτον ζην. **v.25** T*: καταλαβομενος, V: κατελαβομην. **v.25** T*: θανατου αυτον πεπραχεναι και, V: αυτον θανατου πεπραχεναι. **v.25** T*: αυτον, V: ∅. **v.26** T*: γραψαι, V: γραψω. **26. v.1** T*: υπερ, V: περι. **v.1** T*: απελογειτο εκτεινας την χειρα, V: εκτεινας την χειρα απελογειτο. **v.2** TK: μελλων απολογεισθαι επι σου σημερον, M: επι σου μελλων απολογεισθαι σημερον, V: επι σου μελλων σημερον απολογεισθαι. **v.3** TMV: σε, K: σε ειδως. **v.3** TKV: εθων, M: ηθων. **v.3** T*: σου, V: ∅. **v.4** T*: εν, V: εν τε. **v.6** T*: προς τους πατερας, V: εις τους πατερας ημων.

ταντῆσαι περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι βασιλεῦ˚ ἀγρίππα
8 ὑπὸ τῶν ἰουδαίων· τί ἄπιστον κρίνεται παρ᾽ ὑμῖν εἰ ὁ θε-
9 ὸς νεκροὺς ἐγείρει· ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ
ὄνομα ἰησοῦ τοῦ ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι·
10 ὃ καὶ ἐποίησα ἐν ἱεροσολύμοις καὶ πολλοὺς τῶν ἁγίων ἐ-
γὼ φυλακαῖς κατέκλεισα τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν
11 λαβὼν ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον· καὶ κα-
τὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς ἠνάγ-
καζον βλασφημεῖν περισσῶς τε ἐμμαινόμενος αὐτοῖς ἐδίω-
12 κον ἕως καὶ εἰς τὰς ἔξω πόλεις· ἐν οἷς κἀὶ πορευόμενος εἰς
τὴν δαμασκὸν μετ᾽ ἐξουσίας καὶ ἐπιτροπῆς τῆς πάρὰ τῶν
13 ἀρχιερέων· ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον βασιλεῦ
οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν
14 με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους· πάντων δὲ˚ κα-
ταπεσόντων ἡμῶν εἰς τὴν γῆν ἤκουσα φωνὴν λαλοῦσαν˚
πρός με καὶ λέγουσαν τῇ ἑβραΐδι διαλέκτῳ σαοὐλ σαοὐλ
15 τί με διώκεις σκληρόν σοι πρὸς κέντρα λακτίζειν· ἐγὼ δὲ
εἶπὸν τίς εἶ κύριε ὁ δὲ ἔἶπεν ἐγώ εἰμι ἰησοῦς ὃν σὺ διώκεις·
16 ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου εἰς τοῦτο γὰρ
ὤφθην σοι προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε
17 εἶδεῖ ὧν τε ὀφθήσομαί σοι· ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ
18 καὶ τῶν ἐθνῶν εἰς οὓς νῦν˚ σε ἀποστέλλω· ἀνοῖξαι ὀφθαλ-
μοὺς αὐτῶν τοῦ˚ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς καὶ τῆς
ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν θεὸν τοῦ λαβεῖν αὐτοὺς ἄ-
φεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ
19 εἰς ἐμέ· ὅθεν βασιλεῦ ἀγρίππα οὐκ ἐγενόμην ἀπειθὴς τῇ
20 οὐρανίῳ ὀπτασίᾳ· ἀλλὰ τοῖς ἐν δαμασκῷ πρῶτον κἀὶ ἰε-
ροσολύμοις εἶς πᾶσάν τε τὴν χώραν τῆς ἰουδαίας καὶ τοῖς

---

**v.7** TK: βασιλευ αγριππα υπο των ιουδαιων, M: βασιλευ αγριππα υπο ιουδαιων, V: υπο ιουδαιων βασιλευ. **v.10** T*: των, V: τε των. **v.10** T*: φυλακαις, V: εν φυλακαις. **v.12** T*: και, V: ∅. **v.12** T*: παρα, V: ∅. **v.14** T*: δε, V: τε. **v.14** T*: λαλουσαν προς με και λεγουσαν, V: λεγουσαν προς με. **v.15** T*: ειπον, V: ειπα. **v.15** T*: ειπεν, V: κυριος ειπεν. **v.16** T*: ειδες, V: ειδες [με]. **v.17** T*: των, V: εκ των. **v.17** TK: νυν σε αποστελλω, M: εγω σε αποστελλω, V: εγω αποστελλω σε. **v.18** TV: του επιστρεψαι, K: και επιστρεψαι, M: του υποστρεψαι. **v.20** T*: και, V: τε και. **v.20** T*: εις, V: ∅.

ἔθνεσιν ἀπάγγελλων μετανοεῖν καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεὸν ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. ἕνεκα τούτων με 21
οἱ ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ ἐπειρῶντο διαχειρίσασθαι. ἐπικουρίας οὖν τυχὼν τῆς πάρὰ τοῦ θεοῦ ἄχρι 22
τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν
μελλόντων γίνεσθαι καὶ μωσῆς· εἰ παθητὸς ὁ χριστὸς εἰ 23
πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν
τῷ λαῷ καὶ τοῖς ἔθνεσιν. ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου 24
ὁ φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη μαίνῃ παῦλε τὰ πολλά σε
γράμματα εἰς μανίαν περιτρέπει. ὁ δὲ οὐ μαίνομαι φησὶν 25
κράτιστε φῆστε ἀλλ᾽ ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι. ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεὺς πρὸς 26
ὃν καὶ παρρησιαζόμενος λαλῶ λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδὲν οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον
τοῦτο. πιστεύεις βασιλεῦ ἀγρίππα τοῖς προφήταις οἶδα ὅτι 27
πιστεύεις. ὁ δὲ ἀγρίππας πρὸς τὸν παῦλον ἔφη ἐν ὀλίγῳ 28
με πείθεις χριστιανὸν γενέσθαι. ὁ δὲ παῦλος εἶπεν εὐ- 29
ξαίμην ἂν τῷ θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σε
ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι
τοιούτους ὁποῖος κἀγώ εἰμι παρεκτὸς τῶν δεσμῶν τούτων.
καὶ ταῦτα εἰπόντος αὐτοῦ ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν 30
ἥ τε βερνίκη καὶ οἱ συγκαθήμενοι αὐτοῖς. καὶ ἀναχωρή- 31
σαντες ἐλάλουν πρὸς ἀλλήλους λέγοντες ὅτι οὐδὲν θανάτου
ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος. ἀγρίππας δὲ 32
τῷ φήστῳ ἔφη ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος εἰ
μὴ ἐπεκέκλητο καίσαρα.

**27** Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν ἰταλίαν παρεδί-

**v.20** TM: απαγγελλων, KV: απηγγελλον. **v.21** T*: οι, V: ∅. **v.21** T*: εν, V: [οντα] εν. **v.22** T*: παρα, V: απο. **v.22** TK: μαρτυρουμενος, MV: μαρτυρομενος. **v.22** T*: μωσης, V: μωυσης. **v.23** T*: τω, V: τω τε. **v.24** T*: εφη, V: φησιν. **v.25** T*: δε, V: δε παυλος. **v.25** TK: αλλ, MV: αλλα. **v.26** T*: ουδεν, V: ουθεν. **v.26** TKV: εστιν, M: ∅. **v.28** T*: εφη, V: ∅. **v.28** T*: γενεσθαι, V: ποιησαι. **v.29** T*: ειπεν, V: ∅. **v.29** T*: πολλω, V: μεγαλω. **v.29** T*: καγω, V: και εγω. **v.30** T*: και ταυτα ειποντος αυτου ανεστη, V: ανεστη τε. **v.31** T*: αξιον η δεσμων, V: η δεσμων αξιον [τι].

δουν τόν τε παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρ-
2 χῃ ὀνόματι ἰουλίῳ σπείρης σεβαστῆς ◦ ἐπιβάντες δὲ πλοίῳ
ἀδραμυττηνῷ μέλλοντὲς πλεῖν ἑοὺς κατὰ τὴν ἀσίαν τόπους
ἀνήχθημεν ὄντος σὺν ἡμῖν ἀριστάρχου μακεδόνος θεσσα-
3 λονικέως ◦ τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς σιδῶνα φιλανθρώ-
πως τε ὁ ἰούλιος τῷ παύλῳ χρησάμενος ἐπέτρεψεν πρὸς
4 φίλους πορευθέντἀ ἐπιμελείας τυχεῖν ◦ κἀκεῖθεν ἀναχθέν-
τες ὑπεπλεύσαμεν τὴν κύπρον διὰ τὸ τοὺς ἀνέμους εἶναι
5 ἐναντίους ◦ τό τε πέλαγος τὸ κατὰ τὴν κιλικίαν καὶ παμφυ-
6 λίαν διαπλεύσαντες κατήλθομεν εἰς μύρα τῆς λυκίας ◦ κἀ-
κεῖ εὑρὼν ὁ ἑκατόνταρχὸς πλοῖον ἀλεξανδρῖνον πλέον εἰς
7 τὴν ἰταλίαν ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό ◦ ἐν ἱκαναῖς δὲ ἡμέ-
ραις βραδυπλοοῦντες καὶ μόλις γενόμενοι κατὰ τὴν κνίδον
μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου ὑπεπλεύσαμεν τὴν κρή-
8 την κατὰ σαλμώνην ◦ μόλις τε παραλεγόμενοι αὐτὴν ἤλθο-
μεν εἰς τόπον τινὰ καλούμενον καλοὺς λιμένας ᾧ ἐγγὺς ἦν˚
9 πόλις λασαία ◦ ἱκανοῦ δὲ χρόνου διαγενομένου καὶ ὄντος
ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη
10 παρεληλυθέναι παρῄνει ὁ παῦλος ◦ λέγων αὐτοῖς ἄνδρες
θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας οὐ μόνον τοῦ
φόρτὸυ καὶ τοῦ πλοίου ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν
11 ἔσεσθαι τὸν πλοῦν ◦ ὁ δὲ ἑκατόνταρχὸς τῷ κυβερνήτῃ καὶ
τῷ ναυκλήρῳ ἐπείθετο˚ μᾶλλον ἢ τοῖς ὑπὸ τοῦ παύλου λε-
12 γομένοις ◦ ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς πα-
ραχειμασίαν οἱ πλείοὺς ἔθεντο βουλὴν ἀναχθῆναι κἀκεῖ-
θεν˚ εἴπως δύναιντο καταντήσαντες εἰς φοίνικα παραχειμά-
σαι λιμένα τῆς κρήτης βλέποντα κατὰ λίβα καὶ κατὰ χῶ-
13 ρον ◦ ὑποπνεύσαντος δὲ νότου δόξαντες τῆς προθέσεως κε-
14 κρατηκέναι ἄραντες ἄσσον παρελέγοντο τὴν κρήτην ◦ μετ᾽

**27. v.2** T*: μελλοντες, V: μελλοντι. **v.2** T*: τους, V: εις τους. **v.3** T: φιλους, KMV: τους φιλους. **v.3** T*: πορευθεντα, V: πορευθεντι. **v.6** T*: εκατονταρχος, V: εκατονταρχης. **v.8** T*: ην πολις, V: πολις ην. **v.10** TK: φορτου, MV: φορτιου. **v.11** TK: εκατονταρχος, MV: εκατονταρχης. **v.11** T*: επειθετο μαλλον η τοις υπο του παυλου, V: μαλλον επειθετο η τοις υπο παυλου. **v.12** T*: πλειους, V: πλειονες. **v.12** TK: κακειθεν ειπως, MV: εκειθεν ει πως.

οὐ πολὺ δὲ ἔβαλεν κατ᾽ αὐτῆς ἄνεμος τυφωνικὸς ὁ καλού-
μενος εὐρόκλύδων ⸰ συναρπασθέντος δὲ τοῦ πλοίου καὶ 15
μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ ἐπιδόντες ἐφερό-
μεθα ⸰ νησίον δέ τι ὑποδραμόντες καλούμενον κλαύδην˚ 16
μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης ⸰ ἣν ἄ- 17
ραντες βοηθείαις ἐχρῶντο ὑποζωννύντες τὸ πλοῖον φοβού-
μενοί τε μὴ εἰς τὴν σύρτιν ἐκπέσωσιν χαλάσαντες τὸ σκεῦος
οὕτως ἐφέροντο ⸰ σφοδρῶς δὲ χειμαζομένων ἡμῶν τῇ ἑξῆς 18
ἐκβολὴν ἐποιοῦντο ⸰ καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν 19
τοῦ πλοίου ἐρρίψαμεν ⸰ μήτε δὲ ἡλίου μήτε ἄστρων ἐπι- 20
φαινόντων ἐπὶ πλείονας ἡμέρας χειμῶνός τε οὐκ ὀλίγου
ἐπικειμένου λοιπὸν περιῃρεῖτο πᾶσα˚ ἐλπὶς τοῦ σώζεσθαι
ἡμᾶς ⸰ πολλῆς δὲ˚ ἀσιτίας ὑπαρχούσης τότε σταθεὶς ὁ παῦ- 21
λος ἐν μέσῳ αὐτῶν εἶπεν ἔδει μέν ὦ ἄνδρες πειθαρχήσαντάς
μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς κρήτης κερδῆσαί τε τὴν ὕβριν
ταύτην καὶ τὴν ζημίαν ⸰ καὶ ταὐῦν παραινῶ ὑμᾶς εὐθυ- 22
μεῖν ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν πλὴν τοῦ
πλοίου ⸰ παρέστη γάρ μοι τῇ˚ νυκτὶ ταύτῃ ἄγγελος τοῦ θε- 23
οῦ οὗ εἰμι ᾧ καὶ λατρεύω ⸰ λέγων μὴ φοβοῦ παῦλε καίσαρί 24
σε δεῖ παραστῆναι καὶ ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς πάντας
τοὺς πλέοντας μετὰ σοῦ ⸰ διὸ εὐθυμεῖτε ἄνδρες πιστεύω 25
γὰρ τῷ θεῷ ὅτι οὕτως ἔσται καθ᾽ ὃν τρόπον λελάληταί μοι ⸰
εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν ⸰ ὡς δὲ τεσσαρεσκαι- 26, 27
δεκάτη νὺξ ἐγένετο διαφερομένων ἡμῶν ἐν τῷ ἀδρίᾳ κα-
τὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ
αὐτοῖς χώραν ⸰ καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι βρα- 28
χὺ δὲ διαστήσαντες καὶ πάλιν βολίσαντες εὗρον ὀργυιὰς
δεκαπέντε ⸰ φοβούμενοί τε μήπως˚ εἰς τραχεῖς τόπους ἐκ- 29
πέσωσιν ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας ηὔχοντο

---

**v.14** T*: ευροκλυδων, V: ευρακυλων. **v.16** T*: κλαυδην μολις ισχυσαμεν, V: καυδα ισχυσαμεν μολις. **v.17** TKV: συρτιν, M: συρτην. **v.19** T*: ερριψαμεν, V: ερριψαν. **v.20** T*: πασα ελπις, V: ελπις πασα. **v.21** T*: δε, V: τε. **v.22** T: τανυν, KMV: τα νυν. **v.23** TK: τη νυκτι ταυτη αγγελος του θεου ου ειμι ω και λατρευω, M: ταυτη τη νυκτι αγγελος του θεου ου ειμι ω και λατρευω, V: ταυτη τη νυκτι του θεου ου ειμι [εγω] ω και λατρευω αγγελος. **v.29** T*: μηπως εις, V: μη που κατα. **v.29** T: εκπεσωσιν, KMV: εκπεσωμεν.

30 ἡμέραν γενέσθαι· τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ
πλοίου καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν προ-
31 φάσει ὡς ἐκ πρώρας˚ μελλόντων ἀγκύρας ἐκτείνειν· εἶπεν
ὁ παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις ἐὰν μὴ οὗ-
32 τοι μείνωσιν ἐν τῷ πλοίῳ ὑμεῖς σωθῆναι οὐ δύνασθε· τότε
οἱ˚ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης καὶ εἴα-
33 σαν αὐτὴν ἐκπεσεῖν· ἄχρι δὲ οὗ ἔμελλεν˚ ἡμέρα γίνεσθαι
παρεκάλει ὁ παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς λέγων
τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσι-
34 τοι διατελεῖτε μηδὲν προσλαβόμενοι· διὸ παρακαλῶ ὑμᾶς
πρὸσλαβεῖν τροφῆς τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας
ὑπάρχει οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ˚ τῆς κεφαλῆς πεσεῖ-
35 ται· εἰπὼν δὲ ταῦτα καὶ λαβὼν ἄρτον εὐχαρίστησεν τῷ θεῷ
36 ἐνώπιον πάντων καὶ κλάσας ἤρξατο ἐσθίειν· εὔθυμοι δὲ
37 γενόμενοι πάντες καὶ αὐτοὶ προσελάβοντο τροφῆς· ἦμεν˚
δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομηκοντάέξ·
38 κορεσθέντες δὲ τροφῆς ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι
39 τὸν σῖτον εἰς τὴν θάλασσαν· ὅτε δὲ ἡμέρα ἐγένετο τὴν γῆν
οὐκ ἐπεγίνωσκον κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγι-
αλὸν εἰς ὃν ἐβουλεύσαντο εἰ δύναιντο ἐξῶσαι τὸ πλοῖον·
40 καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν ἅμα
ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων καὶ ἐπάραντες τὸν
41 ἀρτέμονα τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν· περιπε-
σόντες δὲ εἰς τόπον διθάλασσον ἐπώκειλαν τὴν ναῦν καὶ ἡ
μὲν πρώρα ἐρείσασα ἔμεινεν ἀσάλευτος ἡ δὲ πρύμνα ἐλύ-
42 ετο ὑπὸ τῆς βίας τῶν κυμάτων· τῶν δὲ στρατιωτῶν βουλὴ
ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν μήτις˚ ἐκκολυμ-

---

**v.30** T*: πρωρας μελλοντων αγκυρας, V: πρωρης αγκυρας μελλοντων. **v.32** T*: οι στρατιωται απεκοψαν, V: απεκοψαν οι στρατιωται. **v.33** TK: εμελλεν ημερα, M: ημελλεν ημερα, V: ημερα ημελλεν. **v.33** T*: μηδεν, V: μηθεν. **v.34** T*: προσλαβειν, V: μεταλαβειν. **v.34** T*: εκ της κεφαλης πεσειται, V: απο της κεφαλης απολειται. **v.35** T*: ειπων, V: ειπας. **v.37** T*: ημεν δε εν τω πλοιω αι πασαι ψυχαι, V: ημεθα δε αι πασαι ψυχαι εν τω πλοιω. **v.37** TK: εβδομηκονταεξ, MV: εβδομηκοντα εξ. **v.38** TKV: τροφης, M: της τροφης. **v.39** T*: εβουλευσαντο, V: εβουλευοντο. **v.39** TKV: δυναιντο, M: δυνατον. **v.40** T*: αρτεμονα, V: αρτεμωνα. **v.41** T*: επωκειλαν, V: επεκειλαν. **v.42** TK: μητις εκκολυμβησας διαφυγοι, MV: μη τις εκκολυμβησας διαφυγη.

βήσας διαφύγοι ⸰ ὁ δὲ ἑκατόνταρχὸς βουλόμενος διασῶσαι 43
τὸν παῦλον ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος ἐκέλευσέν
τε τοὺς δυναμένους κολυμβᾶν ἀποῤῥίψαντας πρώτους ἐπὶ
τὴν γῆν ἐξιέναι ⸰ καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σανίσιν οὓς 44
δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου καὶ οὕτως ἐγένετο πάντας
διασωθῆναι ἐπὶ τὴν γῆν ⸰

Καὶ διασωθέντες τότε ἐπέγνωσαν ὅτι μελίτη ἡ νῆσος κα- **28**
λεῖται ⸰ οἱ δὲ˚ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλαν- 2
θρωπίαν ἡμῖν ἀνάψαντες γὰρ πυρὰν προσελάβοντο πάντας
ἡμᾶς διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα καὶ διὰ τὸ ψῦχος ⸰ συ- 3
στρέψαντος δὲ τοῦ παύλου φρυγάνων πλῆθος καὶ ἐπιθέν-
τος ἐπὶ τὴν πυρὰν ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα καθῆ-
ψεν τῆς χειρὸς αὐτοῦ ⸰ ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμε- 4
νον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ ἔλεγον˚ πρὸς ἀλλήλους
πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος ὃν διασωθέντα ἐκ
τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασεν ⸰ ὁ μὲν οὖν ἀποτινά- 5
ξας τὸ θηρίον εἰς τὸ πῦρ ἔπαθεν οὐδὲν κακόν ⸰ οἱ δὲ προσε- 6
δόκων αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν ἄφνω νε-
κρὸν ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων
μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον μεταβαλλόμενοι ἔλεγον
θεὸν˚ αὐτὸν εἶναι ⸰ ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρ- 7
χεν χωρία τῷ πρώτῳ τῆς νήσου ὀνόματι ποπλίῳ ὃς ἀναδεξά-
μενος ἡμᾶς τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν ⸰ ἐγένετο δὲ 8
τὸν πατέρα τοῦ ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχό-
μενον κατακεῖσθαι πρὸς ὃν ὁ παῦλος εἰσελθὼν καὶ προσ-
ευξάμενος ἐπιθεὶς τὰς χεῖρας αὐτῷ ἰάσατο αὐτόν ⸰ τούτου 9
οὖν γενομένου καὶ οἱ λοιποὶ οἱ ἔχοντες˚ ἀσθενείας ἐν τῇ
νήσῳ προσήρχοντο καὶ ἐθεραπεύοντο ⸰ οἳ καὶ πολλαῖς τι- 10

**v.43** T*: εκατονταρχος, V: εκατονταρχης. **v.43** T*: απορριψαντας, V: απορψαντας. **28. v.1** T*: επεγνωσαν, V: επεγνωμεν. **v.2** T*: δε, V: τε. **v.2** T*: αναψαντες, V: αψαντες. **v.3** T*: πληθος, V: τι πληθος. **v.3** T*: εκ, V: απο. **v.3** TKV: εξελθουσα, M: διεξελθουσα. **v.4** T*: ελεγον προς αλληλους, V: προς αλληλους ελεγον. **v.6** T*: μεταβαλλομενοι, V: μεταβαλομενοι. **v.6** T*: θεον αυτον ειναι, V: αυτον ειναι θεον. **v.8** T*: δυσεντεια, V: δυσεντειω. **v.9** T*: ουν, V: δε. **v.9** T*: εχοντες ασθενειας εν τη νησω, V: εν τη νησω εχοντες ασθενειας.

μαῖς ἐτίμησαν ἡμᾶς καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν˚
11 χρείαν· μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρα-
κεχειμακότι ἐν τῇ νήσῳ ἀλεξανδρίνῳ παρασήμῳ διοσκού-
12 ροις· καὶ καταχθέντες εἰς συρακούσας ἐπεμείναμεν ἡμέ-
13 ρας τρεῖς· ὅθεν περιελθόντες κατηντήσαμεν εἰς ῥήγιον καὶ
μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου δευτεραῖοι ἤλθομεν
14 εἰς ποτιόλους· οὗ εὑρόντες ἀδελφοὺς παρεκλήθημεν ἐπ˚
αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτὰ καὶ οὕτως εἰς τὴν ῥώμην
15 ἤλθομεν· κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν
ἐξῆλθόν εἰς ἀπάντησιν ἡμῖν ἄχριȣ̣ ἀππίου φόρου καὶ τριῶν
ταβερνῶν οὓς ἰδὼν ὁ παῦλος εὐχαριστήσας τῷ θεῷ ἔλα-
16 βεν θάρσος· ὅτε δὲ ἤλθομεν εἰς ῥώμην ὁ˚ ἑκατόνταρχος
παρέδωκεν τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ τῷ˚ δὲ παύ-
λῳ ἐπετράπη μένειν καθ˚ ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν
17 στρατιώτῃ· ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσασθαι
τὸν˚ παῦλον τοὺς ὄντας τῶν ἰουδαίων πρώτους συνελθόν-
των δὲ αὐτῶν ἔλεγεν πρὸς αὐτοὺς ἄνδρες˚ ἀδελφοὶ ἐγὼ οὐ-
δὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσιν τοῖς πατρῴοις
δέσμιος ἐξ ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν ῥω-
18 μαίων· οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι διὰ
19 τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί· ἀντιλεγόν-
των δὲ τῶν ἰουδαίων ἠναγκάσθην ἐπικαλέσασθαι καίσαρα
20 οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι· διὰ ταύτην
οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι
ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ ἰσραὴλ τὴν ἅλυσιν ταύτην πε-
21 ρίκειμαι· οἱ δὲ πρὸς αὐτὸν εἶπον ἡμεῖς οὔτε γράμματα
περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς ἰουδαίας οὔτε παραγενόμε-
νός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέν τι περὶ σοῦ
22 πονηρόν· ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς περὶ

**v.10** T*: την χρειαν, V: τας χρειας. **v.13** T*: περιελθοντες, V: περιελοντες. **v.14** T*: επ, V: παρ. **v.14** T*: ηλθομεν, V: ηλθαμεν. **v.15** T*: εξηλθον, V: ηλθαν. **v.15** T*: αχρις, V: αχρι. **v.16** T*: ηλθομεν, V: εισηλθομεν. **v.16** T*: ο εκατονταρχος παρεδωκεν τους δεσμιους τω, V: ∅. **v.16** TK: στρατοπεδαρχη, M: στρατοπεδαρχω, V: ∅. **v.16** T*: τω δε παυλω επετραπη, V: επετραπη τω παυλω. **v.17** T*: τον παυλον, V: αυτον. **v.17** T*: ανδρες αδελφοι εγω, V: εγω ανδρες αδελφοι. **v.19** T*: κατηγορησαι, V: κατηγορειν. **v.21** T*: ειπον, V: ειπαν.

μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν˚ ἡμῖν ὅτι παν-
ταχοῦ ἀντιλέγεται ⸰ ταξάμενοι δὲ αὐτῷ ἡμέραν ἦκον πρὸς 23
αὐτὸν εἰς τὴν ξενίαν πλείονες οἷς ἐξετίθετο διαμαρτυρόμε-
νος τὴν βασιλείαν τοῦ θεοῦ πείθων τε αὐτοὺς τὰ περὶ τοῦ
ἰησοῦ ἀπό τε τοῦ νόμου μωσέως καὶ τῶν προφητῶν ἀπὸ
πρωῒ ἕως ἑσπέρας ⸰ καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις 24
οἱ δὲ ἠπίστουν ⸰ ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπε- 25
λύοντο εἰπόντος τοῦ παύλου ῥῆμα ἓν ὅτι καλῶς τὸ πνεῦμα
τὸ ἅγιον ἐλάλησεν διὰ ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πα-
τέρας ἡμῶν ⸰ λέγὸν πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ 26
εἰπὲ ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε καὶ βλέποντες βλέ-
ψετε καὶ οὐ μὴ ἴδητε ⸰ ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ 27
τούτου καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν καὶ τοὺς ὀφθαλμοὺς
αὐτῶν ἐκάμμυσαν μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς
ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν καὶ ἐπιστρέψωσιν
καὶ ἰάσῶμαι αὐτούς ⸰ γνωστὸν οὖν ἔστω ὑμῖν ὅτι τοῖς ἔθνε- 28
σιν ἀπεστάλη τὸ σωτήριον τοῦ θεοῦ αὐτοὶ καὶ ἀκούσονται ⸰
καὶ˚ ταῦτα αὐτοῦ εἰπόντος ἀπῆλθον οἱ ἰουδαῖοι πολλὴν ἔ- 29
χοντες ἐν ἑαυτοῖς συζήτησιν ⸰ ἔμεινεν˚ δὲ ὁ παῦλος διετίαν 30
ὅλην ἐν ἰδίῳ μισθώματι καὶ ἀπεδέχετο πάντας τοὺς εἰσ-
πορευομένους πρὸς αὐτόν ⸰ κηρύσσων τὴν βασιλείαν τοῦ 31
θεοῦ καὶ διδάσκων τὰ περὶ τοῦ κυρίου ἰησοῦ χριστοῦ μετὰ
πάσης παρρησίας ἀκωλύτως ⸰

**v.22** T*: εστιν ημιν, V: ημιν εστιν. **v.23** T*: ηκον, V: ηλθον. **v.23** T*: τα, V: ∅. **v.23** T*: μωσεως, V: μωυσεως. **v.25** T*: ημων, V: υμων. **v.26** T*: λεγον, V: λεγων. **v.26** TK: ειπε, MV: ειπον. **v.27** TK: ιασωμαι, MV: ιασομαι. **v.28** T*: το, V: τουτο το. **v.29** T*: και . . . συζητησιν, V: ∅. **v.30** T*: εμεινεν δε ο παυλος, V: ενεμεινεν δε.

# ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ
## Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ˚

**1** Παῦλος δοῦλος ἰησοῦ˚ χριστοῦ κλητὸς ἀπόστολος ἀφω-
2 ρισμένος εἰς εὐαγγέλιον θεοῦ ◦ ὃ προεπηγγείλατο διὰ τῶν
3 προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις ◦ περὶ τοῦ υἱοῦ αὐτοῦ
4 τοῦ γενομένου ἐκ σπέρματος δαβὶδ κατὰ σάρκα ◦ τοῦ ὁρι-
σθέντος υἱοῦ θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ
5 ἀναστάσεως νεκρῶν ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν ◦ δι᾽
οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν
6 πᾶσιν τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ◦ ἐν οἷς ἐστε
7 καὶ ὑμεῖς κλητοὶ ἰησοῦ χριστοῦ ◦ πᾶσιν τοῖς οὖσιν ἐν ῥώμῃ
ἀγαπητοῖς θεοῦ κλητοῖς ἁγίοις χάρις ὑμῖν καὶ εἰρήνη ἀ-
8 πὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ◦ πρῶτον
μὲν εὐχαριστῶ τῷ θεῷ μου διὰ ἰησοῦ χριστοῦ ὑ῾πὲρ πάντων
ὑμῶν ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ ◦
9 μάρτυς γάρ μού ἐστιν ὁ θεὸς ᾧ˜ λατρεύω ἐν τῷ˜ πνεύμα-
τί μου ἐν τῷ˜ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ ὡς ἀδιαλείπτως
10 μνείαν ὑμῶν ποιοῦμαι ◦ πάντοτε ἐπὶ τῶν προσευχῶν μου
δεόμενος εἴ῾πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ˜ θελήματι
11 τοῦ θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς ◦ ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς ἵνα
τι μεταδῶ χάρισμα ὑμῖν πνευματικὸν εἰς τὸ στηριχθῆναι
12 ὑμᾶς ◦ τοῦτο δέ ἐστιν συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς
13 ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ ◦ οὐ θέλω δὲ ὑμᾶς
ἀγνοεῖν ἀδελφοὶ ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑ-
μᾶς καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο ἵνα καρπόν˚ τινα σχῶ
14 καὶ ἐν ὑμῖν καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν ◦ ἕλλησίν
τε καὶ βαρβάροις σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί ◦
15 οὕτως τὸ κατ᾽ ἐμὲ πρόθυμον καὶ ὑμῖν τοῖς ἐν ῥώμῃ εὐ-

---

ΤΚ: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, ΜV: ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ. **1. v.1** T*: ιησου χριστου, V: χριστου ιησου. **v.3** T*: δαβιδ, V: δαυιδ. **v.8** T*: υπερ, V: περι. **v.10** T*: ειπως, V: ει πως. **v.13** ΤΚ: καρπον τινα, ΜV: τινα καρπον.

αγγελίσασθαι ⸰ οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ˚ 16
χριστοῦ δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πι-
στεύοντι ἰουδαίῳ τε πρῶτον καὶ ἕλληνι ⸰ δικαιοσύνη γὰρ 17
θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν καθὼς
γέγραπται ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται ⸰ ἀποκαλύπτε- 18
ται γὰρ ὀργὴ θεοῦ ἀπ᾽ οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ
ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόν-
των ⸰ διότι τὸ γνωστὸν τοῦ θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς ὁ 19
γὰρ˚ θεὸς αὐτοῖς ἐφανέρωσεν ⸰ τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ 20
κτίσεως κόσμου τοῖς ποιήμασιν νοούμενα καθορᾶται ἥ τε
ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης εἰς τὸ εἶναι αὐτοὺς ἀνα-
πολογήτους ⸰ διότι γνόντες τὸν θεὸν οὐχ ὡς θεὸν ἐδόξασαν 21
ἢ ἐὐχαρίστησαν ἀλλ᾽ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς
αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία ⸰ φάσκον- 22
τες εἶναι σοφοὶ ἐμωράνθησαν ⸰ καὶ ἤλλαξαν τὴν δόξαν τοῦ 23
ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου
καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν ⸰ διὸ κἀὶ πα- 24
ρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν
αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν
ἐν ἑᾶυτοῖς ⸰ οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν 25
τῷ ψεύδει καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει πα-
ρὰ τὸν κτίσαντα ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν ⸰
διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας αἵ 26
τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς
τὴν παρὰ φύσιν ⸰ ὁμοίως τε καὶ οἱ ἄρρενες ἀφέντες τὴν 27
φυσικὴν χρῆσιν τῆς θηλείας ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐ-
τῶν εἰς ἀλλήλους ἄρσενες ἐν ἄρσεσιν τὴν ἀσχημοσύνην
κατεργαζόμενοι καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης
αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες ⸰ καὶ καθὼς οὐκ ἐδο- 28
κίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπιγνώσει παρέδωκεν αὐτοὺς ὁ
θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα ⸰ πεπλη- 29

**v.16** T*: του χριστου, V: ∅. **v.19** T*: γαρ θεος, V: θεος γαρ. **v.21** T*: ευχαριστησαν, V: ηυχαριστησαν. **v.24** T*: και, V: ∅. **v.24** T*: εαυτοις, V: αυτοις. **v.27** TM: αρρενες, KV: αρσενες.

ρωμένους πάσῃ ἀδικίᾳ πορνείᾳ πονηρίᾳ πλεονεξίᾳ κακίᾳ
μεστοὺς φθόνου φόνου ἔριδος δόλου κακοηθείας ψιθυρι-
30 στάς· καταλάλους θεοστυγεῖς ὑβριστὰς ὑπερηφάνους ἀ-
31 λαζόνας ἐφευρετὰς κακῶν γονεῦσιν ἀπειθεῖς· ἀσυνέτους
32 ἀσυνθέτους ἀστόργους ἀσπόνδους ἀνελεήμονας· οἵτινες
τὸ δικαίωμα τοῦ θεοῦ ἐπιγνόντες ὅτι οἱ τὰ τοιαῦτα πράσ-
σοντες ἄξιοι θανάτου εἰσὶν οὐ μόνον αὐτὰ ποιοῦσιν ἀλλὰ
καὶ συνευδοκοῦσιν τοῖς πράσσουσιν·

**2** Διὸ ἀναπολόγητος εἶ ὦ ἄνθρωπε πᾶς ὁ κρίνων ἐν ᾧ γὰρ
κρίνεις τὸν ἕτερον σεαυτὸν κατακρίνεις τὰ γὰρ αὐτὰ πράσ-
2 σεις ὁ κρίνων· οἴδαμεν δὲ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστιν
3 κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας· λογίζῃ
δὲ τοῦτο ὦ ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσον-
4 τας καὶ ποιῶν αὐτὰ ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ· ἢ
τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ
τῆς μακροθυμίας καταφρονεῖς ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ
5 θεοῦ εἰς μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρότητά σου
καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡ-
μέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ θεοῦ·
6, 7 ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· τοῖς μὲν καθ᾽
ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν
8 ζητοῦσιν ζωὴν αἰώνιον· τοῖς δὲ ἐξ ἐριθείας καὶ ἀπειθοῦσιν
μὲν τῇ ἀληθείᾳ πειθομένοις δὲ τῇ ἀδικίᾳ θυμὸς καὶ ὀρ-
9 γή· θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου
τοῦ κατεργαζομένου τὸ κακὸν ἰουδαίου τε πρῶτον καὶ ἕλ-
10 ληνος· δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ
11 τὸ ἀγαθὸν ἰουδαίῳ τε πρῶτον καὶ ἕλληνι· οὐ γάρ ἐστιν
12 προσωποληψία παρὰ τῷ θεῷ· ὅσοι γὰρ ἀνόμως ἥμαρτον
ἀνόμως καὶ ἀπολοῦνται καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον διὰ νό-
13 μου κριθήσονται· οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι
παρὰ τῷ θεῷ ἀλλ᾽ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται·

---

**v.29** T*: πορνεια, V: ∅. **v.31** T*: ασπονδους, V: ∅. **2. v.5** TKV: δικαιοκρισιας, M: και δικαιοκρισιας. **v.8** T*: απειθουσιν μεν, V: απειθουσι. **v.8** T*: θυμος και οργη, V: οργη και θυμος. **v.11** T*: προσωποληψια, V: προσωπολημψια. **v.13** T*: του, V: ∅.

ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου 14
πράσσῃ οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσιν νόμος· οἵτινες 15
ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων· ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν 16
ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ ἰησοῦ˚ χριστοῦ·
ἴδε σὺ ἰουδαῖος ἐπονομάζῃ καὶ ἐπαναπαύῃ τῷ νόμῳ καὶ 17
καυχᾶσαι ἐν θεῷ· καὶ γινώσκεις τὸ θέλημα καὶ δοκιμάζεις τὰ διαφέροντα κατηχούμενος ἐκ τοῦ νόμου· πέποιθάς 18 19
τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν φῶς τῶν ἐν σκότει· παι- 20
δευτὴν ἀφρόνων διδάσκαλον νηπίων ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ· ὁ οὖν διδάσκων 21
ἕτερον σεαυτὸν οὐ διδάσκεις ὁ κηρύσσων μὴ κλέπτειν κλέπτεις· ὁ λέγων μὴ μοιχεύειν μοιχεύεις ὁ βδελυσσόμενος 22
τὰ εἴδωλα ἱεροσυλεῖς· ὃς ἐν νόμῳ καυχᾶσαι διὰ τῆς παρα- 23
βάσεως τοῦ νόμου τὸν θεὸν ἀτιμάζεις· τὸ γὰρ ὄνομα τοῦ 24
θεοῦ δι᾽ ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν καθὼς γέγραπται· περιτομὴ μὲν γὰρ ὠφελεῖ ἐὰν νόμον πράσσῃς ἐὰν δὲ 25
παραβάτης νόμου ᾖς ἡ περιτομή σου ἀκροβυστία γέγονεν·
ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ 26
οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται· καὶ 27
κρινεῖ ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον τελοῦσα σὲ τὸν διὰ γράμματος καὶ περιτομῆς παραβάτην νόμου· οὐ γὰρ 28
ὁ ἐν τῷ φανερῷ ἰουδαῖός ἐστιν οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή· ἀλλ᾽ ὁ ἐν τῷ κρυπτῷ ἰουδαῖος καὶ περι- 29
τομὴ καρδίας ἐν πνεύματι οὐ γράμματι οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων ἀλλ᾽ ἐκ τοῦ θεοῦ·

Τί οὖν τὸ περισσὸν τοῦ ἰουδαίου ἢ τίς ἡ ὠφέλεια τῆς **3**
περιτομῆς· πολὺ κατὰ πάντα τρόπον πρῶτον μὲν γὰρ ὅτι 2
ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ· τί γὰρ εἰ ἠπίστησάν τινες 3
μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει· μὴ 4

**v.14** T*: ποιη, V: ποιωσιν. **v.16** T*: ιησου χριστου, V: χριστου ιησου. **v.17** T*: ιδε, V: ει δε. **v.17** T*: τω, V: ∅. **v.26** T*: ουχι, V: ουχ.

γένοιτο γινέσθω δὲ ὁ θεὸς ἀληθὴς πᾶς δὲ ἄνθρωπος ψεύστης καθὼς γέγραπται ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις
5 σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε ◦ εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν τί ἐροῦμεν μὴ ἄδικος ὁ θεὸς
6 ὁ ἐπιφέρων τὴν ὀργὴν κατὰ ἄνθρωπον λέγω ◦ μὴ γένοιτο
7 ἐπεὶ πῶς κρινεῖ ὁ θεὸς τὸν κόσμον ◦ εἰ γὰρ ἡ ἀλήθεια τοῦ θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐ-
8 τοῦ τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι ◦ καὶ μὴ καθὼς βλασφημούμεθα καὶ καθώς φασίν τινες ἡμᾶς λέγειν ὅτι ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθὰ ὧν τὸ κρίμα ἔνδι-
9 κόν ἐστιν ◦ τί οὖν προεχόμεθα οὐ πάντως προῃτιασάμεθα γὰρ ἰουδαίους τε καὶ ἕλληνας πάντας ὑφ᾽ ἁμαρτίαν εἶναι ◦
10, 11 καθὼς γέγραπται ὅτι οὐκ ἔστιν δίκαιος οὐδὲ εἷς ◦ οὐκ ἔστιν
12 ὁ συνιῶν οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν ◦ πάντες ἐξέκλιναν ἅμα ἠχρεἰώθησαν οὐκ ἔστιν ποιῶν χρηστότητα οὐκ ἔστιν
13 ἕως ἑνός ◦ τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν ◦
14, 15 ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει ◦ ὀξεῖς οἱ πόδες αὐ-
16 τῶν ἐκχέαι αἷμα ◦ σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς
17, 18 αὐτῶν ◦ καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν ◦ οὐκ ἔστιν φόβος
19 θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν ◦ οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῷ νόμῳ λαλεῖ ἵνα πᾶν στόμα φρα-
20 γῇ καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ θεῷ ◦ διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ
21 διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας ◦ νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται μαρτυρουμένη ὑπὸ τοῦ νό-
22 μου καὶ τῶν προφητῶν ◦ δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως ἰησοῦ χριστοῦ εἰς πάντας καὶ᾽ ἐπὶ πάντας τοὺς πιστεύον-
23 τας οὐ γάρ ἐστιν διαστολή ◦ πάντες γὰρ ἥμαρτον καὶ ὑ-
24 στεροῦνται τῆς δόξης τοῦ θεοῦ ◦ δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν χριστῷ ἰησοῦ ◦
25 ὃν προέθετο ὁ θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ

**3. v.4** T*: νικησης, V: νικησεις. **v.7** T*: γαρ, V: δε. **v.12** T*: ηχρειωθησαν, V: ηχρεωθησαν. **v.12** T*: ποιων, V: ο ποιων. **v.22** T*: και επι παντας, V: ∅.

αἵματι εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ διὰ τὴν πάρεσιν
τῶν προγεγονότων ἁμαρτημάτων· ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ 26
πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ εἰς τὸ
εἶναι αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως ἰησοῦ·
ποῦ οὖν ἡ καύχησις ἐξεκλείσθη διὰ ποίου νόμου τῶν ἔρ- 27
γων οὐχὶ ἀλλὰ διὰ νόμου πίστεως· λογιζόμεθα οὖν˚ πίστει 28
δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου· ἢ ἰουδαίων ὁ 29
θεὸς μόνον οὐχὶ δὲ˚ καὶ ἐθνῶν ναὶ καὶ ἐθνῶν· ἐπειπερ εἷς 30
ὁ θεὸς ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν
διὰ τῆς πίστεως· νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως 31
μὴ γένοιτο ἀλλὰ νόμον ἱστῶμεν·

Τί οὖν ἐροῦμεν ἀβραὰμ˚ τὸν πατέρα ἡμῶν εὑρηκέναι **4**
κατὰ σάρκα· εἰ γὰρ ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη ἔχει καύ- 2
χημα ἀλλ᾽ οὐ πρὸς τὸν θεόν· τί γὰρ ἡ γραφὴ λέγει ἐπίστευ- 3
σεν δὲ ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην·
τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν ἀλλὰ 4
κατὰ τὸ ὀφείλημα· τῷ δὲ μὴ ἐργαζομένῳ πιστεύοντι δὲ ἐπὶ 5
τὸν δικαιοῦντα τὸν ἀσεβῆ λογίζεται ἡ πίστις αὐτοῦ εἰς δι-
καιοσύνην· καθάπερ καὶ δαβὶδ λέγει τὸν μακαρισμὸν τοῦ 6
ἀνθρώπου ᾧ ὁ θεὸς λογίζεται δικαιοσύνην χωρὶς ἔργων·
μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν 7
αἱ ἁμαρτίαι· μακάριος ἀνὴρ ᾧ˚ οὐ μὴ λογίσηται κύριος ἁ- 8
μαρτίαν· ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομὴν ἢ καὶ 9
ἐπὶ τὴν ἀκροβυστίαν λέγομεν γὰρ ὅτι ἐλογίσθη τῷ ἀβραὰμ
ἡ πίστις εἰς δικαιοσύνην· πῶς οὖν ἐλογίσθη ἐν περιτομῇ 10
ὄντι ἢ ἐν ἀκροβυστίᾳ οὐκ ἐν περιτομῇ ἀλλ᾽ ἐν ἀκροβυστίᾳ·
καὶ σημεῖον ἔλαβεν περιτομῆς σφραγῖδα τῆς δικαιοσύνης 11
τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ εἰς τὸ εἶναι αὐτὸν πατέρα
πάντων τῶν πιστευόντων δι᾽ ἀκροβυστίας εἰς τὸ λογισθῆναι
καὶ αὐτοῖς τὴν δικαιοσύνην· καὶ πατέρα περιτομῆς τοῖς 12

**v.26** T*: ενδειξιν, V: την ενδειξιν. **v.28** T*: ουν πιστει δικαιουσθαι, V: γαρ δικαιουσθαι πιστει. **v.29** T*: δε, V: ∅. **v.30** T*: επειπερ, V: ειπερ. **v.31** T*: ιστωμεν, V: ιστανομεν. **4. v.1** T*: αβρααμ τον πατερα ημων ευρηκεναι, V: ευρηκεναι αβρααμ τον προπατορα ημων. **v.2** T*: τον, V: ∅. **v.4** TK: το, MV: ∅. **v.6** T*: δαβιδ, V: δαυιδ. **v.8** T*: ω, V: ου. **v.9** T*: οτι, V: ∅.

οὐκ ἐκ περιτομῆς μόνον ἀλλὰ καὶ τοῖς στοιχοῦσιν τοῖς ἴ-
χνεσιν τῆς ἐν˚ τῇ ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν
13 ἀβραάμ ◦ οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ ἀβραὰμ ἢ τῷ
σπέρματι αὐτοῦ τὸ κληρονόμον αὐτὸν εἶναι τοῦ κόσμου
14 ἀλλὰ διὰ δικαιοσύνης πίστεως ◦ εἰ γὰρ οἱ ἐκ νόμου κλη-
ρονόμοι κεκένωται ἡ πίστις καὶ κατήργηται ἡ ἐπαγγελία ◦
15 ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται οὗ γάρ οὐκ ἔστιν νόμος
16 οὐδὲ παράβασις ◦ διὰ τοῦτο ἐκ πίστεως ἵνα κατὰ χάριν εἰς
τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι οὐ τῷ ἐκ
τοῦ νόμου μόνον ἀλλὰ καὶ τῷ ἐκ πίστεως ἀβραὰμ ὅς ἐστιν
17 πατὴρ πάντων ἡμῶν ◦ καθὼς γέγραπται ὅτι πατέρα πολ-
λῶν ἐθνῶν τέθεικά σε κατέναντι οὗ ἐπίστευσεν θεοῦ τοῦ
ζωοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς
18 ὄντα ◦ ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλπίδι ἐπίστευσεν εἰς τὸ γενέσθαι
αὐτὸν πατέρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον οὕτως ἔσται
19 τὸ σπέρμα σου ◦ καὶ μὴ ἀσθενήσας τῇ πίστει οὐ κατενόη-
σεν τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον ἑκατονταετής που
20 ὑπάρχων καὶ τὴν νέκρωσιν τῆς μήτρας σάρρας ◦ εἰς δὲ τὴν
ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ ἀλλ᾽ ἐνεδυνα-
21 μώθη τῇ πίστει δοὺς δόξαν τῷ θεῷ ◦ καὶ πληροφορηθεὶς ὅτι
22 ὃ ἐπήγγελται δυνατός ἐστιν καὶ ποιῆσαι ◦ διὸ καὶ ἐλογίσθη
23 αὐτῷ εἰς δικαιοσύνην ◦ οὐκ ἐγράφη δὲ δι᾽ αὐτὸν μόνον ὅτι
24 ἐλογίσθη αὐτῷ ◦ ἀλλὰ καὶ δι᾽ ἡμᾶς οἷς μέλλει λογίζεσθαι
τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα ἰησοῦν τὸν κύριον ἡμῶν
25 ἐκ νεκρῶν ◦ ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν καὶ
ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν ◦

**5** Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν
2 θεὸν διὰ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ◦ δι᾽ οὗ καὶ τὴν
προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ
ἑστήκαμεν καὶ καυχώμεθα ἐπ᾽ ἐλπίδι τῆς δόξης τοῦ θεοῦ ◦
3 οὐ μόνον δὲ ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν εἰδό-
4 τες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται ◦ ἡ δὲ ὑπομονὴ

**v.12** TK: εν τη ακροβυστια πιστεως, M: πιστεως της εν τη ακροβυστια, V: εν ακροβυστια πιστεως. **v.13** $T^*$: του, V: ∅. **v.15** $T^*$: γαρ, V: δε. **v.19** $T^*$: ου, V: ∅.

δοκιμὴν ἡ δὲ δοκιμὴ ἐλπίδα ◦ ἡ δὲ ἐλπὶς οὐ καταισχύνει 5
ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν
διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν ◦ ἔτι γὰρ χριστὸς 6
ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανεν ◦
μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται ὑπὲρ γὰρ τοῦ ἀ- 7
γαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν ◦ συνίστησιν δὲ τὴν 8
ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ θεὸς ὅτι ἔτι ἁμαρτωλῶν ὄντων
ἡμῶν χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν ◦ πολλῷ οὖν μᾶλλον 9
δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ σωθησόμεθα δι᾽ αὐ-
τοῦ ἀπὸ τῆς ὀργῆς ◦ εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ 10
θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ πολλῷ μᾶλλον κα-
ταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ ◦ οὐ μόνον δὲ 11
ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν ἰ-
ησοῦ χριστοῦ δι᾽ οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν ◦ διὰ 12
τοῦτο ὥσπερ δι᾽ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον
εἰσῆλθεν καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος καὶ οὕτως εἰς
πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν ἐφ᾽ ᾧ πάντες ἥμαρ-
τον ◦ ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ ἁμαρτία δὲ 13
οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου ◦ ἀλλ᾽ ἐβασίλευσεν ὁ θά- 14
νατος ἀπὸ ἀδὰμ μέχρι μωσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτή-
σαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως ἀδὰμ ὅς ἐστιν
τύπος τοῦ μέλλοντος ◦ ἀλλ᾽ οὐχ ὡς τὸ παράπτωμα οὕτως 15
καὶ τὸ χάρισμα εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ
ἀπέθανον πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ καὶ ἡ δωρεὰ
ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου ἰησοῦ χριστοῦ εἰς τοὺς
πολλοὺς ἐπερίσσευσεν ◦ καὶ οὐχ ὡς δι᾽ ἑνὸς ἁμαρτήσαν- 16
τος τὸ δώρημα τὸ μὲν γὰρ κρίμα ἐξ ἑνὸς εἰς κατάκριμα
τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα ◦
εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσεν 17
διὰ τοῦ ἑνὸς πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος
καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες ἐν ζωῇ βα-
σιλεύσουσιν διὰ τοῦ ἑνὸς ἰησοῦ χριστοῦ ◦ ἄρα οὖν ὡς δι᾽ 18

**5. v.6** T*: κατα, V: ετι κατα. **v.14** T*: αλλ, V: αλλα. **v.14** TK: μωσεως, MV: μωυσεως.

ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα
οὕτως καὶ δι᾽ ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς
19 δικαίωσιν ζωῆς· ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς
ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ οὕτως καὶ
διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολ-
20 λοί· νόμος δὲ παρεισῆλθεν ἵνα πλεονάσῃ τὸ παράπτωμα
οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία ὑπερεπερίσσευσεν ἡ χάρις·
21 ἵνα ὥσπερ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ οὕτως καὶ
ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον διὰ
Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν·

**6** Τί οὖν ἐροῦμεν ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ ἵνα ἡ χάρις
2 πλεονάσῃ· μὴ γένοιτο οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ πῶς
3 ἔτι ζήσομεν ἐν αὐτῇ· ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς
4 χριστὸν Ἰησοῦν εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν· συν-
ετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον
ἵνα ὥσπερ ἠγέρθη χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πα-
5 τρὸς οὕτως καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν· εἰ
γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ
6 ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· τοῦτο γινώσκοντες ὅτι
ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη ἵνα καταργηθῇ
τὸ σῶμα τῆς ἁμαρτίας τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁ-
7 μαρτίᾳ· ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας·
8 εἰ δὲ ἀπεθάνομεν σὺν χριστῷ πιστεύομεν ὅτι καὶ συζήσο-
9 μεν αὐτῷ· εἰδότες ὅτι χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκ᾽ ἔτι
10 ἀποθνήσκει θάνατος αὐτοῦ οὐκ᾽ ἔτι κυριεύει· ὃ γὰρ ἀ-
πέθανεν τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ ὃ δὲ ζῇ ζῇ τῷ θεῷ·
11 οὕτως καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς᾽ μὲν εἶναι τῇ ἁ-
μαρτίᾳ ζῶντας δὲ τῷ θεῷ ἐν χριστῷ Ἰησοῦ τῷ᾽ κυρίῳ ἡμῶν·
12 μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι
13 εἰς τὸ ὑπακούειν αὐτῇ᾽ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ· μηδὲ
παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ ἀλ-

**6. v.1** T*: επιμενουμεν, V: επιμενωμεν. **v.9** T: ουκ ετι, KMV: ουκετι. **v.11** T*: νεκρους μεν ειναι, V: [ειναι] νεκρους μεν. **v.11** T*: τω κυριω ημων, V: ∅. **v.12** T*: αυτη εν, V: ∅.

λὰ παραστήσατε ἑαυτοὺς τῷ θεῷ ὡϛ ἐκ νεκρῶν ζῶντας καὶ
τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ ⸰ ἁμαρτία γὰρ ὑ- 14
μῶν οὐ κυριεύσει οὐ γάρ ἐστε ὑπὸ νόμον ἀλλ᾽ ὑπὸ χάριν ⸰
τί οὖν ἁμαρτήσομεν ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον ἀλλ᾽ ὑπὸ 15
χάριν μὴ γένοιτο ⸰ οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς 16
δούλους εἰϛ ὑπακοὴν δοῦλοί ἐστε ᾧ ὑπακούετε ἤτοι ἁμαρ-
τίας εἰϛ θάνατον ἢ ὑπακοῆϛ εἰϛ δικαιοσύνην ⸰ χάρις δὲ τῷ 17
θεῷ ὅτι ἦτε δοῦλοι τῆϛ ἁμαρτίας ὑπηκούσατε δὲ ἐκ καρ-
δίας εἰϛ ὃν παρεδόθητε τύπον διδαχῆϛ ⸰ ἐλευθερωθέντες 18
δὲ ἀπὸ τῆϛ ἁμαρτίας ἐδουλώθητε τῇ δικαιοσύνῃ ⸰ ἀνθρώ- 19
πινον λέγω διὰ τὴν ἀσθένειαν τῆϛ σαρκὸϛ ὑμῶν ὥσπερ γὰρ
παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ
ἀνομίᾳ εἰϛ τὴν ἀνομίαν οὕτως νῦν παραστήσατε τὰ μέλη
ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰϛ ἁγιασμόν ⸰ ὅτε γὰρ δοῦ- 20
λοι ἦτε τῆϛ ἁμαρτίας ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ ⸰ τίνα 21
οὖν καρπὸν εἴχετε τότε ἐφ᾽ οἷϛ νῦν ἐπαισχύνεσθε τὸ γὰρ
τέλος ἐκείνων θάνατος ⸰ νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆϛ 22
ἁμαρτίας δουλωθέντες δὲ τῷ θεῷ ἔχετε τὸν καρπὸν ὑμῶν
εἰϛ ἁγιασμὸν τὸ δὲ τέλος ζωὴν αἰώνιον ⸰ τὰ γὰρ ὀψώνια τῆϛ 23
ἁμαρτίας θάνατος τὸ δὲ χάρισμα τοῦ θεοῦ ζωὴ αἰώνιος ἐν
χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν ⸰

**7** Ἢ ἀγνοεῖτε ἀδελφοὶ γινώσκουσιν γὰρ νόμον λαλῶ ὅτι ὁ
νόμοϛ κυριεύει τοῦ ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ ⸰ ἡ γὰρ 2
ὕπανδροϛ γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ ἐὰν δὲ ἀπο-
θάνῃ ὁ ἀνὴρ κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρόϛ ⸰ ἄρα 3
οὖν ζῶντοϛ τοῦ ἀνδρὸϛ μοιχαλὶϛ χρηματίσει ἐὰν γένηται
ἀνδρὶ ἑτέρῳ ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ ἐλευθέρα ἐστὶν ἀπὸ
τοῦ νόμου τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ
ἑτέρῳ ⸰ ὥστε ἀδελφοί μου καὶ ὑμεῖϛ ἐθανατώθητε τῷ νόμῳ 4
διὰ τοῦ σώματοϛ τοῦ χριστοῦ εἰϛ τὸ γενέσθαι ὑμᾶϛ ἑτέρῳ
τῷ ἐκ νεκρῶν ἐγερθέντι ἵνα καρποφορήσωμεν τῷ θεῷ ⸰ ὅτε 5
γὰρ ἦμεν ἐν τῇ σαρκὶ τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ

**v.13** T*: ως, V: ωσει. **v.14** T*: αλλ, V: αλλα. **v.15** T*: αμαρτησομεν, V: αμαρτησωμεν. **v.15** T*: αλλ, V: αλλα.

τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρπο-
6 φορῆσαι τῷ θανάτῳ· νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νό-
μου ἀποθανόντες ἐν ᾧ κατειχόμεθα ὥστε δουλεύειν ἡμᾶς
7 ἐν καινότητι πνεύματος καὶ οὐ παλαιότητι γράμματος· τί
οὖν ἐροῦμεν ὁ νόμος ἁμαρτία μὴ γένοιτο ἀλλὰ τὴν ἁμαρ-
τίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου τήν τε γὰρ ἐπιθυμίαν οὐκ
8 ᾔδειν εἰ μὴ ὁ νόμος ἔλεγεν οὐκ ἐπιθυμήσεις· ἀφορμὴν
δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς κατειργάσατο ἐν
ἐμοὶ πᾶσαν ἐπιθυμίαν χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά·
9 ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτὲ ἐλθούσης δὲ τῆς ἐντολῆς
10 ἡ ἁμαρτία ἀνέζησεν ἐγὼ δὲ ἀπέθανον· καὶ εὑρέθη μοι ἡ
11 ἐντολὴ ἡ εἰς ζωὴν αὕτη εἰς θάνατον· ἡ γὰρ ἁμαρτία ἀφορ-
μὴν λαβοῦσα διὰ τῆς ἐντολῆς ἐξηπάτησέν με καὶ δι᾽ αὐτῆς
12 ἀπέκτεινεν· ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία
13 καὶ δικαία καὶ ἀγαθή· τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονεν θάνα-
τος μὴ γένοιτο ἀλλὰ ἡ ἁμαρτία ἵνα φανῇ ἁμαρτία διὰ τοῦ
ἀγαθοῦ μοι κατεργαζομένη θάνατον ἵνα γένηται καθ᾽ ὑ-
14 περβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς· οἴδαμεν
γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν ἐγὼ δὲ σάρκικός εἰμι
15 πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν· ὃ γὰρ κατεργάζομαι οὐ
γινώσκω οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω ἀλλ᾽ ὃ μισῶ τοῦτο
16 ποιῶ· εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ σύμφημι τῷ νόμῳ ὅτι
17 καλός· νυνὶ δὲ οὐκ᾽ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ ἀλλ᾽ ἡ
18 οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία· οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ
τουτέστιν ἐν τῇ σαρκί μου ἀγαθὸν τὸ γὰρ θέλειν παράκειταί
19 μοι τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ᾽ εὑρίσκω· οὐ γὰρ
ὃ θέλω ποιῶ ἀγαθὸν ἀλλ᾽ ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω·
20 εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο ποιῶ οὐκ᾽ ἔτι ἐγὼ κατεργάζο-
21 μαι αὐτὸ ἀλλ᾽ ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία· εὑρίσκω ἄρα
τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλὸν ὅτι ἐμοὶ τὸ κα-

---

**7. v.6** TMV: αποθανοντες, K: αποθανοντος. **v.7** TKV: νομου, M: νομον. **v.13** T*: γεγονεν, V: εγενετο. **v.14** T*: σαρκικος, V: σαρκινος. **v.17** T: ουκ ετι, KMV: ουκετι. **v.17** T*: αλλ, V: αλλα. **v.18** T: τουτεστιν, KMV: τουτ εστιν. **v.18** T*: ουχ ευρισκω, V: ου, F: ου γινωσκω. **v.19** T*: αλλ, V: αλλα. **v.20** T: ουκ ετι, KMV: ουκετι. **v.20** T*: αλλ, V: αλλα.

κὸν παράκειται ◦ συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ κατὰ 22
τὸν ἔσω ἄνθρωπον ◦ βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσίν 23
μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμα-
λωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσίν
μου ◦ ταλαίπωρος ἐγὼ ἄνθρωπος τίς με ῥύσεται ἐκ τοῦ σώ- 24
ματος τοῦ θανάτου τούτου ◦ εὐχαριστῶ τῷ θεῷ διὰ ἰησοῦ 25
χριστοῦ τοῦ κυρίου ἡμῶν ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ
δουλεύω νόμῳ θεοῦ τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας ◦

Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν χριστῷ ἰησοῦ μὴ˚ κα- **8**
τὰ σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ πνεῦμα ◦ ὁ γὰρ νόμος 2
τοῦ πνεύματος τῆς ζωῆς ἐν χριστῷ ἰησοῦ ἠλευθέρωσέν με
ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου ◦ τὸ γὰρ ἀ- 3
δύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς ὁ θεὸς
τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας
καὶ περὶ ἁμαρτίας κατέκρινεν τὴν ἁμαρτίαν ἐν τῇ σαρκί ◦
ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κα- 4
τὰ σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ πνεῦμα ◦ οἱ γὰρ κατὰ 5
σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν οἱ δὲ κατὰ πνεῦμα
τὰ τοῦ πνεύματος ◦ τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος τὸ 6
δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη ◦ διότι τὸ φρό- 7
νημα τῆς σαρκὸς ἔχθρα εἰς θεὸν τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ
ὑποτάσσεται οὐδὲ γὰρ δύναται ◦ οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ 8
ἀρέσαι οὐ δύνανται ◦ ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ᾽ ἐν 9
πνεύματι εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν εἰ δέ τις πνεῦμα
χριστοῦ οὐκ ἔχει οὗτος οὐκ ἔστιν αὐτοῦ ◦ εἰ δὲ χριστὸς ἐν 10
ὑμῖν τὸ μὲν σῶμα νεκρὸν δι᾽˚ ἁμαρτίαν τὸ δὲ πνεῦμα ζωὴ
διὰ δικαιοσύνην ◦ εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος ἰησοῦν 11
ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν ὁ ἐγείρας τὸν χριστὸν ἐκ νεκρῶν
ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τὸ˚ ἐνοικοῦν
αὐτοῦ πνεῦμα ἐν ὑμῖν ◦ ἄρα οὖν ἀδελφοὶ ὀφειλέται ἐσμὲν 12

**v.23** TK: τω, MV: εν τω. **v.25** T*: ευχαριστω, V: χαρις δε. **8. v.1** T*: μη . . . πνευμα, V: ∅. **v.2** T*: με, V: σε. **v.9** T*: αλλ, V: αλλα. **v.10** TK: δι, MV: δια. **v.11** T*: ιησουν, V: τον ιησουν. **v.11** T*: τον, V: ∅. **v.11** TM: το ενοικουν αυτου πνευμα, KV: του ενοικουντος αυτου πνευματος.

13 οὐ τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν· εἰ γὰρ κατὰ σάρκα ζῆτε
μέλλετε ἀποθνήσκειν εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώμα-
14 τος θανατοῦτε ζήσεσθε· ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται
15 οὗτοί εἰσιν˚ υἱοὶ θεοῦ· οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας
πάλιν εἰς φόβον ἀλλ᾽ ἐλάβετε πνεῦμα υἱοθεσίας ἐν ᾧ κράζο-
16 μεν ἀββᾶ ὁ πατήρ· αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύ-
17 ματι ἡμῶν ὅτι ἐσμὲν τέκνα θεοῦ· εἰ δὲ τέκνα καὶ κληρονό-
μοι κληρονόμοι μὲν θεοῦ συγκληρονόμοι δὲ χριστοῦ εἴπερ
18 συμπάσχομεν ἵνα καὶ συνδοξασθῶμεν· λογίζομαι γὰρ ὅτι
οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλου-
19 σαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς· ἡ γὰρ ἀποκαραδο-
κία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκ-
20 δέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα
21 ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ˚ ἐλπίδι· ὅτι καὶ αὐτὴ ἡ κτί-
σις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν
22 ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ· οἴδαμεν γὰρ
ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν·
23 οὐ μόνον δὲ ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος
ἔχοντες καὶ˚ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν υἱοθεσίαν
24 ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν· τῇ
γὰρ ἐλπίδι ἐσώθημεν ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπὶς
25 ὃ γὰρ βλέπει τις τί˚ καὶ ἐλπίζει· εἰ δὲ ὃ οὐ βλέπομεν ἐλ-
26 πίζομεν δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα· ὡσαύτως δὲ καὶ τὸ
πνεῦμα συναντιλαμβάνεται ταῖς˚ ἀσθενείαις ἡμῶν τὸ γὰρ τί
προσευξώμεθα καθὸ δεῖ οὐκ οἴδαμεν ἀλλ᾽ αὐτὸ τὸ πνεῦμα
27 ὑπερεντυγχάνει ὑπὲρ˚ ἡμῶν στεναγμοῖς ἀλαλήτοις· ὁ δὲ
ἐρεῦνῶν τὰς καρδίας οἶδεν τί τὸ φρόνημα τοῦ πνεύματος
28 ὅτι κατὰ θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων· οἴδαμεν δὲ ὅτι τοῖς
ἀγαπῶσιν τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν τοῖς κατὰ
29 πρόθεσιν κλητοῖς οὖσιν· ὅτι οὓς προέγνω καὶ προώρισεν

---

**v.14** T*: εισιν υιοι θεου, V: υιοι θεου εισιν. **v.15** T*: αλλ, V: αλλα. **v.20** T*: επ, V: εφ. **v.23** T*: και ημεις, V: ημεις και. **v.24** T*: τι και, V: ∅. **v.26** T*: ταις ασθενειαις, V: τη ασθενεια. **v.26** TKV: προσευξωμεθα, M: προσευξομεθα. **v.26** T*: αλλ, V: αλλα. **v.26** T*: υπερ ημων, V: ∅. **v.27** T*: ερευνων, V: εραυνων.

συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐ-
τὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισεν 30
τούτους καὶ ἐκάλεσεν καὶ οὓς ἐκάλεσεν τούτους καὶ ἐδι-
καίωσεν οὓς δὲ ἐδικαίωσεν τούτους καὶ ἐδόξασεν· τί οὖν 31
ἐροῦμεν πρὸς ταῦτα εἰ ὁ θεὸς ὑπὲρ ἡμῶν τίς καθ' ἡμῶν·
ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο ἀλλ' ὑπὲρ ἡμῶν πάντων 32
παρέδωκεν αὐτὸν πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν
χαρίσεται· τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν θεοῦ θεὸς ὁ δι- 33
καιῶν· τίς ὁ κατακρίνων χριστὸς ὁ ἀποθανὼν μᾶλλον δὲ 34
καὶ ἐγερθεὶς ὃς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ θεοῦ ὃς καὶ ἐντυγ-
χάνει ὑπὲρ ἡμῶν· τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ 35
χριστοῦ θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνό-
της ἢ κίνδυνος ἢ μάχαιρα· καθὼς γέγραπται ὅτι ἕνεκά 36
σου θανατούμεθα ὅλην τὴν ἡμέραν ἐλογίσθημεν ὡς πρό-
βατα σφαγῆς· ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ 37
ἀγαπήσαντος ἡμᾶς· πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε 38
ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις˚ οὔτε ἐνεστῶτα
οὔτε μέλλοντα· οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑ- 39
τέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ
τῆς ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν·

Ἀλήθειαν λέγω ἐν χριστῷ οὐ ψεύδομαι συμμαρτυρού- **9**
σης μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ· ὅτι λύπη 2
μοί ἐστιν μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου·
ηὐχόμην˚ γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ χριστοῦ 3
ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα·
οἵτινές εἰσιν ἰσραηλῖται ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ δι- 4
αθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι·
ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ χριστὸς τὸ κατὰ σάρκα ὁ ὢν ἐπὶ 5
πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν· οὐχ οἷον δὲ 6
ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ οὐ γὰρ πάντες οἱ ἐξ ἰσ-

**v.32** T*: αλλ, V: αλλα. **v.34** T*: χριστος, V: χριστος [ιησους]. **v.34** T*: και, V: ∅. **v.36** TK: ενεκα, MV: ενεκεν. **v.38** T*: δυναμεις ουτε ενεστωτα ουτε μελλοντα, V: ενεστωτα ουτε μελλοντα ουτε δυναμεις. **9. v.3** TK: ηυχομην γαρ αυτος εγω αναθεμα ειναι, M: ευχομην γαρ αυτος εγω αναθεμα ειναι, V: ηυχομην γαρ αναθεμα ειναι αυτος εγω.

7 ραὴλ οὗτοι ἰσραήλ ⸰ οὐδ᾽ ὅτι εἰσὶν σπέρμα ἀβραὰμ πάντες
8 τέκνα ἀλλ᾽ ἐν ἰσαὰκ κληθήσεταί σοι σπέρμα ⸰ τουτ᾽έστιν οὐ
τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα τοῦ θεοῦ ἀλλὰ τὰ τέκνα
9 τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα ⸰ ἐπαγγελίας γὰρ ὁ
λόγος οὗτος κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι καὶ ἔσται τῇ
10 σάρρᾳ υἱός ⸰ οὐ μόνον δὲ ἀλλὰ καὶ ῥεβέκκα ἐξ ἑνὸς κοίτην
11 ἔχουσα ἰσαὰκ τοῦ πατρὸς ἡμῶν ⸰ μήπω γὰρ γεννηθέντων
μηδὲ πραξάντων τι ἀγαθὸν ἢ καϰὸν ἵνα ἡ κατ᾽ ἐκλογὴν τοῦ˚
θεοῦ πρόθεσις μένῃ οὐκ ἐξ ἔργων ἀλλ᾽ ἐκ τοῦ καλοῦντος ⸰
12, 13 ἐρρήθη αὐτῇ ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι ⸰ καθὼς
14 γέγραπται τὸν ἰακὼβ ἠγάπησα τὸν δὲ ἠσαῦ ἐμίσησα ⸰ τί
15 οὖν ἐροῦμεν μὴ ἀδικία παρὰ τῷ θεῷ μὴ γένοιτο ⸰ τῷ γὰρ˚
μωσῇ λέγει ἐλεήσω ὃν ἂν ἐλεῶ καὶ οἰκτειρήσω˚ ὃν ἂν οἰ-
16 κτείρω ⸰ ἄρα οὖν οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος ἀλλὰ
17 τοῦ ἐλεοῦντος θεοῦ ⸰ λέγει γὰρ ἡ γραφὴ τῷ φαραὼ ὅτι εἰς
αὐτὸ τοῦτο ἐξήγειρά σε ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν
18 μου καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ ⸰ ἄρα
19 οὖν ὃν θέλει ἐλεεῖ ὃν δὲ θέλει σκληρύνει ⸰ ἐρεῖς οὖν˚ μοι τί
20 ἔτι μέμφεται τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν ⸰ με-
νοῦνγε˚ ὦ ἄνθρωπε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ θεῷ μὴ
21 ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι τί με ἐποίησας οὕτως ⸰ ἢ οὐκ
ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυρά-
22 ματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος ὃ δὲ εἰς ἀτιμίαν ⸰ εἰ
δὲ θέλων ὁ θεὸς ἐνδείξασθαι τὴν ὀργὴν καὶ γνωρίσαι τὸ δυ-
νατὸν αὐτοῦ ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς
23 κατηρτισμένα εἰς ἀπώλειαν ⸰ καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον
τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους ἃ προητοίμασεν εἰς δό-
24 ξαν ⸰ οὓς καὶ ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ ἰουδαίων ἀλλὰ
25 καὶ ἐξ ἐθνῶν ⸰ ὡς καὶ ἐν τῷ ὡσηὲ λέγει καλέσω τὸν οὐ λαόν
26 μου λαόν μου καὶ τὴν οὐκ ἠγαπημένην ἠγαπημένην ⸰ καὶ

**v.8** T: τουτεστιν, KMV: τουτ εστιν. **v.11** T*: κακον, V: φαυλον. **v.11** TK: του θεου προθεσις, MV: προθεσις του θεου. **v.12** T*: ερρηθη, V: ερρεθη. **v.15** TK: γαρ μωση, M: γαρ μωυση, V: μωυσει γαρ. **v.15** T*: οικτειρησω ον αν οικτειρω, V: οικτιρησω ον αν οικτιρω. **v.16** T*: ελεουντος, V: ελεωντος. **v.19** T*: ουν μοι τι, V: μοι ουν τι [ουν]. **v.20** T*: μενουνγε ω ανθρωπε, V: ω ανθρωπε μενουνγε.

ἔσται ἐν τῷ τόπῳ οὗ ἐρρήθη αὐτοῖς οὐ λαός μου ὑμεῖς ἐ-
κεῖ κληθήσονται υἱοὶ θεοῦ ζῶντος ◦ ἡσαΐας δὲ κράζει ὑπὲρ 27
τοῦ ἰσραὴλ ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν ἰσραὴλ ὡς ἡ ἄμμος
τῆς θαλάσσης τὸ κατάλειμμα σωθήσεται ◦ λόγον γὰρ συν- 28
τελῶν καὶ συντέμνων ἐν˚ δικαιοσύνῃ ὅτι λόγον συντετμη-
μένον ποιήσει κύριος ἐπὶ τῆς γῆς ◦ καὶ καθὼς προείρηκεν 29
ἡσαΐας εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα ὡς
σόδομα ἂν ἐγενήθημεν καὶ ὡς γόμορρα ἂν ὡμοιώθημεν ◦
τί οὖν ἐροῦμεν ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην κα- 30
τέλαβεν δικαιοσύνην δικαιοσύνην δὲ τὴν ἐκ πίστεως ◦ ἰσ- 31
ραὴλ δὲ διώκων νόμον δικαιοσύνης εἰς νόμον δικαιοσύνης
οὐκ ἔφθασεν ◦ διατὶ ὅτι οὐκ ἐκ πίστεως ἀλλ᾽ ὡς ἐξ ἔργων 32
νόμου˚ προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος ◦ κα- 33
θὼς γέγραπται ἰδοὺ τίθημι ἐν σιὼν λίθον προσκόμματος
καὶ πέτραν σκανδάλου καὶ πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ
καταισχυνθήσεται ◦

Ἀδελφοὶ ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ ἡ δέη- **10**
σις ἡ˚ πρὸς τὸν θεὸν ὑπὲρ τοῦ˚ ἰσραήλ ἐστιν εἰς σωτηρίαν ◦
μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον θεοῦ ἔχουσιν ἀλλ᾽ οὐ κατ᾽ 2
ἐπίγνωσιν ◦ ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην καὶ 3
τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι τῇ δικαιοσύνῃ τοῦ
θεοῦ οὐχ ὑπετάγησαν ◦ τέλος γὰρ νόμου χριστὸς εἰς δι- 4
καιοσύνην παντὶ τῷ πιστεύοντι ◦ μωσῆς γὰρ γράφει τὴν 5
δικαιοσύνην τὴν ἐκ τοῦ νόμου ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρω-
πος ζήσεται ἐν αὐτοῖς ◦ ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως 6
λέγει μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου τίς ἀναβήσεται εἰς τὸν οὐ-
ρανὸν τοῦτ᾽ ἔστιν χριστὸν καταγαγεῖν ◦ ἢ τίς καταβήσεται 7
εἰς τὴν ἄβυσσον τοῦτ᾽ ἔστιν χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν ◦
ἀλλὰ τί λέγει ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου 8
καὶ ἐν τῇ καρδίᾳ σου τοῦτ᾽ ἔστιν τὸ ῥῆμα τῆς πίστεως ὃ

**v.26** T*: ερρηθη, V: ερρεθη. **v.27** T*: καταλειμμα, V: υπολειμμα. **v.28** T*: εν δικαιοσυνη οτι λογον συντετμημενον, V: ∅. **v.31** T*: δικαιοσυνης, V: ∅. **v.32** TK: διατι, MV: δια τι. **v.32** T*: νομου προσεκοψαν γαρ, V: προσεκοψαν. **v.33** T*: πας, V: ∅. **10. v.1** T*: η, V: ∅. **v.1** T*: του ισραηλ εστιν, V: αυτων. **v.5** TK: μωσης, MV: μωυσης.

9 κηρύσσομεν ◦ ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύ-
ριον ἰησοῦν καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ θεὸς
10 αὐτὸν ἤγειρεν ἐκ νεκρῶν σωθήσῃ ◦ καρδίᾳ γὰρ πιστεύε-
ται εἰς δικαιοσύνην στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν ◦
11 λέγει γὰρ ἡ γραφὴ πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ καταισχυν-
12 θήσεται ◦ οὐ γάρ ἐστιν διαστολὴ ἰουδαίου τε καὶ ἕλληνος ὁ
γὰρ αὐτὸς κύριος πάντων πλουτῶν εἰς πάντας τοὺς ἐπικα-
13 λουμένους αὐτόν ◦ πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα
14 κυρίου σωθήσεται ◦ πῶς οὖν ἐπικαλέσὸνται εἰς ὃν οὐκ ἐ-
πίστευσαν πῶς δὲ πιστεύσὸυσιν οὗ οὐκ ἤκουσαν πῶς δὲ
15 ἀκούσὸυσιν χωρὶς κηρύσσοντος ◦ πῶς δὲ κηρύξὸυσιν ἐὰν
μὴ ἀποσταλῶσιν καθὼς γέγραπται ὡς ὡραῖοι οἱ πόδες τῶν
εὐαγγελιζομένων εἰρήνην˚ τῶν εὐαγγελιζομένων τὰ ἀγαθά ◦
16 ἀλλ᾽ οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ ἡσαΐας γὰρ λέ-
17 γει κύριε τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν ◦ ἄρα ἡ πίστις ἐξ
18 ἀκοῆς ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ ◦ ἀλλὰ λέγω μὴ οὐκ
ἤκουσαν μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος
αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν ◦
19 ἀλλὰ λέγω μὴ οὐκ˚ ἔγνω ἰσραὴλ πρῶτος μωσῆς λέγει ἐγὼ
παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει ἐπὶ ἔθνει ἀσυνέτῳ παρορ-
20 γιῶ ὑμᾶς ◦ ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει εὑρέθην τοῖς ἐμὲ
μὴ ζητοῦσιν ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν ◦
21 πρὸς δὲ τὸν ἰσραὴλ λέγει ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς
χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα ◦

**11** Λέγω οὖν μὴ ἀπώσατο ὁ θεὸς τὸν˚ λαὸν αὐτοῦ μὴ γέ-
νοιτο καὶ γὰρ ἐγὼ ἰσραηλίτης εἰμὶ ἐκ σπέρματος ἀβραὰμ
2 φυλῆς βενϊαμίν ◦ οὐκ ἀπώσατο ὁ θεὸς τὸν λαὸν αὐτοῦ ὃν
προέγνω ἢ οὐκ οἴδατε ἐν ἡλίᾳ τί λέγει ἡ γραφὴ ὡς ἐντυγχά-
3 νει τῷ θεῷ κατὰ τοῦ ἰσραὴλ λέγων ◦ κύριε τοὺς προφήτας

---

**v.14** T*: επικαλεσονται, V: επικαλεσωνται. **v.14** T*: πιστευσουσιν, V: πιστευσωσιν. **v.14** T*: ακουσουσιν, V: ακουσωσιν. **v.15** T*: κηρυξουσιν, V: κηρυξωσιν. **v.15** T*: ειρηνην των ευαγγελιζομενων τα, V: [τα]. **v.17** T*: θεου, V: χριστου. **v.19** T*: ουκ εγνω ισραηλ, V: ισραηλ ουκ εγνω. **v.19** TK: μωσης, MV: μωυσης. **v.19** T*: επι, V: επ. **v.20** T*: τοις, V: [εν] τοις. **11. v.1** E: τον λαον, F: την κληρονομιαν. **v.2** T*: λεγων, V: ∅.

σου ἀπέκτειναν κἀὶ τὰ θυσιαστήριά σου κατέσκαψαν κἀγὼ
ὑπελείφθην μόνος καὶ ζητοῦσιν τὴν ψυχήν μου ⸰ ἀλλὰ τί 4
λέγει αὐτῷ ὁ χρηματισμὸς κατέλιπον ἐμαυτῷ ἑπτακισχιλί-
ους ἄνδρας οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ βάαλ ⸰ οὕτως οὖν 5
καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ᾽ ἐκλογὴν χάριτος γέγονεν ⸰
εἰ δὲ χάριτι οὐκ᾽ ἔτι ἐξ ἔργων ἐπεὶ ἡ χάρις οὐκ᾽ ἔτι γίνε- 6
ται χάρις εἰ᾽ δὲ ἐξ ἔργων οὐκ ἔτι ἐστὶν χάρις ἐπεὶ τὸ ἔργον
οὐκ ἔτι ἐστὶν ἔργον ⸰ τί οὖν ὃ ἐπιζητεῖ ἰσραὴλ τούτου οὐκ 7
ἐπέτυχεν ἡ δὲ ἐκλογὴ ἐπέτυχεν οἱ δὲ λοιποὶ ἐπωρώθησαν ⸰
καθὼς γέγραπται ἔδωκεν αὐτοῖς ὁ θεὸς πνεῦμα κατανύ- 8
ξεως ὀφθαλμοὺς τοῦ μὴ βλέπειν καὶ ὦτα τοῦ μὴ ἀκούειν
ἕως τῆς σήμερον ἡμέρας ⸰ καὶ δαβὶδ λέγει γενηθήτω ἡ τρά- 9
πεζα αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν καὶ εἰς σκάνδαλον
καὶ εἰς ἀνταπόδομα αὐτοῖς ⸰ σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ 10
αὐτῶν τοῦ μὴ βλέπειν καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγ-
καμψον ⸰ λέγω οὖν μὴ ἔπταισαν ἵνα πέσωσιν μὴ γένοιτο 11
ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν εἰς τὸ
παραζηλῶσαι αὐτούς ⸰ εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος 12
κόσμου καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν πόσῳ μᾶλλον
τὸ πλήρωμα αὐτῶν ⸰ ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν ἐφ᾽ ὅσον 13
μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος τὴν διακονίαν μου δοξάζω ⸰
εἴ πως παραζηλώσω μου τὴν σάρκα καὶ σώσω τινὰς ἐξ αὐ- 14
τῶν ⸰ εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου τίς ἡ 15
πρόσληψις εἰ μὴ ζωὴ ἐκ νεκρῶν ⸰ εἰ δὲ ἡ ἀπαρχὴ ἁγία καὶ 16
τὸ φύραμα καὶ εἰ ἡ ῥίζα ἁγία καὶ οἱ κλάδοι ⸰ εἰ δέ τινες 17
τῶν κλάδων ἐξεκλάσθησαν σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρί-
σθης ἐν αὐτοῖς καὶ συγκοινωνὸς τῆς ῥίζης κἀὶ τῆς πιότη-
τος τῆς ἐλαίας ἐγένου ⸰ μὴ κατακαυχῶ τῶν κλάδων εἰ δὲ 18
κατακαυχᾶσαι οὐ σὺ τὴν ῥίζαν βαστάζεις ἀλλ᾽ ἡ ῥίζα σέ ⸰
ἐρεῖς οὖν ἐξεκλάσθησαν ὁἱ κλάδοι ἵνα ἐγὼ ἐγκεντρισθῶ ⸰ 19

**v.3** T*: και, V: ∅. **v.6** T: ουκ ετι, KMV: ουκετι. **v.6** T: ει δε εξ εργων ουκ ετι εστιν χαρις επει το εργον ουκ ετι εστιν εργον, KM: ει δε εξ εργων ουκετι εστιν χαρις επει το εργον ουκετι εστιν εργον, V: ∅. **v.7** TK: τουτου, MV: τουτο. **v.9** T*: δαβιδ, V: δαυιδ. **v.10** T: διαπαντος, KMV: δια παντος. **v.13** T*: γαρ, V: δε. **v.13** T*: μεν, V: μεν ουν. **v.15** T*: προσληψις, V: προσλημψις. **v.17** T*: και, V: ∅. **v.18** T*: αλλ, V: αλλα.

καλῶς τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν σὺ δὲ τῇ πίστει ἕστηκας
μὴ ὑψηλὸφρόνει ἀλλὰ φοβοῦ ⸰ εἰ γὰρ ὁ θεὸς τῶν κατὰ φύ-
σιν κλάδων οὐκ ἐφείσατο μήπως οὐδέ σου φείσηται ⸰ ἴδε
οὖν χρηστότητα καὶ ἀποτομίαν θεοῦ ἐπὶ μὲν τοὺς πεσόντας
ἀποτομίαν˙ ἐπὶ δέ σε χρηστότητα ἐὰν ἐπιμείνῃς τῇ χρηστό-
τητι ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ ⸰ καὶ˙ ἐκεῖνοι δὲ ἐὰν μὴ ἐπι-
μείνωσιν τῇ ἀπιστίᾳ ἐγκεντρισθήσονται δυνατὸς γάρ ἐστιν
ὁ θεὸς πάλιν ἐγκεντρίσαι αὐτούς ⸰ εἰ γὰρ σὺ ἐκ τῆς κατὰ
φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης
εἰς καλλιέλαιον πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεν-
τρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ ⸰ οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν
ἀδελφοὶ τὸ μυστήριον τοῦτο ἵνα μὴ ἦτε παρ᾽ ἑαυτοῖς φρό-
νιμοι ὅτι πώρωσις ἀπὸ μέρους τῷ ἰσραὴλ γέγονεν ἄχριȣ
οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ ⸰ καὶ οὕτως πᾶς ἰσραὴλ
σωθήσεται καθὼς γέγραπται ἥξει ἐκ σιὼν ὁ ῥυόμενος κἀι
ἀποστρέψει ἀσεβείας ἀπὸ ἰακώβ ⸰ καὶ αὕτη αὐτοῖς ἡ παρ᾽
ἐμοῦ διαθήκη ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν ⸰ κατὰ
μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι᾽ ὑμᾶς κατὰ δὲ τὴν ἐκλογὴν
ἀγαπητοὶ διὰ τοὺς πατέρας ⸰ ἀμεταμέλητα γὰρ τὰ χαρί-
σματα καὶ ἡ κλῆσις τοῦ θεοῦ ⸰ ὥσπερ γὰρ κἀι ὑμεῖς ποτε
ἠπειθήσατε τῷ θεῷ νῦν δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ ⸰
οὕτως καὶ οὗτοι νῦν ἠπείθησαν τῷ ὑμετέρῳ ἐλέει ἵνα καὶ
αὐτοὶ ἐλεηθῶσιν ⸰ συνέκλεισεν γὰρ ὁ θεὸς τοὺς πάντας εἰς
ἀπείθειαν ἵνα τοὺς πάντας ἐλεήσῃ ⸰ ὦ βάθος πλούτου καὶ
σοφίας καὶ γνώσεως θεοῦ ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐ-
τοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ ⸰ τίς γὰρ ἔγνω νοῦν
κυρίου ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο ⸰ ἢ τίς προέδωκεν
αὐτῷ καὶ ἀνταποδοθήσεται αὐτῷ ⸰ ὅτι ἐξ αὐτοῦ καὶ δι᾽ αὐ-
τοῦ καὶ εἰς αὐτὸν τὰ πάντα αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας

**v.19** TK: οι, MV: ∅. **v.20** T*: υψηλοφρονει, V: υψηλα φρονει. **v.21** TK: μηπως, M: μη πως, V: [μη πως]. **v.21** TK: φεισηται, MV: φεισεται. **v.22** T*: αποτομιαν επι δε σε χρηστοτητα εαν επιμεινης, V: αποτομια επι δε σε χρηστοτης θεου εαν επιμενης. **v.23** T*: και εκεινοι, V: κακεινοι. **v.23** T*: επιμεινωσιν, V: επιμενωσιν. **v.25** T*: αχρις, V: αχρι. **v.26** T*: και, V: ∅. **v.30** T*: και, V: ∅. **v.31** T*: ελεηθωσιν, V: [νυν] ελεηθωσιν. **v.33** T*: ανεξερευνητα, V: ανεξεραυνητα.

ἀμήν ⸰

Παρακαλῶ οὖν ὑμᾶς ἀδελφοὶ διὰ τῶν οἰκτιρμῶν τοῦ Θε- **12**
οῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν ἁγίαν εὐ-
άρεστον τῷ θεῷ τὴν λογικὴν λατρείαν ὑμῶν ⸰ καὶ μὴ συ- 2
σχηματίζεσθε τῷ αἰῶνι τούτῳ ἀλλὰ μεταμορφοῦσθε τῇ ἀ-
νακαινώσει τοῦ νοὸς ὑμῶν εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ
θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον ⸰
λέγω γὰρ διὰ τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ ὄντι ἐν 3
ὑμῖν μὴ ὑπερφρονεῖν παρ᾽ ὃ δεῖ φρονεῖν ἀλλὰ φρονεῖν εἰς
τὸ σωφρονεῖν ἑκάστῳ ὡς ὁ θεὸς ἐμέρισεν μέτρον πίστεως ⸰
καθάπερ γὰρ ἐν ἑνὶ σώματι μέλη˚ πολλὰ ἔχομεν τὰ δὲ μέλη 4
πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν ⸰ οὕτως οἱ πολλοὶ ἓν σῶμά 5
ἐσμεν ἐν χριστῷ ὁ˚ δὲ καθ᾽ εἷς ἀλλήλων μέλη ⸰ ἔχοντες δὲ 6
χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα εἴτε
προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως ⸰ εἴτε διακο- 7
νίαν ἐν τῇ διακονίᾳ εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ ⸰ εἴτε 8
ὁ παρακαλῶν ἐν τῇ παρακλήσει ὁ μεταδιδοὺς ἐν ἁπλότητι
ὁ προϊστάμενος ἐν σπουδῇ ὁ ἐλεῶν ἐν ἱλαρότητι ⸰ ἡ ἀγάπη 9
ἀνυπόκριτος ἀποστυγοῦντες τὸ πονηρὸν κολλώμενοι τῷ ἀ-
γαθῷ ⸰ τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι τῇ τιμῇ 10
ἀλλήλους προηγούμενοι ⸰ τῇ σπουδῇ μὴ ὀκνηροὶ τῷ πνεύ- 11
ματι ζέοντες τῷ κἀιρῷ δουλεύοντες ⸰ τῇ ἐλπίδι χαίροντες τῇ 12
θλίψει ὑπομένοντες τῇ προσευχῇ προσκαρτεροῦντες ⸰ ταῖς 13
χρείαις τῶν ἁγίων κοινωνοῦντες τὴν φιλοξενίαν διώκοντες ⸰
εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς εὐλογεῖτε καὶ μὴ καταρᾶ- 14
σθε ⸰ χαίρειν μετὰ χαιρόντων κἀι κλαίειν μετὰ κλαιόντων ⸰ 15
τὸ αὐτὸ εἰς ἀλλήλους φρονοῦντες μὴ τὰ ὑψηλὰ φρονοῦν- 16
τες ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι μὴ γίνεσθε φρόνι-
μοι παρ᾽ ἑαυτοῖς ⸰ μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες 17
προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων ⸰ εἰ δυνα- 18
τὸν τὸ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες ⸰ μὴ 19
ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοὶ ἀλλὰ δότε τόπον τῇ ὀργῇ

**12. v.2** T*: υμων, V: ∅. **v.4** T*: μελη πολλα, V: πολλα μελη. **v.5** T*: ο, V: το. **v.11** T: καιρω, KMV: κυριω. **v.15** T*: και, V: ∅.

γέγραπται γὰρ ἐμοὶ ἐκδίκησις ἐγὼ ἀνταποδώσω λέγει κύ-
20 ριος ⸰ ἐὰν˚ οὖν πεινᾷ ὁ ἐχθρός σου ψώμιζε αὐτὸν ἐὰν διψᾷ
πότιζε αὐτὸν τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις
21 ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ⸰ μὴ νικῶ ὑπὸ τοῦ κακοῦ ἀλλὰ
νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν ⸰

**13** Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω οὐ
γάρ ἐστιν ἐξουσία εἰ μὴ ἀπὸ θεοῦ αἱ δὲ οὖσαι ἐξουσίαι˚
2 ὑπὸ τοῦ θεοῦ τεταγμέναι εἰσίν ⸰ ὥστε ὁ ἀντιτασσόμενος τῇ
ἐξουσίᾳ τῇ τοῦ θεοῦ διαταγῇ ἀνθέστηκεν οἱ δὲ ἀνθεστηκό-
3 τες ἑαυτοῖς κρίμα λήψονται ⸰ οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶν
φόβος τῶν˚ ἀγαθῶν ἔργων ἀλλὰ τῶν κακῶν θέλεις δὲ μὴ
φοβεῖσθαι τὴν ἐξουσίαν τὸ ἀγαθὸν ποίει καὶ ἕξεις ἔπαινον
4 ἐξ αὐτῆς ⸰ θεοῦ γὰρ διάκονός ἐστιν σοὶ εἰς τὸ ἀγαθόν ἐὰν
δὲ τὸ κακὸν ποιῇς φοβοῦ οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ
θεοῦ γὰρ διάκονός ἐστιν ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν
5 πράσσοντι ⸰ διὸ ἀνάγκη ὑποτάσσεσθαι οὐ μόνον διὰ τὴν
6 ὀργὴν ἀλλὰ καὶ διὰ τὴν συνείδησιν ⸰ διὰ τοῦτο γὰρ καὶ
φόρους τελεῖτε λειτουργοὶ γὰρ θεοῦ εἰσιν εἰς αὐτὸ τοῦτο
7 προσκαρτεροῦντες ⸰ ἀπόδοτε οὖν πᾶσιν τὰς ὀφειλάς τῷ τὸν
φόρον τὸν φόρον τῷ τὸ τέλος τὸ τέλος τῷ τὸν φόβον τὸν φό-
8 βον τῷ τὴν τιμὴν τὴν τιμήν ⸰ μηδενὶ μηδὲν ὀφείλετε εἰ μὴ τὸ
ἀγαπᾶν˚ ἀλλήλους ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον νόμον πεπλήρω-
9 κεν ⸰ τὸ γὰρ οὐ μοιχεύσεις οὐ φονεύσεις οὐ κλέψεις οὐ˚
ψευδομαρτυρήσεις οὐκ ἐπιθυμήσεις καὶ εἴ τις ἑτέρα ἐντο-
λὴ ἐν τούτῳ˚ τῷ λόγῳ ἀνακεφαλαιοῦται ἐν τῷ ἀγαπήσεις
10 τὸν πλησίον σου ὡς ἑαυτόν ⸰ ἡ ἀγάπη τῷ πλησίον κακὸν
11 οὐκ ἐργάζεται πλήρωμα οὖν νόμου ἡ ἀγάπη ⸰ καὶ τοῦτο
εἰδότες τὸν καιρὸν ὅτι ὥρα ἡμᾶς˚ ἤδη ἐξ ὕπνου ἐγερθῆναι
νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν ⸰
12 ἡ νὺξ προέκοψεν ἡ δὲ ἡμέρα ἤγγικεν ἀπόθώμεθα οὖν τὰ

**v.20** T*: εαν ουν, V: αλλα εαν. **13. v.1** TK: απο, MV: υπο. **v.1** T*: εξουσιαι υπο του, V: υπο. **v.2** T*: ληψονται, V: λημψονται. **v.3** T*: των αγαθων εργων αλλα των κακων, V: τω αγαθω εργω αλλα τω κακω. **v.7** T*: ουν, V: ∅. **v.8** T*: αγαπαν αλληλους, V: αλληλους αγαπαν. **v.9** TK: ου ψευδομαρτυρησεις, MV: ∅. **v.9** T*: τουτω τω λογω, V: τω λογω τουτω. **v.9** TK: εαυτον, MV: σεαυτον. **v.11** T*: ημας ηδη, V: ηδη υμας.

ἔργα τοῦ σκότους καὶ˚ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός· 13
ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν μὴ κώμοις καὶ
μέθαις μὴ κοίταις καὶ ἀσελγείαις μὴ ἔριδι καὶ ζήλῳ· 14
ἀλλ᾽ ἐνδύσασθε τὸν κύριον ἰησοῦν χριστὸν καὶ τῆς σαρκὸς πρό-
νοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας·

**14** Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε μὴ εἰς 2
διακρίσεις διαλογισμῶν· ὃς μὲν πιστεύει φαγεῖν πάντα ὁ 3
δὲ ἀσθενῶν λάχανα ἐσθίει· ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ
ἐξουθενείτω καὶ˚ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω ὁ 4
θεὸς γὰρ αὐτὸν προσελάβετο· σὺ τίς εἶ ὁ κρίνων ἀλλό-
τριον οἰκέτην τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει σταθήσεται δὲ
δυνατὸς˚ γάρ ἐστιν ὁ θεὸς στῆσαι αὐτόν· ὃς μὲν κρίνει ἡ- 5
μέραν παρ᾽ ἡμέραν ὃς δὲ κρίνει πᾶσαν ἡμέραν ἕκαστος ἐν
τῷ ἰδίῳ νοῒ πληροφορείσθω· ὁ φρονῶν τὴν ἡμέραν κυρίῳ 6
φρονεῖ καὶ ὁ˚ μὴ φρονῶν τὴν ἡμέραν κυρίῳ οὐ φρονεῖ ὁ ἐ-
σθίων κυρίῳ ἐσθίει εὐχαριστεῖ γὰρ τῷ θεῷ καὶ ὁ μὴ ἐσθίων
κυρίῳ οὐκ ἐσθίει καὶ εὐχαριστεῖ τῷ θεῷ· οὐδεὶς γὰρ ἡ- 7
μῶν ἑαυτῷ ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει· ἐάν τε γὰρ 8
ζῶμεν τῷ κυρίῳ ζῶμεν ἐάν τε ἀποθνήσκωμεν τῷ κυρίῳ ἀ-
ποθνήσκομεν ἐάν τε οὖν ζῶμεν ἐάν τε ἀποθνήσκωμεν τοῦ
κυρίου ἐσμέν· εἰς τοῦτο γὰρ χριστὸς καὶ˚ ἀπέθανεν καὶ 9
ἀνέστη καὶ ἀνέζησεν ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ·
σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν 10
ἀδελφόν σου πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ
χριστοῦ· γέγραπται γὰρ ζῶ ἐγὼ λέγει κύριος ὅτι ἐμοὶ κάμ- 11
ψει πᾶν γόνυ καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ θεῷ·
ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ θεῷ· 12
μηκέτι οὖν ἀλλήλους κρίνωμεν ἀλλὰ τοῦτο κρίνατε μᾶλλον 13
τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον· οἶδα 14

---

**v.12** E: αποθωμεθα, F: αποβαλωμεθα. **v.12** T*: και ενδυσωμεθα, V: ενδυσωμεθα [δε]. **v.14** T*: αλλ, V: αλλα. **14. v.3** T*: και ο, V: ο δε. **v.4** T*: δυνατος γαρ εστιν ο θεος, V: δυνατει γαρ ο κυριος. **v.5** T*: μεν, V: μεν [γαρ]. **v.6** TK: ο μη φρονων την ημεραν κυριω ου φρονει, M: ο μη φρονων την ημεραν κυριω ου φρονει και, V: ∅. **v.9** TK: και απεθανεν και ανεστη και ανεζησεν, M: και απεθανεν και ανεστη και εζησεν, V: απεθανεν και εζησεν. **v.10** T*: χριστου, V: θεου.

καὶ πέπεισμαι ἐν κυρίῳ ἰησοῦ ὅτι οὐδὲν κοινὸν δι᾽ ἑαυτοῦ
15 εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι ἐκείνῳ κοινόν· εἰ δὲ˚
διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται οὐκ˚ ἔτι κατὰ ἀγάπην
περιπατεῖς μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε ὑπὲρ οὗ
16 χριστὸς ἀπέθανεν· μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγα-
17 θόν· οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις
ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ·
18 ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ χριστῷ εὐάρεστος τῷ θεῷ καὶ
19 δόκιμος τοῖς ἀνθρώποις· ἄρα οὖν τὰ τῆς εἰρήνης διώκω-
20 μεν καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους· μὴ ἕνεκεν
βρώματος κατάλυε τὸ ἔργον τοῦ θεοῦ πάντα μὲν καθαρὰ
ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι·
21 καλὸν τὸ μὴ φαγεῖν κρέα μηδὲ πιεῖν οἶνον μηδὲ ἐν ᾧ ὁ
22 ἀδελφός σου προσκόπτει ἢ˚ σκανδαλίζεται ἢ ἀσθενεῖ· σὺ
πίστιν ἔχεις˚ κατὰ σαυτὸν ἔχε ἐνώπιον τοῦ θεοῦ μακάριος
23 ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει· ὁ δὲ διακρινόμενος
ἐὰν φάγῃ κατακέκριται ὅτι οὐκ ἐκ πίστεως πᾶν δὲ ὃ οὐκ
ἐκ πίστεως ἁμαρτία ἐστίν᾽·

**15** Ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀ-
2 δυνάτων βαστάζειν καὶ μὴ ἑαυτοῖς ἀρέσκειν· ἕκαστος γὰρ
ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδο-
3 μήν· καὶ γὰρ ὁ χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν ἀλλὰ καθὼς
γέγραπται οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσόν ἐπ᾽
4 ἐμέ· ὅσα γὰρ προεγράφη εἰς τὴν ἡμετέραν διδασκαλίαν
προεγράφη ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως
5 τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν· ὁ δὲ θεὸς τῆς ὑπομονῆς
καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλή-

---

**v.14** TKV: εαυτου, M: αυτου. **v.15** T*: δε, V: γαρ. **v.15** T: ουκ ετι, KMV: ουκετι. **v.18** T*: τουτοις, V: τουτω. **v.21** T*: η σκανδαλιζεται η ασθενει, V: ∅. **v.22** TK: εχεις κατα σαυτον, M: εχεις κατα σεαυτον, V: [ην] εχεις κατα σεαυτον. **v.23** TKV: εστιν, M: εστιν + v.24 τω δε δυναμενω υμας στηριξαι κατα το ευαγγελιον μου και το κηρυγμα ιησου χριστου κατα αποκαλυψιν μυστηριου χρονοις αιωνιοις σεσιγημενου + v.25 φανερωθεντος δε νυν δια τε γραφων προφητικων κατ επιταγην του αιωνιου θεου εις υπακοην πιστεως εις παντα τα εθνη γνωρισθεντος + v.26 μονω σοφω θεω δια ιησου χριστου ω η δοξα εις τους αιωνας αμην. **15. v.2** TK: γαρ, MV: ∅. **v.3** T*: επεπεσον, V: επεπεσαν. **v.4** T*: προεγραφη, V: εγραφη. **v.4** TK: της, MV: δια της.

λοις κατὰ χριστὸν ἰησοῦν ◦ ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι 6
δοξάζητε τὸν θεὸν καὶ πατέρα τοῦ κυρίου ἡμῶν ἰησοῦ χρι-
στοῦ ◦ διὸ προσλαμβάνεσθε ἀλλήλους καθὼς καὶ ὁ χριστὸς 7
προσελάβετο ἡμᾶς εἰς δόξαν θεοῦ ◦ λέγω δὲ ἰησοῦν χρι- 8
στὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ
εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων ◦ τὰ δὲ ἔ- 9
θνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεὸν καθὼς γέγραπται διὰ
τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσιν καὶ τῷ ὀνοματί σου
ψαλῶ ◦ καὶ πάλιν λέγει εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ 10
αὐτοῦ ◦ καὶ πάλιν αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη καὶ 11
ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί ◦ καὶ πάλιν ἡσαΐας λέγει 12
ἔσται ἡ ῥίζα τοῦ ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν
ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσιν ◦ ὁ δὲ θεὸς τῆς ἐλπίδος πληρώσαι 13
ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν εἰς τὸ πε-
ρισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι ἐν δυνάμει πνεύματος ἁγίου ◦
πέπεισμαι δὲ ἀδελφοί μου καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν ὅτι 14
καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης πεπληρωμένοι πάσης
γνώσεως δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν ◦ τολμηρότε- 15
ρον δὲ ἔγραψα ὑμῖν ἀδελφοὶ ἀπὸ μέρους ὡς ἐπαναμιμνή-
σκων ὑμᾶς διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ θεοῦ ◦
εἰς τὸ εἶναί με λειτουργὸν ἰησοῦ χριστοῦ εἰς τὰ ἔθνη ἱε- 16
ρουργοῦντα τὸ εὐαγγέλιον τοῦ θεοῦ ἵνα γένηται ἡ προσφο-
ρὰ τῶν ἐθνῶν εὐπρόσδεκτος ἡγιασμένη ἐν πνεύματι ἁγίῳ ◦
ἔχω οὖν καύχησιν ἐν χριστῷ ἰησοῦ τὰ πρὸς θεόν ◦ οὐ γὰρ 17, 18
τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο χριστὸς δι᾽ ἐμοῦ εἰς
ὑπακοὴν ἐθνῶν λόγῳ καὶ ἔργῳ ◦ ἐν δυνάμει σημείων καὶ 19
τεράτων ἐν δυνάμει πνεύματος θεοῦ ὥστε με ἀπὸ ἱερου-
σαλὴμ καὶ κύκλῳ μέχρι τοῦ ἰλλυρικοῦ πεπληρωκέναι τὸ
εὐαγγέλιον τοῦ χριστοῦ ◦ οὕτως δὲ φιλοτιμούμενον εὐαγ- 20

**v.7** TK: ημας, MV: υμας. **v.7** T*: θεου, V: του θεου. **v.8** TK: δε ιησουν χριστον, M: δε χριστον ιησουν, V: γαρ χριστον. **v.11** T*: τον κυριον παντα τα εθνη και επαινεσατε, V: παντα τα εθνη τον κυριον και επαινεσατωσαν. **v.14** T*: γνωσεως, V: [της] γνωσεως. **v.14** TKV: αλληλους, M: αλλους. **v.15** T*: αδελφοι, V: ∅. **v.16** T*: ιησου χριστου, V: χριστου ιησου. **v.17** T*: καυχησιν, V: [την] καυχησιν. **v.17** TK: θεον, MV: τον θεον. **v.18** T*: λαλειν τι, V: τι λαλειν.

γελίζεσθαι οὐχ ὅπου ὠνομάσθη χριστὸς ἵνα μὴ ἐπ᾽ ἀλλό-
21 τριον θεμέλιον οἰκοδομῶ· ἀλλὰ καθὼς γέγραπται οἷς οὐκ
ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται καὶ οἳ οὐκ ἀκηκόασιν συν-
22 ήσουσιν· διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν πρὸς
23 ὑμᾶς· νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν τοῖς κλίμασιν τούτοις
ἐπιποθίαν δὲ ἔχων τοῦ ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐ-
24 τῶν· ὡς ἐὰν πορεύωμαι εἰς τὴν σπανίαν ἐλεύσομαι˚ πρὸς
ὑμᾶς ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι ὑμᾶς καὶ ὑφ᾽
ὑμῶν προπεμφθῆναι ἐκεῖ ἐὰν ὑμῶν πρῶτον ἀπὸ μέρους
25 ἐμπλησθῶ· νυνὶ δὲ πορεύομαι εἰς ἰερουσαλὴμ διακονῶν
26 τοῖς ἁγίοις· εὐδόκησαν γὰρ μακεδονία καὶ ἀχαΐα κοινω-
νίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν
27 ἰερουσαλήμ· εὐδόκησαν γὰρ καὶ ὀφειλέται αὐτῶν˚ εἰσιν
εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη ὀφεί-
28 λουσιν καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς· τοῦτο
οὖν ἐπιτελέσας καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν τοῦ-
29 τον ἀπελεύσομαι δι᾽ ὑμῶν εἰς ῆὴν σπανίαν· οἶδα δὲ ὅτι ἐρ-
χόμενος πρὸς ὑμᾶς ἐν πληρώματι εὐλογίας τοῦ˚ εὐαγγε-
30 λίου τοῦ χριστοῦ ἐλεύσομαι· παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ
διὰ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ καὶ διὰ τῆς ἀγάπης
τοῦ πνεύματος συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑ-
31 πὲρ ἐμοῦ πρὸς τὸν θεόν· ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων
ἐν τῇ ἰουδαίᾳ καὶ ἵνα ἡ διακόνία μου ἡ εἰς ἰερουσαλὴμ εὐ-
32 πρόσδεκτος γένηται˚ τοῖς ἁγίοις· ἵνα ἐν χαρᾷ ἔλθὼ πρὸς
33 ὑμᾶς διὰ θελήματος θεοῦ κἀὶ συναναπαύσωμαι ὑμῖν· ὁ
δὲ θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν ἀμήν·

**16** Συνίστημι δὲ ὑμῖν φοίβην τὴν ἀδελφὴν ἡμῶν οὖσαν δι-
2 άκονον τῆς ἐκκλησίας τῆς ἐν κεγχρεαῖς· ἵνα αὐτὴν προσ-
δέξησθε ἐν κυρίῳ ἀξίως τῶν ἁγίων καὶ παραστῆτε αὐτῇ ἐν ᾧ
ἂν ὑμῶν χρῄζῃ πράγματι καὶ γὰρ αὕτη προστάτις πολλῶν

---

**v.24** T*: εαν, V: αν. **v.24** T*: ελευσομαι προς υμας, V: ∅. **v.27** T*: αυτων εισιν, V: εισιν αυτων. **v.28** T*: την, V: ∅. **v.29** T*: του ευαγγελιου του, V: ∅. **v.31** T*: ινα, V: ∅. **v.31** E: διακονια, F: δωροφορια. **v.31** T*: γενηται τοις αγιοις, V: τοις αγιοις γενηται. **v.32** T*: ελθω, V: ελθων. **v.32** T*: και, V: ∅. **16. v.1** TKV: υμιν, M: ∅. **v.1** T*: διακονον, V: [και] διακονον.

ἐγενήθη καὶ αὐτοῦ˚ ἐμοῦ· ἀσπάσασθε πρίσκιλλαν καὶ ἀ- 3
κύλαν τοὺς συνεργούς μου ἐν χριστῷ ἰησοῦ· οἵτινες ὑπὲρ 4
τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν οἷς οὐκ
ἐγὼ μόνος εὐχαριστῶ ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν
ἐθνῶν· καὶ τὴν κατ᾽ οἶκον αὐτῶν ἐκκλησίαν ἀσπάσασθε ἐ- 5
παίνετον τὸν ἀγαπητόν μου ὅς ἐστιν ἀπαρχὴ τῆς ἀχαΐας
εἰς χριστόν· ἀσπάσασθε μαριὰμ ἥτις πολλὰ ἐκοπίασεν εἰς 6
ἡμᾶς· ἀσπάσασθε ἀνδρόνικον καὶ ἰουνίαν τοὺς συγγε- 7
νεῖς μου καὶ συναιχμαλώτους μου οἵτινές εἰσιν ἐπίσημοι
ἐν τοῖς ἀποστόλοις οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν χριστῷ·
ἀσπάσασθε ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν κυρίῳ· ἀσπά- 8, 9
σασθε οὐρβανὸν τὸν συνεργὸν ἡμῶν ἐν χριστῷ καὶ στάχυν
τὸν ἀγαπητόν μου· ἀσπάσασθε ἀπελλῆν τὸν δόκιμον ἐν 10
χριστῷ ἀσπάσασθε τοὺς ἐκ τῶν ἀριστοβούλου· ἀσπάσα- 11
σθε ἡρῳδίωνα τὸν συγγενῆ μου ἀσπάσασθε τοὺς ἐκ τῶν
ναρκίσσου τοὺς ὄντας ἐν κυρίῳ· ἀσπάσασθε τρύφαιναν 12
καὶ τρυφῶσαν τὰς κοπιώσας ἐν κυρίῳ ἀσπάσασθε περσίδα
τὴν ἀγαπητὴν ἥτις πολλὰ ἐκοπίασεν ἐν κυρίῳ· ἀσπάσα- 13
σθε ῥοῦφον τὸν ἐκλεκτὸν ἐν κυρίῳ καὶ τὴν μητέρα αὐτοῦ
καὶ ἐμοῦ· ἀσπάσασθε ἀσύγκριτον φλέγοντα ἑρμᾶν˚ πα- 14
τρόβαν ἑρμῆν καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς· ἀσπάσασθε 15
φιλόλογον καὶ ἰουλίαν νηρέα καὶ τὴν ἀδελφὴν αὐτοῦ καὶ
ὀλυμπᾶν καὶ τοὺς σὺν αὐτοῖς πάντας ἁγίους· ἀσπάσασθε 16
ἀλλήλους ἐν φιλήματι ἁγίῳ ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι
τοῦ χριστοῦ· παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ σκοπεῖν τοὺς 17
τὰς διχοστασίας καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν ἣν ὑ-
μεῖς ἐμάθετε ποιοῦντας καὶ ἐκκλίνατε ἀπ᾽ αὐτῶν· οἱ γὰρ 18
τοιοῦτοι τῷ κυρίῳ ἡμῶν ἰησοῦ χριστῷ οὐ δουλεύουσιν ἀλλὰ
τῇ ἑαυτῶν κοιλίᾳ καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας
ἐξαπατῶσιν τὰς καρδίας τῶν ἀκάκων· ἡ γὰρ ὑμῶν ὑπακοὴ 19

**v.2** T*: αυτου εμου, V: εμου αυτου. **v.3** TK: πρισκιλλαν, MV: πρισκαν. **v.5** T*: αχαιας, V: ασιας. **v.6** T*: μαριαμ, V: μαριαν. **v.6** T*: ημας, V: υμας. **v.7** T*: γεγονασιν, V: γεγοναν. **v.8** T*: αμπλιαν, V: αμπλιατον. **v.11** TK: ηροδιωνα, MV: ηρωδιωνα. **v.14** T*: ερμαν πατροβαν ερμην, V: ερμην πατροβαν ερμαν. **v.16** T*: εκκλησιαι, V: εκκλησιαι πασαι. **v.17** T*: εκκλινατε, V: εκκλινετε. **v.18** T*: ιησου, V: ∅.

εἰς πάντας ἀφίκετο χαίρω˚ οὖν τὸ ἐφ᾽ ὑμῖν θέλω δὲ ὑμᾶς
σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν ἀκεραίους δὲ εἰς τὸ κακόν ◦
20 ὁ δὲ θεὸς τῆς εἰρήνης συντρίψει τὸν σατανᾶν ὑπὸ τοὺς πό-
δας ὑμῶν ἐν τάχει ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ
21 μεθ᾽ ὑμῶν˙ ◦ ἀσπάζονται ὑμᾶς τιμόθεος ὁ συνεργός μου
καὶ λούκιος καὶ ἰάσων καὶ σωσίπατρος οἱ συγγενεῖς μου ◦
22 ἀσπάζομαι ὑμᾶς ἐγὼ τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν ἐν
23 κυρίῳ ◦ ἀσπάζεται ὑμᾶς γάϊος ὁ ξένος μου καὶ τῆς˚ ἐκκλη-
σίας ὅλης ἀσπάζεται ὑμᾶς ἔραστος ὁ οἰκονόμος τῆς πόλεως
24 καὶ κούαρτος ὁ ἀδελφός ◦ ἡ˚ χάρις τοῦ κυρίου ἡμῶν ἰη-
25 σοῦ χριστοῦ μετὰ πάντων ὑμῶν ἀμήν ◦ τῷ˚ δὲ δυναμένῳ
ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα
ἰησοῦ χριστοῦ κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰω-
26 νίοις σεσιγημένου ◦ φανερωθέντος˚ δὲ νῦν διά τε γραφῶν
προφητικῶν κατ᾽ ἐπιταγὴν τοῦ αἰωνίου θεοῦ εἰς ὑπακοὴν
27 πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος ◦ μόνῳ˚ σοφῷ θεῷ
διὰ ἰησοῦ χριστοῦ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν ◦ Πρὸς˚
ῥωμαίους ἐγράφη ἀπὸ κορίνθου διὰ φοίβης τῆς διακόνου
τῆς ἐν κεγχρεαῖς ἐκκλησίας ◦

**v.19** T*: χαιρω ουν το εφ υμιν, V: εφ υμιν ουν χαιρω. **v.19** T*: μεν, V: ∅. **v.20** T*: χριστου, V: ∅. **v.20** TMV: υμων, K: υμων αμην. **v.21** T*: ασπαζονται, V: ασπαζεται. **v.23** T*: της εκκλησιας ολης, V: ολης της εκκλησιας. **v.24** T*: η χαρις . . . υμων αμην, V: ∅. **v.25** TKV: τω . . . σεσιγημενου, M: ∅. **v.26** TKV: φανερωθεντος . . . γνωρισθεντος, M: ∅. **v.27** TKV: μονω . . . αμην, M: ∅. **v.27** T: Προς . . . εκκλησιας, KMV: ∅.

# Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ
## ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ˚

Παῦλος κλητὸς ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήμα- **1**
τος θεοῦ καὶ σωσθένης ὁ ἀδελφός˙ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ 2
τῇ οὔσῃ ἐν κορίνθῳ ἡγιασμένοις ἐν χριστῷ ἰησοῦ κλητοῖς
ἁγίοις σὺν πᾶσιν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ ἐν παντὶ τόπῳ αὐτῶν τε˙ καὶ ἡμῶν˙
χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου 3
ἰησοῦ χριστοῦ˙ εὐχαριστῶ τῷ θεῷ μου πάντοτε περὶ ὑμῶν 4
ἐπὶ τῇ χάριτι τοῦ θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν χριστῷ ἰησοῦ˙
ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ ἐν παντὶ λόγῳ καὶ πά- 5
σῃ γνώσει˙ καθὼς τὸ μαρτύριον τοῦ χριστοῦ ἐβεβαιώθη ἐν 6
ὑμῖν˙ ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι ἀ- 7
πεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ˙ ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους 8
ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ˙ πιστὸς ὁ θε- 9
ὸς δι᾽ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ ἰησοῦ χρι-
στοῦ τοῦ κυρίου ἡμῶν˙ παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ διὰ 10
τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἵνα τὸ αὐτὸ
λέγητε πάντες καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα ἦτε δὲ κατηρτι-
σμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ˙ ἐδηλώθη γάρ 11
μοι περὶ ὑμῶν ἀδελφοί μου ὑπὸ τῶν χλόης ὅτι ἔριδες ἐν
ὑμῖν εἰσιν˙ λέγω δὲ τοῦτο ὅτι ἕκαστος ὑμῶν λέγει ἐγὼ μέν 12
εἰμι παύλου ἐγὼ δὲ ἀπολλὼ ἐγὼ δὲ κηφᾶ ἐγὼ δὲ χριστοῦ˙
μεμέρισται ὁ χριστὸς μὴ παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν ἢ 13
εἰς τὸ ὄνομα παύλου ἐβαπτίσθητε˙ εὐχαριστῶ τῷ θεῷ ὅτι 14
οὐδένα ὑμῶν ἐβάπτισα εἰ μὴ κρίσπον καὶ γάϊον˙ ἵνα μή τις 15
εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισά˙ ἐβάπτισα δὲ καὶ τὸν 16

---

T: Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, K: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, MV: ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α. **1. v.1** T*: ιησου χριστου, V: χριστου ιησου. **v.2** T*: τε, V: ∅. **v.4** E: μου, F: ∅. **v.13** E: μεμερισται, F: μη μεμερισται. **v.15** T*: εβαπτισα, V: εβαπτισθητε.

στεφανᾶ οἶκον λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα ⸰
17 οὐ γὰρ ἀπέστειλέν με χριστὸς βαπτίζειν ἀλλ᾽ εὐαγγελίζε-
σθαι οὐκ ἐν σοφίᾳ λόγου ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ
18 χριστοῦ ⸰ ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυ-
μένοις μωρία ἐστὶν τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις θεοῦ
19 ἐστιν ⸰ γέγραπται γὰρ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ
20 τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω ⸰ ποῦ σοφὸς ποῦ γραμ-
ματεὺς ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου οὐχὶ ἐμώρανεν
21 ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου ⸰ ἐπειδὴ γὰρ ἐν τῇ
σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεὸν
εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι
22 τοὺς πιστεύοντας ⸰ ἐπειδὴ καὶ ἰουδαῖοι σημεῖὸν αἰτοῦσιν
23 καὶ ἕλληνες σοφίαν ζητοῦσιν ⸰ ἡμεῖς δὲ κηρύσσομεν χρι-
στὸν ἐσταυρωμένον ἰουδαίοις μὲν σκάνδαλον ἔλλῆσιν δὲ
24 μωρίαν ⸰ αὐτοῖς δὲ τοῖς κλητοῖς ἰουδαίοις τε καὶ ἕλλησιν
25 χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν ⸰ ὅτι τὸ μωρὸν τοῦ
θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶν καὶ τὸ ἀσθενὲς τοῦ
26 θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν ⸰ βλέπετε γὰρ τὴν
κλῆσιν ὑμῶν ἀδελφοὶ ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα οὐ
27 πολλοὶ δυνατοὶ οὐ πολλοὶ εὐγενεῖς ⸰ ἀλλὰ τὰ μωρὰ τοῦ
κόσμου ἐξελέξατο ὁ θεὸς ἵνα τοὺς˚ σοφοὺς καταισχύνῃ καὶ
τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ θεὸς ἵνα καταισχύνῃ τὰ
28 ἰσχυρά ⸰ καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα
ἐξελέξατο ὁ θεὸς κἀὶ τὰ μὴ ὄντα ἵνα τὰ ὄντα καταργήσῃ ⸰
29, 30 ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ ⸰ ἐξ αὐτοῦ
δὲ ὑμεῖς ἐστε ἐν χριστῷ ἰησοῦ ὃς ἐγενήθη ἡμῖν˚ σοφία ἀπὸ
31 θεοῦ δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις ⸰ ἵνα
καθὼς γέγραπται ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω ⸰

**2** Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς ἀδελφοὶ ἦλθον οὐ καθ᾽ ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μᾶρτύριον τοῦ

---

**v.17** T*: αλλ, V: αλλα. **v.20** T*: τουτου, V: ∅. **v.22** T*: σημειον, V: σημεια. **v.23** T*: ελλησιν, V: εθνεσιν. **v.25** T*: εστιν, V: ∅. **v.27** T*: τους σοφους καταισχυνη, V: καταισχυνη τους σοφους. **v.28** T*: και, V: ∅. **v.29** TK: αυτου, MV: του θεου. **v.30** T*: ημιν σοφια, V: σοφια ημιν. **2. v.1** T*: μαρτυριον, V: μυστηριον, F: σωτηριον.

θεοῦ ◦ οὐ γὰρ ἔκρινα τοῦ˚ εἰδέναι τι ἐν ὑμῖν εἰ μὴ ἰησοῦν 2
χριστὸν καὶ τοῦτον ἐσταυρωμένον ◦ καὶ˚ ἐγὼ ἐν ἀσθενείᾳ 3
καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς ◦
καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς˚ ἀν- 4
θρωπίνης σοφίας λόγοις ἀλλ᾽ ἐν ἀποδείξει πνεύματος καὶ
δυνάμεως ◦ ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων 5
ἀλλ᾽ ἐν δυνάμει θεοῦ ◦ σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελεί- 6
οις σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου οὐδὲ τῶν ἀρχόντων
τοῦ αἰῶνος τούτου τῶν καταργουμένων ◦ ἀλλὰ λαλοῦμεν 7
σοφίαν˚ θεοῦ ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην ἣν προ-
ώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν ◦ ἣν οὐδεὶς 8
τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν εἰ γὰρ ἔγνωσαν
οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν ◦ ἀλλὰ καθὼς 9
γέγραπται ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν
καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ θε-
ὸς τοῖς ἀγαπῶσιν αὐτόν ◦ ἡμῖν δὲ ὁ˚ θεὸς ἀπεκάλυψεν διὰ 10
τοῦ πνεύματος αὐτοῦ τὸ γὰρ πνεῦμα πάντα ἐρᾳ̂υνᾷ καὶ τὰ
βάθη τοῦ θεοῦ ◦ τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου 11
εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ οὕτως καὶ τὰ
τοῦ θεοῦ οὐδεὶς ὁῖδεν εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ ◦ ἡμεῖς δὲ 12
οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ
τοῦ θεοῦ ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν ◦ ἃ 13
καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις
ἀλλ᾽ ἐν διδακτοῖς πνεύματος ἁ᾽ῒου πνευματικοῖς πνευματι-
κὰ συγκρίνοντες ◦ ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ 14
πνεύματος τοῦ θεοῦ μωρία γὰρ αὐτῷ ἐστιν καὶ οὐ δύναται
γνῶναι ὅτι πνευματικῶς ἀνακρίνεται ◦ ὁ δὲ πνευματικὸς ἀ- 15
νακρίνει μὲν πάντα αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ἀνακρίνεται ◦ τίς 16
γὰρ ἔγνω νοῦν κυρίου ὃς συμβιβάσει αὐτὸν ἡμεῖς δὲ νοῦν
χριστοῦ ἔχομεν ◦

**v.2** T*: του ειδεναι τι, V: τι ειδεναι. **v.3** T*: και εγω, V: καγω. **v.4** T*: πειθοις ανθρωπινης σοφιας λογοις, V: πειθοι[ς] σοφιας [λογοις]. **v.7** T*: σοφιαν θεου, V: θεου σοφιαν. **v.10** T*: ο θεος απεκαλυψεν, V: απεκαλυψεν ο θεος. **v.10** T*: αυτου, V: ∅. **v.10** T*: ερευνα, V: εραυνα. **v.11** T*: οιδεν, V: εγνωκεν. **v.13** T*: αγιου, V: ∅. **v.15** T*: μεν, V: [τα].

**3** Καὶ᾽ ἐγὼ ἀδελφοὶ οὐκ ἠδυνήθην λαλῆσαι᾽ ὑμῖν ὡς πνευ-
2 ματικοῖς ἀλλ᾽ ὡς σαρκικοῖς ὡς νηπίοις ἐν χριστῷ· γάλα ὑ-
μᾶς ἐπότισα κἀὶ οὐ βρῶμα οὔπω γὰρ ἠδύνασθε᾽ ἀλλ᾽ οὔτε
3 ἔτι νῦν δύνασθε· ἔτι γὰρ σαρκικοί ἐστε ὅπου γὰρ ἐν ὑ-
μῖν ζῆλος καὶ ἔρις καὶ᾽ διχοστασίαι οὐχὶ σαρκικοί ἐστε καὶ
4 κατὰ ἄνθρωπον περιπατεῖτε· ὅταν γὰρ λέγῃ τις ἐγὼ μέν
εἰμι παύλου ἕτερος δὲ ἐγὼ ἀπολλὼ οὐχὶ᾽ σαρκικοί ἐστε·
5 τίς᾽ οὖν ἐστιν παῦλος τίς δὲ ἀπολλὼς ἀλλ᾽ ἢ διάκονοι δι᾽
6 ὧν ἐπιστεύσατε καὶ ἑκάστῳ ὡς ὁ κύριος ἔδωκεν· ἐγὼ ἐφύ-
7 τευσα ἀπολλὼς ἐπότισεν ἀλλ᾽ ὁ θεὸς ηὔξανεν· ὥστε οὔτε
ὁ φυτεύων ἐστίν τι οὔτε ὁ ποτίζων ἀλλ᾽ ὁ αὐξάνων θεός·
8 ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν ἕκαστος δὲ τὸν ἴδιον
9 μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον· θεοῦ γάρ ἐσμεν
10 συνεργοὶ θεοῦ γεώργιον θεοῦ οἰκοδομή ἐστε· κατὰ τὴν
χάριν τοῦ θεοῦ τὴν δοθεῖσάν μοι ὡς σοφὸς ἀρχιτέκτων θε-
μέλιον ἔθεικα ἄλλος δὲ ἐποικοδομεῖ ἕκαστος δὲ βλεπέτω
11 πῶς ἐποικοδομεῖ· θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖ-
12 ναι παρὰ τὸν κείμενον ὅς ἐστιν ἰησοῦς ὁ᾽ χριστός· εἰ δέ
τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσὸν ἄργυρον
13 λίθους τιμίους ξύλα χόρτον καλάμην· ἑκάστου τὸ ἔργον
φανερὸν γενήσεται ἡ γὰρ ἡμέρα δηλώσει ὅτι ἐν πυρὶ ἀ-
ποκαλύπτεται καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστιν τὸ πῦρ
14 δοκιμάσει· εἴ τινος τὸ ἔργον μένει ὃ ἐπῳκοδόμησεν᾽ μι-
15 σθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται ζημιωθήσε-
16 ται αὐτὸς δὲ σωθήσεται οὕτως δὲ ὡς διὰ πυρός· οὐκ οἴδατε
ὅτι ναὸς θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν·
17 εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει φθερεῖ τοῦτον ὁ θεὸς ὁ
18 γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν οἵτινές ἐστε ὑμεῖς· μηδεὶς

---

**3.** **v.1** T*: και εγω, V: καγω. **v.1** TKV: λαλησαι υμιν, M: υμιν λαλησαι. **v.1** T*: σαρκικοις, V: σαρκινοις. **v.2** T*: και, V: ∅. **v.2** TK: ηδυνασθε αλλ ουτε, M: εδυνασθε αλλ ουτε, V: εδυνασθε αλλ ουδε. **v.3** T*: και διχοστασιαι, V: ∅. **v.4** T*: ουχι σαρκικοι, V: ουκ ανθρωποι. **v.5** T*: τις ουν εστιν παυλος τις δε απολλως αλλ η, V: τι ουν εστιν απολλως τι δε εστιν παυλος. **v.6** T*: αλλ, V: αλλα. **v.8** T*: ληψεται, V: λημψεται. **v.10** T*: τεθεικα, V: εθηκα. **v.11** TK: ο, MV: ∅. **v.12** T*: τουτον, V: ∅. **v.13** T*: πυρ, V: πυρ [αυτο]. **v.14** T*: μένει, V: μενεῖ. **v.14** TK: επωκοδομησεν μισθον ληψεται, M: εποικοδομησεν μισθον ληψεται, V: εποικοδομησεν μισθον λημψεται.

ἑαυτὸν ἐξαπατάτω εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰ-
ῶνι τούτῳ μωρὸς γενέσθω ἵνα γένηται σοφός· ἡ γὰρ σοφία 19
τοῦ κόσμου τούτου μωρία παρὰ τῷ θεῷ ἐστιν· γέγραπται
γὰρ ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν·
καὶ πάλιν κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν 20
ὅτι εἰσὶν μάταιοι· ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις 21
πάντα γὰρ ὑμῶν ἐστιν· εἴτε παῦλος εἴτε ἀπολλὼς εἴτε κη- 22
φᾶς εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος εἴτε ἐνεστῶτα εἴτε
μέλλοντα πάντα ὑμῶν ἐστιν· ὑμεῖς δὲ χριστοῦ χριστὸς δὲ 23
θεοῦ·

Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος ὡς ὑπηρέτας χριστοῦ **4**
καὶ οἰκονόμους μυστηρίων θεοῦ· ὅ° δὲ λοιπὸν ζητεῖται ἐν 2
τοῖς οἰκονόμοις ἵνα πιστός τις εὑρεθῇ· ἐμοὶ δὲ εἰς ἐλά- 3
χιστόν ἐστιν ἵνα ὑφ᾽ ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης
ἡμέρας· ἀλλ᾽ οὐδὲ ἐμαυτὸν ἀνακρίνω· οὐδὲν γὰρ ἐμαυ- 4
τῷ σύνοιδα ἀλλ᾽ οὐκ ἐν τούτῳ δεδικαίωμαι ὁ δὲ ἀνακρί-
νων με κύριός ἐστιν· ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε ἕως 5
ἂν ἔλθῃ ὁ κύριος ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους
καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν καὶ τότε ὁ ἔπαινος
γενήσεται ἑκάστῳ ἀπὸ τοῦ θεοῦ· ταῦτα δὲ ἀδελφοὶ μετε- 6
σχημάτισα εἰς ἐμαυτὸν καὶ ἀπολλὼ δι᾽ ὑμᾶς ἵνα ἐν ἡμῖν
μάθητε τὸ μὴ ὑπὲρ ὅ° γέγραπται φρονεῖν ἵνα μὴ εἷς ὑπὲρ
τοῦ ἑνὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου· τίς γάρ σε διακρίνει 7
τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες εἰ δὲ καὶ ἔλαβες τί καυχᾶσαι ὡς
μὴ λαβών· ἤδη κεκορεσμένοι ἐστὲ ἤδη ἐπλουτήσατε χω- 8
ρὶς ἡμῶν ἐβασιλεύσατε καὶ ὄφελόν γε ἐβασιλεύσατε ἵνα καὶ
ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν· δοκῶ γὰρ ὅτι ὁ θεὸς ἡμᾶς 9
τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους ὅτι
θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώ-
ποις· ἡμεῖς μωροὶ διὰ χριστὸν ὑμεῖς δὲ φρόνιμοι ἐν χρι- 10
στῷ ἡμεῖς ἀσθενεῖς ὑμεῖς δὲ ἰσχυροὶ ὑμεῖς ἔνδοξοι ἡμεῖς δὲ

**v.22** T*: εστιν, V: ∅. **4. v.2** T*: ο δε, V: ωδε. **v.6** T*: απολλω, V: απολλων. **v.6** T*: ο γεγραπται φρονειν, V: α γεγραπται. **v.6** TKV: φυσιουσθε, M: μη φυσιουσθε. **v.9** T*: οτι, V: ∅.

11 ἄτιμοι· ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ
12 γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν· καὶ κο-
πιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσὶν λοιδορούμενοι εὐ-
13 λογοῦμεν διωκόμενοι ἀνεχόμεθα· βλασφημούμενοι πα-
ρακαλοῦμεν ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν
14 πάντων περίψημα ἕως ἄρτι· οὐκ ἐντρέπων ὑμᾶς γράφω
15 ταῦτα ἀλλ᾽ ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ· ἐὰν γὰρ μυ-
ρίους παιδαγωγοὺς ἔχητε ἐν χριστῷ ἀλλ᾽ οὐ πολλοὺς πα-
τέρας ἐν γὰρ χριστῷ ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς
16, 17 ἐγέννησα· παρακαλῶ οὖν ὑμᾶς μιμηταί μου γίνεσθε· διὰ
τοῦτο ἔπεμψα ὑμῖν τιμόθεον ὅς ἐστιν τέκνον˚ μου ἀγαπη-
τὸν καὶ πιστὸν ἐν κυρίῳ ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου
τὰς ἐν χριστῷ καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδά-
18 σκω· ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν
19 τινες· ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς ἐὰν ὁ κύριος θε-
λήσῃ καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων ἀλλὰ
20 τὴν δύναμιν· οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ θεοῦ ἀλλ᾽ ἐν
21 δυνάμει· τί θέλετε ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς ἢ ἐν ἀγάπῃ
πνεύματί τε πρᾳότητος·

**5** Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία καὶ τοιαύτη πορνεία
ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται ὥστε γυναῖκά τινα
2 τοῦ πατρὸς ἔχειν· καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ καὶ οὐχὶ
μᾶλλον ἐπενθήσατε ἵνα ἐξᾶρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον
3 τοῦτο ποιήσας· ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι παρὼν
δὲ τῷ πνεύματι ἤδη κέκρικα ὡς παρὼν τὸν οὕτως τοῦτο
4 κατεργασάμενον· ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν˚ ἰησοῦ
χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν
5 τῇ δυνάμει τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ· παραδοῦ-
ναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς ἵνα τὸ

---

**v.11** T*: γυμνητευομεν, V: γυμνιτευομεν. **v.13** T*: βλασφημουμενοι, V: δυσφημουμενοι. **v.14** T*: νουθετω, V: νουθετω[ν]. **v.17** T*: τεκνον μου, V: μου τεκνον. **v.17** T*: χριστω, V: χριστω [ιησου]. **v.21** T*: πραοτητος, V: πραυτητος. **5. v.1** T*: ονομαζεται, V: ∅. **v.2** T*: εξαρθη, V: αρθη. **v.2** T*: ποιησας, V: πραξας. **v.3** T*: ως, V: ∅. **v.4** T*: ημων ιησου χριστου, V: [ημων] ιησου. **v.4** T*: χριστου, V: ∅.

πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἰησοῦ ◦ οὐ καλὸν 6
τὸ καύχημα ὑμῶν οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύ-
ραμα ζυμοῖ ◦ ἐκκαθάρατε ὀῦν τὴν παλαιὰν ζύμην ἵνα ἦτε 7
νέον φύραμα καθώς ἐστε ἄζυμοι καὶ γὰρ τὸ πάσχα ἡμῶν
ὑπὲρ ◦ ἡμῶν ἐτύθη χριστός ◦ ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ 8
παλαιᾷ μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας ἀλλ᾽ ἐν ἀζύμοις
εἰλικρινείας καὶ ἀληθείας ◦ ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ 9
μὴ συναναμίγνυσθαι πόρνοις ◦ κἀι οὐ πάντως τοῖς πόρ- 10
νοις τοῦ κόσμου τούτου ἢ τοῖς πλεονέκταις ἢ ◦ ἅρπαξιν ἢ
εἰδωλολάτραις ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν ◦
νυνὶ δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι ἐάν τις ἀδελφὸς 11
ὀνομαζόμενος ἢ ◦ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ
λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ τῷ τοιούτῳ μηδὲ συνεσθίειν ◦
τί γάρ μοι κἀι τοὺς ἔξω κρίνειν οὐχὶ τοὺς ἔσω ὑμεῖς κρί- 12
νετε ◦ τοὺς δὲ ἔξω ὁ θεὸς κρίνεῖ καὶ ◦ ἐξαρεῖτε τὸν πονηρὸν 13
ἐξ ὑμῶν αὐτῶν ◦

Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον κρίνε- **6**
σθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων ◦ ὀὐκ οἴδατε 2
ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσιν καὶ εἰ ἐν ὑμῖν κρίνεται
ὁ κόσμος ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων ◦ οὐκ οἴδατε 3
ὅτι ἀγγέλους κρινοῦμεν μήτι γε βιωτικά ◦ βιωτικὰ μὲν οὖν 4
κριτήρια ἐὰν ἔχητε τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ
τούτους καθίζετε ◦ πρὸς ἐντροπὴν ὑμῖν λέγω οὕτως οὐκ ἔ- 5
στιν ◦ ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς ὃς δυνήσεται διακρῖναι ἀνὰ
μέσον τοῦ ἀδελφοῦ αὐτοῦ ◦ ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ 6
κρίνεται καὶ τοῦτο ἐπὶ ἀπίστων ◦ ἤδη μὲν οὖν ὅλως ἥτ- 7
τημα ἐν ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ᾽ ἑαυτῶν διατὶ
οὐχὶ μᾶλλον ἀδικεῖσθε διατὶ οὐχὶ μᾶλλον ἀποστερεῖσθε ◦
ἀλλὰ ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε καὶ τἀῦτα ἀδελφούς ◦ 8

---

**v.5** T*: ιησου, V: ∅. **v.7** TK: ουν, MV: ∅. **v.7** TM: υπερ ημων ετυθη, K: υπερ ημων εθυθη, V: ετυθη. **v.10** T*: και, V: ∅. **v.10** T*: η, V: και. **v.10** T*: οφειλετε, V: ωφειλετε. **v.11** T*: νυνι, V: νυν. **v.11** T: ἢ, KMV: ᾗ. **v.12** T*: και, V: ∅. **v.13** TK: κρίνει, MV: κρινεῖ. **v.13** T*: και εξαρειτε, V: εξαρατε. **6. v.2** T*: ουκ, V: η ουκ. **v.5** TK: εστιν εν υμιν σοφος ουδε εις, M: ενι εν υμιν σοφος ουδε εις, V: ενι εν υμιν ουδεις σοφος. **v.7** TK: εν, MV: ∅. **v.7** TK: διατι, MV: δια τι. **v.8** T*: ταυτα, V: τουτο.

9 ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν˚ θεοῦ οὐ κληρονομήσου-
σιν μὴ πλανᾶσθε οὔτε πόρνοι οὔτε εἰδωλολάτραι οὔτε μοι-
10 χοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται ◦ οὔτε κλέπται˚ οὔτε
πλεονέκται οὔτε μέθυσοι οὐ λοίδοροι οὐχ ἅρπαγες βασι-
11 λείαν θεοῦ ὀὐ κληρονομήσουσιν ◦ καὶ ταῦτά τινες ἦτε ἀλλὰ
ἀπελούσασθε ἀλλὰ ἡγιάσθητε ἀλ̓λ̓ ἐδικαιώθητε ἐν τῷ ὀνό-
ματι τοῦ κυρίου ἰησοῦ καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν ◦
12 πάντα μοι ἔξεστιν ἀλλ̓ οὐ πάντα συμφέρει πάντα μοι ἔξε-
13 στιν ἀλλ̓ οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος ◦ τὰ βρώματα
τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν ὁ δὲ θεὸς καὶ ταύτην
καὶ ταῦτα καταργήσει τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ
14 κυρίῳ καὶ ὁ κύριος τῷ σώματι ◦ ὁ δὲ θεὸς καὶ τὸν κύριον
15 ἤγειρεν καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ ◦ οὐκ
οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη χριστοῦ ἐστιν ἆρας οὖν
16 τὰ μέλη τοῦ χριστοῦ ποιήσω πόρνης μέλη μὴ γένοιτο ◦ ἢ˚
οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν ἔσον-
17 ται γὰρ φησὶν οἱ δύο εἰς σάρκα μίαν ◦ ὁ δὲ κολλώμενος τῷ
18 κυρίῳ ἓν πνεῦμά ἐστιν ◦ φεύγετε τὴν πορνείαν πᾶν ἁμάρ-
τημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν ὁ
19 δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει ◦ ἢ οὐκ οἴδατε
ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν
20 οὗ ἔχετε ἀπὸ θεοῦ καὶ οὐκ ἐστὲ ἑαυτῶν ◦ ἠγοράσθητε γὰρ
τιμῆς δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ˚ ἐν τῷ
πνεύματι ὑμῶν ἅτινά ἐστιν τοῦ θεοῦ ◦

**7** Περὶ δὲ ὧν ἐγράψατέ μοι καλὸν ἀνθρώπῳ γυναικὸς μὴ
2 ἅπτεσθαι ◦ διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυ-
3 ναῖκα ἐχέτω καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω ◦ τῇ γυναικὶ
ὁ ἀνὴρ τὴν ὀφειλομένην˚ εὔνοιαν ἀποδιδότω ὁμοίως δὲ καὶ
4 ἡ γυνὴ τῷ ἀνδρί ◦ ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει
ἀλ̓λ̓ ὁ ἀνὴρ ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ

---

**v.9** T*: βασιλειαν θεου, V: θεου βασιλειαν. **v.10** TK: κλεπται ουτε πλεονεκται ουτε, M: πλεονεκται ουτε κλεπται ουτε, V: κλεπται ουτε πλεονεκται ου. **v.10** T*: ου, V: ∅. **v.11** T*: αλλ, V: αλλα. **v.11** T*: ιησου, V: ιησου χριστου. **v.16** TK: η, M: ∅, V: [η]. **v.20** T*: και εν τω πνευματι υμων ατινα εστιν του θεου, V: ∅. **7. v.1** T*: μοι, V: ∅. **v.3** T*: οφειλομενην ευνοιαν, V: οφειλην. **v.4** T*: αλλ, V: αλλα.

ἐξουσιάζει ἀλλ᾽ ἡ γυνή· μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μήˇ 5
τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν ἵνα σχολάζητεˇ τῇ νηστείᾳ
καὶ τῇ προσευχῇ καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε ἵνα μὴ
πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν· τοῦτο δὲ 6
λέγω κατὰ συγγνώμην οὐ κατ᾽ ἐπιταγήν· θέλω γὰρ πάντας 7
ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἀλλ᾽ ἕκαστος ἴδιον χάρι-
σμαˇ ἔχει ἐκ θεοῦ ὃς μὲν οὕτως ὃς δὲ οὕτως· λέγω δὲ τοῖς 8
ἀγάμοις καὶ ταῖς χήραις καλόν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν
ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται γαμησάτωσαν κρεῖσσον 9
γάρ ἐστιν γαμῆσαι ἢ πυροῦσθαι· τοῖς δὲ γεγαμηκόσιν πα- 10
ραγγέλλω οὐκ ἐγὼ ἀλλ᾽ ὁ κύριος γυναῖκα ἀπὸ ἀνδρὸς μὴ
χωρισθῆναι· ἐὰν δὲ καὶ χωρισθῇ μενέτω ἄγαμος ἢ τῷ ἀν- 11
δρὶ καταλλαγήτω καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι· τοῖς δὲ 12
λοιποῖς ἐγὼˇ λέγω οὐχ ὁ κύριος εἴ τις ἀδελφὸς γυναῖκα
ἔχει ἄπιστον καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ᾽ αὐτοῦ μὴ ἀ-
φιέτω αὐτήν· καὶ γυνὴ ἥτις ἔχει ἄνδρα ἄπιστον καὶ αὐτὸς 13
συνευδοκεῖ οἰκεῖν μετ᾽ αὐτῆς μὴ ἀφιέτω αὐτόν· ἡγίασται 14
γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικὶ καὶ ἡγίασται ἡ γυνὴ
ἡ ἄπιστος ἐν τῷ ἀνδρὶ ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά
ἐστιν νῦν δὲ ἅγιά ἐστιν· εἰ δὲ ὁ ἄπιστος χωρίζεται χωριζέ- 15
σθω οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις
ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός· τί γὰρ οἶδας γύναι εἰ 16
τὸν ἄνδρα σώσεις ἢ τί οἶδας ἄνερ εἰ τὴν γυναῖκα σώσεις·
εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ θεὸς ἕκαστον ὡς κέκληκεν ὁ 17
κύριος οὕτως περιπατείτω καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις
πάσαις διατάσσομαι· περιτετμημένος τις ἐκλήθη μὴ ἐπι- 18
σπάσθω ἐν ἀκροβυστίᾳ τιςˇ ἐκλήθη μὴ περιτεμνέσθω· ἡ 19
περιτομὴ οὐδέν ἐστιν καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν ἀλλὰ

**v.5** T*: μη τι, V: μητι. **v.5** T*: σχολαζητε τη νηστεια και, V: σχολασητε. **v.5** T*: συνερχησθε, V: ητε. **v.7** T*: γαρ, V: δε. **v.7** T*: αλλ, V: αλλα. **v.7** T*: χαρισμα εχει, V: εχει χαρισμα. **v.7** T*: ος, V: ο. **v.8** T*: εστιν, V: ∅. **v.9** T*: κρεισσον, V: κρειττον. **v.10** T*: αλλ, V: αλλα. **v.12** T*: εγω λεγω, V: λεγω εγω. **v.12** T*: αὐτὴ, V: αὕτη. **v.13** T*: ητις, V: ει τις. **v.13** T*: αυτος, V: ουτος. **v.13** T*: αυτον, V: τον ανδρα. **v.14** T*: ανδρι, V: αδελφω, F: ανδρι τω πιστω. **v.15** T*: ημας, V: υμας. **v.17** T*: θεος, V: κυριος. **v.17** T*: κυριος, V: θεος. **v.18** T*: τις εκληθη, V: κεκληται τις.

τήρησις ἐντολῶν θεοῦ ◦ ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη ἐν
ταύτῃ μενέτω ◦ δοῦλος ἐκλήθης μή σοι μελέτω ἀλλ᾽ εἰ καὶ
δύνασαι ἐλεύθερος γενέσθαι μᾶλλον χρῆσαι ◦ ὁ γὰρ ἐν κυ-
ρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος κυρίου ἐστὶν ὁμοίως κἀὶ
ὁ ἐλεύθερος κληθεὶς δοῦλός ἐστιν χριστοῦ ◦ τιμῆς ἠγορά-
σθητε μὴ γίνεσθε δοῦλοι ἀνθρώπων ◦ ἕκαστος ἐν ᾧ ἐκλήθη
ἀδελφοὶ ἐν τούτῳ μενέτω παρὰ τῷ θεῷ ◦ περὶ δὲ τῶν παρ-
θένων ἐπιταγὴν κυρίου οὐκ ἔχω γνώμην δὲ δίδωμι ὡς ἠλε-
ημένος ὑπὸ κυρίου πιστὸς εἶναι ◦ νομίζω οὖν τοῦτο καλὸν
ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην ὅτι καλὸν ἀνθρώπῳ
τὸ οὕτως εἶναι ◦ δέδεσαι γυναικὶ μὴ ζήτει λύσιν λέλυσαι
ἀπὸ γυναικὸς μὴ ζήτει γυναῖκα ◦ ἐὰν δὲ καὶ γήμῃς οὐχ ἥ-
μαρτες καὶ ἐὰν γήμῃ ἡ παρθένος οὐχ ἥμαρτεν θλίψιν δὲ τῇ
σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι ἐγὼ δὲ ὑμῶν φείδομαι ◦ τοῦτο δέ
φημι ἀδελφοὶ ὁ˚ καιρὸς συνεσταλμένος τὸ˚ λοιπόν ἐστιν ἵνα
καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν ◦ καὶ οἱ κλαί-
οντες ὡς μὴ κλαίοντες καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες
καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες ◦ καὶ οἱ χρώμενοι τῷ˚
κόσμῳ τούτῳ ὡς μὴ καταχρώμενοι παράγει γὰρ τὸ σχῆμα
τοῦ κόσμου τούτου ◦ θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι ὁ ἄ-
γαμος μεριμνᾷ τὰ τοῦ κυρίου πῶς ἀρέσῃ τῷ κυρίῳ ◦ ὁ δὲ
γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου πῶς ἀρέσῃ τῇ γυναικί ◦
μεμέρισται˚ ἡ γυνὴ καὶ ἡ παρθένος ἡ ἄγαμος μεριμνᾷ τὰ
τοῦ κυρίου ἵνα ᾖ ἁγία καὶ σώματι˚ καὶ πνεύματι ἡ δὲ γαμή-
σασα μεριμνᾷ τὰ τοῦ κόσμου πῶς ἀρέσῃ τῷ ἀνδρί ◦ τοῦτο
δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω οὐχ ἵνα βρόχον
ὑμῖν ἐπιβάλω ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ
κυρίῳ ἀπερισπάστως ◦ εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρ-

**v.22** T*: και, V: ∅. **v.24** TK: τω, MV: ∅. **v.28** T*: γημης, V: γαμησης. **v.29** TMV: ο, K: οτι ο. **v.29** T*: το λοιπον εστιν, V: εστιν το λοιπον. **v.31** T*: τω κοσμω τουτω, V: τον κοσμον. **v.32** T*: αρεσει, V: αρεση. **v.33** T*: αρεσει, V: αρεση. **v.34** TK: μεμερισται η γυνη και η παρθενος η αγαμος, M: μεμερισται και η γυνη και η παρθενος η αγαμος, V: και μεμερισται και η γυνη η αγαμος και η παρθενος. **v.34** T*: σωματι και πνευματι, V: τω σωματι και τω πνευματι. **v.34** T*: αρεσει, V: αρεση. **v.35** T*: συμφερον, V: συμφορον. **v.35** T*: ευπροσεδρον, V: ευπαρεδρον.

θένον αὐτοῦ νομίζει ἐὰν ᾖ ὑπέρακμος καὶ οὕτως ὀφείλει
γίνεσθαι ὃ θέλει ποιείτω οὐχ ἁμαρτάνει γαμείτωσαν ⸰ ὃς δὲ 37
ἕστηκεν ἑδραῖος˚ ἐν τῇ καρδίᾳ μὴ ἔχων ἀνάγκην ἐξουσίαν
δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος καὶ τοῦτο κέκρικεν ἐν
τῇ καρδίᾳ˚ αὐτοῦ τοῦ τηρεῖν τὴν ἑαυτοῦ παρθένον καλῶς
ποιεῖ ⸰ ὥστε καὶ ὁ ἐκγαμίζων˚ καλῶς ποιεῖ ὁ˚ δὲ μὴ ἐκγα- 38
μίζων κρεῖσσον ποιεῖ ⸰ γυνὴ δέδεται νόμῳ ἐφ᾽ ὅσον χρόνον 39
ζῇ ὁ ἀνὴρ αὐτῆς ἐὰν δὲ˚ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς ἐλευθέρα
ἐστὶν ᾧ θέλει γαμηθῆναι μόνον ἐν κυρίῳ ⸰ μακαριωτέρα 40
δέ ἐστιν ἐὰν οὕτως μείνῃ κατὰ τὴν ἐμὴν γνώμην δοκῶ δὲ
κἀγὼ πνεῦμα θεοῦ ἔχειν ⸰

Περὶ δὲ τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι πάντες γνῶσιν ἔ- **8**
χομεν ἡ γνῶσις φυσιοῖ ἡ δὲ ἀγάπη οἰκοδομεῖ ⸰ εἰ δέ˚ τις 2
δοκεῖ εἰδέναι τι οὐδέπω οὐδὲν ἔγνωκεν καθὼς δεῖ γνῶναι ⸰
εἰ δέ τις ἀγαπᾷ τὸν θεὸν οὗτος ἔγνωσται ὑπ᾽ αὐτοῦ ⸰ περὶ 3, 4
τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι οὐδὲν εἴδω-
λον ἐν κόσμῳ καὶ ὅτι οὐδεὶς θεὸς ἕτερος εἰ μὴ εἷς ⸰ καὶ γὰρ 5
εἴπερ εἰσὶν λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ τῆς γῆς
ὥσπερ εἰσὶν θεοὶ πολλοὶ καὶ κύριοι πολλοί ⸰ ἀλλ᾽ ἡμῖν εἷς 6
θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτὸν καὶ εἷς
κύριος ἰησοῦς χριστὸς δι᾽ οὗ τὰ πάντα καὶ ἡμεῖς δι᾽ αὐτοῦ ⸰
ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις τινὲς δὲ τῇ συνειδήσει˚ τοῦ εἰ- 7
δώλου ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσιν καὶ ἡ συνείδησις
αὐτῶν ἀσθενὴς οὖσα μολύνεται ⸰ βρῶμα δὲ ἡμᾶς οὐ παρί- 8
στησιν˚ τῷ θεῷ οὔτε γὰρ ἐὰν φάγωμεν περισσεύομεν οὔτε
ἐὰν μὴ φάγωμεν ὑστερούμεθα ⸰ βλέπετε δὲ μήπως ἡ ἐξου- 9
σία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν ⸰ ἐὰν 10

---

**v.37** T*: εδραιος εν τη καρδια, V: εν τη καρδια αυτου εδραιος. **v.37** T*: καρδια αυτου του, V: ιδια καρδια. **v.37** T*: ποιει, V: ποιησει. **v.38** T*: εκγαμιζων, V: γαμιζων την εαυτου παρθενον. **v.38** T*: ο δε μη εκγαμιζων κρεισσον ποιει, V: και ο μη γαμιζων κρεισσον ποιησει. **v.39** T*: νομω, V: ∅. **v.39** TKV: δε, M: δε και. **v.39** TK: αυτης, MV: ∅. **8. v.2** T*: δε τις δοκει ειδεναι τι ουδεπω ουδεν εγνωκεν, V: τις δοκει εγνωκεναι τι ουπω εγνω. **v.4** T*: ετερος, V: ∅. **v.5** TK: της, MV: ∅. **v.7** T*: συνειδησει του ειδωλου εως αρτι, V: συνηθεια εως αρτι του ειδωλου. **v.8** T*: παριστησιν τω θεω ουτε γαρ εαν φαγωμεν περισσευομεν ουτε εαν μη φαγωμεν υστερουμεθα, V: παραστησει τω θεω ουτε εαν μη φαγωμεν υστερουμεθα ουτε εαν φαγωμεν περισσευομεν. **v.9** TK: μηπως, MV: μη πως. **v.9** T*: ασθενουσιν, V: ασθενεσιν.

γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον
οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται
11 εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν· καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀ-
12 δελφὸς ἐπὶ τῇ σῇ γνώσει δι' ὃν χριστὸς ἀπέθανεν· οὕτως δὲ
ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν τὴν
13 συνείδησιν ἀσθενοῦσαν εἰς χριστὸν ἁμαρτάνετε· διόπερ εἰ
βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου οὐ μὴ φάγω κρέα εἰς
τὸν αἰῶνα ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω·

**9** Οὐκ εἰμὶ ἀπόστολος οὐκ εἰμὶ ἐλεύθερος οὐχὶ ἰησοῦν
χριστὸν τὸν κύριον ἡμῶν ἑώρακα οὐ τὸ ἔργον μου ὑμεῖς
2 ἐστε ἐν κυρίῳ· εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος ἀλλά γε ὑμῖν
εἰμι ἡ γὰρ σφραγὶς τῆς· ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν κυ-
3 ρίῳ· ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη· ἐστίν·
4, 5 μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν· μὴ οὐκ ἔχομεν
ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν ὡς καὶ οἱ λοιποὶ ἀπό-
6 στολοι καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου καὶ κηφᾶς· ἢ μόνος ἐγὼ
7 καὶ βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τὸ· μὴ ἐργάζεσθαι· τίς
στρατεύεται ἰδίοις ὀψωνίοις ποτὲ τίς φυτεύει ἀμπελῶνα καὶ
ἐκ· τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει ἢ τίς ποιμαίνει ποίμνην
8 καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει· μὴ κατὰ ἄν-
9 θρωπον ταῦτα λαλῶ ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει· ἐν
γὰρ τῷ· μωσέως νόμῳ γέγραπται οὐ φιμώσεις βοῦν ἀλο-
10 ῶντα μὴ τῶν βοῶν μέλει τῷ· θεῷ· ἢ δι' ἡμᾶς πάντως λέγει
δι' ἡμᾶς γὰρ ἐγράφη ὅτι ἐπ'· ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν
ἀροτριᾶν καὶ ὁ ἀλοῶν τῆς· ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλ-
11 πίδι· εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν μέγα εἰ ἡ-
12 μεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν· εἰ ἄλλοι τῆς ἐξουσίας·
ὑμῶν μετέχουσιν οὐ μᾶλλον ἡμεῖς ἀλλ' οὐκ ἐχρησάμεθα

---

**v.11** T*: και απολειται ο ασθενων αδελφος επι τη ση γνωσει, V: απολλυται γαρ ο ασθενων εν τη ση γνωσει ο αδελφος. **9. v.1** T*: αποστολος, V: ελευθερος. **v.1** T*: ελευθερος, V: αποστολος. **v.1** T*: χριστον, V: ∅. **v.1** T*: εωρακα, V: εορακα. **v.2** T*: της εμης, V: μου της. **v.3** T*: αυτη εστιν, V: εστιν αυτη. **v.4** T*: πιειν, V: πειν. **v.6** T*: του, V: ∅. **v.7** T*: εκ του καρπου, V: τον καρπον. **v.8** T*: ουχι, V: ∅. **v.8** T*: λεγει, V: ου λεγει. **v.9** TK: μωσεως, MV: μωυσεως. **v.9** T*: φιμωσεις, V: κημωσεις. **v.10** T*: επ ελπιδι οφειλει, V: οφειλει επ ελπιδι. **v.10** T*: της ελπιδος αυτου μετεχειν επ ελπιδι, V: επ ελπιδι του μετεχειν. **v.12** T*: εξουσιας υμων, V: υμων εξουσιας.

τῇ ἐξουσίᾳ ταύτῃ ἀλλὰ πάντα στέγομεν ἵνα μὴ ἐγκοπήν˚
τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ ◦ οὐκ οἴδατε ὅτι οἱ 13
τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν οἱ τῷ θυσι-
αστηρίῳ προσεδρεύοντες τῷ θυσιαστηρίῳ συμμερίζονται ◦
οὕτως καὶ ὁ κύριος διέταξεν τοῖς τὸ εὐαγγέλιον καταγγέλ- 14
λουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν ◦ ἐγὼ δὲ οὐδενὶ˚ ἐχρησάμην 15
τούτων οὐκ ἔγραψα δὲ ταῦτα ἵνα οὕτως γένηται ἐν ἐμοὶ
καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν ἢ τὸ καύχημά μου ἵνα˚
τις κενώσῃ ◦ ἐὰν γὰρ εὐαγγελίζωμαι οὐκ ἔστιν μοι καύ- 16
χημα ἀνάγκη γάρ μοι ἐπίκειται οὐαὶ δέ˚ μοί ἐστιν ἐὰν μὴ
εὐαγγελίζῶμαι ◦ εἰ γὰρ ἑκὼν τοῦτο πράσσω μισθὸν ἔχω εἰ 17
δὲ ἄκων οἰκονομίαν πεπίστευμαι ◦ τίς οὖν μοί ἐστιν ὁ μι- 18
σθὸς ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον
τοῦ˚ χριστοῦ εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν
τῷ εὐαγγελίῳ ◦ ἐλεύθερος γὰρ ὢν ἐκ πάντων πᾶσιν ἐμαυ- 19
τὸν ἐδούλωσα ἵνα τοὺς πλείονας κερδήσω ◦ καὶ ἐγενόμην 20
τοῖς ἰουδαίοις ὡς ἰουδαῖος ἵνα ἰουδαίους κερδήσω τοῖς ὑ-
πὸ νόμον ὡς ὑπὸ νόμον˙ ἵνα τοὺς ὑπὸ νόμον κερδήσω ◦ τοῖς 21
ἀνόμοις ὡς ἄνομος μὴ ὢν ἄνομος θεῷ˚ ἀλλ᾽ ἔννομος χρι-
στῷ ἵνα κερδήσω ἀνόμους ◦ ἐγενόμην τοῖς ἀσθενέσιν ὡς˙ 22
ἀσθενὴς ἵνα τοὺς ἀσθενεῖς κερδήσω τοῖς πᾶσιν γέγονα τὰ
πάντα ἵνα πάντως τινὰς σώσω ◦ τοῦτο δὲ ποιῶ διὰ τὸ εὐαγ- 23
γέλιον ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι ◦ οὐκ οἴδατε ὅτι οἱ 24
ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν εἷς δὲ λαμβάνει
τὸ βραβεῖον οὕτως τρέχετε ἵνα καταλάβητε ◦ πᾶς δὲ ὁ ἀγω- 25
νιζόμενος πάντα ἐγκρατεύεται ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν
στέφανον λάβωσιν ἡμεῖς δὲ ἄφθαρτον ◦ ἐγὼ τοίνυν οὕτως 26
τρέχω ὡς οὐκ ἀδήλως οὕτως πυκτεύω ὡς οὐκ ἀέρα δέρων ◦
ἀλλ᾽ ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ μήπως ἄλλοις 27

---

**v.12** T*: εγκοπην τινα, V: τινα εγκοπην. **v.13** T*: εκ, V: [τα] εκ. **v.13** T*: προσεδρευοντες, V: παρεδρευοντες. **v.15** T*: ουδενι εχρησαμην, V: ου κεχρημαι ουδενι. **v.15** T*: ινα τις κενωση, V: ουδεις κενωσει. **v.16** T*: δε, V: γαρ. **v.16** T*: ευαγγελιζωμαι, V: ευαγγελισωμαι. **v.18** T*: μοι, V: μου. **v.18** T*: του χριστου, V: ∅. **v.20** T*: νομον, V: νομον μη ων αυτος υπο νομον. **v.21** T*: θεω αλλ εννομος χριστω ινα κερδησω, V: θεου αλλ εννομος χριστου ινα κερδανω τους. **v.22** T*: ως, V: ∅. **v.22** T*: τα, V: ∅. **v.23** T*: τουτο, V: παντα.

κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι ◦

**10** Οὐ θέλω δὲ˚ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ ὅτι οἱ πατέρες ἡμῶν
πάντες ὑπὸ τὴν νεφέλην ἦσαν καὶ πάντες διὰ τῆς θαλάσ-
2 σης διῆλθον ◦ καὶ πάντες εἰς τὸν μωσῆν ἐβαπτίσαντο ἐν τῇ
3 νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ ◦ καὶ πάντες τὸ αὐτὸ βρῶμα˚
4 πνευματικὸν ἔφαγον ◦ καὶ πάντες τὸ αὐτὸ πόμα˚ πνευμα-
τικὸν ἔπιον ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέ-
5 τρας ἡ δὲ˚ πέτρα ἦν ὁ χριστός ◦ ἀλλ᾽ οὐκ ἐν τοῖς πλείοσιν
αὐτῶν εὐδόκησεν ὁ θεὸς κατεστρώθησαν γὰρ ἐν τῇ ἐρή-
6 μῳ ◦ ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν εἰς τὸ μὴ εἶναι ἡ-
7 μᾶς ἐπιθυμητὰς κακῶν καθὼς κἀκεῖνοι ἐπεθύμησαν ◦ μη-
δὲ εἰδωλολάτραι γίνεσθε καθώς τινες αὐτῶν ὡς γέγραπται
ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν ◦
8 μηδὲ πορνεύωμεν καθώς τινες αὐτῶν ἐπόρνευσαν καὶ ἔ-
9 πεσον˚ ἐν μιᾷ ἡμέρᾳ εἴκοσιτρεῖς χιλιάδες ◦ μηδὲ ἐκπειρά-
ζωμεν τὸν χριστὸν καθὼς κάί τινες αὐτῶν ἐπείρασαν καὶ
10 ὑπὸ τῶν ὄφεων ἀπώλοντο ◦ μηδὲ γογγύζετε καθώς˚ καί τι-
νες αὐτῶν ἐγόγγυσαν καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ ◦
11 ταῦτα δὲ πάντα˚ τύποι συνέβαινον ἐκείνοις ἐγράφη δὲ πρὸς
νουθεσίαν ἡμῶν εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν ◦
12, 13 ὥστε ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ ◦ πειρασμὸς ὑ-
μᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος πιστὸς δὲ ὁ θεὸς ὃς
οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε ἀλλὰ ποιή-
σει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς
14 ὑπενεγκεῖν ◦ διόπερ ἀγαπητοί μου φεύγετε ἀπὸ τῆς εἰδω-
15, 16 λολατρείας ◦ ὡς φρονίμοις λέγω κρίνατε ὑμεῖς ὅ φημι ◦ τὸ
ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν οὐχὶ κοινωνία τοῦ˚

---

**v.27** T*: αλλ, V: αλλα. **v.27** TK: μηπως, MV: μη πως. **10. v.1** T*: δε, V: γαρ. **v.2** TK: μωσην, MV: μωυσην. **v.2** T*: εβαπτισαντο, V: εβαπτισθησαν. **v.3** T*: βρωμα πνευματικον, V: πνευματικον βρωμα. **v.4** T*: πομα πνευματικον επιον, V: πνευματικον επιον πομα. **v.4** T*: δε πετρα, V: πετρα δε. **v.7** TK: ως, MV: ωσπερ. **v.7** T*: πιειν, V: πειν. **v.8** T*: επεσον εν, V: επεσαν. **v.8** TK: εικοσιτρεις, MV: εικοσι τρεις. **v.9** T*: και, V: ∅. **v.9** T*: απωλοντο, V: απωλλυντο. **v.10** T*: καθως και, V: καθαπερ. **v.11** T*: παντα τυποι συνεβαινον, V: τυπικως συνεβαινεν. **v.11** T*: κατηντησεν, V: κατηντηκεν. **v.13** T*: υμας, V: ∅. **v.14** T*: ειδωλολατρειας, V: ειδωλολατριας. **v.16** T*: του αιματος του χριστου εστιν, V: εστιν του αιματος του χριστου.

αἵματος τοῦ χριστοῦ ἐστιν τὸν ἄρτον ὃν κλῶμεν οὐχὶ κοινω-
νία τοῦ σώματος τοῦ χριστοῦ ἐστιν ◦ ὅτι εἷς ἄρτος ἓν σῶμα 17
οἱ πολλοί ἐσμεν οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχο-
μεν ◦ βλέπετε τὸν ἰσραὴλ κατὰ σάρκα οὐχὶ οἱ ἐσθίοντες τὰς 18
θυσίας κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν ◦ τί οὖν φημι ὅτι 19
εἰδῶλόν τί ἐστιν ἢ ὅτι εἰδῶλόθυτόν τί ἐστιν ◦ ἀλλ᾽ ὅτι ἃ θύει˚ 20
τὰ ἔθνη δαιμονίοις θύει καὶ οὐ θεῷ οὐ θέλω δὲ ὑμᾶς κοι-
νωνοὺς τῶν δαιμονίων γίνεσθαι ◦ οὐ δύνασθε ποτήριον κυ- 21
ρίου πίνειν καὶ ποτήριον δαιμονίων οὐ δύνασθε τραπέζης
κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων ◦ ἢ παραζηλοῦ- 22
μεν τὸν κύριον μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν ◦ πάντα μοὶ 23
ἔξεστιν ἀλλ᾽ οὐ πάντα συμφέρει πάντα μοὶ ἔξεστιν ἀλλ᾽ οὐ
πάντα οἰκοδομεῖ ◦ μηδεὶς τὸ ἑαυτοῦ ζητείτω ἀλλὰ τὸ τοῦ 24
ἑτέρου ἕκαστος ◦ πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε 25
μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν ◦ τοῦ γὰρ˚ κυρίου 26
ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς ◦ εἰ δέ˚ τις καλεῖ ὑμᾶς τῶν ἀ- 27
πίστων καὶ θέλετε πορεύεσθαι πᾶν τὸ παρατιθέμενον ὑμῖν
ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν ◦ ἐὰν δέ τις 28
ὑμῖν εἴπῃ τοῦτο εἰδῶλόθυτόν ἐστιν μὴ ἐσθίετε δι᾽ ἐκεῖνον
τὸν μηνύσαντα καὶ τὴν συνείδησιν τοῦ˚ γὰρ κυρίου ἡ γῆ
καὶ τὸ πλήρωμα αὐτῆς ◦ συνείδησιν δὲ λέγω οὐχὶ τὴν ἑαυ- 29
τοῦ ἀλλὰ τὴν τοῦ ἑτέρου ἱναῖ γὰρ ἡ ἐλευθερία μου κρίνεται
ὑπὸ ἄλλης συνειδήσεως ◦ εἰ δὲ˚ ἐγὼ χάριτι μετέχω τί βλα- 30
σφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ ◦ εἴτε οὖν ἐσθίετε εἴτε 31
πίνετε εἴτε τι ποιεῖτε πάντα εἰς δόξαν θεοῦ ποιεῖτε ◦ ἀπρό- 32
σκοποι γίνεσθε˚ καὶ ἰουδαίοις καὶ ἕλλησιν καὶ τῇ ἐκκλησίᾳ
τοῦ θεοῦ ◦ καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω μὴ ζητῶν τὸ 33
ἐμαυτοῦ συμφέρον ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσιν ◦

Μιμηταί μου γίνεσθε καθὼς κἀγὼ χριστοῦ ◦ ἐπαινῶ δὲ **11**, 2

**v.18** T*: ουχι, V: ουχ. **v.19** T*: ειδωλον, V: ειδωλοθυτον. **v.19** T*: ειδωλοθυτον, V: ειδωλον. **v.20** T*: θυει τα εθνη δαιμονιοις θυει και ου θεω, V: θυουσιν δαιμονιοις και ου θεω [θυουσιν]. **v.23** T*: μοι, V: ∅. **v.24** T*: εκαστος, V: ∅. **v.26** T*: γαρ κυριου, V: κυριου γαρ. **v.27** T*: δε, V: ∅. **v.28** T*: ειδωλοθυτον, V: ιεροθυτον. **v.28** T*: του γαρ κυριου η γη και το πληρωμα αυτης, V: ∅. **v.29** TKV: ινατι, M: ινα τι. **v.30** TK: δε, MV: ∅. **v.32** T*: γινεσθε και ιουδαιοις, V: και ιουδαιοις γινεσθε. **v.33** T*: συμφερον, V: συμφορον.

ὑμᾶς ἀδελφοὶ ὅτι πάντα μου μέμνησθε καὶ καθὼς παρέ-
3 δωκα ὑμῖν τὰς παραδόσεις κατέχετε ◦ θέλω δὲ ὑμᾶς εἰδέ-
ναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ χριστός ἐστιν κεφαλὴ
4 δὲ γυναικὸς ὁ ἀνὴρ κεφαλὴ δὲ χ̣ριστοῦ ὁ θεός ◦ πᾶς ἀνὴρ
προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων καται-
5 σχύνει τὴν κεφαλὴν αὐτοῦ ◦ πᾶσα δὲ γυνὴ προσευχομένη
ἢ προφητεύουσα ἀκατακαλύπτῳ τ̣ῇ κεφαλ̣ῇ καταισχύνει
τὴν κεφαλὴν ἑ̣αυτῆς ἓν γάρ ἐστιν καὶ τὸ αὐτὸ τ̣ῇ ἐξυρημέ-
6 νῃ ◦ εἰ γὰρ οὐ κατακαλύπτεται γυνὴ καὶ κειράσθω εἰ δὲ αἰ-
σχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι κατακαλυπτέσθω ◦
7 ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν
εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων γ̣υνὴ δὲ δόξα ἀνδρός ἐστιν ◦
8, 9 οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς ἀλλὰ γυνὴ ἐξ ἀνδρός ◦ καὶ
γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα ἀλλὰ γυνὴ διὰ τὸν
10 ἄνδρα ◦ διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς
11 κεφαλῆς διὰ τοὺς ἀγγέλους ◦ πλὴν οὔτε ἀνὴρ˚ χωρὶς γυ-
12 ναικὸς οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν κυρίῳ ◦ ὥσπερ γὰρ ἡ
γυνὴ ἐκ τοῦ ἀνδρὸς οὕτως καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικὸς τὰ
13 δὲ πάντα ἐκ τοῦ θεοῦ ◦ ἐν ὑμῖν αὐτοῖς κρίνατε πρέπον ἐστὶν
14 γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ προσεύχεσθαι ◦ ἢ˚ οὐδὲ
αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ ἀτιμία
15 αὐτῷ ἐστιν ◦ γυνὴ δὲ ἐὰν κομᾷ δόξα αὐτῇ ἐστιν ὅτι ἡ κόμη
16 ἀντὶ περιβολαίου δέδοται αὐτ̣ῇ ◦ εἰ δέ τις δοκεῖ φιλόνεικος
εἶναι ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν οὐδὲ αἱ ἐκκλη-
17 σίαι τοῦ θεοῦ ◦ τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ ὅτι οὐκ
18 εἰς τὸ κρεῖττον˚ ἀλλ᾽ εἰς τὸ ἧττον συνέρχεσθε ◦ πρῶτον μὲν
γὰρ συνερχομένων ὑμῶν ἐν τ̣ῇ ἐκκλησίᾳ ἀκούω σχίσματα
19 ἐν ὑμῖν ὑπάρχειν καὶ μέρος τι πιστεύω ◦ δεῖ γὰρ καὶ αἱρέ-
σεις ἐν ὑμῖν εἶναι ἵνα̊ οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν ◦
20 συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ οὐκ ἔστιν κυριακὸν

**11. v.2** T*: αδελφοι, V: ∅. **v.3** T*: χριστου, V: του χριστου. **v.5** T*: εαυτης, V: αυτης. **v.7** T*: γυνη, V: η γυνη. **v.11** T*: ανηρ χωρις γυναικος ουτε γυνη χωρις ανδρος, V: γυνη χωρις ανδρος ουτε ανηρ χωρις γυναικος. **v.14** T*: η ουδε αυτη η φυσις, V: ουδε η φυσις αυτη. **v.15** TK: αυτη, M: ∅, V: [αυτη]. **v.17** T*: κρειττον αλλ εις το ηττον, V: κρεισσον αλλα εις το ησσον. **v.18** TK: τη, MV: ∅. **v.19** T*: ινα, V: ινα [και].

δεῖπνον φαγεῖν· ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβά- 21
νει ἐν τῷ φαγεῖν καὶ ὃς μὲν πεινᾷ ὃς δὲ μεθύει· μὴ γὰρ 22
οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν ἢ τῆς ἐκκλησίας
τοῦ θεοῦ καταφρονεῖτε καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας
τί ὑμῖν˚ εἴπω ἐπαινέσω ὑμᾶς ἐν τούτῳ οὐκ ἐπαινῶ· ἐγὼ 23
γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου ὃ καὶ παρέδωκα ὑμῖν ὅτι
ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο ἔλαβεν ἄρτον·
καὶ εὐχαριστήσας ἔκλασεν καὶ εἶπεν λάβετε˚ φάγετε τοῦτό 24
μού ἐστιν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον τοῦτο ποιεῖτε
εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ 25
δειπνῆσαι λέγων τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν
ἐν τῷ ἐμῷ αἵματι τοῦτο ποιεῖτε ὁσάκις ἂν πίνητε εἰς τὴν
ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦ- 26
τον καὶ τὸ ποτήριον τοῦτο πίνητε τὸν θάνατον τοῦ κυρίου
καταγγέλλετε ἄχρις˚ οὗ ἂν ἔλθῃ· ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρ- 27
τον τοῦτον ἢ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως˚ ἔνοχος
ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ κυρίου· δοκιμαζέτω 28
δὲ ἄνθρωπος ἑαυτὸν καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ
ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων καὶ πίνων ἀνάξίως 29
κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει μὴ διακρίνων τὸ σῶμα τοῦ˚
κυρίου· διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι 30
καὶ κοιμῶνται ἱκανοί· εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν οὐκ ἂν 31
ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ κυρίου παιδευόμεθα ἵνα 32
μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν· ὥστε ἀδελφοί μου συν- 33
ερχόμενοι εἰς τὸ φαγεῖν ἀλλήλους ἐκδέχεσθε· εἰ δέ˚ τις 34
πεινᾷ ἐν οἴκῳ ἐσθιέτω ἵνα μὴ εἰς κρίμα συνέρχησθε τὰ δὲ
λοιπὰ ὡς ἂν ἔλθω διατάξομαι·

Περὶ δὲ τῶν πνευματικῶν ἀδελφοί οὐ θέλω ὑμᾶς ἀγνο- **12**
εῖν· οἴδατε ὅτι ἔθνη ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν 2

---

**v.22** T*: υμιν ειπω, V: ειπω υμιν. **v.23** T*: παρεδιδοτο, V: παρεδιδετο. **v.24** T*: λαβετε φαγετε, V: ∅. **v.24** T*: κλωμενον, V: ∅. **v.25** T*: αν, V: εαν. **v.26** T*: αν, V: εαν. **v.26** T*: τουτο, V: ∅. **v.26** T*: αχρις ου αν, V: αχρι ου. **v.27** T*: τουτον, V: ∅. **v.27** TKV: αναξιως, M: αναξιως του κυριου. **v.27** TK: και, MV: και του. **v.29** T*: αναξιως, V: ∅. **v.29** T*: του κυριου, V: ∅. **v.31** T*: γαρ, V: δε. **v.32** T*: υπο, V: υπο [του]. **v.34** T*: δε, V: ∅. **12. v.2** TK: οτι, MV: οτι οτε.

3 ἤγεσθε ἀπαγόμενοι ◦ διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύ-
ματι θεοῦ λαλῶν λέγει ἀνάθεμα ἰησοῦν καὶ οὐδεὶς δύναται
4 εἰπεῖν κύριον˚ ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ ◦ διαιρέσεις
5 δὲ χαρισμάτων εἰσὶν τὸ δὲ αὐτὸ πνεῦμα ◦ καὶ διαιρέσεις δι-
6 ακονιῶν εἰσὶν καὶ ὁ αὐτὸς κύριος ◦ καὶ διαιρέσεις ἐνεργη-
μάτων εἰσὶν ὁ δὲ αὐτός ἐστιν θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶ-
7 σιν ◦ ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς
8 τὸ συμφέρον ◦ ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λό-
γος σοφίας ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα ◦
9 ἑτέρῳ δὲ˚ πίστις ἐν τῷ αὐτῷ πνεύματι ἄλλῳ δὲ χαρίσματα
10 ἰαμάτων ἐν τῷ αὐτῷ πνεύματι ◦ ἄλλῳ δὲ ἐνεργήματα δυνά-
μεων ἄλλῳ δὲ προφητεία ἄλλῳ δὲ διακρίσεις πνευμάτων ἑ-
11 τέρῳ δὲ˚ γένη γλωσσῶν ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν ◦ πάντα
δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα διαιροῦν ἰδίᾳ
12 ἑκάστῳ καθὼς βούλεται ◦ καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστιν
καὶ μέλη ἔχει˚ πολλὰ πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ˚
13 ἑνὸς πολλὰ ὄντα ἕν ἐστιν σῶμα οὕτως καὶ ὁ χριστός ◦ καὶ
γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθη-
μεν εἴτε ἰουδαῖοι εἴτε ἕλληνες εἴτε δοῦλοι εἴτε ἐλεύθεροι καὶ
14 πάντες εἰς ἓν πνεῦμα ἐποτίσθημεν ◦ καὶ γὰρ τὸ σῶμα οὐκ
15 ἔστιν ἓν μέλος ἀλλὰ πολλά ◦ ἐὰν εἴπῃ ὁ ποὺς ὅτι οὐκ εἰμὶ
χεὶρ οὐκ εἰμὶ ἐκ τοῦ σώματος οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ
16 τοῦ σώματος ◦ καὶ ἐὰν εἴπῃ τὸ οὖς ὅτι οὐκ εἰμὶ ὀφθαλμὸς
οὐκ εἰμὶ ἐκ τοῦ σώματος οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ
17 σώματος ◦ εἰ ὅλον τὸ σῶμα ὀφθαλμὸς ποῦ ἡ ἀκοή εἰ ὅλον
18 ἀκοὴ ποῦ ἡ ὄσφρησις ◦ νυνὶ δὲ ὁ θεὸς ἔθετο τὰ μέλη ἓν
19 ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησεν ◦ εἰ δὲ ἦν τὰ
20 πάντα ἓν μέλος ποῦ τὸ σῶμα ◦ νῦν δὲ πολλὰ μὲν μέλη ἓν
21 δὲ σῶμα ◦ οὐ δύναται δὲ˚ ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ χρείαν
σου οὐκ ἔχω ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσίν χρείαν ὑμῶν οὐκ
22 ἔχω ◦ ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος

**v.3** T*: ιησουν, V: ιησους. **v.3** T*: κυριον ιησουν, V: κυριος ιησους. **v.6** T*: εστιν, V: ∅. **v.9** T*: δε, V: ∅. **v.9** T*: αυτω, V: ενι. **v.10** T*: δε, V: ∅. **v.12** T*: εχει πολλα, V: πολλα εχει. **v.12** T*: του ενος, V: ∅. **v.13** T*: εις, V: ∅. **v.21** ΤΚ: δε, ΜV: δε ο.

ἀσθενέστερα ὑπάρχειν ἀναγκαῖά ἐστιν ◦ καὶ ἃ δοκοῦμεν 23
ἀτιμότερα εἶναι τοῦ σώματος τούτοις τιμὴν περισσοτέραν
περιτίθεμεν καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισ-
σοτέραν ἔχει ◦ τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει ἀλλ᾽ 24
ὁ θεὸς συνεκέρασεν τὸ σῶμα τῷ ὑστεροῦντι περισσοτέραν
δοὺς τιμήν ◦ ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι ἀλλὰ τὸ αὐ- 25
τὸ ὑπὲρ ἀλλήλων μεριμνῶσιν τὰ μέλη ◦ καὶ εἴτε πάσχει 26
ἓν μέλος συμπάσχει πάντα τὰ μέλη εἴτε δοξάζεται ἓν μέλος
συγχαίρει πάντα τὰ μέλη ◦ ὑμεῖς δέ ἐστε σῶμα χριστοῦ καὶ 27
μέλη ἐκ μέρους ◦ καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ 28
πρῶτον ἀποστόλους δεύτερον προφήτας τρίτον διδασκά-
λους ἔπειτα δυνάμεις εἶτα χαρίσματα ἰαμάτων ἀντιλήψεις
κυβερνήσεις γένη γλωσσῶν ◦ μὴ πάντες ἀπόστολοι μὴ πάν- 29
τες προφῆται μὴ πάντες διδάσκαλοι μὴ πάντες δυνάμεις ◦
μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων μὴ πάντες γλώσ- 30
σαις λαλοῦσιν μὴ πάντες διερμηνεύουσιν ◦ ζηλοῦτε δὲ τὰ 31
χαρίσματα τὰ κρείττονα καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν
δείκνυμι ◦

Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέ- **13**
λων ἀγάπην δὲ μὴ ἔχω γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον
ἀλαλάζον ◦ καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια 2
πάντα καὶ πᾶσαν τὴν γνῶσιν καὶ ἐὰν ἔχω πᾶσαν τὴν πί-
στιν ὥστε ὄρη μεθιστάνειν ἀγάπην δὲ μὴ ἔχω οὐθέν εἰμι ◦
καὶ᾽ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου καὶ ἐὰν παρα- 3
δῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι ἀγάπην δὲ μὴ ἔχω οὐδὲν
ὠφελοῦμαι ◦ ἡ ἀγάπη μακροθυμεῖ χρηστεύεται ἡ ἀγάπη 4
οὐ ζηλοῖ ἡ ἀγάπη οὐ περπερεύεται οὐ φυσιοῦται ◦ οὐκ ἀ- 5
σχημονεῖ οὐ ζητεῖ τὰ ἑαυτῆς οὐ παροξύνεται οὐ λογίζεται
τὸ κακόν ◦ οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ συγχαίρει δὲ τῇ ἀλη- 6
θείᾳ ◦ πάντα στέγει πάντα πιστεύει πάντα ἐλπίζει πάντα 7

**v.24** T*: αλλ, V: αλλα. **v.24** T*: υστερουντι, V: υστερουμενω. **v.25** TKV: σχισμα, M: σχισματα. **v.28** T*: ειτα, V: επειτα. **v.28** T*: αντιληψεις, V: αντιλημψεις. **v.31** T*: κρειττονα, V: μειζονα. **13. v.2** T*: μεθιστανειν, V: μεθισταναι. **v.2** TMV: ουθεν, K: ουδεν. **v.3** T*: και εαν, V: καν. **v.3** T*: καυθησωμαι, V: καυχησωμαι.

8 ὑπομένει ⸰ ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει εἴτε δὲ προφητεῖαι
καταργηθήσονται εἴτε γλῶσσαι παύσονται εἴτε γνῶσις κα-
9 ταργηθήσεται ⸰ ἐκ μέρους γὰρ γινώσκομεν καὶ ἐκ μέρους
10 προφητεύομεν ⸰ ὅταν δὲ ἔλθῃ τὸ τέλειον τότε τὸ ἐκ μέρους
11 καταργηθήσεται ⸰ ὅτε ἤμην νήπιος ὡς˚ νήπιος ἐλάλουν ὡς
νήπιος ἐφρόνουν ὡς νήπιος ἐλογιζόμην ὅτε δὲ γέγονα ἀ-
12 νὴρ κατήργηκα τὰ τοῦ νηπίου ⸰ βλέπομεν γὰρ ἄρτι δι᾽ ἐσό-
πτρου ἐν αἰνίγματι τότε δὲ πρόσωπον πρὸς πρόσωπον ἄρτι
γινώσκω ἐκ μέρους τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπε-
13 γνώσθην ⸰ νυνὶ δὲ μένει πίστις ἐλπὶς ἀγάπη τὰ τρία ταῦτα
μείζων δὲ τούτων ἡ ἀγάπη ⸰

**14** Διώκετε τὴν ἀγάπην ζηλοῦτε δὲ τὰ πνευματικὰ μᾶλλον
2 δὲ ἵνα προφητεύητε ⸰ ὁ γὰρ λαλῶν γλώσσῃ οὐκ ἀνθρώποις
λαλεῖ ἀλλὰ τῷ θεῷ οὐδεὶς γὰρ ἀκούει πνεύματι δὲ λαλεῖ
3 μυστήρια ⸰ ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν
4 καὶ παράκλησιν καὶ παραμυθίαν ⸰ ὁ λαλῶν γλώσσῃ ἑαυτὸν
5 οἰκοδομεῖ ὁ δὲ προφητεύων ἐκκλησίαν οἰκοδομεῖ ⸰ θέλω
δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις μᾶλλον δὲ ἵνα προφητεύ-
ητε μείζων γὰρ ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις ἐκτὸς εἰ
6 μὴ διερμηνεύῃ ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ ⸰ νυνὶ δὲ
ἀδελφοί ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν τί ὑμᾶς ὠφε-
λήσω ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει ἢ ἐν γνώσει ἢ
7 ἐν προφητείᾳ ἢ ἐν διδαχῇ ⸰ ὅμως τὰ ἄψυχα φωνὴν διδόντα
εἴτε αὐλὸς εἴτε κιθάρα ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ˚
8 πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον ⸰ καὶ
γὰρ ἐὰν ἄδηλον φωνὴν˚ σάλπιγξ δῷ τίς παρασκευάσεται
9 εἰς πόλεμον ⸰ οὕτως καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ
εὔσημον λόγον δῶτε πῶς γνωσθήσεται τὸ λαλούμενον ἔσε-
10 σθε γὰρ εἰς ἀέρα λαλοῦντες ⸰ τοσαῦτα εἰ τύχοι γένη φωνῶν

---

**v.8** T*: εκπιπτει, V: πιπτει. **v.9** TKV: γαρ, M: δε. **v.10** T*: τοτε, V: ∅. **v.11** T*: ως νηπιος ελαλουν ως νηπιος εφρονουν ως νηπιος ελογιζομην οτε δε, V: ελαλουν ως νηπιος εφρονουν ως νηπιος ελογιζομην ως νηπιος οτε. **14. v.2** T*: τω, V: ∅. **v.5** T*: γαρ, V: δε. **v.5** TKV: διερμηνευη, M: διερμηνευει. **v.6** T*: νυνι, V: νυν. **v.7** TKV: δω, M: διδω. **v.8** T*: φωνην σαλπιγξ, V: σαλπιγξ φωνην.

ἐὰν ἐν κόσμῳ καὶ οὐδὲν αὐτῶν ἄφωνον· ἐὰν οὖν μὴ εἰ- 11
δῶ τὴν δύναμιν τῆς φωνῆς ἔσομαι τῷ λαλοῦντι βάρβαρος
καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος· οὕτως καὶ ὑμεῖς ἐπεὶ ζη- 12
λωταί ἐστε πνευμάτων πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας
ζητεῖτε ἵνα περισσεύητε· διόπερ ὁ λαλῶν γλώσσῃ προσευ- 13
χέσθω ἵνα διερμηνεύῃ· ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ τὸ 14
πνεῦμά μου προσεύχεται ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν·
τί οὖν ἐστιν προσεύξομαι τῷ πνεύματι προσεύξομαι δὲ καὶ 15
τῷ νοΐ ψαλῶ τῷ πνεύματι ψαλῶ δὲ καὶ τῷ νοΐ· ἐπεὶ ἐὰν εὐ- 16
λογήσῃς˚ τῷ πνεύματι ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου
πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ ἐπειδὴ τί λέγεις οὐκ
οἶδεν· σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς ἀλλ᾽ ὁ ἕτερος οὐκ οἰ- 17
κοδομεῖται· εὐχαριστῶ τῷ θεῷ μοῦ πάντων ὑμῶν μᾶλλον 18
γλώσσαις λαλῶ˙· ἀλλ᾽ ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ˚ 19
τοῦ νοός μου λαλῆσαι ἵνα καὶ ἄλλους κατηχήσω ἢ μυρίους
λόγους ἐν γλώσσῃ· ἀδελφοὶ μὴ παιδία γίνεσθε ταῖς φρε- 20
σὶν ἀλλὰ τῇ κακίᾳ νηπιάζετε ταῖς δὲ φρεσὶν τέλειοι γίνεσθε·
ἐν τῷ νόμῳ γέγραπται ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν 21
ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ καὶ οὐδ᾽ οὕτως εἰσακούσον-
ταί μου λέγει κύριος· ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν 22
οὐ τοῖς πιστεύουσιν ἀλλὰ τοῖς ἀπίστοις ἡ δὲ προφητεία οὐ
τοῖς ἀπίστοις ἀλλὰ τοῖς πιστεύουσιν· ἐὰν οὖν συνέλθῃ ἡ 23
ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ καὶ πάντες γλώσσαις˚ λαλῶσιν
εἰσέλθωσιν δὲ ἰδιῶται ἢ ἄπιστοι οὐκ ἐροῦσιν ὅτι μαίνεσθε·
ἐὰν δὲ πάντες προφητεύωσιν εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώ- 24
της ἐλέγχεται ὑπὸ πάντων ἀνακρίνεται ὑπὸ πάντων· καὶ˚ 25
οὕτως τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται καὶ
οὕτως πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ θεῷ ἀπαγγέλ-
λων ὅτι ὁ˚ θεὸς ὄντως ἐν ὑμῖν ἐστιν· τί οὖν ἐστιν ἀδελφοὶ 26
ὅταν συνέρχησθε ἕκαστος ὑμῶν ψαλμὸν ἔχει διδαχὴν ἔχει

**v.10** T*: εστιν, V: εισιν. **v.10** TM: αυτων, KV: ∅. **v.13** T*: διοπερ, V: διο. **v.16** T*: ευλογησης τω, V: ευλογης [εν]. **v.18** T*: μου, V: ∅. **v.18** T*: λαλων, V: λαλω. **v.19** T*: αλλ, V: αλλα. **v.19** T*: δια του νοος, V: τω νοι. **v.21** T*: ετεροις, V: ετερων. **v.23** T*: γλωσσαις λαλωσιν, V: λαλωσιν γλωσσαις. **v.25** T*: και outως, V: ∅. **v.25** T*: ο θεος οντως, V: οντως ο θεος. **v.26** T*: υμων, V: ∅.

γλῶσσαν˚ ἔχει ἀποκάλυψιν ἔχει ἑρμηνείαν ἔχει πάντα πρὸς
27 οἰκοδομὴν γενέσθω· εἴτε γλώσσῃ τις λαλεῖ κατὰ δύο ἢ τὸ
28 πλεῖστον τρεῖς καὶ ἀνὰ μέρος καὶ εἷς διερμηνευέτω· ἐὰν δὲ
μὴ ᾖ διερμηνευτὴς σιγάτω ἐν ἐκκλησίᾳ ἑαυτῷ δὲ λαλείτω
29 καὶ τῷ θεῷ· προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν καὶ οἱ ἄλ-
30 λοι διακρινέτωσαν· ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ
31 ὁ πρῶτος σιγάτω· δύνασθε γὰρ καθ᾽ ἕνα πάντες προφη-
τεύειν ἵνα πάντες μανθάνωσιν καὶ πάντες παρακαλῶνται·
32, 33 καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται· οὐ γάρ
ἐστιν ἀκαταστασίας ὁ θεὸς ἀλλ᾽ εἰρήνης ὡς ἐν πάσαις ταῖς
34 ἐκκλησίαις τῶν ἁγίων· αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλη-
σίαις σιγάτωσαν οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν ἀλλ᾽˚
35 ὑποτάσσεσθαι καθὼς καὶ ὁ νόμος λέγει· εἰ δέ τι μαθεῖν
θέλουσιν ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν αἰ-
36 σχρὸν γάρ ἐστιν γυναιξὶν˚ ἐν ἐκκλησίᾳ λαλεῖν· ἢ ἀφ᾽ ὑμῶν
ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν ἢ εἰς ὑμᾶς μόνους κατήντησεν·
37 εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικὸς ἐπιγινωσκέτω
38 ἃ γράφω ὑμῖν ὅτι τοῦ˚ κυρίου εἰσὶν ἐντολαί· εἰ δέ τις ἀ-
39 γνοεῖ ἀγνοείτω· ὥστε ἀδελφοί ζηλοῦτε τὸ προφητεύειν καὶ
40 τὸ λαλεῖν γλώσσαις˚ μὴ κωλύετε· πάντα εὐσχημόνως καὶ
κατὰ τάξιν γινέσθω·

**15** Γνωρίζω δὲ ὑμῖν ἀδελφοὶ τὸ εὐαγγέλιον ὃ εὐηγγελισά-
2 μην ὑμῖν ὃ καὶ παρελάβετε ἐν ᾧ καὶ ἑστήκατε· δι᾽ οὗ καὶ
σώζεσθε τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν εἰ κατέχετε ἐκτὸς
3 εἰ μὴ εἰκῇ ἐπιστεύσατε· παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις
ὃ καὶ παρέλαβον ὅτι χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτι-
4 ῶν ἡμῶν κατὰ τὰς γραφάς· καὶ ὅτι ἐτάφη καὶ ὅτι ἐγή-
5 γερται τῇ˚ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ὅτι ὤφθη

---

**v.26** T*: γλωσσαν εχει αποκαλυψιν, V: αποκαλυψιν εχει γλωσσαν. **v.26** TK: γενεσθω, MV: γινεσθω. **v.33** TK: αλλ, MV: αλλα. **v.34** T*: υμων, V: ∅. **v.34** T*: επιτετραπται, V: επιτρεπεται. **v.34** T*: αλλ υποτασσεσθαι, V: αλλα υποτασσεσθωσαν. **v.35** T*: γυναιξιν εν εκκλησια λαλειν, V: γυναικι λαλειν εν εκκλησια. **v.37** TK: του κυριου εισιν εντολαι, M: κυριου εισιν εντολαι, V: κυριου εστιν εντολη. **v.38** T*: αγνοειτω, V: αγνοειται. **v.39** T*: αδελφοι, V: αδελφοι [μου]. **v.39** T*: γλωσσαις μη κωλυετε, V: μη κωλυετε γλωσσαις. **v.40** T*: παντα, V: παντα δε. **15. v.4** T*: τη τριτη ημερα, V: τη ημερα τη τριτη.

κηφᾷ εἶτα τοῖς δώδεκα ⸰ ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις 6
ἀδελφοῖς ἐφάπαξ ἐξ ὧν οἱ πλείοὺς μένουσιν ἕως ἄρτι τινὲς
δὲ κἀι ἐκοιμήθησαν ⸰ ἔπειτα ὤφθη ἰακώβῳ εἶτα τοῖς ἀπο- 7
στόλοις πᾶσιν ⸰ ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι 8
ὤφθη κἀμοί ⸰ ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων ὃς 9
οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος διότι ἐδίωξα τὴν ἐκ-
κλησίαν τοῦ θεοῦ ⸰ χάριτι δὲ θεοῦ εἰμι ὅ εἰμι καὶ ἡ χάρις 10
αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη ἀλλὰ περισσότερον αὐ-
τῶν πάντων ἐκοπίασα οὐκ ἐγὼ δὲ ἀλλ᾽ ἡ χάρις τοῦ θεοῦ ἡ
σὺν ἐμοί ⸰ εἴτε οὖν ἐγὼ εἴτε ἐκεῖνοι οὕτως κηρύσσομεν καὶ 11
οὕτως ἐπιστεύσατε ⸰ εἰ δὲ χριστὸς κηρύσσεται ὅτι ἐκ νε- 12
κρῶν ἐγήγερται πῶς λέγουσίν τινες˚ ἐν ὑμῖν ὅτι ἀνάστασις
νεκρῶν οὐκ ἔστιν ⸰ εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν οὐδὲ 13
χριστὸς ἐγήγερται ⸰ εἰ δὲ χριστὸς οὐκ ἐγήγερται κενὸν ἄρἀ 14
τὸ κήρυγμα ἡμῶν κενὴ δὲ˚ καὶ ἡ πίστις ὑμῶν ⸰ εὑρισκό- 15
μεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ ὅτι ἐμαρτυρήσαμεν
κατὰ τοῦ θεοῦ ὅτι ἤγειρεν τὸν χριστὸν ὃν οὐκ ἤγειρεν εἴπερ
ἄρα νεκροὶ οὐκ ἐγείρονται ⸰ εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται 16
οὐδὲ χριστὸς ἐγήγερται ⸰ εἰ δὲ χριστὸς οὐκ ἐγήγερται μα- 17
ταία ἡ πίστις ὑμῶν ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν ⸰ ἄρα 18
καὶ οἱ κοιμηθέντες ἐν χριστῷ ἀπώλοντο ⸰ εἰ ἐν τῇ ζωῇ ταύ- 19
τῃ ἠλπικότες˚ ἐσμὲν ἐν χριστῷ μόνον ἐλεεινότεροι πάντων
ἀνθρώπων ἐσμέν ⸰ νυνὶ δὲ χριστὸς ἐγήγερται ἐκ νεκρῶν 20
ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο ⸰ ἐπειδὴ γὰρ δι᾽ ἀν- 21
θρώπου ὁ˚ θάνατος καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν ⸰
ὥσπερ γὰρ ἐν τῷ ἀδὰμ πάντες ἀποθνήσκουσιν οὕτως καὶ 22
ἐν τῷ χριστῷ πάντες ζωοποιηθήσονται ⸰ ἕκαστος δὲ ἐν τῷ 23
ἰδίῳ τάγματι ἀπαρχὴ χριστὸς ἔπειτα οἱ χριστοῦ ἐν τῇ πα-
ρουσίᾳ αὐτοῦ ⸰ εἶτα τὸ τέλος ὅταν παραδῷ τὴν βασιλείαν 24
τῷ θεῷ καὶ πατρὶ ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν

**v.6** T*: πλειους, V: πλειονες. **v.6** T*: και, V: ∅. **v.10** T*: αλλ, V: αλλα. **v.12** T*: τινες εν υμιν, V: εν υμιν τινες. **v.14** T*: αρα, V: αρα [και]. **v.14** T*: δε, V: ∅. **v.19** T*: ηλπικοτες εσμεν εν χριστω, V: εν χριστω ηλπικοτες εσμεν. **v.20** T*: εγενετο, V: ∅. **v.21** T*: ο, V: ∅. **v.23** TK: χριστου, MV: του χριστου. **v.24** T*: παραδω, V: παραδιδω.

25 ἐξουσίαν καὶ δύναμιν· δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχριȣ̑ οὗ
26 ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ· ἔσχα-
27 τος ἐχθρὸς καταργεῖται ὁ θάνατος· πάντα γὰρ ὑπέταξεν
ὑπὸ τοὺς πόδας αὐτοῦ ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται
28 δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα· ὅταν δὲ
ὑποταγῇ αὐτῷ τὰ πάντα τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγή-
σεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα ἵνα ᾖ ὁ θεὸς τὰ πάντα
29 ἐν πᾶσιν· ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν
νεκρῶν εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται τί καὶ βαπτίζονται ὑ-
30 πὲρ τῶν˚ νεκρῶν· τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν·
31 καθ᾽ ἡμέραν ἀποθνήσκω νὴ τὴν ὑμετέραν˚ καύχησιν ἣν
32 ἔχω ἐν χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν· εἰ κατὰ ἄνθρωπον
ἐθηριομάχησα ἐν ἐφέσῳ τί μοι τὸ ὄφελος εἰ νεκροὶ οὐκ
ἐγείρονται φάγωμεν καὶ πίωμεν αὔριον γὰρ ἀποθνήσκο-
33 μεν· μὴ πλανᾶσθε φθείρουσιν ἤθη χρήσθ᾽ ὁμιλίαι κακαί·
34 ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε ἀγνωσίαν γὰρ θεοῦ
35 τινες ἔχουσιν πρὸς ἐντροπὴν ὑμῖν λέγω· ἀλλ᾽ ἐρεῖ τις πῶς
36 ἐγείρονται οἱ νεκροὶ ποίῳ δὲ σώματι ἔρχονται· ἄφρον σὺ ὃ
37 σπείρεις οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις
οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις ἀλλὰ γυμνὸν κόκ-
38 κον εἰ τύχοι σίτου ἤ τινος τῶν λοιπῶν· ὁ δὲ θεὸς αὐτῷ˚
δίδωσιν σῶμα καθὼς ἠθέλησεν καὶ ἑκάστῳ τῶν σπερμά-
39 των τὸ ἴδιον σῶμα· οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σὰρξ ἀλλὰ ἄλλη
μὲν σὰρξ ἀνθρώπων ἄλλη δὲ σὰρξ κτηνῶν ἄλλη δὲ ἰχθύων˚
40 ἄλλη δὲ πτηνῶν· καὶ σώματα ἐπουράνια καὶ σώματα ἐ-
πίγεια ἀλλ᾽ ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα ἑτέρα δὲ ἡ
41 τῶν ἐπιγείων· ἄλλη δόξα ἡλίου καὶ ἄλλη δόξα σελήνης καὶ
ἄλλη δόξα ἀστέρων ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ·
42 οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν σπείρεται ἐν φθορᾷ ἐ-

---

**v.25** T*: αχρις, V: αχρι. **v.25** T*: αν, V: ∅. **v.29** T*: των νεκρων, V: αυτων. **v.31** T: ημετεραν καυχησιν, KM: υμετεραν καυχησιν, V: υμετεραν καυχησιν [αδελφοι]. **v.33** TK: χρησθ, MV: χρηστα. **v.34** T*: λεγω, V: λαλω. **v.35** T*: αλλ, V: αλλα. **v.36** T*: αφρον, V: αφρων. **v.38** T*: αυτω διδωσιν, V: διδωσιν αυτω. **v.38** T*: το, V: ∅. **v.39** TK: σαρξ, MV: ∅. **v.39** T*: ιχθυων αλλη δε πτηνων, V: σαρξ πτηνων αλλη δε ιχθυων. **v.40** T*: αλλ, V: αλλα.

γείρεται ἐν ἀφθαρσίᾳ ◦ σπείρεται ἐν ἀτιμίᾳ ἐγείρεται ἐν δό- 43
ξῃ σπείρεται ἐν ἀσθενείᾳ ἐγείρεται ἐν δυνάμει ◦ σπείρεται 44
σῶμα ψυχικὸν ἐγείρεται σῶμα πνευματικὸν ἔστιν˚ σῶμα
ψυχικὸν καὶ ἔστιν σῶμα πνευματικόν ◦ οὕτως καὶ γέγρα- 45
πται ἐγένετο ὁ πρῶτος ἄνθρωπος ἀδὰμ εἰς ψυχὴν ζῶσαν ὁ
ἔσχατος ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν ◦ ἀλλ᾽ οὐ πρῶτον τὸ 46
πνευματικὸν ἀλλὰ τὸ ψυχικὸν ἔπειτα τὸ πνευματικόν ◦ ὁ 47
πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς ὁ δεύτερος ἄνθρωπος ὁ˚
κύριος ἐξ οὐρανοῦ ◦ οἷος ὁ χοϊκὸς τοιοῦτοι καὶ οἱ χοϊκοὶ 48
καὶ οἷος ὁ ἐπουράνιος τοιοῦτοι καὶ οἱ ἐπουράνιοι ◦ καὶ κα- 49
θὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ φορέσὁμεν καὶ τὴν
εἰκόνα τοῦ ἐπουρανίου ◦ τοῦτο δέ φημι ἀδελφοὶ ὅτι σὰρξ 50
καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύναὐται οὐ-
δὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ ◦ ἰδοὺ μυστήριον 51
ὑμῖν λέγω πάντες μὲν οὐ˚ κοιμηθησόμεθα πάντες δὲ ἀλ-
λαγησόμεθα ◦ ἐν ἀτόμῳ ἐν ῥιπῇ ὀφθαλμοῦ ἐν τῇ ἐσχάτῃ 52
σάλπιγγι σαλπίσει γὰρ καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρ-
τοι καὶ ἡμεῖς ἀλλαγησόμεθα ◦ δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο 53
ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀ-
θανασίαν ◦ ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν 54
καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν τότε γενήσεται ὁ
λόγος ὁ γεγραμμένος κατεπόθη ὁ θάνατος εἰς νῖκος ◦ ποῦ 55
σου θάνατε τὸ κέντρον˚ ποῦ σου ᾅδη τὸ νῖκος ◦ τὸ δὲ κέν- 56
τρον τοῦ θανάτου ἡ ἁμαρτία ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ
νόμος ◦ τῷ δὲ θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ 57
κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ◦ ὥστε ἀδελφοί μου ἀγαπητοὶ 58
ἑδραῖοι γίνεσθε ἀμετακίνητοι περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ
κυρίου πάντοτε εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστιν κενὸς
ἐν κυρίῳ ◦

Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους ὥσπερ διέταξα **16**

**v.44** T*: εστιν σωμα ψυχικον και εστιν σωμα, V: ει εστιν σωμα ψυχικον εστιν και. **v.47** T*: ο κυριος, V: ∅, F: πνευματικος. **v.49** TKV: φορεσομεν, M: φορεσωμεν. **v.50** T*: δυνανται, V: δυναται. **v.51** T*: μεν, V: ∅. **v.51** E: ου κοιμηθησομεθα παντες δε, ℵ: κοιμηθησομεθα ου παντες δε, F: αναστησομεθα ου παντες δε. **v.55** T*: κεντρον που σου αδη το νικος, V: νικος που σου θανατε το κεντρον.

ταῖς ἐκκλησίαις τῆς γαλατίας οὕτως καὶ ὑμεῖς ποιήσατε ·
2 κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ᾽ ἑαυτῷ τιθέτω θη-
σαυρίζων ὅ τι ἂν εὐοδῶται ἵνα μὴ ὅταν ἔλθω τότε λογίαι
3 γίνωνται · ὅταν δὲ παραγένωμαι οὓς ἐὰν δοκιμάσητε δι᾽ ἐ-
πιστολῶν τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς
4 ἱερουσαλήμ · ἐὰν δὲ ᾖ᾽ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι σὺν
5 ἐμοὶ πορεύσονται · ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν μακε-
6 δονίαν διέλθω μακεδονίαν γὰρ διέρχομαι · πρὸς ὑμᾶς δὲ
τυχὸν παραμενῶ ἢ καὶ παραχειμάσω ἵνα ὑμεῖς με προ-
7 πέμψητε οὗ ἐὰν πορεύωμαι · οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν
παρόδῳ ἰδεῖν ἐλπίζω δὲ᾽ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς
8 ἐὰν ὁ κύριος ἐπιτρέπῃ · ἐπιμενῶ δὲ ἐν ἐφέσῳ ἕως τῆς πεν-
9 τηκοστῆς · θύρα γάρ μοι ἀνέῳγεν μεγάλη καὶ ἐνεργὴς καὶ
10 ἀντικείμενοι πολλοί · ἐὰν δὲ ἔλθῃ τιμόθεος βλέπετε ἵνα ἀ-
φόβως γένηται πρὸς ὑμᾶς τὸ γὰρ ἔργον κυρίου ἐργάζεται
11 ὡς καὶ᾽ ἐγώ · μή τις οὖν αὐτὸν ἐξουθενήσῃ προπέμψατε δὲ
αὐτὸν ἐν εἰρήνῃ ἵνα ἔλθῃ πρός με ἐκδέχομαι γὰρ αὐτὸν με-
12 τὰ τῶν ἀδελφῶν · περὶ δὲ ἀπολλὼ τοῦ ἀδελφοῦ πολλὰ πα-
ρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν καὶ
πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ ἐλεύσεται δὲ ὅταν εὐ-
13 καιρήσῃ · γρηγορεῖτε στήκετε ἐν τῇ πίστει ἀνδρίζεσθε κρα-
14, 15 ταιοῦσθε · πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω · παρακαλῶ δὲ
ὑμᾶς ἀδελφοὶ οἴδατε τὴν οἰκίαν στεφανᾶ ὅτι ἐστὶν ἀπαρχὴ
τῆς ἀχαΐας καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς ·
16 ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις καὶ παντὶ τῷ συν-
17 εργοῦντι καὶ κοπιῶντι · χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ στεφανᾶ
καὶ φοὐρτουνάτου καὶ ἀχαϊκοῦ ὅτι τὸ ὑμῶν ὑστέρημα οὗ-
18 τοι ἀνεπλήρωσαν · ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ
19 ὑμῶν ἐπιγινώσκετε οὖν τοὺς τοιούτους · ἀσπάζονται ὑμᾶς
αἱ ἐκκλησίαι τῆς ἀσίας ἀσπάζὀνται ὑμᾶς ἐν κυρίῳ πολλὰ

**16. v.1** T*: λογιας, V: λογειας. **v.2** T*: σαββατων, V: σαββατου. **v.2** T*: αν, V: εαν. **v.2** T*: λογιαι, V: λογειαι. **v.4** T*: η αξιον, V: αξιον η. **v.7** T*: δε, V: γαρ. **v.7** T*: επιτρεπη, V: επιτρεψη. **v.10** T*: και εγω, V: καγω. **v.17** T*: φουρτουνατου, V: φορτουνατου. **v.17** T*: υμων, V: υμετερον. **v.19** T*: ασπαζονται, V: ασπαζεται.

ἀκύλας καὶ πρίσκιλλα σὺν τῇ κατ᾽ οἶκον αὐτῶν ἐκκλησίᾳ ⸰
ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες ἀσπάσασθε ἀλλήλους 20
ἐν φιλήματι ἁγίῳ ⸰ ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ παύλου ⸰ εἴ 21, 22
τις οὐ φιλεῖ τὸν κύριον ἰησοῦν˚ χριστὸν ἤτω ἀνάθεμα μα-
ρὰν˚ ἀθά ⸰ ἡ χάρις τοῦ κυρίου ἰησοῦ χριστοῦ μεθ᾽ ὑμῶν ⸰ 23
ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν χριστῷ ἰησοῦ ἀμήν ⸰ 24
Πρὸς˚ κορινθίους πρώτη ἐγράφη ἀπὸ φιλίππων διὰ στεφα-
νᾶ καὶ φουρτουνάτου καὶ ἀχαϊκοῦ καὶ τιμοθέου ⸰

**v.19** T*: πρισκιλλα, V: πρισκα. **v.22** T*: ιησουν χριστον, V: ∅. **v.22** T*: μαραν αθα, V: μαρανα θα. **v.23** T*: χριστου, V: ∅. **v.24** T*: αμην, V: ∅. **v.24** T: Προς . . . τιμοθεου, KMV: ∅.

# Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ
## ΔΕΥΤΕΡΑ˚

**1** Παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήματος θεοῦ
καὶ τιμόθεος ὁ ἀδελφὸς τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ οὔσῃ ἐν
κορίνθῳ σὺν τοῖς ἁγίοις πᾶσιν τοῖς οὖσιν ἐν ὅλῃ τῇ ἀχαΐᾳ ⋄
2 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου
3 ἰησοῦ χριστοῦ ⋄ εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡ-
μῶν ἰησοῦ χριστοῦ ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ θεὸς πάσης
4 παρακλήσεως ⋄ ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡ-
μῶν εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει
διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ
5 θεοῦ ⋄ ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ χριστοῦ εἰς
ἡμᾶς οὕτως διὰ˚ χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡ-
6 μῶν ⋄ εἴτε δὲ θλιβόμεθα ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ
σωτηρίας τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθη-
μάτων ὧν καὶ ἡμεῖς πάσχομεν εἴτε˚ παρακαλούμεθα ὑπὲρ
τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας καὶ ἡ ἐλπὶς ἡμῶν
7 βεβαία ὑπὲρ ὑμῶν ⋄ εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν
8 παθημάτων οὕτως καὶ τῆς παρακλήσεως ⋄ οὐ γὰρ θέλομεν
ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενο-
μένης ἡμῖν ἐν τῇ ἀσίᾳ ὅτι καθ᾽ ὑπερβολὴν ἐβαρήθημεν˚
9 ὑπὲρ δύναμιν ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν ⋄ ἀλ-
λὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν
ἵνα μὴ πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς ἀλλ᾽ ἐπὶ τῷ θεῷ τῷ
10 ἐγείροντι τοὺς νεκρούς ⋄ ὃς ἐκ τηλικούτου θανάτου ἐρρύ-

---

Τ: Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΔΕΥΤΕΡΑ, Κ: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, ΜV: ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β. **1. v.1** Τ*: ιησου χριστου, V: χριστου ιησου. **v.5** ΤΚ: δια, ΜV: δια του. **v.6** Τ*: της, V: ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως της. **v.6** ΤΚ: ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως και σωτηριας και η ελπις ημων βεβαια υπερ υμων, Μ: και η ελπις ημων βεβαια υπερ υμων ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως και σωτηριας, V: και η ελπις ημων βεβαια υπερ υμων. **v.7** Τ*: ωσπερ, V: ως. **v.8** Τ*: ημιν, V: ∅. **v.8** Τ*: εβαρηθημεν υπερ δυναμιν, V: υπερ δυναμιν εβαρηθημεν.

σατο ἡμᾶς καὶ ῥύεται εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι ῥύσεται ·
συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει ἵνα ἐκ 11
πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχα-
ριστηθῇ ὑπὲρ ἡμῶν · ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστὶν τὸ 12
μαρτύριον τῆς συνειδήσεως ἡμῶν ὅτι ἐν ἁπλότητι καὶ εἰ-
λικρινείᾳ θεοῦ οὐκ ἐν σοφίᾳ σαρκικῇ ἀλλ᾽ ἐν χάριτι θεοῦ
ἀνεστράφημεν ἐν τῷ κόσμῳ περισσοτέρως δὲ πρὸς ὑμᾶς ·
οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν ἀλλ᾽ ἢ ἃ ἀναγινώσκετε ἢ καὶ 13
ἐπιγινώσκετε ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε ·
καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους ὅτι καύχημα ὑμῶν 14
ἐσμεν καθάπερ καὶ ὑμεῖς ἡμῶν ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου
ἰησοῦ · καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρὸς˚ ὑμᾶς 15
ἐλθεῖν πρότερον ἵνα δευτέραν χάριν ἔχῃτε · καὶ δι᾽ ὑμῶν 16
διελθεῖν εἰς μακεδονίαν καὶ πάλιν ἀπὸ μακεδονίας ἐλθεῖν
πρὸς ὑμᾶς καὶ ὑφ᾽ ὑμῶν προπεμφθῆναι εἰς τὴν ἰουδαίαν ·
τοῦτο οὖν βουλευόμενος˚ μή τι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην 17
ἢ ἃ βουλεύομαι κατὰ σάρκα βουλεύομαι ἵνα ᾖ παρ᾽ ἐμοὶ
τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ · πιστὸς δὲ ὁ θεὸς ὅτι ὁ λόγος ἡ- 18
μῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ · ὁ γὰρ˚ τοῦ θεοῦ 19
υἱὸς ἰησοῦς χριστὸς ὁ ἐν ὑμῖν δι᾽ ἡμῶν κηρυχθεὶς δι᾽ ἐμοῦ
καὶ σιλουανοῦ καὶ τιμοθέου οὐκ ἐγένετο ναὶ καὶ οὒ ἀλλὰ
ναὶ ἐν αὐτῷ γέγονεν · ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ ἐν αὐτῷ 20
τὸ ναὶ καὶ˚ ἐν αὐτῷ τὸ ἀμὴν τῷ θεῷ πρὸς δόξαν δι᾽ ἡμῶν ·
ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς χριστὸν καὶ χρίσας ἡμᾶς 21
θεός · ὁ καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα 22
τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν · ἐγὼ δὲ μάρτυρα 23
τὸν θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν ὅτι φειδόμενος
ὑμῶν οὐκέτι ἦλθον εἰς κόρινθον · οὐχ ὅτι κυριεύομεν ὑ- 24
μῶν τῆς πίστεως ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν τῇ

---

**v.10** T*: ρυεται, V: ρυσεται. **v.11** TKV: ημων, M: υμων. **v.12** T*: θεου, V: του θεου [και]. **v.13** T*: και, V: ∅. **v.14** T*: κυριου, V: κυριου [ημων]. **v.15** TK: προς υμας ελθειν προτερον, M: ελθειν προς υμας το προτερον, V: προτερον προς υμας ελθειν. **v.15** T*: εχητε, V: σχητε. **v.17** T*: βουλευομενος μη τι, V: βουλομενος μητι. **v.18** T*: εγενετο, V: εστιν. **v.19** T*: γαρ του θεου, V: του θεου γαρ. **v.20** T*: και εν αυτω, V: διο και δι αυτου.

γὰρ πίστει ἑστήκατε ⸰

**2** Ἔκρινα δὲ˚ ἐμαυτῷ τοῦτο τὸ μὴ πάλιν ἐλθεῖν˚ ἐν λύπῃ
2 πρὸς ὑμᾶς ⸰ εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς καὶ τίς ἐστιν ὁ εὐφραί-
3 νων με εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ ⸰ καὶ ἔγραψα ὑμῖν
τοῦτο αὐτὸ ἵνα μὴ ἐλθὼν λύπην ἔχω ἀφ᾽ ὧν ἔδει με χαί-
ρειν πεποιθὼς ἐπὶ πάντας ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ πάντων
4 ὑμῶν ἐστιν ⸰ ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας
ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων οὐχ ἵνα λυπηθῆτε ἀλλὰ
5 τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς ⸰ εἰ
δέ τις λελύπηκεν οὐκ ἐμὲ λελύπηκεν ἀλλ᾽ ἀπὸ μέρους ἵνα
6 μὴ ἐπιβαρῶ πάντας ὑμᾶς ⸰ ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία
7 αὕτη ἡ ὑπὸ τῶν πλειόνων ⸰ ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς
χαρίσασθαι καὶ παρακαλέσαι μήπως τῇ περισσοτέρᾳ λύ-
8 πῃ καταποθῇ ὁ τοιοῦτος ⸰ διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι
9 εἰς αὐτὸν ἀγάπην ⸰ εἰς τοῦτο γὰρ καὶ ἔγραψα ἵνα γνῶ τὴν
10 δοκιμὴν ὑμῶν εἰ εἰς πάντα ὑπήκοοί ἐστε ⸰ ᾧ δέ τι χαρίζε-
σθε καὶ˚ ἐγὼ καὶ γὰρ ἐγὼ εἴ˚ τι κεχάρισμαι ᾧ κεχάρισμαι δι᾽
11 ὑμᾶς ἐν προσώπῳ χριστοῦ ⸰ ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ
12 τοῦ σατανᾶ οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν ⸰ ἐλθὼν
δὲ εἰς τὴν τρωάδα εἰς τὸ εὐαγγέλιον τοῦ χριστοῦ καὶ θύρας
13 μοι ἀνεῳγμένης ἐν κυρίῳ ⸰ οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί
μου τῷ μὴ εὑρεῖν με τίτον τὸν ἀδελφόν μου ἀλλὰ ἀποτα-
14 ξάμενος αὐτοῖς ἐξῆλθον εἰς μακεδονίαν ⸰ τῷ δὲ θεῷ χάρις
τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ χριστῷ καὶ τὴν ὀσμὴν
τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι᾽ ἡμῶν ἐν παντὶ τόπῳ ⸰
15 ὅτι χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν
16 τοῖς ἀπολλυμένοις ⸰ οἷς μὲν ὀσμὴ θάνάτου εἰς θάνατον οἷς
17 δὲ ὀσμὴ ζῴης εἰς ζωὴν καὶ πρὸς ταῦτα τίς ἱκανός ⸰ οὐ γάρ
ἐσμεν ὡς οἱ πολλοὶ καπηλεύοντες τὸν λόγον τοῦ θεοῦ ἀλλ᾽

**2. v.1** T*: δε, V: γαρ. **v.1** TK: ελθειν εν λυπη προς υμας, MV: εν λυπη προς υμας ελθειν. **v.2** T*: εστιν, V: ∅. **v.3** T*: υμιν, V: ∅. **v.3** T*: εχω, V: σχω. **v.5** TK: αλλ, MV: αλλα. **v.7** T: μηπως, KMV: μη πως. **v.10** T*: και εγω, V: καγω. **v.10** T*: ει τι κεχαρισμαι ω, V: ο κεχαρισμαι ει τι. **v.16** T*: θανατου, V: εκ θανατου. **v.16** T*: ζωης, V: εκ ζωης. **v.17** TKV: πολλοι, M: λοιποι.

ὡς ἐξ εἰλικρινείας ἀλλ᾽ ὡς ἐκ θεοῦ κατενώπιον˚ τοῦ θεοῦ ἐν
χριστῷ λαλοῦμεν ◦

Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν ἢ μὴ χρῄζομεν **3**
ὥς τινες συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς ἢ ἐξ ὑμῶν συ-
στάτικῶν ◦ ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε ἐγγεγραμμένη ἐν 2
ταῖς καρδίαις ἡμῶν γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ
πάντων ἀνθρώπων ◦ φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ χρι- 3
στοῦ διακονηθεῖσα ὑφ᾽ ἡμῶν ἐγγεγραμμένη οὐ μέλανι ἀλ-
λὰ πνεύματι θεοῦ ζῶντος οὐκ ἐν πλαξὶν λιθίναις ἀλλ᾽ ἐν
πλαξὶν καρδίᾶς σαρκίναις ◦ πεποίθησιν δὲ τοιαύτην ἔχο- 4
μεν διὰ τοῦ χριστοῦ πρὸς τὸν θεόν ◦ οὐχ ὅτι ἱκανοί˚ ἐσμεν 5
ἀφ᾽ ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν ἀλλ᾽ ἡ ἱκανότης ἡ-
μῶν ἐκ τοῦ θεοῦ ◦ ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς 6
διαθήκης οὐ γράμματος ἀλλὰ πνεύματος τὸ γὰρ γράμμα
ἀποκτέίνει τὸ δὲ πνεῦμα ζωοποιεῖ ◦ εἰ δὲ ἡ διακονία τοῦ 7
θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐγενήθη ἐν
δόξῃ ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς ἰσραὴλ εἰς τὸ
πρόσωπον μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν
καταργουμένην ◦ πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύ- 8
ματος ἔσται ἐν δόξῃ ◦ εἰ γὰρ ἡ˚ διακονίᾳ τῆς κατακρίσεως 9
δόξα πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύ-
νης ἐν δόξῃ ◦ καὶ γὰρ οὐδὲ δεδόξασται τὸ δεδοξασμένον ἐν 10
τούτῳ τῷ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης ◦ εἰ γὰρ 11
τὸ καταργούμενον διὰ δόξης πολλῷ μᾶλλον τὸ μένον ἐν
δόξῃ ◦ ἔχοντες οὖν τοιαύτην ἐλπίδα πολλῇ παρρησίᾳ χρώ- 12
μεθα ◦ καὶ οὐ καθάπερ μωσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρό- 13
σωπον ἑαυτοῦ πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς ἰσραὴλ εἰς
τὸ τέλος τοῦ καταργουμένου ◦ ἀλλ᾽ ἐπωρώθη τὰ νοήματα 14
αὐτῶν ἄχρι γὰρ τῆς σήμεροῦ τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀνα-

**v.17** T*: κατενωπιον του, V: κατεναντι. **3. v.1** TM: ει, KV: η. **v.1** T*: συστατικων, V: ∅. **v.3** TK: καρδιας, MV: καρδιαις. **v.5** T*: ικανοι εσμεν αφ εαυτων, V: αφ εαυτων ικανοι εσμεν. **v.6** TK: αποκτεινει, M: αποκτενει, V: αποκτεννει. **v.7** T*: εν, V: ∅. **v.7** TK: μωσεως, MV: μωυσεως. **v.9** T*: η, V: τη. **v.9** T*: εν, V: ∅. **v.10** TK: ουδε, MV: ου. **v.10** T*: ενεκεν, V: εινεκεν. **v.13** TK: μωσης, MV: μωυσης. **v.13** T*: εαυτου, V: αυτου. **v.14** T*: αλλ, V: αλλα. **v.14** T*: σημερον, V: σημερον ημερας.

γνώσει τῆς παλαιᾶς διαθήκης μένει μὴ ἀνακαλυπτόμενον
15 ὅ˚ τι ἐν χριστῷ καταργεῖται ◦ ἀλλ᾽ ἕως σήμερον ἡνίκα ἀ-
ναγινώσκεται μωσῆς κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖ-
16 ται ◦ ἡνίκα δ᾽˚ ἂν ἐπιστρέψῃ πρὸς κύριον περιαιρεῖται τὸ
17 κάλυμμα ◦ ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν οὗ δὲ τὸ πνεῦμα
18 κυρίου ἐκεῖ ἐλευθερία ◦ ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ
προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰ-
κόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν καθάπερ ἀπὸ
κυρίου πνεύματος ◦

**4** Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην καθὼς ἠλεήθη-
2 μεν οὐκ ἐκκακοῦμεν ◦ ἀλλ᾽ ἀπειπάμεθα τὰ κρυπτὰ τῆς
αἰσχύνης μὴ περιπατοῦντες ἐν πανουργίᾳ μηδὲ δολοῦντες
τὸν λόγον τοῦ θεοῦ ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνι-
στῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων ἐνώ-
3 πιον τοῦ θεοῦ ◦ εἰ δὲ καὶ ἔστιν κεκαλυμμένον τὸ εὐαγγέ-
4 λιον ἡμῶν ἐν τοῖς ἀπολλυμένοις ἐστὶν κεκαλυμμένον ◦ ἐν
οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσεν τὰ νοήματα τῶν
ἀπίστων εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐ-
αγγελίου τῆς δόξης τοῦ χριστοῦ ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ ◦
5 οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν ἀλλὰ χριστὸν˚ ἰησοῦν κύριον
6 ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ ἰησοῦν ◦ ὅτι ὁ θεὸς ὁ εἰπὼν
ἐκ σκότους φῶς λάμψαι ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν
πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ ἐν προσ-
7 ώπῳ ἰησοῦ χριστοῦ ◦ ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν
ὀστρακίνοις σκεύεσιν ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ
8 θεοῦ καὶ μὴ ἐξ ἡμῶν ◦ ἐν παντὶ θλιβόμενοι ἀλλ᾽ οὐ στενο-
9 χωρούμενοι ἀπορούμενοι ἀλλ᾽ οὐκ ἐξαπορούμενοι ◦ διω-
κόμενοι ἀλλ᾽ οὐκ ἐγκαταλειπόμενοι καταβαλλόμενοι ἀλλ᾽
10 οὐκ ἀπολλύμενοι ◦ πάντοτε τὴν νέκρωσιν τοῦ κυρίου ἰη-
σοῦ ἐν τῷ σώματι περιφέροντες ἵνα καὶ ἡ ζωὴ τοῦ ἰησοῦ

---

**v.14** ΤΚ: ο τι, ΜV: οτι. **v.15** T*: αναγινωσκεται, V: αν αναγινωσκηται. **v.15** ΤΚ: μωσης, ΜV: μωυσης. **v.16** T*: δ αν, V: δε εαν. **v.17** T*: εκει, V: ∅. **4. v.1** T*: εκκακουμεν, V: εγκακουμεν. **v.2** ΤΚ: αλλ, ΜV: αλλα. **v.2** T*: συνιστωντες, V: συνιστανοντες. **v.4** T*: αυτοις, V: ∅. **v.5** T*: χριστον ιησουν, V: ιησουν χριστον. **v.6** T*: λαμψαι, V: λαμψει. **v.10** T*: κυριου, V: ∅.

ἐν τῷ σώματι ἡμῶν φανερωθῇ ◦ ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς 11
θάνατον παραδιδόμεθα διὰ ἰησοῦν ἵνα καὶ ἡ ζωὴ τοῦ ἰησοῦ
φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν ◦ ὥστε ὁ μὲν θάνατος 12
ἐν ἡμῖν ἐνεργεῖται ἡ δὲ ζωὴ ἐν ὑμῖν ◦ ἔχοντες δὲ τὸ αὐτὸ 13
πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον ἐπίστευσα διὸ
ἐλάλησα καὶ ἡμεῖς πιστεύομεν διὸ καὶ λαλοῦμεν ◦ εἰδότες 14
ὅτι ὁ ἐγείρας τὸν κύριον ἰησοῦν καὶ ἡμᾶς διὰ᾽ ἰησοῦ ἐγερεῖ
καὶ παραστήσει σὺν ὑμῖν ◦ τὰ γὰρ πάντα δι᾽ ὑμᾶς ἵνα ἡ χά- 15
ρις πλεονάσασα διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισ-
σεύσῃ εἰς τὴν δόξαν τοῦ θεοῦ ◦ διὸ οὐκ ἐκκακοῦμεν ἀλλ᾽ εἰ 16
καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται ἀλλ᾽ ὁ ἔσωθεν ἀνα-
καινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ ◦ τὸ γὰρ παραυτίκα ἐλαφρὸν 17
τῆς θλίψεως ἡμῶν καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον
βάρος δόξης κατεργάζεται ἡμῖν ◦ μὴ σκοπούντων ἡμῶν τὰ 18
βλεπόμενα ἀλλὰ τὰ μὴ βλεπόμενα τὰ γὰρ βλεπόμενα πρό-
σκαιρα τὰ δὲ μὴ βλεπόμενα αἰώνια ◦

Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους **5**
καταλυθῇ οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν οἰκίαν ἀχειροποίη-
τον αἰώνιον ἐν τοῖς οὐρανοῖς ◦ καὶ γὰρ ἐν τούτῳ στενάζο- 2
μεν τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπι-
ποθοῦντες ◦ εἴ γε καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησό- 3
μεθα ◦ καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμε- 4
νοι ἐπεἰδὴ οὐ θέλομεν ἐκδύσασθαι ἀλλ᾽ ἐπενδύσασθαι ἵνα
καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς ◦ ὁ δὲ κατεργασάμενος 5
ἡμᾶς εἰς αὐτὸ τοῦτο θεὸς ὁ κἀι δοὺς ἡμῖν τὸν ἀρραβῶνα
τοῦ πνεύματος ◦ θαρροῦντες οὖν πάντοτε καὶ εἰδότες ὅτι 6
ἐνδημοῦντες ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου ◦
διὰ πίστεως γὰρ περιπατοῦμεν οὐ διὰ εἴδους ◦ θαρροῦμεν 7, 8
δὲ καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ
ἐνδημῆσαι πρὸς τὸν κύριον ◦ διὸ καὶ φιλοτιμούμεθα εἴτε 9
ἐνδημοῦντες εἴτε ἐκδημοῦντες εὐάρεστοι αὐτῷ εἶναι ◦ τοὺς 10

**v.12** T*: μεν, V: ∅. **v.14** T*: δια, V: συν. **v.16** T*: εκκακουμεν, V: εγκακουμεν. **v.16** T*: εσωθεν, V: εσω ημων. **5. v.3** T*: ενδυσαμενοι, V: εκδυσαμενοι. **v.4** T: επειδη, KMV: εφ ω. **v.5** T*: και, V: ∅.

γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ χριστοῦ ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος
11 πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε καϰόν ◦ εἰδότες οὖν τὸν φόβον τοῦ κυρίου ἀνθρώπους πείθομεν θεῷ δὲ πεφανερώμεθα ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανε-
12 ρῶσθαι ◦ οὐ ϒὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν ἵνα ἔχητε
13 πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους καὶ ὀὐ καρδίᾳ ◦ εἴτε
14 γὰρ ἐξέστημεν θεῷ εἴτε σωφρονοῦμεν ὑμῖν ◦ ἡ γὰρ ἀγάπη τοῦ χριστοῦ συνέχει ἡμᾶς κρίναντας τοῦτο ὅτι εἷ εἷς ὑ-
15 πὲρ πάντων ἀπέθανεν ἄρα οἱ πάντες ἀπέθανον ◦ καὶ ὑπὲρ πάντων ἀπέθανεν ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν ἀλλὰ
16 τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι ◦ ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα εἰ δὲ˚ καὶ ἐγνώκαμεν κατὰ σάρκα χριστὸν ἀλλὰ νῦν οὐκ˚ ἔτι γινώσκομεν ◦
17 ὥστε εἴ τις ἐν χριστῷ καινὴ κτίσις τὰ ἀρχαῖα παρῆλθεν
18 ἰδοὺ γέγονεν καινὰ τὰ˚ πάντα ◦ τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ ἰηὁοῦ χριστοῦ καὶ
19 δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς ◦ ὡς ὅτι θεὸς ἦν ἐν χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν καὶ θέμενος ἐν ἡμῖν τὸν λό-
20 γον τῆς καταλλαγῆς ◦ ὑπὲρ χριστοῦ οὖν πρεσβεύομεν ὡς τοῦ θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν δεόμεθα ὑπὲρ χριστοῦ
21 καταλλάγητε τῷ θεῷ ◦ τὸν ϒὰρ μὴ ϒνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν ἵνα ἡμεῖς ϒιѵώμεθα δικαιοσύνη θεοῦ ἐν αὐτῷ ◦

**6** Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν
2 χάριν τοῦ θεοῦ δέξασθαι ὑμᾶς ◦ λέγει γὰρ καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι ἰδοὺ
3 νῦν καιρὸς εὐπρόσδεκτος ἰδοὺ νῦν ἡμέρα σωτηρίας ◦ μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπὴν ἵνα μὴ μωμηθῇ ἡ

**v.10** T*: κακον, V: φαυλον. **v.12** T*: γαρ, V: ∅. **v.12** T*: ου, V: μη εν. **v.14** T*: ει, V: ∅. **v.16** T*: δε, V: ∅. **v.16** T: ουκ ετι, KMV: ουκετι. **v.17** T*: τα παντα, V: ∅. **v.18** T*: ιησου, V: ∅. **v.21** T*: γαρ, V: ∅. **v.21** TK: γινωμεθα, MV: γενωμεθα.

διακονία· ἀλλ᾽ ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς θεοῦ διά- 4
κονοι ἐν ὑπομονῇ πολλῇ ἐν θλίψεσιν ἐν ἀνάγκαις ἐν στε-
νοχωρίαις· ἐν πληγαῖς ἐν φυλακαῖς ἐν ἀκαταστασίαις ἐν 5
κόποις ἐν ἀγρυπνίαις ἐν νηστείαις· ἐν ἁγνότητι ἐν γνώσει 6
ἐν μακροθυμίᾳ ἐν χρηστότητι ἐν πνεύματι ἁγίῳ ἐν ἀγά-
πῃ ἀνυποκρίτῳ· ἐν λόγῳ ἀληθείας ἐν δυνάμει θεοῦ διὰ 7
τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν· διὰ 8
δόξης καὶ ἀτιμίας διὰ δυσφημίας καὶ εὐφημίας ὡς πλά-
νοι καὶ ἀληθεῖς· ὡς ἀγνοούμενοι καὶ ἐπιγινωσκόμενοι ὡς 9
ἀποθνήσκοντες καὶ ἰδοὺ ζῶμεν ὡς παιδευόμενοι καὶ μὴ
θανατούμενοι· ὡς λυπούμενοι ἀεὶ δὲ χαίροντες ὡς πτω- 10
χοὶ πολλοὺς δὲ πλουτίζοντες ὡς μηδὲν ἔχοντες καὶ πάντα
κατέχοντες· τὸ στόμα ἡμῶν ἀνέῳγεν πρὸς ὑμᾶς κορίνθιοι 11
ἡ καρδία ἡμῶν πεπλάτυνται· οὐ στενοχωρεῖσθε ἐν ἡμῖν 12
στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν· τὴν δὲ αὐ- 13
τὴν ἀντιμισθίαν ὡς τέκνοις λέγω πλατύνθητε καὶ ὑμεῖς·
μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις τίς γὰρ μετοχὴ δικαι- 14
οσύνῃ καὶ ἀνομίᾳ τίς˚ δὲ κοινωνία φωτὶ πρὸς σκότος· τίς 15
δὲ συμφώνησις χριστῷ πρὸς βελίαρ ἢ τίς μερὶς πιστῷ με-
τὰ ἀπίστου· τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων 16
ὑμεῖς γὰρ ναὸς θεοῦ ἐστε ζῶντος καθὼς εἶπεν ὁ θεὸς ὅτι
ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν
θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός· διὸ ἐξέλθετε ἐκ μέσου 17
αὐτῶν καὶ ἀφορίσθητε λέγει κύριος καὶ ἀκαθάρτου μὴ ἅ-
πτεσθε κἀγὼ εἰσδέξομαι ὑμᾶς· καὶ ἔσομαι ὑμῖν εἰς πατέρα 18
καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας λέγει κύριος
παντοκράτωρ·

Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας ἀγαπητοὶ καθαρί- **7**
σωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύ-
ματος ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ· χωρήσατε 2
ἡμᾶς οὐδένα ἠδικήσαμεν οὐδένα ἐφθείραμεν οὐδένα ἐ-

**6. v.4** T*: συνιστωντες, V: συνισταντες. **v.14** T*: τις δε, V: η τις. **v.15** T*: χριστω, V: χριστου. **v.15** TMV: βελιαρ, K: βελιαλ. **v.16** T*: υμεις, V: ημεις. **v.16** E: ναος, F: ναοι. **v.16** T*: εστε, V: εσμεν. **v.16** T*: μοι, V: μου. **v.17** T*: εξελθετε, V: εξελθατε.

3 πλεονεκτήσαμεν· οὐ˚ πρὸς κατάκρισιν λέγω προείρηκα
γὰρ ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν
4 καὶ συζῆν· πολλή μοι παρρησία πρὸς ὑμᾶς πολλή μοι
καύχησις ὑπὲρ ὑμῶν πεπλήρωμαι τῇ παρακλήσει ὑπερ-
5 περισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν· καὶ γὰρ
ἐλθόντων ἡμῶν εἰς μακεδονίαν οὐδεμίαν ἔσχηκεν ἄνεσιν
ἡ σὰρξ ἡμῶν ἀλλ᾽ ἐν παντὶ θλιβόμενοι ἔξωθεν μάχαι ἔσω-
6 θεν φόβοι· ἀλλ᾽ ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλε-
7 σεν ἡμᾶς ὁ θεὸς ἐν τῇ παρουσίᾳ τίτου· οὐ μόνον δὲ ἐν
τῇ παρουσίᾳ αὐτοῦ ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκ-
λήθη ἐφ᾽ ὑμῖν ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν τὸν
ὑμῶν ὀδυρμὸν τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ ὥστε με μᾶλλον
8 χαρῆναι· ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ οὐ με-
ταμέλομαι εἰ καὶ μετεμελόμην βλέπω γὰρ ὅτι ἡ ἐπιστολὴ
9 ἐκείνη εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς· νῦν χαίρω οὐχ
ὅτι ἐλυπήθητε ἀλλ᾽ ὅτι ἐλυπήθητε εἰς μετάνοιαν ἐλυπή-
10 θητε γὰρ κατὰ θεὸν ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν· ἡ
γὰρ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον
κατεργάζεται ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζε-
11 ται· ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς
πόσην κατειργάσατο ὑμῖν σπουδὴν ἀλλὰ ἀπολογίαν ἀλ-
λὰ ἀγανάκτησιν ἀλλὰ φόβον ἀλλὰ ἐπιπόθησιν ἀλλὰ ζῆλον
ἀλλ᾽˚ ἐκδίκησιν ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶ-
12 ναι ἐν τῷ πράγματι· ἄρα εἰ καὶ ἔγραψα ὑμῖν οὐχ εἵνεκεν
τοῦ ἀδικήσαντος οὐδὲ εἵνεκεν τοῦ ἀδικηθέντος ἀλλ᾽ εἵνεκεν
τοῦ φανερωθῆναι τὴν σπουδὴν ὑμῶν˚ τὴν ὑπὲρ ἡμῶν πρὸς
13 ὑμᾶς ἐνώπιον τοῦ θεοῦ· διὰ τοῦτο παρακεκλήμεθα ἐπὶ τῇ
παρακλήσει ὑμῶν˚ περισσοτέρως δὲ μᾶλλον ἐχάρημεν ἐ-
πὶ τῇ χαρᾷ τίτου ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ
14 πάντων ὑμῶν· ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι οὐ

**7. v.3** T*: ου προς κατακρισιν, V: προς κατακρισιν ου. **v.10** T*: κατεργαζεται, V: εργαζεται. **v.11** T*: υμας, V: ∅. **v.11** TK: αλλ, MV: αλλα. **v.11** T*: εν, V: ∅. **v.12** T*: ενεκεν, V: ενεκεν. **v.12** TMV: υμων την υπερ ημων, K: ημων την υπερ υμων. **v.13** TK: επι, MV: επι δε. **v.13** TK: υμων περισσοτερως δε, M: υμων περισσοτερως, V: ημων περισσοτερως.

κατῃσχύνθην ἀλλ᾽ ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν
οὕτως καὶ ἡ καύχησις ἡμῶν ἡ ἐπὶ τίτου ἀλήθεια ἐγενήθη ⸰
καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς ἐστιν ἀνα- 15
μιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοὴν ὡς μετὰ φόβου
καὶ τρόμου ἐδέξασθε αὐτόν ⸰ χαίρω ὅτι ἐν παντὶ θαρρῶ ἐν 16
ὑμῖν ⸰

Γνωρίζομεν δὲ ὑμῖν ἀδελφοὶ τὴν χάριν τοῦ θεοῦ τὴν δε- **8**
δομένην ἐν ταῖς ἐκκλησίαις τῆς μακεδονίας ⸰ ὅτι ἐν πολλῇ 2
δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν καὶ ἡ κατὰ
βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν˚ πλοῦτον τῆς
ἁπλότητος αὐτῶν ⸰ ὅτι κατὰ δύναμιν μαρτυρῶ καὶ ὑπὲρ 3
δύναμιν αὐθαίρετοι ⸰ μετὰ πολλῆς παρακλήσεως δεόμε- 4
νοι ἡμῶν τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς
εἰς τοὺς ἁγίους δέξασθαι˚ ἡμᾶς ⸰ καὶ οὐ καθὼς ἠλπίσαμεν 5
ἀλλ᾽ ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ κυρίῳ καὶ ἡμῖν διὰ θε-
λήματος θεοῦ ⸰ εἰς τὸ παρακαλέσαι ἡμᾶς τίτον ἵνα καθὼς 6
προενήρξατο οὕτως καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν
ταύτην ⸰ ἀλλ᾽ ὥσπερ ἐν παντὶ περισσεύετε πίστει καὶ λόγῳ 7
καὶ γνώσει καὶ πάσῃ σπουδῇ καὶ τῇ ἐξ ὑμῶν˚ ἐν ἡμῖν ἀγά-
πῃ ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε ⸰ οὐ κατ᾽ ἐπιτα- 8
γὴν λέγω ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς καὶ τὸ τῆς ὑμετέ-
ρας ἀγάπης γνήσιον δοκιμάζων ⸰ γινώσκετε γὰρ τὴν χάριν 9
τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὅτι δι᾽ ὑμᾶς ἐπτώχευσεν
πλούσιος ὢν ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε ⸰
καὶ γνώμην ἐν τούτῳ δίδωμι τοῦτο γὰρ ὑμῖν συμφέρει οἵτι- 10
νες οὐ μόνον τὸ ποιῆσαι ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε
ἀπὸ πέρυσι ⸰ νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε ὅπως κα- 11
θάπερ ἡ προθυμία τοῦ θέλειν οὕτως καὶ τὸ ἐπιτελέσαι ἐκ
τοῦ ἔχειν ⸰ εἰ γὰρ ἡ προθυμία πρόκειται καθὸ ἐὰν ἔχῃ ἴις 12
εὐπρόσδεκτος οὐ καθὸ οὐκ ἔχει ⸰ οὐ γὰρ ἵνα ἄλλοις ἄνε- 13
σις ὑμῖν δὲ˚ θλῖψις ἀλλ᾽ ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ τὸ

**v.16** TMV: χαιρω, K: χαιρω ουν. **8. v.2** T*: τον πλουτον, V: το πλουτος. **v.3** T*: υπερ, V: παρα. **v.4** TK: δεξασθαι ημας, MV: ∅. **v.5** T*: αλλ, V: αλλα. **v.7** T*: υμων εν ημιν, V: ημων εν υμιν. **v.12** T*: τις, V: ∅. **v.13** T*: δε, V: ∅.

14 ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα· ἵνα καὶ τὸ ἐ-
κείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα ὅπως
15 γένηται ἰσότης· καθὼς γέγραπται ὁ τὸ πολὺ οὐκ ἐπλεό-
16 νασεν καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησεν· χάρις δὲ τῷ θεῷ
τῷ διδόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ
17 τίτου· ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο σπουδαιότερος δὲ
18 ὑπάρχων αὐθαίρετος ἐξῆλθεν πρὸς ὑμᾶς· συνεπέμψαμεν
δὲ μετ᾽ αὐτοῦ τὸν ἀδελφὸν οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ
19 διὰ πασῶν τῶν ἐκκλησιῶν· οὐ μόνον δὲ ἀλλὰ καὶ χειροτο-
νηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν σὺν τῇ χάριτι
ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ κυ-
20 ρίου δόξαν καὶ προθυμίαν ὑμῶν· στελλόμενοι τοῦτο μή
τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ
21 ὑφ᾽ ἡμῶν· προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον κυρίου
22 ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων· συνεπέμψαμεν δὲ αὐτοῖς
τὸν ἀδελφὸν ἡμῶν ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις
σπουδαῖον ὄντα νυνὶ δὲ πολὺ σπουδαιότερον πεποιθήσει
23 πολλῇ τῇ εἰς ὑμᾶς· εἴτε ὑπὲρ τίτου κοινωνὸς ἐμὸς καὶ εἰς
ὑμᾶς συνεργὸς εἴτε ἀδελφοὶ ἡμῶν ἀπόστολοι ἐκκλησιῶν
24 δόξα χριστοῦ· τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν καὶ ἡ-
μῶν καυχήσεως ὑπὲρ ὑμῶν εἰς αὐτοὺς ἐνδείξασθε καὶ εἰς
πρόσωπον τῶν ἐκκλησιῶν·

**9** Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισ-
2 σόν μοί ἐστιν τὸ γράφειν ὑμῖν· οἶδα γὰρ τὴν προθυμίαν
ὑμῶν ἣν ὑπὲρ ὑμῶν καυχῶμαι μακεδόσιν ὅτι ἀχαΐα πα-
ρεσκεύασται ἀπὸ πέρυσι καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισεν
3 τοὺς πλείονας· ἔπεμψα δὲ τοὺς ἀδελφοὺς ἵνα μὴ τὸ καύ-
χημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ ἐν τῷ μέρει τούτῳ ἵνα
4 καθὼς ἔλεγον παρεσκευασμένοι ἦτε· μή πως ἐὰν ἔλθω-
σιν σὺν ἐμοὶ μακεδόνες καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευά-
στους καταισχυνθῶμεν ἡμεῖς ἵνα μὴ λέγωμεν ὑμεῖς ἐν τῇ

---

**v.16** T*: διδοντι, V: δοντι. **v.19** TK: υμων, MV: ημων. **v.21** T*: προνοουμενοι, V: προνοουμεν γαρ. **v.24** TK: ενδειξασθε και, M: ενδειξασθε, V: ενδεικνυμενοι. **9. v.2** T*: ο εξ, V: το. **v.4** T*: λεγωμεν, V: λεγω.

ὑποστάσει ταύτῃ τῆς˚ καυχήσεως ◦ ἀναγκαῖον οὖν ἡγησάμην παρακαλέσαι τοὺς ἀδελφοὺς ἵνα προέλθωσιν εἰς ὑμᾶς καὶ προκαταρτίσωσιν τὴν προκατηγγελμένην εὐλογίαν ὑμῶν ταύτην ἑτοίμην εἶναι οὕτως ὡς εὐλογίαν καὶ μὴ ὥσπερ πλεονεξίαν ◦ τοῦτο δὲ ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει καὶ ὁ σπείρων ἐπ᾽ εὐλογίαις ἐπ᾽ εὐλογίαις καὶ θερίσει ◦ ἕκαστος καθὼς προᾄρεῖται τῇ καρδίᾳ μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ θεός ◦ δυνατὸς δὲ ὁ θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν ◦ καθὼς γέγραπται ἐσκόρπισεν ἔδωκεν τοῖς πένησιν ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα ◦ ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι˚ καὶ πληθύναι τὸν σπόρον ὑμῶν καὶ αὐξήσᾳ τὰ γενήματα τῆς δικαιοσύνης ὑμῶν ◦ ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα ἥτις κατεργάζεται δι᾽ ἡμῶν εὐχαριστίαν τῷ θεῷ ◦ ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον ἐστὶν προσαναπληροῦσα τὰ ὑστερήματα τῶν ἁγίων ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν εὐχαριστιῶν τῷ θεῷ ◦ διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης δοξάζοντες τὸν θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ χριστοῦ καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας ◦ καὶ αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ θεοῦ ἐφ᾽ ὑμῖν ◦ χάρις δὲ˚ τῷ θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ ◦

Αὐτὸς δὲ ἐγὼ παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πρᾳότητος καὶ ἐπιεικείας τοῦ χριστοῦ ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς ◦ δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περι-

**10**

**v.4** T*: της καυχησεως, V: ∅. **v.5** T*: προκατηγγελμενην, V: προεπηγγελμενην. **v.5** TK: ωσπερ, MV: ως. **v.7** T*: προαιρειται, V: προηρηται. **v.8** T*: δυνατος, V: δυνατει. **v.10** T*: σπερμα, V: σπορον. **v.10** T*: χορηγησαι και πληθυναι, V: χορηγησει και πληθυνει. **v.10** T*: αυξησαι, V: αυξησει. **v.10** TK: γεννηματα, MV: γενηματα. **v.15** T*: δε, V: ∅. **10. v.1** T*: πραοτητος, V: πραυτητος.

3 πατοῦντας ⸰ ἐν σαρκὶ γὰρ περιπατοῦντες οὐ κατὰ σάρκα
4 στρατευόμεθα ⸰ τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρ-
κικὰ ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων ⸰
5 λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κα-
τὰ τῆς γνώσεως τοῦ θεοῦ καὶ αἰχμαλωτίζοντες πᾶν νόημα
6 εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ ⸰ καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκ-
δικῆσαι πᾶσαν παρακοὴν ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή ⸰
7 τὰ κατὰ πρόσωπον βλέπετε εἴ τις πέποιθεν ἑαυτῷ χριστοῦ
εἶναι τοῦτο λογιζέσθω πάλιν ἀφ᾽ ἑαυτοῦ ὅτι καθὼς αὐτὸς
8 χριστοῦ οὕτως καὶ ἡμεῖς χριστοῦ ⸰ ἐάν τε γὰρ καὶ περισ-
σότερόν τι καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν ἧς ἔδωκεν
ὁ κύριος ἡμῖν εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν
9 οὐκ αἰσχυνθήσομαι ⸰ ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς
10 διὰ τῶν ἐπιστολῶν ⸰ ὅτι αἱ μέν᾽ ἐπιστολαὶ φησὶν βαρεῖαι
καὶ ἰσχυραὶ ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς καὶ ὁ
11 λόγος ἐξουθενημένος ⸰ τοῦτο λογιζέσθω ὁ τοιοῦτος ὅτι οἷοί
ἐσμεν τῷ λόγῳ δι᾽ ἐπιστολῶν ἀπόντες τοιοῦτοι καὶ παρόντες
12 τῷ ἔργῳ ⸰ οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς
τισιν τῶν ἑαυτοὺς συνιστανόντων ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑ-
αυτοὺς μετροῦντες καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς οὐ
13 συνιοῦσιν ⸰ ἡμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα καυχησόμεθα ἀλ-
λὰ κατὰ τὸ μέτρον τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ θεὸς
14 μέτρου ἐφικέσθαι ἄχρι καὶ ὑμῶν ⸰ οὐ γὰρ ὡς μὴ ἐφικνού-
μενοι εἰς ὑμᾶς ὑπερεκτείνομεν ἑαυτοὺς ἄχρι γὰρ καὶ ὑμῶν
15 ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ ⸰ οὐκ εἰς τὰ ἄμε-
τρα καυχώμενοι ἐν ἀλλοτρίοις κόποις ἐλπίδα δὲ ἔχοντες
αὐξανομένης τῆς πίστεως ὑμῶν ἐν ὑμῖν μεγαλυνθῆναι κα-
16 τὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν ⸰ εἰς τὰ ὑπερέκεινα ὑ-
μῶν εὐαγγελίσασθαι οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα
17, 18 καυχήσασθαι ⸰ ὁ δὲ καυχώμενος ἐν κυρίῳ καυχάσθω ⸰ οὐ
γὰρ ὁ ἑαυτὸν συνιστῶν ἐκεῖνός ἐστιν δόκιμος ἀλλ᾽ ὃν ὁ κύ-

---

**v.7** T*: αφ, V: εφ. **v.7** T*: χριστου, V: ∅. **v.8** T*: και, V: ∅. **v.8** T*: ημιν, V: ∅. **v.10** T*: μεν επιστολαι, V: επιστολαι μεν. **v.12** T*: συνιουσιν, V: συνιασιν. **v.13** T*: ουχι, V: ουκ. **v.18** T*: συνιστων, V: συνιστανων. **v.18** T*: αλλ, V: αλλα.

ριος συνίστησιν ◦

Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ˚ ἀφροσύνῃ ἀλλὰ καὶ **11**
ἀνέχεσθέ μου ◦ ζηλῶ γὰρ ὑμᾶς θεοῦ ζήλῳ ἡρμοσάμην γὰρ 2
ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ χριστῷ ◦
φοβοῦμαι δὲ μή πως ὡς ὁ ὄφις εὔαν˚ ἐξηπάτησεν ἐν τῇ 3
πανουργίᾳ αὐτοῦ οὕτως φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς
ἁπλότητος τῆς εἰς τὸν χριστόν ◦ εἰ μὲν γὰρ ὁ ἐρχόμενος 4
ἄλλον ἰησοῦν κηρύσσει ὃν οὐκ ἐκηρύξαμεν ἢ πνεῦμα ἕτε-
ρον λαμβάνετε ὃ οὐκ ἐλάβετε ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ
ἐδέξασθε καλῶς ἠνείχεσθε ◦ λογίζομαι γὰρ μηδὲν ὑστερη- 5
κέναι τῶν ὑπὲρ˚ λίαν ἀποστόλων ◦ εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ 6
ἀλλ᾽ οὐ τῇ γνώσει ἀλλ᾽ ἐν παντὶ φανερῶθέντες ἐν πᾶσιν εἰς
ὑμᾶς ◦ ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν ἵνα ὑμεῖς ὑ- 7
ψωθῆτε ὅτι δωρεὰν τὸ τοῦ θεοῦ εὐαγγέλιον εὐηγγελισάμην
ὑμῖν ◦ ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνιον πρὸς τὴν 8
ὑμῶν διακονίαν ◦ καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς οὐ 9
κατενάρκησα οὐδενός τὸ γὰρ ὑστέρημά μου προσανεπλή-
ρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ μακεδονίας καὶ ἐν παντὶ
ἀβαρῆ ὑμῖν˚ ἐμαυτὸν ἐτήρησα καὶ τηρήσω ◦ ἔστιν ἀλήθεια 10
χριστοῦ ἐν ἐμοὶ ὅτι ἡ καύχησις αὕτη οὐ ὀφραγίσεται εἰς ἐ-
μὲ ἐν τοῖς κλίμασιν τῆς ἀχαΐας ◦ διατὶ ὅτι οὐκ ἀγαπῶ ὑμᾶς 11
ὁ θεὸς οἶδεν ◦ ὃ δὲ ποιῶ καὶ ποιήσω ἵνα ἐκκόψω τὴν ἀφορ- 12
μὴν τῶν θελόντων ἀφορμὴν ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσιν
καθὼς καὶ ἡμεῖς ◦ οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι ἐργάται 13
δόλιοι μετασχηματιζόμενοι εἰς ἀποστόλους χριστοῦ ◦ καὶ 14
οὐ θαυμαστὸν αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς
ἄγγελον φωτός ◦ οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ με- 15
τασχηματίζονται ὡς διάκονοι δικαιοσύνης ὧν τὸ τέλος ἔσται
κατὰ τὰ ἔργα αὐτῶν ◦ πάλιν λέγω μή τίς με δόξῃ ἄφρονα 16

**11. v.1** T*: τη αφροσυνη, V: τι αφροσυνης. **v.3** T*: ευαν εξηπατησεν, V: εξηπατησεν ευαν. **v.3** T*: ουτως, V: ∅. **v.3** T*: απλοτητος, V: απλοτητος [και της αγνοτητος]. **v.4** TK: ηνειχεσθε, M: ανειχεσθε, V: ανεχεσθε. **v.5** T*: υπερ λιαν, V: υπερλιαν. **v.6** T*: φανερωθεντες, V: φανερωσαντες. **v.9** T*: ουδενος, V: ουθενος. **v.9** T*: υμιν εμαυτον, V: εμαυτον υμιν. **v.10** T: σφραγισεται, KMV: φραγησεται. **v.11** TK: διατι, MV: δια τι. **v.14** T*: θαυμαστον, V: θαυμα.

εἶναι εἰ δὲ μή γε κἂν ὡς ἄφρονα δέξασθέ με ἵνα μικρόν˚
17 τι κἀγὼ καυχήσωμαι ◦ ὃ λαλῶ οὐ λαλῶ˚ κατὰ κύριον ἀλλ᾽
ὡς ἐν ἀφροσύνῃ ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως ◦
18 ἐπεὶ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα κἀγὼ καυχήσο-
19 μαι ◦ ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων φρόνιμοι ὄντες ◦
20 ἀνέχεσθε γὰρ εἴ τις ὑμᾶς καταδουλοῖ εἴ τις κατεσθίει εἴ τις
λαμβάνει εἴ τις ἐπαίρεται εἴ τις ὑμᾶς˚ εἰς πρόσωπον δέρει ◦
21 κατὰ ἀτιμίαν λέγω ὡς ὅτι ἡμεῖς ἠσθενήϑαμεν ἐν ᾧ δ᾽ ἄν τις
22 τολμᾷ ἐν ἀφροσύνῃ λέγω τολμῶ κἀγώ ◦ ἑβραῖοί εἰσιν κἀγὼ
23 ἰσραηλῖταί εἰσιν κἀγὼ σπέρμα ἀβραάμ εἰσιν κἀγώ ◦ διά-
κονοι χριστοῦ εἰσιν παραφρονῶν λαλῶ ὑπὲρ ἐγὼ ἐν κόποις
περισσοτέρως ἐν πληγαῖς˚ ὑπερβαλλόντως ἐν φυλακαῖς πε-
24 ρισσοτέρως ἐν θανάτοις πολλάκις ◦ ὑπὸ ἰουδαίων πεντάκις
25 τεσσᾰράκοντα παρὰ μίαν ἔλαβον ◦ τρὶς ἐρρᾰβδίσθην ἅπαξ
ἐλιθάσθην τρὶς ἐναυάγησα νυχθήμερον ἐν τῷ βυθῷ πεποί-
26 ηκα ◦ ὁδοιπορίαις πολλάκις κινδύνοις ποταμῶν κινδύνοις
λῃστῶν κινδύνοις ἐκ γένους κινδύνοις ἐξ ἐθνῶν κινδύνοις
ἐν πόλει κινδύνοις ἐν ἐρημίᾳ κινδύνοις ἐν θαλάσσῃ κινδύ-
27 νοις ἐν ψευδαδέλφοις ◦ ἐν̓ κόπῳ καὶ μόχθῳ ἐν ἀγρυπνίαις
πολλάκις ἐν λιμῷ καὶ δίψει ἐν νηστείαις πολλάκις ἐν ψύχει
28 καὶ γυμνότητι ◦ χωρὶς τῶν παρεκτὸς ἡ ἐπισύστασίς˚ μου ἡ
29 καθ᾽ ἡμέραν ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν ◦ τίς ἀσθενεῖ
καὶ οὐκ ἀσθενῶ τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι ◦
30, 31 εἰ καυχᾶσθαι δεῖ τὰ τῆς ἀσθενείας μου καυχήσομαι ◦ ὁ θε-
ὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν˚ ἰησοῦ χριστοῦ οἶδεν ὁ ὢν
32 εὐλογητὸς εἰς τοὺς αἰῶνας ὅτι οὐ ψεύδομαι ◦ ἐν δαμασκῷ
ὁ ἐθνάρχης ἁρέτα τοῦ βασιλέως ἐφρούρει τὴν δαμασκη-
33 νῶν˚ πόλιν πιάσαι με θέλων ◦ καὶ διὰ θυρίδος ἐν σαργάνῃ

---

**v.16** TK: μικρον τι καγω, MV: καγω μικρον τι. **v.17** T*: λαλω κατα κυριον, V: κατα κυριον λαλω. **v.18** T*: την, V: ∅. **v.20** T*: υμας εις προσωπον, V: εις προσωπον υμας. **v.21** T*: ησθενησαμεν, V: ησθενηκαμεν. **v.23** T*: πληγαις υπερβαλλοντως εν φυλακαις περισσοτερως, V: φυλακαις περισσοτερως εν πληγαις υπερβαλλοντως. **v.24** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **v.25** TKV: ερραβδισθην, M: εραβδισθην. **v.27** T*: εν, V: ∅. **v.28** T*: επισυστασις μου, V: επιστασις μοι. **v.31** TK: ημων ιησου χριστου, M: ιησου χριστου, V: ιησου. **v.32** T*: δαμασκηνων πολιν πιασαι με θελων, V: πολιν δαμασκηνων πιασαι με.

ἐχαλάσθην διὰ τοῦ τείχους καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ ◦

Καυχᾶσθαι δὴ˚ οὐ συμφέρει μοι ἐλεύσομαι γὰρ εἰς ὀ- **12**
πτασίας καὶ ἀποκαλύψεις κυρίου ◦ οἶδα ἄνθρωπον ἐν χρι- 2
στῷ πρὸ ἐτῶν δεκατεσσάρων εἴτε ἐν σώματι οὐκ οἶδα εἴτε
ἐκτὸς τοῦ σώματος οὐκ οἶδα ὁ θεὸς οἶδεν ἁρπαγέντα τὸν
τοιοῦτον ἕως τρίτου οὐρανοῦ ◦ καὶ οἶδα τὸν τοιοῦτον ἄν- 3
θρωπον εἴτε ἐν σώματι εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα ὁ
θεὸς οἶδεν ◦ ὅτι ἡρπάγη εἰς τὸν παράδεισον καὶ ἤκουσεν 4
ἄρρητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι ◦ ὑπὲρ τοῦ 5
τοιούτου καυχήσομαι ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι εἰ
μὴ ἐν ταῖς ἀσθενείαις μου ◦ ἐὰν γὰρ θελήσω καυχήσασθαι 6
οὐκ ἔσομαι ἄφρων ἀλήθειαν γὰρ ἐρῶ φείδομαι δὲ μή τις
εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει τι ἐξ ἐμοῦ ◦
καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι ἐ- 7
δόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος σατᾶ ἵνα με κολαφίζῃ
ἵνα μὴ ὑπεραίρωμαι ◦ ὑπὲρ τούτου τρὶς τὸν κύριον παρε- 8
κάλεσα ἵνα ἀποστῇ ἀπ᾽ ἐμοῦ ◦ καὶ εἴρηκέν μοι ἀρκεῖ σοι 9
ἡ χάρις μου ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται ἥ-
διστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου ἵνα
ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ ἡ δύναμις τοῦ χριστοῦ ◦ διὸ εὐδοκῶ 10
ἐν ἀσθενείαις ἐν ὕβρεσιν ἐν ἀνάγκαις ἐν διωγμοῖς ἐν στενο-
χωρίαις ὑπὲρ χριστοῦ ὅταν γὰρ ἀσθενῶ τότε δυνατός εἰμι ◦
γέγονα ἄφρων καυχώμενος ὑμεῖς με ἠναγκάσατε ἐγὼ γὰρ 11
ὤφειλον ὑφ᾽ ὑμῶν συνίστασθαι οὐδὲν γὰρ ὑστέρησα τῶν ὑ-
πὲρ˚ λίαν ἀποστόλων εἰ καὶ οὐδέν εἰμι ◦ τὰ μὲν σημεῖα τοῦ 12
ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πάσῃ ὑπομονῇ ἐν˚ ση-
μείοις καὶ τέρασιν καὶ δυνάμεσιν ◦ τί γάρ ἐστιν ὃ ἡττήθητε 13
ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατε-
νάρκησα ὑμῶν χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην ◦ ἰδοὺ 14
τρίτον ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς καὶ οὐ καταναρκήσω

**12. v.1** T*: δη ου συμφερει μοι ελευσομαι γαρ, V: δει ου συμφερον μεν ελευσομαι δε. **v.3** T*: εκτος, V: χωρις. **v.5** T*: μου, V: ∅. **v.7** T*: ινα, V: διο ινα. **v.7** T*: σαταν, V: σατανα. **v.9** T*: μου, V: ∅. **v.9** T*: τελειουται, V: τελειται. **v.10** T*: εν, V: και. **v.11** T*: καυχωμενος, V: ∅. **v.11** TK: υπερ λιαν, MV: υπερλιαν. **v.12** T*: εν σημειοις, V: σημειοις τε. **v.13** T*: ηττηθητε, V: ησσωθητε. **v.14** T*: τριτον, V: τριτον τουτο.

ὑμῶν οὐ γὰρ ζητῶ τὰ ὑμῶν ἀλλ᾽ ὑμᾶς οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσιν θησαυρίζειν ἀλλ᾽ οἱ γονεῖς τοῖς τέκνοις ·
15 ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν˚ ἧττον ἀ-
16 γαπῶμαι · ἔστω δὲ ἐγὼ οὐ κατεβάρησα ὑμᾶς ἀλλ᾽ ὑπάρ-
17 χων πανοῦργος δόλῳ ὑμᾶς ἔλαβον · μή τινα ὧν ἀπέσταλκα
18 πρὸς ὑμᾶς δι᾽ αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς · παρεκάλεσα τίτον καὶ συναπέστειλα τὸν ἀδελφόν μή˚ τι ἐπλεονέκτησεν ὑμᾶς τίτος οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν οὐ τοῖς
19 αὐτοῖς ἴχνεσιν · πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα κατενώπιον˚ τοῦ θεοῦ ἐν χριστῷ λαλοῦμεν τὰ δὲ πάντα ἀγα-
20 πητοὶ ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς · φοβοῦμαι γὰρ μή πως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε μή πως ἔρεις˚ ζῆλοι θυμοὶ ἐριθεῖαι καταλαλιαὶ
21 ψιθυρισμοὶ φυσιώσεις ἀκαταστασίαι · μὴ πάλιν ἐλθόντα˚ με ταπεινώσῃ ὁ θεός μου πρὸς ὑμᾶς καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν ·

**13** Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς ἐπὶ στόματος δύο μαρ-
2 τύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα · προείρηκα καὶ προλέγω ὡς παρὼν τὸ δεύτερον καὶ ἀπὼν νῦν γράφω τοῖς προημαρτηκόσιν καὶ τοῖς λοιποῖς πᾶσιν ὅτι ἐὰν ἔλθω εἰς
3 τὸ πάλιν οὐ φείσομαι · ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος χριστοῦ ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ ἀλλὰ δυνατεῖ
4 ἐν ὑμῖν · καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας ἀλλὰ ζῇ ἐκ δυνάμεως θεοῦ καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ ἀλλὰ
5 ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως θεοῦ εἰς ὑμᾶς · ἑαυτοὺς πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει ἑαυτοὺς δοκιμάζετε ἢ οὐκ ἐπιγινώσκετε ἑαυτοὺς ὅτι ἰησοῦς χριστὸς ἐν ὑμῖν ἐστιν˚ εἰ

---

**v.14** T*: υμων, V: ∅. **v.14** TK: αλλ, MV: αλλα. **v.14** T*: αλλ, V: αλλα. **v.15** T*: και, V: ∅. **v.15** T*: αγαπων ηττον, V: αγαπω[ν] ησσον. **v.16** T*: αλλ, V: αλλα. **v.18** T*: μη τι, V: μητι. **v.19** T*: παλιν, V: παλαι. **v.19** T*: κατενωπιον του, V: κατεναντι. **v.20** T*: ερεις ζηλοι, V: ερις ζηλος. **v.21** TK: ελθοντα με ταπεινωση, M: ελθοντα με ταπεινωσει, V: ελθοντος μου ταπεινωση με. **13. v.2** T*: γραφω, V: ∅. **v.4** T*: ει, V: ∅. **v.4** TMV: γαρ, K: γαρ και. **v.4** T*: ζησομεθα, V: ζησομεν. **v.5** T*: εστιν ει μη τι, V: ει μητι.

μή τι ἀδόκιμοί ἐστε ⸰ ἐλπίζω δὲ ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ 6
ἐσμὲν ἀδόκιμοι ⸰ εὐχόμὰι δὲ πρὸς τὸν θεὸν μὴ ποιῆσαι ὑ- 7
μᾶς κακὸν μηδὲν οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν ἀλλ᾽ ἵνα
ὑμεῖς τὸ καλὸν ποιῆτε ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν ⸰ οὐ γὰρ 8
δυνάμεθά τι κατὰ τῆς ἀληθείας ἀλλ᾽ ὑπὲρ τῆς ἀληθείας ⸰
χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν ὑμεῖς δὲ δυνατοὶ ἦτε 9
τοῦτο δὲ˚ καὶ εὐχόμεθα τὴν ὑμῶν κατάρτισιν ⸰ διὰ τοῦτο 10
ταῦτα ἀπὼν γράφω ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι κα-
τὰ τὴν ἐξουσίαν ἣν ἔδωκέν˚ μοι ὁ κύριος εἰς οἰκοδομὴν καὶ
οὐκ εἰς καθαίρεσιν ⸰ λοιπὸν ἀδελφοὶ χαίρετε καταρτίζεσθε 11
παρακαλεῖσθε τὸ αὐτὸ φρονεῖτε εἰρηνεύετε καὶ ὁ θεὸς τῆς
ἀγάπης καὶ εἰρήνης ἔσται μεθ᾽ ὑμῶν ⸰ ἀσπάσασθε ἀλλήλ- 12
λους ἐν ἁγίῳ φιλήματι ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες ⸰
ἡ χάρις τοῦ κυρίου ἰησοῦ χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ 13
καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν
ἀμήν ⸰ Πρὸς˚ κορινθίους δευτέρα ἐγράφη ἀπὸ φιλίππων
τῆς μακεδονίας διὰ τίτου καὶ λουκᾶ ⸰

**v.7** T*: ευχομαι, V: ευχομεθα. **v.8** T*: αλλ, V: αλλα. **v.9** T*: δε, V: ∅. **v.10** T*: εδωκεν μοι ο κυριος, V: ο κυριος εδωκεν μοι. **v.13** T*: αμην, V: ∅. **v.13** T: Προς . . . λουκα, KMV: ∅.

# Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ
## ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

**1** Παῦλος ἀπόστολος οὐκ ἀπ᾽ ἀνθρώπων οὐδὲ δι᾽ ἀνθρώ-
που ἀλλὰ διὰ ἰησοῦ χριστοῦ καὶ θεοῦ πατρὸς τοῦ ἐγείραν-
2 τος αὐτὸν ἐκ νεκρῶν ⸰ καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοὶ ταῖς
3 ἐκκλησίαις τῆς γαλατίας ⸰ χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ
4 πατρὸς καὶ˚ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ⸰ τοῦ δόντος ἑαυ-
τὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ
ἐνεστῶτος˚ αἰῶνος πονηροῦ κατὰ τὸ θέλημα τοῦ θεοῦ καὶ
5 πατρὸς ἡμῶν ⸰ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν ⸰
6 θαυμάζω ὅτι οὕτως ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαν-
7 τος ὑμᾶς ἐν χάριτι χριστοῦ εἰς ἕτερον εὐαγγέλιον ⸰ ὃ οὐκ
ἔστιν ἄλλο εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλον-
8 τες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ χριστοῦ ⸰ ἀλλὰ καὶ ἐὰν
ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζῆται ὑμῖν παρ᾽ ὃ εὐ-
9 ηγγελισάμεθα ὑμῖν ἀνάθεμα ἔστω ⸰ ὡς προειρήκαμεν καὶ
ἄρτι πάλιν λέγω εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ᾽ ὃ παρελά-
10 βετε ἀνάθεμα ἔστω ⸰ ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν θεὸν
ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν εἰ ἔτι γὰρ ἀνθρώποις ἤρεσκον
11 χριστοῦ δοῦλος οὐκ ἂν ἤμην ⸰ γνωρίζω δὲ˚ ὑμῖν ἀδελφοὶ
τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ᾽ ἐμοῦ ὅτι οὐκ ἔστιν κατὰ
12 ἄνθρωπον ⸰ οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐ-
τὸ οὔτε ἐδιδάχθην ἀλλὰ δι᾽ ἀποκαλύψεως ἰησοῦ χριστοῦ ⸰
13 ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ ἰουδαϊσμῷ
ὅτι καθ᾽ ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ θεοῦ καὶ
14 ἐπόρθουν αὐτήν ⸰ καὶ προέκοπτον ἐν τῷ ἰουδαϊσμῷ ὑπὲρ
πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου περισσοτέρως ζη-
15 λωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων ⸰ ὅτε δὲ

---

Τ: Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, Κ: ΠΑΥΛΟΥ Η ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗ, ΜV: ΠΡΟΣ ΓΑΛΑΤΑΣ. **1. v.3** T*: και κυριου ημων, V: ημων και κυριου. **v.4** ΤΚV: υπερ, Μ: περι. **v.4** T*: ενεστωτος αιωνος, V: αιωνος του ενεστωτος. **v.8** ΤΚV: ευαγγελιζηται, Μ: ευαγγελιζεται. **v.10** T*: γαρ, V: ∅. **v.11** T*: δε, V: γαρ.

εὐδόκησεν ὁ θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου
καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ◦ ἀποκαλύψαι τὸν υἱ- 16
ὸν αὐτοῦ ἐν ἐμοὶ ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν
εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι ◦ οὐδὲ ἀνῆλ- 17
θον εἰς ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους ἀλλ᾽
ἀπῆλθον εἰς ἀραβίαν καὶ πάλιν ὑπέστρεψα εἰς δαμασκόν ◦
ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς ἱεροσόλυμα ἱστορῆσαι 18
πέτρον καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε ◦ ἕτε- 19
ρον δὲ τῶν ἀποστόλων οὐκ εἶδον εἰ μὴ ἰάκωβον τὸν ἀδελφὸν
τοῦ κυρίου ◦ ἃ δὲ γράφω ὑμῖν ἰδοὺ ἐνώπιον τοῦ θεοῦ ὅτι 20
οὐ ψεύδομαι ◦ ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς συρίας καὶ 21
τῆς κιλικίας ◦ ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκ- 22
κλησίαις τῆς ἰουδαίας ταῖς ἐν χριστῷ ◦ μόνον δὲ ἀκούοντες 23
ἦσαν ὅτι ὁ διώκων ἡμᾶς ποτε νῦν εὐαγγελίζεται τὴν πίστιν
ἣν ποτε ἐπόρθει ◦ καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν θεόν ◦ 24

**2** Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς ἱερο-
σόλυμα μετὰ βαρνάβα συμπαραλαβὼν καὶ τίτον ◦ ἀνέβην 2
δὲ κατὰ ἀποκάλυψιν καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον
ὃ κηρύσσω ἐν τοῖς ἔθνεσιν κατ᾽ ἰδίαν δὲ τοῖς δοκοῦσιν μή
πως εἰς κενὸν τρέχω ἢ ἔδραμον ◦ ἀλλ᾽ οὐδὲ τίτος ὁ σὺν ἐμοὶ 3
ἕλλην ὢν ἠναγκάσθη περιτμηθῆναι ◦ διὰ δὲ τοὺς παρεισά- 4
κτους ψευδαδέλφους οἵτινες παρεισῆλθον κατασκοπῆσαι
τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν χριστῷ ἰησοῦ ἵνα ἡμᾶς
καταδουλώσωνται ◦ οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑπο- 5
ταγῇ ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς ◦
ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι ὁποῖοί ποτε ἦσαν οὐδέν μοι 6
διαφέρει πρόσωπον θεὸς ἀνθρώπου οὐ λαμβάνει ἐμοὶ γὰρ
οἱ δοκοῦντες οὐδὲν προσανέθεντο ◦ ἀλλὰ τοὐναντίον ἰδόν- 7
τες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας καθὼς
πέτρος τῆς περιτομῆς ◦ ὁ γὰρ ἐνεργήσας πέτρῳ εἰς ἀπο- 8
στολὴν τῆς περιτομῆς ἐνήργησεν καὶ ἐμοὶ εἰς τὰ ἔθνη ◦
καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι ἰάκωβος καὶ κη- 9

**v.17** TK: αλλ, MV: αλλα. **v.18** T*: πετρον, V: κηφαν. **2. v.4** T*: καταδουλωσωνται, V: καταδουλωσουσιν. **v.6** T*: θεος, V: [ο] θεος.

φᾶς καὶ ἰωάννης οἱ δοκοῦντες στύλοι εἶναι δεξιὰς ἔδωκαν
ἐμοὶ καὶ βαρνάβᾳ κοινωνίας ἵνα ἡμεῖς εἰς τὰ ἔθνη αὐτοὶ
10 δὲ εἰς τὴν περιτομήν· μόνον τῶν πτωχῶν ἵνα μνημονεύω-
11 μεν ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι· ὅτε δὲ ἦλθεν
πέτρος εἰς ἀντιόχειαν κατὰ πρόσωπον αὐτῷ ἀντέστην ὅτι
12 κατεγνωσμένος ἦν· πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ ἰακώ-
βου μετὰ τῶν ἐθνῶν συνήσθιεν ὅτε δὲ ἦλθον ὑπέστελλεν
13 καὶ ἀφώριζεν ἑαυτὸν φοβούμενος τοὺς ἐκ περιτομῆς· καὶ
συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ ἰουδαῖοι ὥστε καὶ βαρ-
14 νάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει· ἀλλ᾽ ὅτε εἶδον ὅτι
οὐκ ὀρθοποδοῦσιν πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου εἶ-
πον τῷ πέτρῳ ἔμπροσθεν πάντων εἰ σὺ ἰουδαῖος ὑπάρχων
ἐθνικῶς ζῇς˚ καὶ οὐκ ἰουδαϊκῶς τί τὰ ἔθνη ἀναγκάζεις ἰου-
15 δαΐζειν· ἡμεῖς φύσει ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτω-
16 λοί· εἰδότες˚ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου
ἐὰν μὴ διὰ πίστεως ἰησοῦ χριστοῦ καὶ ἡμεῖς εἰς χριστὸν
ἰησοῦν ἐπιστεύσαμεν ἵνα δικαιωθῶμεν ἐκ πίστεως χριστοῦ
καὶ οὐκ ἐξ ἔργων νόμου διότι˚ οὐ δικαιωθήσεται ἐξ ἔργων
17 νόμου πᾶσα σάρξ· εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν χριστῷ
εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοὶ ἆρα χριστὸς ἁμαρτίας δι-
18 άκονος μὴ γένοιτο· εἰ γὰρ ἃ κατέλυσα ταῦτα πάλιν οἰκο-
19 δομῶ παραβάτην ἐμαυτὸν συνίστημι· ἐγὼ γὰρ διὰ νόμου
20 νόμῳ ἀπέθανον ἵνα θεῷ ζήσω· χριστῷ συνεσταύρωμαι ζῶ
δὲ οὐκ˚ ἔτι ἐγὼ ζῇ δὲ ἐν ἐμοὶ χριστός ὃ δὲ νῦν ζῶ ἐν σαρ-
κὶ ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με
21 καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ· οὐκ ἀθετῶ τὴν χάριν
τοῦ θεοῦ εἰ γὰρ διὰ νόμου δικαιοσύνη ἄρα χριστὸς δωρεὰν
ἀπέθανεν·

**3** ˜Ω ἀνόητοι γαλάται τίς ὑμᾶς ἐβάσκανεν τῇ˚ ἀληθείᾳ μὴ
πείθεσθαι οἷς κατ᾽ ὀφθαλμοὺς ἰησοῦς χριστὸς προεγράφη

---

**v.11** T*: πετρος, V: κηφας. **v.14** T*: πετρω, V: κηφα. **v.14** T*: ζης και ουκ ιουδαικως τι, V: και ουχι ιουδαικως ζης πως. **v.16** T*: ειδοτες, V: ειδοτες [δε]. **v.16** T*: διοτι ου δικαιωθησεται εξ εργων νομου, V: οτι εξ εργων νομου ου δικαιωθησεται. **v.18** T*: συνιστημι, V: συνιστανω. **v.20** T: ουκ ετι, KMV: ουκετι. **3. v.1** T*: τη αληθεια μη πειθεσθαι, V: ∅.

ἐν˚ ὑμῖν ἐσταυρωμένος· τοῦτο μόνον θέλω μαθεῖν ἀφ᾽ ὑ- 2
μῶν ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πίστεως·
οὕτως ἀνόητοί ἐστε ἐναρξάμενοι πνεύματι νῦν σαρκὶ ἐπι- 3
τελεῖσθε· τοσαῦτα ἐπάθετε εἰκῇ εἴ γε καὶ εἰκῇ· ὁ οὖν ἐπι- 4, 5
χορηγῶν ὑμῖν τὸ πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν ἐξ
ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως· καθὼς ἀβραὰμ ἐπίστευ- 6
σεν τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· γινώσκετε 7
ἄρα ὅτι οἱ ἐκ πίστεως οὗτοί εἰσιν˚ υἱοὶ ἀβραάμ· προϊδοῦσα 8
δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεὸς προευ-
ηγγελίσατο τῷ ἀβραὰμ ὅτι ἐνευλογηθήσονται ἐν σοὶ πάντα
τὰ ἔθνη· ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ ἀ- 9
βραάμ· ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν ὑπὸ κατάραν εἰσὶν 10
γέγραπται γὰρ ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσιν
τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐ-
τά· ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ δῆλον 11
ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται· ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ 12
πίστεως ἀλλ᾽ ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς·
χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γε- 13
νόμενος ὑπὲρ ἡμῶν κατάρα γέγραπται˚ γὰρ ἐπικατάρατος
πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία 14
τοῦ ἀβραὰμ γένηται ἐν χριστῷ ἰησοῦ ἵνα τὴν ἐπαγγελίαν
τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως· ἀδελφοί κατὰ 15
ἄνθρωπον λέγω ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην
οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται· τῷ δὲ ἀβραὰμ ἐρρήθησαν 16
αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ οὐ λέγει καὶ τοῖς
σπέρμασιν ὡς ἐπὶ πολλῶν ἀλλ᾽ ὡς ἐφ᾽ ἑνὸς καὶ τῷ σπέρματί
σου ὅς ἐστιν χριστός· τοῦτο δὲ λέγω διαθήκην προκεκυ- 17
ρωμένην ὑπὸ τοῦ θεοῦ εἰς˚ χριστὸν ὁ μετὰ ἔτη˚ τετρακόσια
καὶ τριάκοντα γεγονὼς νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆ-
σαι τὴν ἐπαγγελίαν· εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία οὐκ˚ 18

**v.1** T*: εν υμιν, V: ∅. **v.7** T*: εισιν υιοι, V: υιοι εισιν. **v.8** TMV: ενευλογηθησονται, K: ευλογηθησονται. **v.10** T*: γαρ, V: γαρ οτι. **v.10** T*: εν, V: ∅. **v.12** T*: ανθρωπος, V: ∅. **v.13** T*: γεγραπται γαρ, V: οτι γεγραπται. **v.16** T*: ερρηθησαν, V: ερρεθησαν. **v.17** T*: εις χριστον, V: ∅. **v.17** T*: ετη τετρακοσια και τριακοντα, V: τετρακοσια και τριακοντα ετη. **v.18** T: ουκ ετι, KMV: ουκετι.

ἔτι ἐξ ἐπαγγελίας τῷ δὲ ἀβραὰμ δι᾽ ἐπαγγελίας κεχάρισται
19 ὁ θεός· τί οὖν ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη
ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται διαταγεὶς δι᾽ ἀγ-
20 γέλων ἐν χειρὶ μεσίτου· ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν ὁ δὲ
21 θεὸς εἷς ἐστιν· ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ θε-
οῦ μὴ γένοιτο εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι
22 ὄντως ἂν᾽ ἐκ νόμου ἦν ἡ δικαιοσύνη· ἀλλὰ συνέκλεισεν ἡ
γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως
23 ἰησοῦ χριστοῦ δοθῇ τοῖς πιστεύουσιν· πρὸ τοῦ δὲ ἐλθεῖν
τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς
24 τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι· ὥστε ὁ νόμος παι-
δαγωγὸς ἡμῶν γέγονεν εἰς χριστὸν ἵνα ἐκ πίστεως δικαι-
25 ωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκ᾽ ἔτι ὑπὸ παιδαγω-
26 γόν ἐσμεν· πάντες γὰρ υἱοὶ θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν
27 χριστῷ ἰησοῦ· ὅσοι γὰρ εἰς χριστὸν ἐβαπτίσθητε χριστὸν
28 ἐνεδύσασθε· οὐκ ἔνι ἰουδαῖος οὐδὲ ἕλλην οὐκ ἔνι δοῦλος
οὐδὲ ἐλεύθερος οὐκ ἔνι ἄρσεν καὶ θῆλυ πάντες γὰρ ὑμεῖς
29 εἷς ἐστε ἐν χριστῷ ἰησοῦ· εἰ δὲ ὑμεῖς χριστοῦ ἄρα τοῦ ἀ-
βραὰμ σπέρμα ἐστὲ κἀὶ κατ᾽ ἐπαγγελίαν κληρονόμοι·

**4** Λέγω δὲ ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν
2 οὐδὲν διαφέρει δούλου κύριος πάντων ὤν· ἀλλὰ ὑπὸ ἐ-
πιτρόπους ἐστὶν καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ
3 πατρός· οὕτως καὶ ἡμεῖς ὅτε ἦμεν νήπιοι ὑπὸ τὰ στοιχεῖα
4 τοῦ κόσμου ἦμεν᾽ δεδουλωμένοι· ὅτε δὲ ἦλθεν τὸ πλήρωμα
τοῦ χρόνου ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον
5 ἐκ γυναικὸς γενόμενον ὑπὸ νόμον· ἵνα τοὺς ὑπὸ νόμον
6 ἐξαγοράσῃ ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν· ὅτι δέ ἐστε υἱ-
οὶ ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς
7 καρδίας ὑμῶν κράζον ἀββᾶ ὁ πατήρ· ὥστε οὐκ᾽ ἔτι εἶ δοῦ-
λος ἀλλ᾽ υἱὸς εἰ δὲ υἱὸς καὶ κληρονόμος θεοῦ᾽ διὰ χριστοῦ·
8 ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς μὴ᾽ φύ-

**v.21** T*: αν εκ νομου, V: εκ νομου αν. **v.23** T*: συγκεκλεισμενοι, V: συγκλειομενοι. **v.25** T: ουκ ετι, KMV: ουκετι. **v.29** T*: και, V: ∅. **4. v.3** T*: ημεν, V: ημεθα. **v.6** T*: υμων, V: ημων. **v.7** T: ουκ ετι, KMV: ουκετι. **v.7** T*: αλλ, V: αλλα. **v.7** T*: θεου δια χριστου, V: δια θεου.

σει οὖσιν θεοῖς· νῦν δὲ γνόντες θεὸν μᾶλλον δὲ γνωσθέντες 9
ὑπὸ θεοῦ πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτω-
χὰ στοιχεῖα οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε· ἡμέρας 10
παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς· φο- 11
βοῦμαι ὑμᾶς μή πως εἰκῆ κεκοπίακα εἰς ὑμᾶς· γίνεσθε 12
ὡς ἐγὼ ὅτι κἀγὼ ὡς ὑμεῖς ἀδελφοὶ δέομαι ὑμῶν οὐδέν με
ἠδικήσατε· οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκὸς εὐηγ- 13
γελισάμην ὑμῖν τὸ πρότερον· καὶ τὸν πειρασμόν μου˚ τὸν 14
ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε ἀλλ᾽
ὡς ἄγγελον θεοῦ ἐδέξασθέ με ὡς χριστὸν ἰησοῦν· τίς˚ οὖν 15
ἦν ὁ μακαρισμὸς ὑμῶν μαρτυρῶ γὰρ ὑμῖν ὅτι εἰ δυνατὸν
τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι· ὥστε 16
ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν· ζηλοῦσιν ὑμᾶς οὐ 17
καλῶς ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν ἵνα αὐτοὺς ζηλοῦτε·
καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε καὶ μὴ μόνον ἐν 18
τῷ παρεῖναί με πρὸς ὑμᾶς· τεκνία μου οὓς πάλιν ὠδίνω 19
ἄχρις οὗ μορφωθῇ χριστὸς ἐν ὑμῖν· ἤθελον δὲ παρεῖναι 20
πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν μου ὅτι ἀποροῦμαι
ἐν ὑμῖν· λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι τὸν νόμον 21
οὐκ ἀκούετε· γέγραπται γὰρ ὅτι ἀβραὰμ δύο υἱοὺς ἔσχεν 22
ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας· ἀλλ᾽ ὁ μὲν 23
ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται ὁ δὲ ἐκ τῆς ἐλευ-
θέρας διὰ˚ τῆς ἐπαγγελίας· ἅτινά ἐστιν ἀλληγορούμενα 24
αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι μία μὲν ἀπὸ ὄρους σινᾶ
εἰς δουλείαν γεννῶσα ἥτις ἐστὶν ἄγαρ· τὸ γὰρ ἄγαρ σι- 25
νᾶ ὄρος ἐστὶν ἐν τῇ ἀραβίᾳ συστοιχεῖ δὲ τῇ νῦν ἱερουσαλὴμ
δουλεύει δὲ˚ μετὰ τῶν τέκνων αὐτῆς· ἡ δὲ ἄνω ἱερουσαλὴμ 26
ἐλευθέρα ἐστὶν ἥτις ἐστὶν μήτηρ πάντων ἡμῶν· γέγραπται 27
γὰρ εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα ῥῆξον καὶ βόησον
ἡ οὐκ ὠδίνουσα ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον

**v.8** T*: μη φυσει, V: φυσει μη. **v.14** T*: μου τον, V: υμων. **v.14** T*: αλλ, V: αλλα. **v.15** T*: τις ουν ην, V: που ουν. **v.15** T*: αν, V: ∅. **v.18** T*: το, V: ∅. **v.19** T*: τεκνια, V: τεκνα. **v.19** T*: αχρις, V: μεχρις. **v.23** T*: δια της, V: δι. **v.24** TK: αι, MV: ∅. **v.25** T*: γαρ, V: δε. **v.25** T*: δε, V: γαρ. **v.26** T*: παντων, V: ∅.

28 ἡ τῆς ἐχούσης τὸν ἄνδρα· ἡμεῖς δὲ ἀδελφοὶ κατὰ Ἰσαὰκ
29 ἐπαγγελίας τέκνα ἐσμέν· ἀλλ᾽ ὥσπερ τότε ὁ κατὰ σάρκα
30 γεννηθεὶς ἐδίωκεν τὸν κατὰ πνεῦμα οὕτως καὶ νῦν· ἀλλὰ
τί λέγει ἡ γραφή ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς
οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ
31 υἱοῦ τῆς ἐλευθέρας· ἄρα ἀδελφοὶ οὐκ ἐσμὲν παιδίσκης
τέκνα ἀλλὰ τῆς ἐλευθέρας·

**5** Τῇ ἐλευθερίᾳ οὖν˚ ᾗ χριστὸς ἡμᾶς ἠλευθέρωσεν στή-
2 κετε καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε· ἴδε ἐγὼ παῦ-
λος λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε χριστὸς ὑμᾶς οὐδὲν
3 ὠφελήσει· μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτε-
4 μνομένῳ ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι· κα-
τηργήθητε ἀπὸ τοῦ χριστοῦ οἵτινες ἐν νόμῳ δικαιοῦσθε τῆς
5 χάριτος ἐξεπέσατε· ἡμεῖς γὰρ πνεύματι ἐκ πίστεως ἐλπίδα
6 δικαιοσύνης ἀπεκδεχόμεθα· ἐν γὰρ χριστῷ ἰησοῦ οὔτε πε-
ριτομή τι ἰσχύει οὔτε ἀκροβυστία ἀλλὰ πίστις δι᾽ ἀγάπης
7 ἐνεργουμένη· ἐτρέχετε καλῶς τίς ὑμᾶς ἀνέκοψεν τῇ ἀ-
8 ληθείᾳ μὴ πείθεσθαι· ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος
9, 10 ὑμᾶς· μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ· ἐγὼ πέποιθα
εἰς ὑμᾶς ἐν κυρίῳ ὅτι οὐδὲν ἄλλο φρονήσετε ὁ δὲ ταράσ-
11 σων ὑμᾶς βαστάσει τὸ κρίμα ὅστις ἂν ᾖ· ἐγὼ δὲ ἀδελφοὶ
εἰ περιτομὴν ἔτι κηρύσσω τί ἔτι διώκομαι ἄρα κατήργηται
12 τὸ σκάνδαλον τοῦ σταυροῦ· ὄφελον καὶ ἀποκόψονται οἱ
13 ἀναστατοῦντες ὑμᾶς· ὑμεῖς γὰρ ἐπ᾽ ἐλευθερίᾳ ἐκλήθητε
ἀδελφοὶ μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκὶ
14 ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις· ὁ γὰρ πᾶς νό-
μος ἐν ἑνὶ λόγῳ πληροῦται ἐν τῷ ἀγαπήσεις τὸν πλησίον
15 σου ὡς ἑαυτόν· εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε
16 βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε· λέγω δὲ πνεύματι

---

**v.28** T*: ημεις, V: υμεις. **v.28** T*: εσμεν, V: εστε. **v.30** T*: κληρονομηση, V: κληρονομησει. **v.31** T*: αρα, V: διο. **5. v.1** T*: ουν η χριστος ημας, V: ημας χριστος. **v.1** T*: στηκετε, V: στηκετε ουν. **v.4** T*: του, V: ∅. **v.4** TKV: εξεπεσατε, M: εξεπεσετε. **v.7** TK: ανεκοψεν τη, M: ενεκοψεν τη, V: ενεκοψεν [τη]. **v.10** T*: αν, V: εαν. **v.14** T*: πληρουται, V: πεπληρωται. **v.14** TK: εαυτον, MV: σεαυτον. **v.15** T*: υπο, V: υπ.

περιπατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε ⸰ ἡ γὰρ 17
σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος τὸ δὲ πνεῦμα κατὰ τῆς
σαρκὸς ταῦτα δὲ˚ ἀντίκειται ἀλλήλοις ἵνα μὴ ἃ ἂν θέλητε
ταῦτα ποιῆτε ⸰ εἰ δὲ πνεύματι ἄγεσθε οὐκ ἐστὲ ὑπὸ νόμον ⸰ 18
φανερὰ δέ ἐστιν τὰ ἔργα τῆς σαρκὸς ἅτινά ἐστιν μοιχ̣εία 19
πορνεία ἀκαθαρσία ἀσέλγεια ⸰ εἰδωλολατρ̣εία φαρμακεία 20
ἔχθραι ἔρεις˚ ζῆλοι θυμοὶ ἐριθεῖαι διχοστασίαι αἱρέσεις ⸰
φθόνοι φόν̣οι μέθαι κῶμοι καὶ τὰ ὅμοια τούτοις ἃ προλέγω 21
ὑμῖν καθὼς κ̣ὰὶ προεῖπον ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βα-
σιλείαν θεοῦ οὐ κληρονομήσουσιν ⸰ ὁ δὲ καρπὸς τοῦ πνεύ- 22
ματός ἐστιν ἀγάπη χαρ̣ὰ εἰρήνη μακροθυμία χρηστότης ἀ-
γαθωσύνη πίστις ⸰ πρ̣ᾳότης ἐγκράτεια κατὰ τῶν τοιούτων 23
οὐκ ἔστιν νόμος ⸰ οἱ δὲ τοῦ χριστ̣οῦ τὴν σάρκα ἐσταύρωσαν 24
σὺν τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις ⸰ εἰ ζ̣ῶμεν πνεύ- 25
ματι πνεύματι καὶ στοιχ̣ῶμεν ⸰ μὴ γινώμεθα κενόδοξοι ἀλ- 26
λήλους προκαλούμενοι ἀλλήλοις φθονοῦντες ⸰

Ἀδελφοὶ ἐὰν καὶ προληφ̣θῇ ἄνθρωπος ἔν τινι παρα- **6**
πτώματι ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν
πνεύματι πρ̣ᾳότητος σκοπῶν σεαυτὸν μὴ καὶ σὺ πειρα-
σθῇς ⸰ ἀλλήλων τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπλη- 2
ρώσ̣ατε τὸν νόμον τοῦ χριστοῦ ⸰ εἰ γὰρ δοκεῖ τις εἶναί τι 3
μηδὲν ὢν ἑαυτὸν˚ φρεναπατ̣ᾷ ⸰ τὸ δὲ ἔργον ἑαυτοῦ δοκι- 4
μαζέτω ἕκαστος καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει
καὶ οὐκ εἰς τὸν ἕτερον ⸰ ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βα- 5
στάσει ⸰ κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατη- 6
χοῦντι ἐν πᾶσιν ἀγαθοῖς ⸰ μὴ πλανᾶσθε θεὸς οὐ μυκτηρί- 7
ζεται ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος τοῦτο καὶ θερίσει ⸰ ὅτι ὁ 8
σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθο-
ρὰν ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει

**v.17** T*: δε αντικειται αλληλοις, V: γαρ αλληλοις αντικειται. **v.17** T*: αν, V: εαν. **v.19** T*: μοιχεια, V: ∅. **v.20** T*: ειδωλολατρεια, V: ειδωλολατρια. **v.20** T*: ερεις ζηλοι, V: ερις ζηλος. **v.21** T*: φονοι, V: ∅. **v.21** T*: και, V: ∅. **v.23** T*: πραοτης, V: πραυτης. **v.24** T*: χριστου, V: χριστου [ιησου]. **6. v.1** T*: προληφθη, V: προλημφθη. **v.1** T*: πραοτητος, V: πραυτητος. **v.2** T*: αναπληρωσατε, V: αναπληρωσετε. **v.3** T*: εαυτον φρεναπατα, V: φρεναπατα εαυτον.

9 ζωὴν αἰώνιον ⸰ τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν και-
10 ρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι ⸰ ἄρα οὖν ὡς καιρὸν ἔχομεν ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας μάλιστα
11 δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως ⸰ ἴδετε πηλίκοις ὑμῖν
12 γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί ⸰ ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκὶ οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι
13 μόνον ἵνα μὴ˚ τῷ σταυρῷ τοῦ χριστοῦ διώκωνται ⸰ οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχή-
14 σωνται ⸰ ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύ-
15 ρωται κἀγὼ τῷ κόσμῳ ⸰ ἐν γὰρ χριστῷ ἰησοῦ οὔτε˚ περιτο-
16 μή τι ἰσχύει οὔτε ἀκροβυστία ἀλλὰ καινὴ κτίσις ⸰ καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν εἰρήνη ἐπ᾽ αὐτοὺς καὶ ἔλεος
17 καὶ ἐπὶ τὸν ἰσραὴλ τοῦ θεοῦ ⸰ τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω ἐγὼ γὰρ τὰ στίγματα τοῦ κυρίου ἰησοῦ ἐν
18 τῷ σώματί μου βαστάζω ⸰ ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν ἀδελφοὶ ἀμήν ⸰ Πρὸς˚ γαλάτας ἐγράφη ἀπὸ ῥώμης ⸰

**v.9** T*: εκκακωμεν, V: εγκακωμεν. **v.12** T*: μη τω σταυρω του χριστου, V: τω σταυρω του χριστου μη. **v.13** TKV: περιτεμνομενοι, M: περιτετμημενοι. **v.14** T*: τω, V: ∅. **v.15** T*: εν γαρ χριστω ιησου, V: ∅. **v.15** T*: ουτε περιτομη τι ισχυει, V: ουτε γαρ περιτομη τι εστιν. **v.17** T*: κυριου, V: ∅. **v.18** T: Προς . . . ρωμης, KMV: ∅.

# ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ
## ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

Παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήματος θεοῦ **1**
τοῖς ἁγίοις τοῖς οὖσιν ἐν ἐφέσῳ καὶ πιστοῖς ἐν χριστῷ ἰη-
σοῦ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ 2
κυρίου ἰησοῦ χριστοῦ· εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ 3
κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ
εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις χ̣ριστῷ· καθὼς 4
ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου εἶναι ἡμᾶς
ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ· προο- 5
ρίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ ἰησοῦ χριστοῦ εἰς αὐτὸν κατὰ
τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ· εἰς ἔπαινον δόξης τῆς 6
χάριτος αὐτοῦ ἐν˚ ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ·
ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ τὴν 7
ἄφεσιν τῶν παραπτωμάτων κατὰ τὸν˚ πλοῦτον τῆς χάριτος
αὐτοῦ· ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ φρο- 8
νήσει· γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ 9
κατὰ τὴν εὐδοκίαν αὐτοῦ ἣν προέθετο ἐν αὐτῷ· εἰς οἰκο- 10
νομίαν τοῦ πληρώματος τῶν καιρῶν ἀνακεφαλαιώσασθαι
τὰ πάντα ἐν τῷ χριστῷ τά τε˚ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ
τῆς γῆς· ἐν αὐτῷ ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες 11
κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν
τοῦ θελήματος αὐτοῦ· εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον ̣τῆς 12
δόξης αὐτοῦ τοὺς προηλπικότας ἐν τῷ χριστῷ· ἐν ᾧ καὶ 13
ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας τὸ εὐαγγέλιον
τῆς σωτηρίας ὑμῶν ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε
τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ· ὅς˚ ἐστιν ἀρραβὼν 14
τῆς κληρονομίας ἡμῶν εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως

---

T: ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, K: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΕΦΕ-
ΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, MV: ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ. **1. v.1** T*: ιησου χριστου, V: χριστου ιησου.
**v.3** T: χριστω, KMV: εν χριστω. **v.6** T*: εν η, V: ης. **v.7** T*: τον πλουτον, V: το πλουτος.
**v.10** TK: τε εν, MV: επι. **v.12** TK: της, MV: ∅. **v.14** T*: ος, V: ο.

15 εἰς ἔπαινον τῆς δόξης αὐτοῦ ◦ διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν
καθ᾽ ὑμᾶς πίστιν ἐν τῷ κυρίῳ ἰησοῦ καὶ τὴν ἀγάπην τὴν εἰς
16 πάντας τοὺς ἁγίους ◦ οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν
17 μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου ◦ ἵνα ὁ
θεὸς τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὁ πατὴρ τῆς δόξης
δώῃ ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει
18 αὐτοῦ ◦ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς διανοίας ὑ-
μῶν εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐ-
τοῦ καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ
19 ἐν τοῖς ἁγίοις ◦ καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνά-
μεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν
20 τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ ◦ ἣν ἐνήργησεν ἐν τῷ χριστῷ
ἐγείρας αὐτὸν ἐκ νεκρῶν˚ καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ ἐν
21 τοῖς ἐπουρανίοις ◦ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ
δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζο-
μένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι ◦
22 καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ καὶ αὐτὸν ἔδω-
23 κεν κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ ◦ ἥτις ἐστὶν τὸ σῶμα
αὐτοῦ τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσιν πληρουμένου ◦

**2** Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασιν καὶ ταῖς ἁ-
2 μαρτίαις ◦ ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ
κόσμου τούτου κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος
τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀ-
3 πειθείας ◦ ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν
ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν ποιοῦντες τὰ θελήματα
τῆς σαρκὸς καὶ τῶν διανοιῶν καὶ ἦμεν τέκνα φύσει ὀρ-
4 γῆς ὡς καὶ οἱ λοιποί ◦ ὁ δὲ θεὸς πλούσιος ὢν ἐν ἐλέει διὰ
5 τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς ◦ καὶ ὄντας
ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν συνεζωοποίησεν τῷ
6 χριστῷ χάριτί ἐστε σεσωσμένοι ◦ καὶ συνήγειρεν καὶ συν-
7 εκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν χριστῷ ἰησοῦ ◦ ἵνα ἐνδεί-

---

**v.16** T*: υμων, V: ∅. **v.18** TK: διανοιας, MV: καρδιας. **v.18** T*: και, V: ∅. **v.20** TK: νεκρων και εκαθισεν, M: των νεκρων και εκαθισεν, V: νεκρων και καθισας. **v.23** TK: παντα, MV: τα παντα. **2. v.1** T*: αμαρτιαις, V: αμαρτιαις υμων. **v.3** T*: ημεν, V: ημεθα.

ξηται ἐν τοῖς αἰῶσιν τοῖς ἐπερχομένοις τὸν˚ ὑπερβάλλοντα
πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς ἐν χρι-
στῷ ἰησοῦ ◦ τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ ⁑τῆς πίστεως 8
καὶ τοῦτο οὐκ ἐξ ὑμῶν θεοῦ τὸ δῶρον ◦ οὐκ ἐξ ἔργων ἵνα 9
μή τις καυχήσηται ◦ αὐτοῦ γάρ ἐσμεν ποίημα κτισθέντες 10
ἐν χριστῷ ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς οἷς προητοίμασεν ὁ
θεὸς ἵνα ἐν αὐτοῖς περιπατήσωμεν ◦ διὸ μνημονεύετε ὅτι 11
ὑμεῖς˚ ποτὲ τὰ ἔθνη ἐν σαρκὶ οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ
τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου ◦ ὅτι ἦτε 12
ἐν᾽ τῷ καιρῷ ἐκείνῳ χωρὶς χριστοῦ ἀπηλλοτριωμένοι τῆς
πολιτείας τοῦ ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγε-
λίας ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ ◦ νυνὶ δὲ 13
ἐν χριστῷ ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν ἐγγὺς˚ ἐγενή-
θητε ἐν τῷ αἵματι τοῦ χριστοῦ ◦ αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη 14
ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ
φραγμοῦ λύσας ◦ τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ τὸν νόμον 15
τῶν ἐντολῶν ἐν δόγμασιν καταργήσας ἵνα τοὺς δύο κτίσῃ
ἐν ἑαὐτῷ εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην ◦ καὶ ἀ- 16
ποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ θεῷ διὰ
τοῦ σταυροῦ ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ ◦ καὶ ἐλθὼν 17
εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν κἀὶ τοῖς ἐγγύς ◦
ὅτι δι᾽ αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑ- 18
νὶ πνεύματι πρὸς τὸν πατέρα ◦ ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι 19
καὶ πάροικοι ἀλλὰ˚ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ
θεοῦ ◦ ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων 20
καὶ προφητῶν ὄντος ἀκρογωνιαίου αὐτοῦ ἰησοῦ˚ χριστοῦ ◦
ἐν ᾧ πᾶσα ἡ˚ οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς να- 21
ὸν ἅγιον ἐν κυρίῳ ◦ ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς 22
κατοικητήριον τοῦ θεοῦ ἐν πνεύματι ◦

Τούτου χάριν ἐγὼ παῦλος ὁ δέσμιος τοῦ χριστοῦ ἰη- **3**

**v.7** T*: τον υπερβαλλοντα πλουτον, V: το υπερβαλλον πλουτος. **v.8** T*: της, V: ∅. **v.11** T*: υμεις ποτε, V: ποτε υμεις. **v.12** T*: εν, V: ∅. **v.13** T*: εγγυς εγενηθητε, V: εγενηθητε εγγυς. **v.15** T*: εαυτω, V: αυτω. **v.17** T*: και, V: και ειρηνην. **v.19** T*: αλλα, V: αλλα εστε. **v.20** T*: ιησου χριστου, V: χριστου ιησου. **v.21** TK: η, MV: ∅.

σοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν ⸰ εἴγε ἠκούσατε τὴν οἰκονομίαν
τῆς χάριτος τοῦ θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς ⸰ ὅτι κα-
τὰ ἀποκάλυψιν ἐγνώρισέν μοι τὸ μυστήριον καθὼς προέ-
γραψα ἐν ὀλίγῳ ⸰ πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι
τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ χριστοῦ ⸰ ὃ ἐν ἑτέραις
γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων ὡς νῦν ἀ-
πεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις
ἐν πνεύματι ⸰ εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα
καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ ἐν τῷ χριστῷ διὰ τοῦ
εὐαγγελίου ⸰ οὗ ἐγενόμην διάκονος κατὰ τὴν δωρεὰν τῆς
χάριτος τοῦ θεοῦ τὴν δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν τῆς
δυνάμεως αὐτοῦ ⸰ ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων
ἐδόθη ἡ χάρις αὕτη ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν
ἀνεξιχνίαστον πλοῦτον τοῦ χριστοῦ ⸰ καὶ φωτίσαι πάντας
τίς ἡ κοινωνία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ
τῶν αἰώνων ἐν τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ ἰησοῦ χρι-
στοῦ ⸰ ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν
τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σο-
φία τοῦ θεοῦ ⸰ κατὰ πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν
χριστῷ ἰησοῦ τῷ κυρίῳ ἡμῶν ⸰ ἐν ᾧ ἔχομεν τὴν παρρησίαν
καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ ⸰
διὸ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσίν μου ὑπὲρ ὑμῶν
ἥτις ἐστὶν δόξα ὑμῶν ⸰ τούτου χάριν κάμπτω τὰ γόνατά μου
πρὸς τὸν πατέρα τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ⸰ ἐξ οὗ
πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται ⸰ ἵνα δῴη
ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραται-
ωθῆναι διὰ τοῦ πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον ⸰
κατοικῆσαι τὸν χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις

**3. v.2** T*: ειγε, V: ει γε. **v.3** T*: εγνωρισεν, V: εγνωρισθη. **v.5** TK: εν, MV: ∅. **v.6** T*: αυτου εν τω χριστω, V: εν χριστω ιησου. **v.7** T*: εγενομην, V: εγενηθην. **v.7** T*: την δοθεισαν, V: της δοθεισης. **v.8** TK: των, MV: ∅. **v.8** T*: εν, V: ∅. **v.8** T*: τον ανεξιχνιαστον πλουτον, V: το ανεξιχνιαστον πλουτος. **v.9** TK: κοινωνια, MV: οικονομια. **v.9** T*: δια ιησου χριστου, V: ∅. **v.11** T*: εν, V: εν τω. **v.12** T*: την, V: ∅. **v.13** T*: εκκακειν, V: εγκακειν. **v.14** T*: του κυριου ημων ιησου χριστου, V: ∅. **v.16** T*: δωη, V: δω. **v.16** T*: τον πλουτον, V: το πλουτος.

ὑμῶν ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι ⸰ ἵνα ἐξι- 18
σχύσητε καταλαβέσθαι σὺν πᾶσιν τοῖς ἁγίοις τί τὸ πλάτος
καὶ μῆκος καὶ βάθος˚ καὶ ὕψος ⸰ γνῶναί τε τὴν ὑπερβάλ- 19
λουσαν τῆς γνώσεως ἀγάπην τοῦ χριστοῦ ἵνα πληρωθῆτε
εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ ⸰ τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα 20
ποιῆσαι ὑπὲρ˚ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν κατὰ
τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν ⸰ αὐτῷ ἡ δόξα ἐν τῇ 21
ἐκκλησίᾳ ἐν˙ χριστῷ ἰησοῦ εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος
τῶν αἰώνων ἀμήν ⸰

Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν κυρίῳ ἀξίως πε- **4**
ριπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε ⸰ μετὰ πάσης ταπει- 2
νοφροσύνης καὶ πρᾳότητος μετὰ μακροθυμίας ἀνεχόμενοι
ἀλλήλων ἐν ἀγάπῃ ⸰ σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ 3
πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης ⸰ ἓν σῶμα καὶ ἓν 4
πνεῦμα καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως
ὑμῶν ⸰ εἷς κύριος μία πίστις ἓν βάπτισμα ⸰ εἷς θεὸς καὶ 5, 6
πατὴρ πάντων ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν
ὑμῖν ⸰ ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον 7
τῆς δωρεᾶς τοῦ χριστοῦ ⸰ διὸ λέγει ἀναβὰς εἰς ὕψος ᾐχμα- 8
λώτευσεν αἰχμαλωσίαν καὶ ἔδωκεν δόματα τοῖς ἀνθρώποις ⸰
τὸ δὲ ἀνέβη τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κα- 9
τώτερα μέρη τῆς γῆς ⸰ ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ ἀναβὰς 10
ὑπεράνω πάντων τῶν οὐρανῶν ἵνα πληρώσῃ τὰ πάντα ⸰ καὶ 11
αὐτὸς ἔδωκεν τοὺς μὲν ἀποστόλους τοὺς δὲ προφήτας τοὺς
δὲ εὐαγγελιστὰς τοὺς δὲ ποιμένας καὶ διδασκάλους ⸰ πρὸς 12
τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας εἰς οἰκο-
δομὴν τοῦ σώματος τοῦ χριστοῦ ⸰ μέχρι καταντήσωμεν οἱ 13
πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ
υἱοῦ τοῦ θεοῦ εἰς ἄνδρα τέλειον εἰς μέτρον ἡλικίας τοῦ
πληρώματος τοῦ χριστοῦ ⸰ ἵνα μηκέτι ὦμεν νήπιοι κλυδω- 14
νιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας

**v.18** T*: βαθος και υψος, V: υψος και βαθος. **v.20** TK: υπερ εκ περισσου, MV: υπερεκπερισσου. **v.21** T*: εν, V: και εν. **4. v.2** T*: πραοτητος, V: πραυτητος. **v.6** TK: υμιν, M: ημιν, V: ∅. **v.8** T*: και, V: ∅. **v.9** T*: πρωτον, V: ∅.

ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων ἐν πανουργίᾳ πρὸς τὴν μεθο-
15 δείαν τῆς πλάνης· ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν
16 εἰς αὐτὸν τὰ πάντα ὅς ἐστιν ἡ κεφαλὴ ὁ˚ χριστός· ἐξ οὗ
πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ
πάσης ἁφῆς τῆς ἐπιχορηγίας κατ᾽ ἐνέργειαν ἐν μέτρῳ ἑ-
νὸς ἑκάστου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς
17 οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ· τοῦτο οὖν λέγω καὶ μαρ-
τύρομαι ἐν κυρίῳ μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ
18 λοιπὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν· ἐ-
σκοτισμένοι τῇ διανοίᾳ ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς
τοῦ θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς διὰ τὴν πώ-
19 ρωσιν τῆς καρδίας αὐτῶν· οἵτινες ἀπηλγηκότες ἑαυτοὺς
παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης
20 ἐν πλεονεξίᾳ· ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν χριστόν·
21 εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε καθώς ἐστιν
22 ἀλήθεια ἐν τῷ ἰησοῦ· ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν
ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ
23 τὰς ἐπιθυμίας τῆς ἀπάτης· ἀνανεοῦσθαι δὲ τῷ πνεύματι
24 τοῦ νοὸς ὑμῶν· καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν
κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀλη-
25 θείας· διὸ ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκα-
στος μετὰ τοῦ πλησίον αὐτοῦ ὅτι ἐσμὲν ἀλλήλων μέλη·
26 ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ
27, 28 παροργισμῷ ὑμῶν· μήτε δίδοτε τόπον τῷ διαβόλῳ· ὁ κλέ-
πτων μηκέτι κλεπτέτω μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ˚
ἀγαθὸν ταῖς χερσὶν ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι·
29 πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω
ἀλλ᾽ εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας ἵνα δῷ χάριν
30 τοῖς ἀκούουσιν· καὶ μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον τοῦ
31 θεοῦ ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως· πᾶσα
πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία

**v.15** T*: ο, V: ∅. **v.17** T*: λοιπα, V: ∅. **v.18** T*: εσκοτισμενοι, V: εσκοτωμενοι. **v.21** TK: ειγε, MV: ει γε. **v.27** TK: μητε, MV: μηδε. **v.28** T*: το αγαθον ταις χερσιν, V: ταις [ιδιαις] χερσιν το αγαθον. **v.29** T*: αλλ, V: αλλα.

ἀρθήτω ἀφ᾽ ὑμῶν σὺν πάσῃ κακίᾳ ◦ γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοὶ εὔσπλαγχνοι χαριζόμενοι ἑαυτοῖς καθὼς καὶ ὁ θεὸς ἐν χριστῷ ἐχαρίσατο ὑμῖν ◦ 32

Γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ ὡς τέκνα ἀγαπητά ◦ καὶ **5**, 2
περιπατεῖτε ἐν ἀγάπῃ καθὼς καὶ ὁ χριστὸς ἠγάπησεν ἡμᾶς καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας ◦ πορνεία δὲ καὶ πᾶσα˚ ἀκαθαρσία ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν καθὼς πρέπει ἁγίοις ◦ καὶ αἰσχρότης καὶ μωρολογία ἢ εὐτραπελία τὰ˚ οὐκ ἀνήκοντα ἀλλὰ μᾶλλον εὐχαριστία ◦ τοῦτο γάρ ἐστε γινώσκοντες ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης ὅς ἐστιν εἰδωλολάτρης οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ χριστοῦ καὶ θεοῦ ◦ μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας ◦ μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν ◦ ἦτε γάρ ποτε σκότος νῦν δὲ φῶς ἐν κυρίῳ ὡς τέκνα φωτὸς περιπατεῖτε ◦ ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ ◦ δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ κυρίῳ ◦ καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους μᾶλλον δὲ καὶ ἐλέγχετε ◦ τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστιν καὶ λέγειν ◦ τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν ◦ διὸ λέγει ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν καὶ ἐπιφαύσει σοι ὁ χριστός ◦ βλέπετε οὖν πῶς˚ ἀκριβῶς περιπατεῖτε μὴ ὡς ἄσοφοι ἀλλ᾽ ὡς σοφοί ◦ ἐξαγοραζόμενοι τὸν καιρὸν ὅτι αἱ ἡμέραι πονηραί εἰσιν ◦ διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ κυρίου ◦ καὶ μὴ μεθύσκεσθε οἴνῳ ἐν ᾧ ἐστιν ἀσωτία ἀλλὰ πληροῦσθε ἐν πνεύματι ◦ λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ᾄδοντες καὶ 3 4 5 6 7, 8 9 10 11 12 13 14 15 16 17 18 19

**v.32** TKV: υμιν, M: ημιν. **5. v.3** T*: πασα ακαθαρσια, V: ακαθαρσια πασα. **v.4** T*: τα ουκ ανηκοντα, V: α ουκ ανηκεν. **v.5** T*: εστε, V: ιστε. **v.5** T*: ος, V: ο. **v.9** T*: πνευματος, V: φωτος. **v.14** TK: εγειραι, MV: εγειρε. **v.15** T*: πως ακριβως, V: ακριβως πως. **v.17** T*: συνιεντες, V: συνιετε. **v.19** T*: εαυτοις, V: εαυτοις [εν].

20 ψάλλοντες ἐν̓ τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ ◦ εὐχαριστοῦντες
πάντοτε ὑπὲρ πάντων ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν ἰησοῦ
21 χριστοῦ τῷ θεῷ καὶ πατρί ◦ ὑποτασσόμενοι ἀλλήλοις ἐν φό-
22 βῳ θεοῦ ◦ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε
23 ὡς τῷ κυρίῳ ◦ ὅτι ὁ˚ ἀνήρ ἐστιν κεφαλὴ τῆς γυναικὸς ὡς
καὶ ὁ χριστὸς κεφαλὴ τῆς ἐκκλησίας καὶ˚ αὐτός ἐστιν σω-
24 τὴρ τοῦ σώματος ◦ ἀλλ̓ ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ
χριστῷ οὕτως καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παν-
25 τί ◦ οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν καθὼς καὶ ὁ
χριστὸς ἠγάπησεν τὴν ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν
26 ὑπὲρ αὐτῆς ◦ ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ
27 ὕδατος ἐν ῥήματι ◦ ἵνα παραστήσῃ αὐτὴν̓ ἑαυτῷ ἔνδοξον
τὴν ἐκκλησίαν μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοι-
28 ούτων ἀλλ̓ ἵνα ᾖ ἁγία καὶ ἄμωμος ◦ οὕτως ὀφείλουσιν οἱ
ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα
29 ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ ◦ οὐδεὶς γάρ
ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν ἀλλ̓ ἐκτρέφει καὶ θάλ-
30 πει αὐτὴν καθὼς καὶ ὁ κύριος τὴν ἐκκλησίαν ◦ ὅτι μέλη
ἐσμὲν τοῦ σώματος αὐτοῦ ἐκ˚ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν
31 ὀστέων αὐτοῦ ◦ ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πα-
τέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς
32 τὴν γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν ◦ τὸ
μυστήριον τοῦτο μέγα ἐστὶν ἐγὼ δὲ λέγω εἰς χριστὸν καὶ
33 εἰς τὴν ἐκκλησίαν ◦ πλὴν καὶ ὑμεῖς οἱ καθ̓ ἕνα ἕκαστος
τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτὸν ἡ δὲ γυνὴ
ἵνα φοβῆται τὸν ἄνδρα ◦

**6** Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν κυρίῳ τοῦτο
2 γάρ ἐστιν δίκαιον ◦ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα
3 ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ ◦ ἵνα εὖ σοι γένηται

---

**v.19** T*: εν, V: ∅. **v.21** T*: θεου, V: χριστου. **v.22** T*: υποτασσεσθε, V: ∅. **v.23** TK: ο, MV: ∅. **v.23** T*: και αυτος εστιν, V: αυτος. **v.24** T*: αλλ, V: αλλα. **v.24** T*: ωσπερ, V: ως. **v.24** T*: ιδιοις, V: ∅. **v.25** T*: εαυτων, V: ∅. **v.27** T*: αυτην, V: αυτος. **v.28** T*: οι, V: [και] οι. **v.29** T*: αλλ, V: αλλα. **v.29** T*: κυριος, V: χριστος. **v.30** T*: εκ της σαρκος αυτου και εκ των οστεων αυτου, V: ∅. **v.31** T*: αυτου, V: ∅.

καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς ◦ καὶ οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν ἀλλ᾽ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου ◦ οἱ δοῦλοι ὑπακούετε τοῖς κυρίοις˚ κατὰ σάρκα μετὰ φόβου καὶ τρόμου ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν ὡς τῷ χριστῷ ◦ μὴ κατ᾽ ὀφθαλμοδουλείαν ὡς ἀνθρωπάρεσκοι ἀλλ᾽ ὡς δοῦλοι τοῦ χριστοῦ ποιοῦντες τὸ θέλημα τοῦ θεοῦ ἐκ ψυχῆς ◦ μετ᾽ εὐνοίας δουλεύοντες τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις ◦ εἰδότες ὅτι ὃ˚ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθὸν τοῦτο κομιεῖται˚ παρὰ τοῦ κυρίου εἴτε δοῦλος εἴτε ἐλεύθερος ◦ καὶ οἱ κύριοι τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτοὺς ἀνιέντες τὴν ἀπειλήν εἰδότες ὅτι καὶ˚ ὑμῶν αὐτῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς καὶ προσωποληψία οὐκ ἔστιν παρ᾽ αὐτῷ ◦ τὸ˚ λοιπὸν ἀδελφοί μου ἐνδυναμοῦσθε ἐν κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ ◦ ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου ◦ ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα ἀλλὰ πρὸς τὰς ἀρχὰς πρὸς τὰς ἐξουσίας πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ˚ αἰῶνος τούτου πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις ◦ διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι ◦ στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης ◦ καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης ◦ ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι ◦ καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε καὶ τὴν μάχαιραν τοῦ πνεύματος ὅ ἐστιν ῥῆμα θεοῦ ◦ διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ

**6. v.4** T*: αλλ, V: αλλα. **v.5** T*: κυριοις κατα σαρκα, V: κατα σαρκα κυριοις. **v.6** T*: οφθαλμοδουλειαν, V: οφθαλμοδουλιαν. **v.6** T*: του, V: ∅. **v.7** T: τω, KMV: ως τω. **v.8** TK: ο εαν τι εκαστος, M: εαν τι εκαστος, V: εκαστος εαν τι. **v.8** T*: κομιειται παρα του, V: κομισεται παρα. **v.9** T*: και υμων αυτων, V: και αυτων και υμων. **v.9** T*: προσωποληψια, V: προσωπολημψια. **v.10** T*: το λοιπον αδελφοι μου, V: του λοιπου. **v.12** T*: του αιωνος, V: ∅. **v.16** T*: επι, V: εν. **v.17** TKV: δεξασθε, M: δεξασθαι.

ρῷ ἐν πνεύματι καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ
19 προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων ⸰ καὶ
ὑπὲρ ἐμοῦ ἵνα μοι δοθεἰη λόγος ἐν ἀνοίξει τοῦ στόματός
μου ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου ⸰
20 ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει ἵνα ἐν αὐτῷ παρρησιάσωμαι
21 ὡς δεῖ με λαλῆσαι ⸰ ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ᾽ ἐμὲ τί
πράσσω πάντα ὑμῖν˚ γνωρίσει τυχικὸς ὁ ἀγαπητὸς ἀδελ-
22 φὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ ⸰ ὃν ἔπεμψα πρὸς ὑμᾶς
εἰς αὐτὸ τοῦτο ἵνα γνῶτε τὰ περὶ ἡμῶν καὶ παρακαλέσῃ
23 τὰς καρδίας ὑμῶν ⸰ εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη με-
τὰ πίστεως ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου ἰησοῦ χριστοῦ ⸰
24 ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν ἰη-
σοῦν χριστὸν ἐν ἀφθαρσίᾳ ἀμήν ⸰ Πρὸς˚ ἐφεσίους ἐγράφη
ἀπὸ ῥώμης διὰ τυχικοῦ ⸰

**v.18** T*: τουτο, V: ∅. **v.19** TK: δοθειη, MV: δοθη. **v.21** T*: υμιν γνωρισει, V: γνωρισει υμιν. **v.24** TM: αμην, KV: ∅. **v.24** T: Προς . . . τυχικου, KMV: ∅.

# Η ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ
## ΕΠΙΣΤΟΛΗ˚

Παῦλος καὶ τιμόθεος δοῦλοι ἰησοῦ˚ χριστοῦ πᾶσιν τοῖς **1**
ἁγίοις ἐν χριστῷ ἰησοῦ τοῖς οὖσιν ἐν φιλίπποις σὺν ἐπι-
σκόποις καὶ διακόνοις ◦ χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ 2
πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ◦ εὐχαριστῶ τῷ θε- 3
ῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν ◦ πάντοτε ἐν πάσῃ δεήσει 4
μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμε-
νος ◦ ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον ἀπὸ πρώτης 5
ἡμέρας ἄχρι τοῦ νῦν ◦ πεποιθὼς αὐτὸ τοῦτο ὅτι ὁ ἐναρ- 6
ξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχριȣ ἡμέρας
ἰησοῦ˚ χριστοῦ ◦ καθώς ἐστιν δίκαιον ἐμοὶ τοῦτο φρονεῖν 7
ὑπὲρ πάντων ὑμῶν διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς ἔν
τε τοῖς δεσμοῖς μου καὶ τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ
εὐαγγελίου συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς
ὄντας ◦ μάρτυς γάρ μού ἐστιν ὁ θεὸς ὡς ἐπιποθῶ πάντας 8
ὑμᾶς ἐν σπλάγχνοις ἰησοῦ˚ χριστοῦ ◦ καὶ τοῦτο προσεύχο- 9
μαι ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ
ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει ◦ εἰς τὸ δοκιμάζειν ὑμᾶς 10
τὰ διαφέροντα ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέ-
ραν χριστοῦ ◦ πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ 11
ἰησοῦ χριστοῦ εἰς δόξαν καὶ ἔπαινον θεοῦ ◦ γινώσκειν δὲ 12
ὑμᾶς βούλομαι ἀδελφοὶ ὅτι τὰ κατ᾽ ἐμὲ μᾶλλον εἰς προ-
κοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν ◦ ὥστε τοὺς δεσμούς μου 13
φανεροὺς ἐν χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς
λοιποῖς πᾶσιν ◦ καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν κυρίῳ 14
πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφό-

---

T: Η ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, K: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΦΙ-ΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, MV: ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ. **1. v.1** T*: ιησου χριστου, V: χρι-στου ιησου. **v.5** T*: απο, V: απο της. **v.6** T*: αχρις, V: αχρι. **v.6** TK: ιησου χριστου, MV: χριστου ιησου. **v.7** TK: και, MV: και εν. **v.8** T*: εστιν, V: ∅. **v.8** T*: ιησου χριστου, V: χριστου ιησου. **v.11** T*: καρπων, V: καρπον. **v.11** T*: των, V: τον.

15 βως τὸν λόγον λαλεῖν· τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν
16 τινὲς δὲ καὶ δι᾽ εὐδοκίαν τὸν χριστὸν κηρύσσουσιν· οἱ μὲν
ἐξ ἐριθείας˚ τὸν χριστὸν καταγγέλλουσιν οὐχ ἁγνῶς οἰόμε-
17 νοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου· οἱ δὲ ἐξ ἀγάπης˚
18 εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι· τί γὰρ
πλὴν παντὶ τρόπῳ εἴτε προφάσει εἴτε ἀληθείᾳ χριστὸς κα-
19 ταγγέλλεται καὶ ἐν τούτῳ χαίρω ἀλλὰ καὶ χαρήσομαι· οἶδα
γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν
δεήσεως καὶ ἐπιχορηγίας τοῦ πνεύματος ἰησοῦ χριστοῦ·
20 κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου ὅτι ἐν οὐδενὶ αἰ-
σχυνθήσομαι ἀλλ᾽ ἐν πάσῃ παρρησίᾳ ὡς πάντοτε καὶ νῦν
μεγαλυνθήσεται χριστὸς ἐν τῷ σώματί μου εἴτε διὰ ζωῆς
21 εἴτε διὰ θανάτου· ἐμοὶ γὰρ τὸ ζῆν χριστὸς καὶ τὸ ἀποθα-
22 νεῖν κέρδος· εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ τοῦτό μοι καρπὸς ἔργου
23 καὶ τί αἱρήσομαι οὐ γνωρίζω· συνέχομαι ᾽γὰρ ἐκ τῶν δύο
τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν χριστῷ εἶναι
24 πόλλῷ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ ἀ-
25 ναγκαιότερον δι᾽ ὑμᾶς· καὶ τοῦτο πεποιθὼς οἶδα ὅτι μενῶ
καὶ ὁυμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ
26 χαρὰν τῆς πίστεως· ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν
χριστῷ ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς
27 ὑμᾶς· μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ χριστοῦ πολιτεύ-
εσθε ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς εἴτε ἀπὼν ἀκούὸω τὰ
περὶ ὑμῶν ὅτι στήκετε ἐν ἑνὶ πνεύματι μιᾷ ψυχῇ συνα-
28 θλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου· καὶ μὴ πτυρόμενοι ἐν
μηδενὶ ὑπὸ τῶν ἀντικειμένων ἥτις αὐτοῖς˚ μέν ἐστιν ἔνδει-
29 ξις ἀπωλείας ὑμῖν δὲ σωτηρίας καὶ τοῦτο ἀπὸ θεοῦ· ὅτι
ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πι-

---

**v.16** T*: εριθειας τον χριστον καταγγελλουσιν ουχ αγνως οιομενοι θλιψιν επιφερειν τοις δεσμοις μου, V: αγαπης ειδοτες οτι εις απολογιαν του ευαγγελιου κειμαι. **v.17** T*: αγαπης ειδοτες οτι εις απολογιαν του ευαγγελιου κειμαι, V: εριθειας τον χριστον καταγγελλουσιν ουχ αγνως οιομενοι θλιψιν εγειρειν τοις δεσμοις μου. **v.18** T*: πλην, V: πλην οτι. **v.23** TK: γαρ, MV: δε. **v.23** T*: πολλω, V: πολλω [γαρ]. **v.25** T*: συμπαραμενω, V: παραμενω. **v.27** T*: ακουσω, V: ακουω. **v.28** T*: αυτοις μεν εστιν ενδειξις απωλειας υμιν, V: εστιν αυτοις ενδειξις απωλειας υμων.

στεύειν ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν ◦ τὸν αὐτὸν ἀγῶνα 30
ἔχοντες οἷον ἴδετε ἐν ἐμοὶ καὶ νῦν ἀκούετε ἐν ἐμοί ◦

Εἴ τις οὖν παράκλησις ἐν χριστῷ εἴ τι παραμύθιον ἀγά- **2**
πης εἴ τις κοινωνία πνεύματος εἴ τινα σπλάγχνα καὶ οἰκτιρ-
μοί ◦ πληρώσατέ μου τὴν χαρὰν ἵνα τὸ αὐτὸ φρονῆτε τὴν 2
αὐτὴν ἀγάπην ἔχοντες σύμψυχοι τὸ ἓν φρονοῦντες ◦ μη- 3
δὲν κατὰ˚ ἐρίθειαν ἢ κενοδοξίαν ἀλλὰ τῇ ταπεινοφροσύνῃ
ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν ◦ μὴ τὰ ἑαυτῶν 4
ἕκαστος σκοπεῖτε ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος ◦ τοῦτο γὰρ˚ 5
φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν χριστῷ ἰησοῦ ◦ ὃς ἐν μορφῇ θε- 6
οῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ ◦ ἀλλ˚ 7
ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀν-
θρώπων γενόμενος ◦ καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐ- 8
ταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου θα-
νάτου δὲ σταυροῦ ◦ διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν καὶ 9
ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα ◦ ἵνα ἐν τῷ ὀ- 10
νόματι ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων
καὶ καταχθονίων ◦ καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται ὅτι 11
κύριος ἰησοῦς χριστὸς εἰς δόξαν θεοῦ πατρός ◦ ὥστε ἀγα- 12
πητοί μου καθὼς πάντοτε ὑπηκούσατε μὴ ὡς ἐν τῇ παρου-
σίᾳ μου μόνον ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου
μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζε-
σθε ◦ ὁ˚ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν 13
καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας ◦ πάντα ποιεῖτε χωρὶς 14
γογγυσμῶν καὶ διαλογισμῶν ◦ ἵνα γένησθε ἄμεμπτοι καὶ 15
ἀκέραιοι τέκνα θεοῦ ἀμώμητα˚ ἐν μέσῳ γενεᾶς σκολιᾶς
καὶ διεστραμμένης ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κό-
σμῳ ◦ λόγον ζωῆς ἐπέχοντες εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν 16
χριστοῦ ὅτι οὐκ εἰς κενὸν ἔδραμον οὐδὲ εἰς κενὸν ἐκοπί-
ασα ◦ ἀλλ˚ εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ 17

**v.30** T: ιδετε, KMV: ειδετε. **2. v.1** TK: τινα, MV: τις. **v.3** T*: κατα εριθειαν η, V: κατ εριθειαν μηδε κατα. **v.4** T*: σκοπειτε, V: σκοπουντες. **v.4** T*: εκαστος, V: εκαστοι. **v.5** T*: γαρ φρονεισθω, V: φρονειτε. **v.7** T*: αλλ, V: αλλα. **v.9** T*: ονομα, V: το ονομα. **v.13** T*: ο, V: ∅. **v.15** T*: αμωμητα εν μεσω, V: αμωμα μεσον. **v.17** T*: αλλ, V: αλλα.

18 τῆς πίστεως ὑμῶν χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· τὸ δ᾽
19 αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι· ἐλπίζω δὲ ἐν
κυρίῳ ἰησοῦ τιμόθεον ταχέως πέμψαι ὑμῖν ἵνα κἀγὼ εὐψυ-
20 χῶ γνοὺς τὰ περὶ ὑμῶν· οὐδένα γὰρ ἔχω ἰσόψυχον ὅστις
21 γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει· οἱ πάντες γὰρ τὰ ἑαυ-
22 τῶν ζητοῦσιν οὐ τὰ τοῦ᾽ χριστοῦ ἰησοῦ· τὴν δὲ δοκιμὴν
αὐτοῦ γινώσκετε ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευ-
23 σεν εἰς τὸ εὐαγγέλιον· τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι ὡς
24 ἂν ἀπίδω τὰ περὶ ἐμὲ ἐξαυτῆς· πέποιθα δὲ ἐν κυρίῳ ὅτι
25 καὶ αὐτὸς ταχέως ἐλεύσομαι· ἀναγκαῖον δὲ ἡγησάμην ἐ-
παφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην
μου ὑμῶν δὲ ἀπόστολον καὶ λειτουργὸν τῆς χρείας μου
26 πέμψαι πρὸς ὑμᾶς· ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς καὶ
27 ἀδημονῶν διότι ἠκούσατε ὅτι ἠσθένησεν· καὶ γὰρ ἠσθέ-
νησεν παραπλήσιον θανάτῳ ἀλλ᾽ ὁ θεὸς αὐτὸν᾽ ἠλέησεν
οὐκ αὐτὸν δὲ μόνον ἀλλὰ καὶ ἐμὲ ἵνα μὴ λύπην ἐπὶ λύπῃ
28 σχῶ· σπουδαιοτέρως οὖν ἔπεμψα αὐτὸν ἵνα ἰδόντες αὐ-
29 τὸν πάλιν χαρῆτε κἀγὼ ἀλυπότερος ὦ· προσδέχεσθε οὖν
αὐτὸν ἐν κυρίῳ μετὰ πάσης χαρᾶς καὶ τοὺς τοιούτους ἐν-
30 τίμους ἔχετε· ὅτι διὰ τὸ ἔργον τοῦ χριστοῦ μέχρι θανάτου
ἤγγισεν παραβουλευσάμενος τῇ ψυχῇ ἵνα ἀναπληρώσῃ τὸ
ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας·

**3** Τὸ λοιπὸν ἀδελφοί μου χαίρετε ἐν κυρίῳ τὰ αὐτὰ γρά-
2 φειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν ὑμῖν δὲ᾽ ἀσφαλές· βλέ-
πετε τοὺς κύνας βλέπετε τοὺς κακοὺς ἐργάτας βλέπετε τὴν
3 κατατομήν· ἡμεῖς γάρ ἐσμεν ἡ περιτομὴ οἱ πνεύματι θεῷ
λατρεύοντες καὶ καυχώμενοι ἐν χριστῷ ἰησοῦ καὶ οὐκ ἐν
4 σαρκὶ πεποιθότες· καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν
σαρκὶ εἴ᾽τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκὶ ἐγὼ μᾶλλον·
5 περιτομὴ ὀκταήμερος ἐκ γένους ἰσραὴλ φυλῆς βενιαμὶν ἑ-

---

**v.18** T*: δ, V: δε. **v.21** TK: του χριστου ιησου, M: χριστου ιησου, V: ιησου χριστου. **v.23** T*: απιδω, V: αφιδω. **v.27** TK: αλλ, MV: αλλα. **v.27** T*: αυτον ηλεησεν, V: ηλεησεν αυτον. **v.27** TK: λυπη, MV: λυπην. **v.30** T*: του, V: ∅. **v.30** T*: παραβουλευσαμενος, V: παραβολευσαμενος. **3. v.1** TKV: δε, M: δε το. **v.3** TK: θεω, MV: θεου. **v.4** T: ειτις, KMV: ει τις.

βραῖος ἐξ ἑβραίων κατὰ νόμον φαρισαῖος ⸰ κατὰ ζῆλοϒ διώ- 6
κων τὴν ἐκκλησίαν κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμε-
νος ἄμεμπτος ⸰ ἀλλ᾽ ἅτινα ἦν μοι κέρδη ταῦτα ἥγημαι διὰ 7
τὸν χριστὸν ζημίαν ⸰ ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι πάντα 8
ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως χριστοῦ ἰησοῦ
τοῦ κυρίου μου δι᾽ ὃν τὰ πάντα ἐζημιώθην καὶ ἡγοῦμαι
σκύβαλα εἶναι ἵνα χριστὸν κερδήσω ⸰ καὶ εὑρεθῶ ἐν αὐτῷ 9
μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου ἀλλὰ τὴν διὰ πί-
στεως χριστοῦ τὴν ἐκ θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει ⸰ τοῦ 10
γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ καὶ
τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ συμμορφούμενος τῷ
θανάτῳ αὐτοῦ ⸰ εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τῶν 11
νεκρῶν ⸰ οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι διώκω δὲ 12
εἰ καὶ καταλάβω ἐφ᾽ ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ χριστοῦ
ἰησοῦ ⸰ ἀδελφοί ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι 13
ἓν δὲ τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος τοῖς δὲ ἔμπροσθεν
ἐπεκτεινόμενος ⸰ κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς 14
ἄνω κλήσεως τοῦ θεοῦ ἐν χριστῷ ἰησοῦ ⸰ ὅσοι οὖν τέλειοι 15
τοῦτο φρονῶμεν καὶ εἴ τι ἑτέρως φρονεῖτε καὶ τοῦτο ὁ θεὸς
ὑμῖν ἀποκαλύψει ⸰ πλὴν εἰς ὃ ἐφθάσαμεν τῷ αὐτῷ στοιχεῖν 16
κανόνι˚ τὸ αὐτὸ φρονεῖν ⸰ συμμιμηταί μου γίνεσθε ἀδελ- 17
φοὶ καὶ σκοπεῖτε τοὺς οὕτως περιπατοῦντας καθὼς ἔχετε
τύπον ἡμᾶς ⸰ πολλοὶ γὰρ περιπατοῦσιν οὓς πολλάκις ἔλε- 18
γον ὑμῖν νῦν δὲ καὶ κλαίων λέγω τοὺς ἐχθροὺς τοῦ σταυροῦ
τοῦ χριστοῦ ⸰ ὧν τὸ τέλος ἀπώλεια ὧν ὁ θεὸς ἡ κοιλία καὶ ἡ 19
δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν οἱ τὰ ἐπίγεια φρονοῦντες ⸰ ἡμῶν 20
γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει ἐξ οὗ καὶ σωτῆρα
ἀπεκδεχόμεθα κύριον ἰησοῦν χριστόν ⸰ ὃς μετασχηματίσει 21
τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς˚ τὸ γενέσθαι αὐτὸ σύμ-
μορφον τῷ σώματι τῆς δόξης αὐτοῦ κατὰ τὴν ἐνέργειαν τοῦ

---

**v.6** T*: ζηλον, V: ζηλος. **v.7** T*: αλλ, V: [αλλα]. **v.8** TKV: μενουνγε, M: μεν ουν. **v.8** T*: ειναι, V: ∅. **v.10** T*: συμμορφουμενος, V: συμμορφιζομενος. **v.11** T*: των, V: την εκ. **v.12** T*: κατεληφθην, V: κατελημφθην. **v.12** T*: του, V: ∅. **v.14** T*: επι, V: εις. **v.16** T*: κανονι το αυτο φρονειν, V: ∅. **v.21** T*: εις το γενεσθαι αυτο, V: ∅.

δύνασθαι αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα ⸰

**4** Ὥστε ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι χαρὰ καὶ
2 στέφανός μου οὕτως στήκετε ἐν κυρίῳ ἀγαπητοί ⸰ εὐῳδίαν
παρακαλῶ καὶ συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν κυ-
3 ρίῳ ⸰ ναὶ ἐρωτῶ καί σε σύζυγε˚ γνήσιε συλλαμβάνου αὐταῖς
αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι μετὰ καὶ κλήμεν-
τος καὶ τῶν λοιπῶν συνεργῶν μου ὧν τὰ ὀνόματα ἐν βίβλῳ
4, 5 ζωῆς ⸰ χαίρετε ἐν κυρίῳ πάντοτε πάλιν ἐρῶ χαίρετε ⸰ τὸ ἐ-
πιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις ὁ κύριος ἐγγύς ⸰
6 μηδὲν μεριμνᾶτε ἀλλ᾽ ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεή-
σει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς
7 τὸν θεόν ⸰ καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα
νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν
8 ἐν χριστῷ ἰησοῦ ⸰ τὸ λοιπὸν ἀδελφοὶ ὅσα ἐστὶν ἀληθῆ ὅσα
σεμνὰ ὅσα δίκαια ὅσα ἁγνὰ ὅσα προσφιλῆ ὅσα εὔφημα εἴ
9 τις ἀρετὴ καὶ εἴ τις ἔπαινος ταῦτα λογίζεσθε ⸰ ἃ καὶ ἐμά-
θετε καὶ παρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοὶ ταῦτα
10 πράσσετε καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ᾽ ὑμῶν ⸰ ἐχά-
ρην δὲ ἐν κυρίῳ μεγάλως ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ
11 ἐμοῦ φρονεῖν ἐφ᾽ ᾧ καὶ ἐφρονεῖτε ἠκαιρεῖσθε δέ ⸰ οὐχ ὅτι
καθ᾽ ὑστέρησιν λέγω ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμι αὐτάρ-
12 κης εἶναι ⸰ οἶδα δὲ˚ ταπεινοῦσθαι οἶδα καὶ περισσεύειν ἐν
παντὶ καὶ ἐν πᾶσιν μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾶν
13 καὶ περισσεύειν καὶ ὑστερεῖσθαι ⸰ πάντα ἰσχύω ἐν τῷ ἐν-
14 δυναμοῦντί με χριστῷ ⸰ πλὴν καλῶς ἐποιήσατε συγκοινω-
15 νήσαντές μου τῇ θλίψει ⸰ οἴδατε δὲ καὶ ὑμεῖς φιλιππήσιοι
ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου ὅτε ἐξῆλθον ἀπὸ μακεδονίας
οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ
16 λήψεως εἰ μὴ ὑμεῖς μόνοι ⸰ ὅτι καὶ ἐν θεσσαλονίκῃ καὶ
17 ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε ⸰ οὐχ ὅτι ἐπιζη-
τῶ τὸ δόμα ἀλλ᾽ ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς

**v.21** T*: εαυτω, V: αυτω. **4. v.2** T: ευωδιαν, KMV: ευοδιαν. **v.3** TK: και, MV: ναι. **v.3** T*: συζυγε γνησιε, V: γνησιε συζυγε. **v.12** T: δε, KMV: και. **v.13** T*: χριστω, V: ∅. **v.15** T*: ληψεως, V: λημψεως. **v.17** T*: αλλ, V: αλλα.

λόγον ὑμῶν ◦ ἀπέχω δὲ πάντα καὶ περισσεύω πεπλήρωμαι 18
δεξάμενος παρὰ ἐπαφροδίτου τὰ παρ᾽ ὑμῶν ὀσμὴν εὐωδίας
θυσίαν δεκτὴν εὐάρεστον τῷ θεῷ ◦ ὁ δὲ θεός μου πληρώ- 19
σει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν˚ πλοῦτον αὐτοῦ ἐν δόξῃ ἐν
χριστῷ ἰησοῦ ◦ τῷ δὲ θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς 20
αἰῶνας τῶν αἰώνων ἀμήν ◦ ἀσπάσασθε πάντα ἅγιον ἐν χρι- 21
στῷ ἰησοῦ ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί ◦ ἀσπά- 22
ζονται ὑμᾶς πάντες οἱ ἅγιοι μάλιστα δὲ οἱ ἐκ τῆς καίσαρος
οἰκίας ◦ ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάν- 23
των˚ ὑμῶν ἀμήν ◦ Πρὸς˚ φιλιππησίους ἐγράφη ἀπὸ ῥώμης
δι᾽ ἐπαφροδίτου ◦

**v.19** T*: τον πλουτον, V: το πλουτος. **v.23** TK: ημων, MV: ∅. **v.23** T*: παντων υμων αμην, V: του πνευματος υμων. **v.23** T: Προς . . . επαφροδιτου, KMV: ∅.

# Η ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ
## ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

**1** Παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήματος θεοῦ
2 καὶ τιμόθεος ὁ ἀδελφός ⸰ τοῖς ἐν κολᾶσσαῖς ἁγίοις καὶ πι-
στοῖς ἀδελφοῖς ἐν χριστῷ χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ
3 πατρὸς ἡμῶν καὶ˚ κυρίου ἰησοῦ χριστοῦ ⸰ εὐχαριστοῦμεν
τῷ θεῷ κἀὶ πατρὶ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ πάντοτε
4 περὶ ὑμῶν προσευχόμενοι ⸰ ἀκούσαντες τὴν πίστιν ὑμῶν
ἐν χριστῷ ἰησοῦ καὶ τὴν ἀγάπην ἣν εἰς πάντας τοὺς ἁ-
5 γίους ⸰ διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐ-
ρανοῖς ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐ-
6 αγγελίου ⸰ τοῦ παρόντος εἰς ὑμᾶς καθὼς καὶ ἐν παντὶ τῷ
κόσμῳ κἀὶ ἔστιν καρποφορούμενον καθὼς καὶ ἐν ὑμῖν ἀφ᾽
ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν
7 ἀληθείᾳ ⸰ καθὼς κἀὶ ἐμάθετε ἀπὸ ἐπαφρᾶ τοῦ ἀγαπητοῦ
συνδούλου ἡμῶν ὅς ἐστιν πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ
8 χριστοῦ ⸰ ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύ-
9 ματι ⸰ διὰ τοῦτο καὶ ἡμεῖς ἀφ᾽ ἧς ἡμέρας ἠκούσαμεν οὐ
παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι καὶ αἰτούμενοι ἵνα
πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ
10 σοφίᾳ καὶ συνέσει πνευματικῇ ⸰ περιπατῆσαι ὑμᾶς ἀξίως
τοῦ κυρίου εἰς πᾶσαν ἀρέσκειαν ἐν παντὶ ἔργῳ ἀγαθῷ καρ-
ποφοροῦντες καὶ αὐξανόμενοι εἰς˚ τὴν ἐπίγνωσιν τοῦ θε-
11 οῦ ⸰ ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς
δόξης αὐτοῦ εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν μετὰ
12 χαρᾶς ⸰ εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς
13 τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί ⸰ ὃς ἐρρύ-

---

T: Η ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, K: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗ, MV: ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ. **1. v.1** T*: ιησου χριστου, V: χριστου ιησου. **v.2** TM: κολασσαις, KV: κολοσσαις. **v.2** T*: και κυριου ιησου χριστου, V: ∅. **v.3** T*: και, V: ∅. **v.4** T*: την, V: ην εχετε. **v.6** T*: και, V: ∅. **v.6** TK: καρποφορουμενον, MV: καρποφορουμενον και αυξανομενον. **v.7** T*: και, V: ∅. **v.10** T*: υμας, V: ∅. **v.10** T*: εις την επιγνωσιν, V: τη επιγνωσει. **v.12** T*: ημας, V: υμας.

σατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς
τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ· ἐν ᾧ ἔχομεν 14
τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ τὴν ἄφεσιν τῶν
ἁμαρτιῶν· ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου πρωτό- 15
τοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ 16
ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς τὰ ὁρατὰ καὶ τὰ ἀό-
ρατα εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι
τὰ πάντα δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστιν 17
πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν· καὶ αὐτός 18
ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας ὅς ἐστιν ἀρ-
χὴ πρωτότοκος ἐκ τῶν νεκρῶν ἵνα γένηται ἐν πᾶσιν αὐτὸς
πρωτεύων· ὅτι ἐν αὐτῷ εὐδόκησεν πᾶν τὸ πλήρωμα κατοι- 19
κῆσαι· καὶ δι᾽ αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν 20
εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ δι᾽ αὐ-
τοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς· καὶ ὑμᾶς 21
ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν
τοῖς ἔργοις τοῖς πονηροῖς νυνὶ δὲ ἀποκατήλλαξεν· ἐν τῷ 22
σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου παραστῆσαι ὑ-
μᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐ-
τοῦ· εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι 23
καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ
ἠκούσατε τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν
οὐρανὸν οὗ ἐγενόμην ἐγὼ παῦλος διάκονος· νῦν χαίρω 24
ἐν τοῖς παθήμασίν μου ὑπὲρ ὑμῶν καὶ ἀνταναπληρῶ τὰ
ὑστερήματα τῶν θλίψεων τοῦ χριστοῦ ἐν τῇ σαρκί μου ὑ-
πὲρ τοῦ σώματος αὐτοῦ ὅ ἐστιν ἡ ἐκκλησία· ἧς ἐγενόμην 25
ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ θεοῦ τὴν δοθεῖσάν
μοι εἰς ὑμᾶς πληρῶσαι τὸν λόγον τοῦ θεοῦ· τὸ μυστήριον 26
τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν
νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ· οἷς ἠθέλησεν ὁ θεὸς 27
γνωρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν

**v.14** ΤΚ: δια του αιματος αυτου, ΜV: ∅. **v.16** T*: τα, V: ∅. **v.20** ΤΚV: εν, Μ: επι. **v.23** T*: ειγε, V: ει γε. **v.23** T*: τη, V: ∅. **v.24** ΤΜV: νυν, Κ: ος νυν. **v.24** ΤΚ: μου, ΜV: ∅. **v.26** T*: νυνι, V: νυν. **v.27** ΤΚ: τις ο, ΜV: τι το.

28 τοῖς ἔθνεσιν ὅ̓ ἐστιν χριστὸς ἐν ὑμῖν ἡ ἐλπὶς τῆς δόξης ⸰ ὃν
ἡμεῖς καταγγέλλομεν νουθετοῦντες πάντα ἄνθρωπον καὶ
διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ ἵνα παρα-
29 στήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν χριστῷ ἰηο̅υ̅ ⸰ εἰς
ὃ καὶ κοπιῶ ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν
ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει ⸰

**2** Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω ὑπὲρ ὑμῶν καὶ
τῶν ἐν λαοδικείᾳ καὶ ὅσοι οὐχ ἑώρακασιν τὸ πρόσωπόν μου
2 ἐν σαρκί ⸰ ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν συμβιβα-
σθέντων ἐν ἀγάπῃ καὶ εἰς πάντα˚ πλοῦτον τῆς πληροφορίας
τῆς συνέσεως εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ θεοῦ καὶ˚
3 πατρὸς καὶ τοῦ χριστοῦ ⸰ ἐν ᾧ εἰσιν πάντες οἱ θησαυροὶ
4 τῆς σοφίας καὶ ⸌τῆς⸍ γνώσεως ἀπόκρυφοι ⸰ τοῦτο δὲ˚ λέγω
5 ἵνα μή˚ τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ ⸰ εἰ γὰρ
καὶ τῇ σαρκὶ ἄπειμι ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμὶ χαί-
ρων καὶ βλέπων ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς
6 χριστὸν πίστεως ὑμῶν ⸰ ὡς οὖν παρελάβετε τὸν χριστὸν ἰ-
7 ησοῦν τὸν κύριον ἐν αὐτῷ περιπατεῖτε ⸰ ἐρριζωμένοι καὶ
ἐποικοδομούμενοι ἐν αὐτῷ καὶ βεβαιούμενοι ἐν̓ τῇ πίστει
καθὼς ἐδιδάχθητε περισσεύοντες ἐν˚ αὐτῇ ἐν εὐχαριστίᾳ ⸰
8 βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσο-
φίας καὶ κενῆς ἀπάτης κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων
9 κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ χριστόν ⸰ ὅτι ἐν
αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς ⸰
10 καί ἐστε ἐν αὐτῷ πεπληρωμένοι ὅς ἐστιν ἡ κεφαλὴ πάσης
11 ἀρχῆς καὶ ἐξουσίας ⸰ ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀ-
χειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν˚ ἁμαρτιῶν
12 τῆς σαρκὸς ἐν τῇ περιτομῇ τοῦ χριστοῦ ⸰ συνταφέντες αὐ-
τῷ ἐν τῷ βαπτίσμάτι ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως
τῆς ἐνεργείας τοῦ θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ ⸌τῶν⸍ νε-

---

**v.27** T*: ος, V: ο. **v.28** T*: ιησου, V: ∅. **2. v.1** T*: περι, V: υπερ. **v.1** T*: εωρακασιν, V: εορακαν. **v.2** T*: συμβιβασθεντων, V: συμβιβασθεντες. **v.2** T*: παντα πλουτον, V: παν πλουτος. **v.2** T*: και πατρος και του, V: ∅. **v.3** T*: της, V: ∅. **v.4** T*: δε, V: ∅. **v.4** T*: μη τις, V: μηδεις. **v.7** T*: εν, V: ∅. **v.7** T*: εν αυτη, V: ∅. **v.11** T*: των αμαρτιων, V: ∅. **v.12** T*: βαπτισματι, V: βαπτισμω. **v.12** T*: των, V: ∅.

κρῶν ◦ καὶ ὑμᾶς νεκροὺς ὄντας ἐν τοῖς παραπτώμασιν καὶ 13
τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν συνεζωποίησεν˚ σὺν αὐ-
τῷ χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα ◦ ἐξαλείψας 14
τὸ καθ᾽ ἡμῶν χειρόγραφον τοῖς δόγμασιν ὃ ἦν ὑπεναντίον
ἡμῖν καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου προσηλώσας αὐτὸ τῷ
σταυρῷ ◦ ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδει- 15
γμάτισεν ἐν παρρησίᾳ θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ ◦ μὴ 16
οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ˚ ἐν πόσει ἢ ἐν μέρει ἑορ-
τῆς ἢ νουμηνίας ἢ σαββάτων ◦ ἅ ἐστιν σκιὰ τῶν μελλόντων 17
τὸ δὲ σῶμα τοῦ χριστοῦ ◦ μηδεὶς ὑμᾶς καταβραβευέτω θέ- 18
λων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων ἃ μὴ˚
ἑώρακεν ἐμβατεύων εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς
σαρκὸς αὐτοῦ ◦ καὶ οὐ κρατῶν τὴν κεφαλήν ἐξ οὗ πᾶν τὸ 19
σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ
συμβιβαζόμενον αὔξει τὴν αὔξησιν τοῦ θεοῦ ◦ εἰ οὖν˚ ἀ- 20
πεθάνετε σὺν τῷ χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου τί
ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε ◦ μὴ ἅψῃ μηδὲ γεύσῃ 21
μηδὲ θίγῃς ◦ ἅ ἐστιν πάντα εἰς φθορὰν τῇ ἀποχρήσει κα- 22
τὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων ◦ ἅτινά 23
ἐστιν λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ καὶ τα-
πεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος οὐκ ἐν τιμῇ τινι πρὸς
πλησμονὴν τῆς σαρκός ◦

Εἰ οὖν συνηγέρθητε τῷ χριστῷ τὰ ἄνω ζητεῖτε οὗ ὁ χρι- **3**
στός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος ◦ τὰ ἄνω φρονεῖτε 2
μὴ τὰ ἐπὶ τῆς γῆς ◦ ἀπεθάνετε γὰρ καὶ ἡ ζωὴ ὑμῶν κέκρυ- 3
πται σὺν τῷ χριστῷ ἐν τῷ θεῷ ◦ ὅταν ὁ χριστὸς φανερωθῇ ἡ 4
ζωὴ ἡμῶν τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δό-
ξῃ ◦ νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς πορνείαν 5
ἀκαθαρσίαν πάθος ἐπιθυμίαν κακὴν καὶ τὴν πλεονεξίαν ἥ-
τις ἐστὶν εἰδωλολατρεία ◦ δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ 6

**v.13** T: συνεζωποιησεν, K: συνεζωοποιησεν, MV: συνεζωοποιησεν υμας. **v.13** TMV: ημιν, K: υμιν. **v.16** T*: η, V: και. **v.16** T*: νουμηνιας, V: νεομηνιας. **v.17** TKV: του, M: ∅. **v.18** T*: μη εωρακεν, V: εορακεν. **v.20** TK: ουν απεθανετε συν τω, MV: απεθανετε συν. **v.23** T*: εθελοθρησκεια, V: εθελοθρησκια. **3. v.4** T*: ημων, V: υμων. **v.5** T*: υμων, V: ∅. **v.5** T*: ειδωλολατρεια, V: ειδωλολατρια.

7 τοὺς υἱοὺς τῆς ἀπειθείας· ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ
8 ποτε ὅτε ἐζῆτε ἐν αὐτοῖς· νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ
πάντα ὀργήν θυμὸν κακίαν βλασφημίαν αἰσχρολογίαν ἐκ
9 τοῦ στόματος ὑμῶν· μὴ ψεύδεσθε εἰς ἀλλήλους ἀπεκδυ-
σάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ·
10 καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνω-
11 σιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν· ὅπου οὐκ ἔνι Ἕλλην
καὶ Ἰουδαῖος περιτομὴ καὶ ἀκροβυστία βάρβαρος Σκύθης
δοῦλος ἐλεύθερος ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσιν Χριστός·
12 ἐνδύσασθε οὖν ὡς ἐκλεκτοὶ τοῦ θεοῦ ἅγιοι καὶ ἠγαπη-
μένοι σπλάγχνα οἰκτιρμῶν χρηστότητα ταπεινοφροσύνην
13 πρᾳότητα μακροθυμίαν· ἀνεχόμενοι ἀλλήλων καὶ χαρι-
ζόμενοι ἑαυτοῖς ἐάν τις πρός τινα ἔχῃ μομφήν καθὼς καὶ
14 ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν οὕτως καὶ ὑμεῖς· ἐπὶ πᾶσιν δὲ
τούτοις τὴν ἀγάπην ἥτις ἐστὶν σύνδεσμος τῆς τελειότητος·
15 καὶ ἡ εἰρήνη τοῦ θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν
εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι καὶ εὐχάριστοι γίνεσθε·
16 ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πά-
σῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς
καὶ˚ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἐν χάριτι ᾄδοντες ἐν
17 τῇ˚ καρδίᾳ ὑμῶν τῷ κυρίῳ· καὶ πᾶν ὅ τι ἂν ποιῆτε ἐν λόγῳ
ἢ ἐν ἔργῳ πάντα ἐν ὀνόματι κυρίου Ἰησοῦ εὐχαριστοῦντες
18 τῷ θεῷ κἀὶ πατρὶ δι᾽ αὐτοῦ· αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς
19 ἰδίοις ἀνδράσιν ὡς ἀνῆκεν ἐν κυρίῳ· οἱ ἄνδρες ἀγαπᾶτε
20 τὰς γυναῖκας καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς· τὰ τέκνα
ὑπακούετε τοῖς γονεῦσιν κατὰ πάντα τοῦτο γάρ ἐστιν˚ εὐ-
21 άρεστον τῷ κυρίῳ· οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν
22 ἵνα μὴ ἀθυμῶσιν· οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς
κατὰ σάρκα κυρίοις μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρω-

---

**v.7** T*: αυτοις, V: τουτοις. **v.12** TK: οικτιρμων, MV: οικτιρμου. **v.12** T*: πραοτητα, V: πραυτητα. **v.13** T*: χριστος, V: κυριος. **v.14** T*: ητις, V: ο. **v.15** T*: θεου, V: χριστου. **v.16** T*: και υμνοις και ωδαις πνευματικαις εν, V: υμνοις ωδαις πνευματικαις εν [τη]. **v.16** T*: τη καρδια υμων τω κυριω, V: ταις καρδιαις υμων τω θεω. **v.17** T*: αν, V: εαν. **v.17** T*: και, V: ∅. **v.18** T*: ιδιοις, V: ∅. **v.20** TK: εστιν ευαρεστον τω, M: εστιν ευαρεστον εν, V: ευαρεστον εστιν εν. **v.22** T*: οφθαλμοδουλειαις, V: οφθαλμοδουλια.

πάρεσκοι ἀλλ᾽ ἐν ἁπλότητι καρδίας φοβούμενοι τὸν θεόν ◦
καὶ ◦ πᾶν ὅ τι ἐὰν ποιῆτε ἐκ ψυχῆς ἐργάζεσθε ὡς τῷ κυρίῳ 23
καὶ οὐκ ἀνθρώποις ◦ εἰδότες ὅτι ἀπὸ κυρίου ἀπολήψεσθε 24
τὴν ἀνταπόδοσιν τῆς κληρονομίας τῷ γὰρ κυρίῳ χριστῷ
δουλεύετε ◦ ὁ δὲ ◦ ἀδικῶν κομιεῖται ὃ ἠδίκησεν καὶ οὐκ ἔ- 25
στιν προσωποληψία ◦

Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις πα- **4**
ρέχεσθε εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανοῖς ◦
τῇ προσευχῇ προσκαρτερεῖτε γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐ- 2
χαριστίᾳ ◦ προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν ἵνα ὁ θεὸς 3
ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου λαλῆσαι τὸ μυστήριον τοῦ
χριστοῦ δι᾽ ὃ καὶ δέδεμαι ◦ ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με 4
λαλῆσαι ◦ ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω τὸν καιρὸν 5
ἐξαγοραζόμενοι ◦ ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρ- 6
τυμένος εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι ◦
τὰ κατ᾽ ἐμὲ πάντα γνωρίσει ὑμῖν τυχικὸς ὁ ἀγαπητὸς ἀ- 7
δελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν κυρίῳ ◦ ὃν 8
ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο ἵνα γνῷ τὰ περὶ ὑμῶν
καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν ◦ σὺν ὀνησίμῳ τῷ πι- 9
στῷ καὶ ἀγαπητῷ ἀδελφῷ ὅς ἐστιν ἐξ ὑμῶν πάντα ὑμῖν
γνωριοῦσιν τὰ ὧδε ◦ ἀσπάζεται ὑμᾶς ἀρίσταρχος ὁ συν- 10
αιχμάλωτός μου καὶ μάρκος ὁ ἀνεψιὸς βαρνάβα περὶ οὗ
ἐλάβετε ἐντολὰς ἐὰν ἔλθῃ πρὸς ὑμᾶς δέξασθε αὐτόν ◦ καὶ 11
ἰησοῦς ὁ λεγόμενος ἰοῦστος οἱ ὄντες ἐκ περιτομῆς οὗτοι
μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ θεοῦ οἵτινες ἐγενήθη-
σάν μοι παρηγορία ◦ ἀσπάζεται ὑμᾶς ἐπαφρᾶς ὁ ἐξ ὑμῶν 12
δοῦλος χριστοῦ πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς
προσευχαῖς ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παν-
τὶ θελήματι τοῦ θεοῦ ◦ μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον ◦ 13

---

**v.22** T*: θεον, V: κυριον. **v.23** T*: και παν ο τι, V: ο. **v.24** TK: απολημψεσθε, M: ληψεσθε, V: απολημψεσθε. **v.24** T*: γαρ, V: ∅. **v.25** T*: δε αδικων κομιειται, V: γαρ αδικων κομισεται. **v.25** T*: προσωποληψια, V: προσωπολημψια. **4. v.1** T*: ουρανοις, V: ουρανω. **v.8** T*: γνω, V: γνωτε. **v.8** T*: υμων, V: ημων. **v.9** T*: γνωριουσιν, V: γνωρισουσιν. **v.12** T*: χριστου, V: χριστου [ιησου]. **v.12** T*: στητε, V: σταθητε. **v.12** T*: πεπληρωμενοι, V: πεπληροφορημενοι. **v.13** T*: ζηλον πολυν, V: πολυν πονον.

πολὺν ὑπὲρ ὑμῶν καὶ τῶν ἐν λαοδικείᾳ καὶ τῶν ἐν ἱεραπό-
14 λει ⸰ ἀσπάζεται ὑμᾶς λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ δη-
15 μᾶς ⸰ ἀσπάσασθε τοὺς ἐν λαοδικείᾳ ἀδελφοὺς καὶ νύμφαν
16 καὶ τὴν κατ᾽ οἶκον αὐτοῦ ἐκκλησίαν ⸰ καὶ ὅταν ἀναγνωσθῇ
παρ᾽ ὑμῖν ἡ ἐπιστολὴ ποιήσατε ἵνα καὶ ἐν τῇ λαοδικέων
ἐκκλησίᾳ ἀναγνωσθῇ καὶ τὴν ἐκ λαοδικείας ἵνα καὶ ὑμεῖς
17 ἀναγνῶτε ⸰ καὶ εἴπατε ἀρχίππῳ βλέπε τὴν διακονίαν ἣν
18 παρέλαβες ἐν κυρίῳ ἵνα αὐτὴν πληροῖς ⸰ ὁ ἀσπασμὸς τῇ
ἐμῇ χειρὶ παύλου μνημονεύετέ μου τῶν δεσμῶν ἡ χάρις
μεθ᾽ ὑμῶν ἀμήν ⸰ Πρὸς˚ κολασσαεῖς ἐγράφη ἀπὸ ῥώμης
διὰ τυχικοῦ καὶ ὀνησίμου ⸰

**v.15** T*: αυτου, V: αυτης. **v.18** T*: αμην, V: ∅. **v.18** T: Προς . . . ονησιμου, KMV: ∅.

# Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
## ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ ΠΡΩΤΗ˚

Παῦλος καὶ σιλουανὸς καὶ τιμόθεος τῇ ἐκκλησίᾳ θεσ- **1**
σαλονικέων ἐν θεῷ πατρὶ καὶ κυρίῳ ἰησοῦ χριστῷ χάρις
ὑμῖν καὶ εἰρήνη ἀπὸ˚ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰη-
σοῦ χριστοῦ ◦ εὐχαριστοῦμεν τῷ θεῷ πάντοτε περὶ πάντων 2
ὑμῶν μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν ◦
ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως 3
καὶ τοῦ κόπου τῆς ἀγάπης καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος
τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἔμπροσθεν τοῦ θεοῦ καὶ
πατρὸς ἡμῶν ◦ εἰδότες ἀδελφοὶ ἠγαπημένοι ὑπὸ θεοῦ τὴν 4
ἐκλογὴν ὑμῶν ◦ ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς 5
ὑμᾶς ἐν λόγῳ μόνον ἀλλὰ καὶ ἐν δυνάμει καὶ ἐν πνεύματι
ἁγίῳ καὶ ἐν πληροφορίᾳ πολλῇ καθὼς οἴδατε οἷοι ἐγενήθη-
μεν ἐν ὑμῖν δι᾽ ὑμᾶς ◦ καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε 6
καὶ τοῦ κυρίου δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ με-
τὰ χαρᾶς πνεύματος ἁγίου ◦ ὥστε γενέσθαι ὑμᾶς τύπους 7
πᾶσιν τοῖς πιστεύουσιν ἐν τῇ μακεδονίᾳ καὶ τῇ ἀχαΐᾳ ◦ ἀφ᾽ 8
ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ κυρίου οὐ μόνον ἐν τῇ μα-
κεδονίᾳ καὶ ἀχαΐᾳ ἀλλὰ˚ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν
ἡ πρὸς τὸν θεὸν ἐξελήλυθεν ὥστε μὴ χρείαν ἡμᾶς˚ ἔχειν
λαλεῖν τι ◦ αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν 9
εἴσοδον ἔχομεν πρὸς ὑμᾶς καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν
θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν θεῷ ζῶντι καὶ ἀληθινῷ ◦
καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν ὃν ἤγειρεν 10
ἐκ˚ νεκρῶν ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπ˚ὸ τῆς ὀργῆς τῆς
ἐρχομένης ◦

---

Τ: Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ ΠΡΩΤΗ, Κ: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ, ΜV: ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α. **1. v.1** T*: απο θεου . . . χριστου, V: ∅. **v.2** T*: υμων, V: ∅. **v.4** T*: θεου, V: [του] θεου. **v.7** T*: τυπους, V: τυπον. **v.7** T*: και, V: και εν. **v.8** ΤΚ: αχαια, Μ: εν τη αχαια, V: [εν τη] αχαια. **v.8** T*: αλλα και, V: αλλ. **v.8** T*: ημας εχειν, V: εχειν ημας. **v.9** Τ: εχομεν, ΚΜV: εσχομεν. **v.10** ΤΚ: εκ, Μ: εκ των, V: εκ [των]. **v.10** T*: απο, V: εκ.

**2** Αὐτοὶ γὰρ οἴδατε ἀδελφοὶ τὴν εἴσοδον ἡμῶν τὴν πρὸς
2 ὑμᾶς ὅτι οὐ κενὴ γέγονεν· ἀλλὰ καὶ προπαθόντες καὶ ὑ-
βρισθέντες καθὼς οἴδατε ἐν φιλίπποις ἐπαρρησιασάμεθα
ἐν τῷ θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ
3 θεοῦ ἐν πολλῷ ἀγῶνι· ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ
4 πλάνης οὐδὲ ἐξ ἀκαθαρσίας οὔτε ἐν δόλῳ· ἀλλὰ καθὼς
δεδοκιμάσμεθα ὑπὸ τοῦ θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον
οὕτως λαλοῦμεν οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες ἀλλὰ τῷ
5 θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν· οὔτε γάρ ποτε ἐν
λόγῳ κολακείας ἐγενήθημεν καθὼς οἴδατε οὔτε ἐν προφά-
6 σει πλεονεξίας θεὸς μάρτυς· οὔτε ζητοῦντες ἐξ ἀνθρώπων
δόξαν οὔτε ἀφ' ὑμῶν οὔτε ἀπ᾽ ἄλλων δυνάμενοι ἐν βά-
7 ρει εἶναι ὡς χριστοῦ ἀπόστολοι· ἀλλ᾽ ἐγενήθημεν ἤπιοι ἐν
8 μέσῳ ὑμῶν ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα· οὕτως
ἱμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον
τὸ εὐαγγέλιον τοῦ θεοῦ ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς διότι
9 ἀγαπητοὶ ἡμῖν ἦγενήσθε· μνημονεύετε γὰρ ἀδελφοὶ τὸν
κόπον ἡμῶν καὶ τὸν μόχθον νυκτὸς γὰρ καὶ ἡμέρας ἐργα-
ζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν ἐκηρύξαμεν εἰς
10 ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ· ὑμεῖς μάρτυρες καὶ ὁ θεὸς
ὡς ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν
11 ἐγενήθημεν· καθάπερ οἴδατε ὡς ἕνα ἕκαστον ὑμῶν ὡς πα-
τὴρ τέκνα ἑαυτοῦ παρακαλοῦντες ὑμᾶς καὶ παραμυθού-
12 μενοι καὶ μαρτυρόμενοι· εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως
τοῦ θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν
13 καὶ δόξαν· διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ θεῷ ἀ-
διαλείπτως ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ᾽ ἡμῶν τοῦ
θεοῦ ἐδέξασθε οὐ λόγον ἀνθρώπων ἀλλὰ καθὼς ἐστιν ἀλη-
θῶς λόγον θεοῦ ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν·
14 ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε ἀδελφοὶ τῶν ἐκκλησιῶν τοῦ

**2. v.2** ΤΚ: και, ΜV: ∅. **v.3** T*: ουτε, V: ουδε. **v.4** T*: τω, V: ∅. **v.6** ΤΚV: απ, M: απο. **v.7** T*: αλλ, V: αλλα. **v.7** T*: ηπιοι, V: νηπιοι. **v.7** T*: αν, V: εαν. **v.8** ΤΚ: ιμειρομενοι, ΜV: ομειρομενοι. **v.8** T*: γεγενησθε, V: εγενηθητε. **v.9** T*: γαρ, V: ∅. **v.11** ΤΚ: μαρτυρουμενοι, ΜV: μαρτυρομενοι. **v.12** T*: περιπατησαι, V: περιπατειν. **v.13** T*: δια, V: και δια.

θεοῦ τῶν οὐσῶν ἐν τῇ ἰουδαίᾳ ἐν χριστῷ ἰησοῦ ὅτι ταὐτὰ
ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν καθὼς καὶ
αὐτοὶ ὑπὸ τῶν ἰουδαίων ⸰ τῶν καὶ τὸν κύριον ἀποκτεινάν- 15
των ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας καὶ ἡμᾶς ἐκδιωξάν-
των καὶ θεῷ μὴ ἀρεσκόντων καὶ πᾶσιν ἀνθρώποις ἐναν-
τίων ⸰ κωλυόντων ἡμᾶς τοῖς ἔθνεσιν λαλῆσαι ἵνα σωθῶσιν 16
εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε ἔφθασεν
δὲ ἐπ᾽ αὐτοὺς ἡ ὀργὴ εἰς τέλος ⸰ ἡμεῖς δὲ ἀδελφοὶ ἀπορφα- 17
νισθέντες ἀφ᾽ ὑμῶν πρὸς καιρὸν ὥρας προσώπῳ οὐ καρδίᾳ
περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν
πολλῇ ἐπιθυμίᾳ ⸰ διὸ˚ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς ἐγὼ 18
μὲν παῦλος καὶ ἅπαξ καὶ δὶς καὶ ἐνέκοψεν ἡμᾶς ὁ σατα-
νᾶς ⸰ τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυχήσεως ἢ 19
οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ
ἐν τῇ αὐτοῦ παρουσίᾳ ⸰ ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ 20
χαρά ⸰

Διὸ μηκέτι στέγοντες εὐδοκήσαμεν καταλειφθῆναι ἐν ἀ- **3**
θήναις μόνοι ⸰ καὶ ἐπέμψαμεν τιμόθεον τὸν ἀδελφὸν ἡμῶν 2
καὶ διάκονον τοῦ θεοῦ καὶ˚ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγε-
λίῳ τοῦ χριστοῦ εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑ-
μᾶς˚ περὶ τῆς πίστεως ὑμῶν ⸰ τῷ μηδένα σαίνεσθαι ἐν ταῖς 3
θλίψεσιν ταύταις αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα ⸰
καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν προελέγομεν ὑμῖν ὅτι μέλ- 4
λομεν θλίβεσθαι καθὼς καὶ ἐγένετο καὶ οἴδατε ⸰ διὰ τοῦτο 5
κἀγὼ μηκέτι στέγων ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν
μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων καὶ εἰς κενὸν γένηται ὁ
κόπος ἡμῶν ⸰ ἄρτι δὲ ἐλθόντος τιμοθέου πρὸς ἡμᾶς ἀφ᾽ ὑ- 6
μῶν καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην
ὑμῶν καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθὴν πάντοτε ἐπιπο-
θοῦντες ἡμᾶς ἰδεῖν καθάπερ καὶ ἡμεῖς ὑμᾶς ⸰ διὰ τοῦτο 7

---

**v.14** TK: ταυτα, MV: τα αυτα. **v.15** T*: ιδιους, V: ∅. **v.15** T: υμας, KMV: ημας. **v.16** E: οργη, F: οργη του θεου. **v.18** T*: διο, V: διοτι. **v.19** TK: χριστου, MV: ∅. **3. v.2** T*: διακονον, V: συνεργον. **v.2** T*: και συνεργον ημων, V: ∅. **v.2** T*: υμας περι, V: υπερ. **v.3** TK: τω, MV: το.

παρεκλήθημεν ἀδελφοὶ ἐφ᾽ ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει˚ καὶ
8 ἀνάγκῃ ἡμῶν διὰ τῆς ὑμῶν πίστεως· ὅτι νῦν ζῶμεν ἐὰν ὑ-
9 μεῖς στήκητε ἐν κυρίῳ· τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ
θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν
10 δι᾽ ὑμᾶς ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν· νυκτὸς καὶ ἡμέρας ὑ-
πὲρ˚ ἐκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον
11 καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν· αὐτὸς δὲ
ὁ θεὸς καὶ πατὴρ ἡμῶν καὶ ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς
12 κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς· ὑμᾶς δὲ ὁ κύριος
πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς
13 πάντας καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς· εἰς τὸ στηρίξαι ὑμῶν
τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ θεοῦ
καὶ πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν ἰησοῦ
χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ·

**4** Τὸ λοιπὸν οὖν ἀδελφοὶ ἐρωτῶμεν ὑμᾶς καὶ παρακα-
λοῦμεν ἐν κυρίῳ ἰησοῦ καθὼς παρελάβετε παρ᾽ ἡμῶν τὸ
πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν θεῷ ἵνα περισσεύητε
2 μᾶλλον· οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ
3 τοῦ κυρίου ἰησοῦ· τοῦτο γάρ ἐστιν θέλημα τοῦ θεοῦ ὁ ἁ-
4 γιασμὸς ὑμῶν ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας· εἰδέναι
ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ
5 τιμῇ· μὴ ἐν πάθει ἐπιθυμίας καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ
6 εἰδότα τὸν θεόν· τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ
πράγματι τὸν ἀδελφὸν αὐτοῦ διότι ἔκδικος ὁ˚ κύριος περὶ
πάντων τούτων καθὼς καὶ προείπαμεν ὑμῖν καὶ διεμαρ-
7 τυράμεθα· οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ ἀκαθαρσίᾳ
8 ἀλλ᾽ ἐν ἁγιασμῷ· τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθε-
τεῖ ἀλλὰ τὸν θεὸν τὸν καὶ˚ δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον
9 εἰς ἡμᾶς· περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γρά-
φειν ὑμῖν αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν

---

**v.7** T*: θλιψει και αναγκη, V: αναγκη και θλιψει. **v.8** TK: στηκητε, MV: στηκετε. **v.10** T: υπερ εκπερισσου, K: υπερ εκ περισσου, MV: υπερεκπερισσου. **v.11** T*: χριστος, V: ∅. **v.13** T*: χριστου, V: ∅. **v.13** T*: αυτου, V: αυτου [αμην]. **4. v.1** TK: το, MV: ∅. **v.1** T*: ιησου, V: ιησου ινα. **v.1** T*: θεω, V: θεω καθως και περιπατειτε. **v.6** T*: ο, V: ∅. **v.8** T*: και δοντα, V: [και] διδοντα. **v.8** TK: ημας, MV: υμας.

ἀλλήλους ◦ καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς 10
τοὺς ἐν ὅλῃ τῇ μακεδονίᾳ παρακαλοῦμεν δὲ ὑμᾶς ἀδελ-
φοί περισσεύειν μᾶλλον ◦ καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν καὶ 11
πράσσειν τὰ ἴδια καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν
καθὼς ὑμῖν παρηγγείλαμεν ◦ ἵνα περιπατῆτε εὐσχημόνως 12
πρὸς τοὺς ἔξω καὶ μηδενὸς χρείαν ἔχητε ◦ οὐ θέλω δὲ ὑμᾶς 13
ἀγνοεῖν ἀδελφοὶ περὶ τῶν κεκοιμημένων ἵνα μὴ λυπῆσθε
καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα ◦ εἰ γὰρ πιστεύο- 14
μεν ὅτι ἰησοῦς ἀπέθανεν καὶ ἀνέστη οὕτως καὶ ὁ θεὸς τοὺς
κοιμηθέντας διὰ τοῦ ἰησοῦ ἄξει σὺν αὐτῷ ◦ τοῦτο γὰρ ὑμῖν 15
λέγομεν ἐν λόγῳ κυρίου ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπό-
μενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου οὐ μὴ φθάσωμεν τοὺς
κοιμηθέντας ◦ ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι ἐν φωνῇ 16
ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ᾽ οὐρα-
νοῦ καὶ οἱ νεκροὶ ἐν χριστῷ ἀναστήσονται πρῶτον ◦ ἔπειτα 17
ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπα-
γησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα
καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα ◦ ὥστε παρακαλεῖτε 18
ἀλλήλους ἐν τοῖς λόγοις τούτοις ◦

Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν ἀδελφοὶ οὐ χρείαν **5**
ἔχετε ὑμῖν γράφεσθαι ◦ αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε ὅτι ἡ˚ 2
ἡμέρα κυρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται ◦ ὅταν 3
γὰρ λέγωσιν εἰρήνη καὶ ἀσφάλεια τότε αἰφνίδιος αὐτοῖς ἐ-
φίσταται ὄλεθρος ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ καὶ οὐ
μὴ ἐκφύγωσιν ◦ ὑμεῖς δὲ ἀδελφοὶ οὐκ ἐστὲ ἐν σκότει ἵνα ἡ 4
ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ ◦ πάντες γὰρ ὑμεῖς υἱοὶ φω- 5
τός ἐστε καὶ υἱοὶ ἡμέρας οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους ◦
ἄρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποὶ ἀλλὰ γρηγορῶ- 6
μεν καὶ νήφωμεν ◦ οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδου- 7
σιν καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν ◦ ἡμεῖς δὲ ἡ- 8
μέρας ὄντες νήφωμεν ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀ-

**v.13** ΤΚ: θελω, ΜV: θελομεν. **v.13** T*: κεκοιμημενων, V: κοιμωμενων. **5. v.2** T*: η, V: ∅. **v.3** T*: γαρ, V: ∅. **v.4** E: κλεπτης, AB: κλεπτας. **v.5** T*: παντες, V: παντες γαρ. **v.6** T*: και, V: ∅.

9 γάπης καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας ⸰ ὅτι οὐκ ἔθετο
ἡμᾶς ὁ θεὸς εἰς ὀργὴν ἀλλ᾽ εἰς περιποίησιν σωτηρίας διὰ
10 τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ⸰ τοῦ ἀποθανόντος ὑπὲρ
ἡμῶν ἵνα εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν ἅμα σὺν αὐτῷ
11 ζήσωμεν ⸰ διὸ παρακαλεῖτε ἀλλήλους καὶ οἰκοδομεῖτε εἷς
12 τὸν ἕνα καθὼς καὶ ποιεῖτε ⸰ ἐρωτῶμεν δὲ ὑμᾶς ἀδελφοὶ εἰ-
δέναι τοὺς κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους ὑμῶν ἐν
13 κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς ⸰ καὶ ἡγεῖσθαι αὐτοὺς ὑπὲρ˚
ἐκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν εἰρηνεύετε ἐν ἑ-
14 αυτοῖς ⸰ παρακαλοῦμεν δὲ ὑμᾶς ἀδελφοὶ νουθετεῖτε τοὺς
ἀτάκτους παραμυθεῖσθε τοὺς ὀλιγοψύχους ἀντέχεσθε τῶν
15 ἀσθενῶν μακροθυμεῖτε πρὸς πάντας ⸰ ὁρᾶτε μή τις κακὸν
ἀντὶ κακοῦ τινὶ ἀποδῷ ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε
16, 17 καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας ⸰ πάντοτε χαίρετε ⸰ ἀδι-
18 αλείπτως προσεύχεσθε ⸰ ἐν παντὶ εὐχαριστεῖτε τοῦτο γὰρ
19 θέλημα θεοῦ ἐν χριστῷ ἰησοῦ εἰς ὑμᾶς ⸰ τὸ πνεῦμα μὴ
20, 21 σβέννυτε ⸰ προφητείας μὴ ἐξουθενεῖτε ⸰ πάντὰ δοκιμάζετε
22 τὸ καλὸν κατέχετε ⸰ ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχε-
23 σθε ⸰ αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς
καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα
ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ
24, 25 τηρηθείη ⸰ πιστὸς ὁ καλῶν ὑμᾶς ὃς καὶ ποιήσει ⸰ ἀδελ-
26 φοὶ προσεύχεσθε περὶ ἡμῶν ⸰ ἀσπάσασθε τοὺς ἀδελφοὺς
27 πάντας ἐν φιλήματι ἁγίῳ ⸰ ὁρκίζω ὑμᾶς τὸν κύριον ἀνα-
28 γνωσθῆναι τὴν ἐπιστολὴν πᾶσιν τοῖς ἁγίοις ἀδελφοῖς ⸰ ἡ
χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μεθ᾽ ὑμῶν ἀμήν ⸰
Πρὸς˚ θεσσαλονικεῖς πρώτη ἐγράφη ἀπὸ ἀθηνῶν ⸰

**v.9** T*: αλλ, V: αλλα. **v.13** T*: υπερ εκπερισσου, V: υπερεκπερισσου. **v.21** TK: παντα, MV: παντα δε. **v.25** T*: προσευχεσθε, V: προσευχεσθε [και]. **v.27** T*: ορκιζω, V: ενορκιζω. **v.27** T*: αγιοις, V: ∅. **v.28** T*: αμην, V: ∅. **v.28** T: Προς . . . αθηνων, KMV: ∅.

# Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ
## ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ˚

Παῦλος καὶ σιλουανὸς καὶ τιμόθεος τῇ ἐκκλησίᾳ θεσ- **1**
σαλονικέων ἐν θεῷ πατρὶ ἡμῶν καὶ κυρίῳ ἰησοῦ χριστῷ ⸰
χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰ- 2
ησοῦ χριστοῦ ⸰ εὐχαριστεῖν ὀφείλομεν τῷ θεῷ πάντοτε περὶ 3
ὑμῶν ἀδελφοὶ καθὼς ἄξιόν ἐστιν ὅτι ὑπεραυξάνει ἡ πίστις
ὑμῶν καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν
εἰς ἀλλήλους ⸰ ὥστε ἡμᾶς˚ αὐτοὺς ἐν ὑμῖν ϗαυχᾶσθαι ἐν 4
ταῖς ἐκκλησίαις τοῦ θεοῦ ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ
πίστεως ἐν πᾶσιν τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς
ἀνέχεσθε ⸰ ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ θεοῦ εἰς τὸ 5
καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ θεοῦ ὑπὲρ ἧς καὶ
πάσχετε ⸰ εἴπερ δίκαιον παρὰ θεῷ ἀνταποδοῦναι τοῖς θλί- 6
βουσιν ὑμᾶς θλίψιν ⸰ καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ᾽ 7
ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ κυρίου ἰησοῦ ἀπ᾽ οὐρανοῦ μετ᾽
ἀγγέλων δυνάμεως αὐτοῦ ⸰ ἐν πυρὶ φλογὸς διδόντος ἐκδί- 8
κησιν τοῖς μὴ εἰδόσιν θεὸν καὶ τοῖς μὴ ὑπακούουσιν τῷ
εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριϛτοῦ ⸰ οἵτινες δίκην 9
τίσουσιν ὄλεθρον αἰώνιον ἀπὸ προσώπου τοῦ κυρίου καὶ
ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ ⸰ ὅταν ἔλθῃ ἐνδοξασθῆ- 10
ναι ἐν τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι ἐν πᾶσιν τοῖς
πιστεύϭουσιν ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ᾽ ὑμᾶς ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ ⸰ εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ 11
ὑμῶν ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ θεὸς ἡμῶν καὶ πλη-
ρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης καὶ ἔργον πίστεως ἐν
δυνάμει ⸰ ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ κυρίου ἡμῶν ἰη- 12
σοῦ χριϛτοῦ ἐν ὑμῖν καὶ ὑμεῖς ἐν αὐτῷ κατὰ τὴν χάριν τοῦ

---

T: Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, K: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, MV: ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β. **1. v.4** T*: ημας αυτους, V: αυτους ημας. **v.4** T*: καυχασθαι, V: εγκαυχασθαι. **v.8** T*: χριστου, V: ∅. **v.10** TK: πιστευουσιν, MV: πιστευσασιν. **v.12** TK: χριστου, MV: ∅.

θεοῦ ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ⸰

**2** ἘΕρωτῶμεν δὲ ὑμᾶς ἀδελφοὶ ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ᾽
2 αὐτόν ⸰ εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς μήτε θροεῖσθαι μήτε διὰ πνεύματος μήτε διὰ λόγου μήτε
δι᾽ ἐπιστολῆς ὡς δι᾽ ἡμῶν ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ
3 χριστοῦ ⸰ μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκαλυφθῇ ὁ ἄν-
4 θρωπος τῆς ἁμαρτίας ὁ υἱὸς τῆς ἀπωλείας ⸰ ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα
ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ ὡς˚ θεὸν καθίσαι ἀποδει-
5 κνύντα ἑαυτὸν ὅτι ἐστὶν θεός ⸰ οὐ μνημονεύετε ὅτι ἔτι ὢν
6 πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν ⸰ καὶ νῦν τὸ κατέχον οἴδατε
7 εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ ⸰ τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας μόνον ὁ κατέχων
8 ἄρτι ἕως ἐκ μέσου γένηται ⸰ καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος ὃν ὁ κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος
αὐτοῦ καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐ-
9 τοῦ ⸰ οὗ ἐστιν ἡ παρουσία κατ᾽ ἐνέργειαν τοῦ σατανᾶ ἐν
10 πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασιν ψεύδους ⸰ καὶ ἐν πάσῃ ἀπάτῃ τῆς˚ ἀδικίας ἐν τοῖς ἀπολλυμένοις ἀνθ᾽ ὧν τὴν
ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς ⸰
11 καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης εἰς
12 τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύδει ⸰ ἵνα κριθῶσιν πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ ἀλλ᾽ εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ ⸰
13 ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ θεῷ πάντοτε περὶ ὑμῶν ἀδελφοὶ ἠγαπημένοι ὑπὸ κυρίου ὅτι εἵλετο ὑμᾶς ὁ θεὸς
ἀπ˚ ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος καὶ πίστει
14 ἀληθείας ⸰ εἰς ὃ˚ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν εἰς περιποίησιν δόξης τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ⸰

**2. v.2** T*: μητε, V: μηδε. **v.2** T*: χριστου, V: κυριου. **v.3** T*: αμαρτιας, V: ανομιας. **v.4** TMV: παντα, K: παν το. **v.4** T*: ως θεον, V: ∅. **v.8** T*: αναλωσει, V: [ιησους] ανελει. **v.10** T*: της αδικιας εν, V: αδικιας. **v.11** T*: πεμψει, V: πεμπει. **v.12** T*: αλλ, V: αλλα. **v.12** T*: εν, V: ∅. **v.13** T*: ειλετο, V: ειλατο. **v.13** T*: απ αρχης, V: απαρχην. **v.14** T*: ο, V: ο [και].

ἄρα οὖν ἀδελφοὶ στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς 15
ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε δι᾽ ἐπιστολῆς ἡμῶν· αὐτὸς 16
δὲ ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς καὶ ὁ θεὸς καὶ πατὴρ
ἡμῶν ὁ ἀγαπήσας ἡμᾶς καὶ δοὺς παράκλησιν αἰωνίαν καὶ
ἐλπίδα ἀγαθὴν ἐν χάριτι· παρακαλέσαι ὑμῶν τὰς καρδίας 17
καὶ στηρίξαι ὑμᾶς˚ ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ·

Τὸ λοιπὸν προσεύχεσθε ἀδελφοὶ περὶ ἡμῶν ἵνα ὁ λόγος **3**
τοῦ κυρίου τρέχῃ καὶ δοξάζηται καθὼς καὶ πρὸς ὑμᾶς·
καὶ ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων 2
οὐ γὰρ πάντων ἡ πίστις· πιστὸς δέ ἐστιν ὁ κύριος ὃς στη- 3
ρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ· πεποίθαμεν δὲ 4
ἐν κυρίῳ ἐφ᾽ ὑμᾶς ὅτι ἃ παραγγέλλομεν ὑμῖν˚ καὶ ποιεῖτε
καὶ ποιήσετε· ὁ δὲ κύριος κατευθύναι ὑμῶν τὰς καρδίας 5
εἰς τὴν ἀγάπην τοῦ θεοῦ καὶ εἰς ὑπομονὴν τοῦ χριστοῦ·
παραγγέλλομεν δὲ ὑμῖν ἀδελφοὶ ἐν ὀνόματι τοῦ κυρίου ἡ- 6
μῶν ἰησοῦ χριστοῦ στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ
ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν πα-
ρέλαβεν παρ᾽ ἡμῶν· αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι 7
ἡμᾶς ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν· οὐδὲ δωρεὰν ἄρτον 8
ἐφάγομεν παρά τινος ἀλλ᾽ ἐν κόπῳ καὶ μόχθῳ νύκτα˚ καὶ
ἡμέραν ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν·
οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν ἀλλ᾽ ἵνα ἑαυτοὺς τύπον δῶ- 9
μεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς· καὶ γὰρ ὅτε ἦμεν πρὸς 10
ὑμᾶς τοῦτο παρηγγέλλομεν ὑμῖν ὅτι εἴ τις οὐ θέλει ἐργά-
ζεσθαι μηδὲ ἐσθιέτω· ἀκούομεν γάρ τινας περιπατοῦντας 11
ἐν ὑμῖν ἀτάκτως μηδὲν ἐργαζομένους ἀλλὰ περιεργαζομέ-
νους· τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦ- 12
μεν διὰ˚ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἵνα μετὰ ἡσυχίας
ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν· ὑμεῖς δὲ ἀδελφοὶ 13
μὴ ἐκκακήσητε καλοποιοῦντες· εἰ δέ τις οὐχ ὑπακούει 14

**v.16** T*: και, V: ο. **v.17** T*: υμας εν παντι λογω και εργω, V: εν παντι εργω και λογω. **3. v.4** T*: υμιν και, V: [και]. **v.5** T: εις, KMV: εις την. **v.6** TK: παρελαβεν, M: παρελαβον, V: παρελαβοσαν. **v.8** T*: νυκτα και ημεραν, V: νυκτος και ημερας. **v.12** T*: δια του κυριου ημων ιησου χριστου, V: εν κυριω ιησου χριστω. **v.13** T*: εκκακησητε, V: εγκακησητε.

τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε καὶ˚
15 μὴ συναναμίγνυσθε αὐτῷ ἵνα ἐντραπῇ ⸰ καὶ μὴ ὡς ἐχθρὸν
16 ἡγεῖσθε ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν ⸰ αὐτὸς δὲ ὁ κύριος
τῆς εἰρήνης δῴη ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρό-
17 πῳ ὁ κύριος μετὰ πάντων ὑμῶν ⸰ ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ
παύλου ὅ ἐστιν σημεῖον ἐν πάσῃ ἐπιστολῇ οὕτως γράφω ⸰
18 ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάντων ὑμῶν
ἀμήν ⸰ Πρὸς˚ θεσσαλονικεῖς δευτέρα ἐγράφη ἀπὸ ἀθηνῶν ⸰

**v.14** T*: και μη συναναμιγνυσθε, V: μη συναναμιγνυσθαι. **v.18** T*: αμην, V: ∅. **v.18** T: Προς . . . αθηνων, KMV: ∅.

# Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ
## ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ˚

Παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ κατ᾽ ἐπιταγὴν θεοῦ **1**
σωτῆρος ἡμῶν καὶ κυρίου˚ ἰησοῦ χριστοῦ τῆς ἐλπίδος ἡ-
μῶν ⋄ τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει χάρις ἔλεος εἰρήνη 2
ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ χριστοῦ˚ ἰησοῦ τοῦ κυρίου ἡ-
μῶν ⋄ καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν ἐφέσῳ πορευ- 3
όμενος εἰς μακεδονίαν ἵνα παραγγείλῃς τισὶν μὴ ἑτεροδι-
δασκαλεῖν ⋄ μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπε- 4
ράντοις αἵτινες ζῆτήσεις παρέχουσιν μᾶλλον ἢ οἰκονομίαν
θεοῦ τὴν ἐν πίστει ⋄ τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀ- 5
γάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ
πίστεως ἀνυποκρίτου ⋄ ὧν τινες ἀστοχήσαντες ἐξετράπη- 6
σαν εἰς ματαιολογίαν ⋄ θέλοντες εἶναι νομοδιδάσκαλοι μὴ 7
νοοῦντες μήτε ἃ λέγουσιν μήτε περὶ τίνων διαβεβαιοῦνται ⋄
οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος ἐάν τις αὐτῷ νομίμως χρῆται ⋄ 8
εἰδὼς τοῦτο ὅτι δικαίῳ νόμος οὐ κεῖται ἀνόμοις δὲ καὶ ἀνυ- 9
ποτάκτοις ἀσεβέσιν καὶ ἁμαρτωλοῖς ἀνοσίοις καὶ βεβήλοις
πατραλῴαις˚ καὶ μητραλῴαις ἀνδροφόνοις ⋄ πόρνοις ἀρ- 10
σενοκοίταις ἀνδραποδισταῖς ψεύσταις ἐπιόρκοις καὶ εἴ τι
ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται ⋄ κατὰ τὸ εὐ- 11
αγγέλιον τῆς δόξης τοῦ μακαρίου θεοῦ ὃ ἐπιστεύθην ἐγώ ⋄
κἀὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με χριστῷ ἰησοῦ τῷ κυρίῳ 12
ἡμῶν ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν ⋄ τὸν 13
πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστὴν ἀλλ᾽
ἠλεήθην ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ ⋄ ὑπερεπλεόνασεν 14

---

Τ: Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, Κ: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, ΜV: ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α. **1. v.1** T*: ιησου χριστου, V: χριστου ιησου. **v.1** T*: κυριου ιησου χριστου, V: χριστου ιησου. **v.2** T*: ημων, V: ∅. **v.2** ΤΜV: χριστου ιησου, Κ: ιησου χριστου. **v.4** T*: ζητησεις, V: εκζητησεις. **v.4** ΤΜV: οικονομιαν, Κ: οικοδομιαν. **v.9** ΤΚ: πατραλωαις και μητραλωαις, ΜV: πατρολωαις και μητρολωαις. **v.12** T*: και, V: ∅. **v.13** T*: τον, V: το. **v.13** ΤΚ: αλλ, ΜV: αλλα.

δὲ ἡ χάρις τοῦ κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς
15 ἐν χριστῷ ἰησοῦ ⸰ πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄ-
ξιος ὅτι χριστὸς ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς
16 σῶσαι ὧν πρῶτός εἰμι ἐγώ ⸰ ἀλλὰ διὰ τοῦτο ἠλεήθην ἵνα
ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται ἰησοῦς ˚ χριστὸς τὴν πᾶσαν μα-
κροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽
17 αὐτῷ εἰς ζωὴν αἰώνιον ⸰ τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ
ἀοράτῳ μόνῳ σοφῷ θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν
18 αἰώνων ἀμήν ⸰ ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι
τέκνον τιμόθεε κατὰ τὰς προαγούσας ἐπί σε προφητείας
19 ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν ⸰ ἔχων πίστιν
καὶ ἀγαθὴν συνείδησιν ἥν τινες ἀπωσάμενοι περὶ τὴν πί-
20 στιν ἐναυάγησαν ⸰ ὧν ἐστιν ὑμέναιος καὶ ἀλέξανδρος οὓς
παρέδωκα τῷ σατανᾷ ἵνα παιδευθῶσιν μὴ βλασφημεῖν ⸰

**2** Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις προσ-
2 ευχὰς ἐντεύξεις εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων ⸰ ὑ-
πὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων ἵνα ἥρεμον
καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνό-
3 τητι ⸰ τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆ-
4 ρος ἡμῶν θεοῦ ⸰ ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ
5 εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν ⸰ εἷς γὰρ θεὸς εἷς καὶ μεσί-
6 της θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος χριστὸς ἰησοῦς ⸰ ὁ δοὺς
ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων τὸ μαρτύριον καιροῖς ἰ-
7 δίοις ⸰ εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος ἀλήθειαν
λέγω ἐν˚ χριστῷ οὐ ψεύδομαι διδάσκαλος ἐθνῶν ἐν πίστει
8 καὶ ἀληθείᾳ ⸰ βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν
παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ δι-
9 αλογισμοῦ ⸰ ὡσαύτως καὶ˚ τὰς γυναῖκας ἐν καταστολῇ κο-
σμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς μὴ ἐν
πλέγμασιν ἢ˚ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ ⸰
10 ἀλλ᾽ ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν δι᾽ ἔρ-

---

**v.16** T*: ιησους χριστος την πασαν, V: χριστος ιησους την απασαν. **v.17** T*: σοφω, V: ∅. **2. v.3** T*: γαρ, V: ∅. **v.7** T*: εν χριστω, V: ∅. **v.9** T*: και τας, V: [και]. **v.9** T*: η χρυσω, V: και χρυσιω.

γων ἁγαθῶν· γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποτα- 11
γῇ· γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω οὐδὲ αὐθεντεῖν 12
ἀνδρὸς ἀλλ᾽ εἶναι ἐν ἡσυχίᾳ· ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη 13
εἶτα ἕὔα· καὶ ἀδὰμ οὐκ ἠπατήθη ἡ δὲ γυνὴ ἀπατηθεῖσα 14
ἐν παραβάσει γέγονεν· σωθήσεται δὲ διὰ τῆς τεκνογονίας 15
ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σω-
φροσύνης·

Πιστὸς ὁ λόγος εἴ τις ἐπισκοπῆς ὀρέγεται καλοῦ ἔργου **3**
ἐπιθυμεῖ· δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι μι- 2
ᾶς γυναικὸς ἄνδρα νηφάλεον σώφρονα κόσμιον φιλόξενον
διδακτικόν· μὴ πάροινον μὴ πλήκτην μὴ αἰσχροκερδῆ 3
ἀλλ᾽ ἐπιεικῆ ἄμαχον ἀφιλάργυρον· τοῦ ἰδίου οἴκου κα- 4
λῶς προϊστάμενον τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης
σεμνότητος· εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶ- 5
δεν πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται· μὴ νεόφυτον ἵνα 6
μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου· δεῖ δὲ αὐτὸν 7
καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν ἵνα μὴ εἰς ὀνει-
δισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου· διακόνους ὡσ- 8
αύτως σεμνοὺς μὴ διλόγους μὴ οἴνῳ πολλῷ προσέχοντας
μὴ αἰσχροκερδεῖς· ἔχοντας τὸ μυστήριον τῆς πίστεως ἐν 9
καθαρᾷ συνειδήσει· καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶτον 10
εἶτα διακονείτωσαν ἀνέγκλητοι ὄντες· γυναῖκας ὡσαύτως 11
σεμνὰς μὴ διαβόλους νηφαλέους πιστὰς ἐν πᾶσιν· διάκο- 12
νοι ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες τέκνων καλῶς προϊστά-
μενοι καὶ τῶν ἰδίων οἴκων· οἱ γὰρ καλῶς διακονήσαντες 13
βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται καὶ πολλὴν παρρη-
σίαν ἐν πίστει τῇ ἐν χριστῷ ἰησοῦ· ταῦτά σοι γράφω ἐλ- 14
πίζων ἐλθεῖν πρός σε τάχιον· ἐὰν δὲ βραδύνω ἵνα εἰδῇς 15
πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι ἥτις ἐστὶν ἐκκλησία
θεοῦ ζῶντος στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας· καὶ ὁμο- 16

---

**v.12** T*: γυναικι δε διδασκειν, V: διδασκειν δε γυναικι. **v.13** T: εῦα, K: εὔα, MV: εὕα. **v.14** T*: απατηθεισα, V: εξαπατηθεισα. **3. v.2** T*: ανεπιλημπτον, V: ανεπιλημπτον. **v.2** TM: νηφαλεον, KV: νηφαλιον. **v.3** T*: μη αισχροκερδη αλλ, V: αλλα. **v.7** T*: αυτον, V: ∅. **v.11** TM: νηφαλεους, KV: νηφαλιους. **v.14** T*: ταχιον, V: εν ταχει.

λογουμένως μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον θεὸς ἐφανερώθη ἐν σαρκὶ ἐδικαιώθη ἐν πνεύματι ὤφθη ἀγγέλοις ἐκηρύχθη ἐν ἔθνεσιν ἐπιστεύθη ἐν κόσμῳ ἀνελήφθη ἐν δόξῃ ⋄

**4** Τὸ δὲ πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως προσέχοντες πνεύμασιν πλά-
2 νοις καὶ διδασκαλίαις δαιμονίων ⋄ ἐν ὑποκρίσει ψευδο-
3 λόγων κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν ⋄ κωλυόντων γαμεῖν ἀπέχεσθαι βρωμάτων ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσιν τὴν
4 ἀλήθειαν ⋄ ὅτι πᾶν κτίσμα θεοῦ καλὸν καὶ οὐδὲν ἀπόβλη-
5 τον μετὰ εὐχαριστίας λαμβανόμενον ⋄ ἁγιάζεται γὰρ διὰ
6 λόγου θεοῦ καὶ ἐντεύξεως ⋄ ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος ἰησοῦ˚ χριστοῦ ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκο-
7 λούθηκας ⋄ τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους πα-
8 ραιτοῦ γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν ⋄ ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς
9 νῦν καὶ τῆς μελλούσης ⋄ πιστὸς ὁ λόγος καὶ πάσης ἀποδο-
10 χῆς ἄξιος ⋄ εἰς τοῦτο γὰρ καὶ˚ κοπιῶμεν καὶ ὀνειδιζόμεθα ὅτι ἠλπίκαμεν ἐπὶ θεῷ ζῶντι ὅς ἐστιν σωτὴρ πάντων ἀν-
11 θρώπων μάλιστα πιστῶν ⋄ παράγγελλε ταῦτα καὶ δίδασκε ⋄
12 μηδείς σου τῆς νεότητος καταφρονείτω ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ ἐν ἀναστροφῇ ἐν ἀγάπῃ ἐν πνεύματι˚
13 ἐν πίστει ἐν ἁγνείᾳ ⋄ ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει
14 τῇ παρακλήσει τῇ διδασκαλίᾳ ⋄ μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν
15 χειρῶν τοῦ πρεσβυτερίου ⋄ ταῦτα μελέτα ἐν τούτοις ἴσθι ἵνα
16 σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν ⋄ ἔπεχε σεαυτῷ καὶ τῇ

---

**v.16** T*: θεος, V: ος. **v.16** T*: ανεληφθη, V: ανελημφθη. **4. v.2** T*: κεκαυτηριασμενων, V: κεκαυστηριασμενων. **v.3** T*: μεταληψιν, V: μεταλημψιν. **v.6** T*: ιησου χριστου, V: χριστου ιησου. **v.10** T*: και κοπιωμεν και ονειδιζομεθα, V: κοπιωμεν και αγωνιζομεθα. **v.12** T*: πνευματι εν, V: ∅. **v.15** T*: εν, V: ∅.

διδασκαλίᾳ ἐπίμενε αὐτοῖς τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου ◦

Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς ἀλλὰ παρακάλει ὡς πατέρα **5**
νεωτέρους ὡς ἀδελφούς ◦ πρεσβυτέρας ὡς μητέρας νεωτέ- 2
ρας ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ ◦ χήρας τίμα τὰς ὄντως 3
χήρας ◦ εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει μανθανέτωσαν 4
πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι
τοῖς προγόνοις τοῦτο γάρ ἐστιν καλὸν˚ καὶ ἀπόδεκτον ἐν-
ώπιον τοῦ θεοῦ ◦ ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλ- 5
πικεν ἐπὶ τὸν θεὸν καὶ προσμένει ταῖς δεήσεσιν καὶ ταῖς
προσευχαῖς νυκτὸς καὶ ἡμέρας ◦ ἡ δὲ σπαταλῶσα ζῶσα τέ- 6
θνηκεν ◦ καὶ ταῦτα παράγγελλε ἵνα ἀνεπίληπτοι ὦσιν ◦ εἰ 7, 8
δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ τὴν
πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων ◦ χήρα καταλεγέ- 9
σθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα ἑνὸς ἀνδρὸς γυ-
νή ◦ ἐν ἔργοις καλοῖς μαρτυρουμένη εἰ ἐτεκνοτρόφησεν εἰ 10
ἐξενοδόχησεν εἰ ἁγίων πόδας ἔνιψεν εἰ θλιβομένοις ἐπήρ-
κεσεν εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν ◦ νεωτέρας δὲ 11
χήρας παραιτοῦ ὅταν γὰρ καταστρηνιάσωσιν τοῦ χριστοῦ
γαμεῖν θέλουσιν ◦ ἔχουσαι κρίμα ὅτι τὴν πρώτην πίστιν ἠ- 12
θέτησαν ◦ ἅμα δὲ καὶ ἀργαὶ μανθάνουσιν περιερχόμεναι 13
τὰς οἰκίας οὐ μόνον δὲ ἀργαὶ ἀλλὰ καὶ φλύαροι καὶ πε-
ρίεργοι λαλοῦσαι τὰ μὴ δέοντα ◦ βούλομαι οὖν νεωτέρας 14
γαμεῖν τεκνογονεῖν οἰκοδεσποτεῖν μηδεμίαν ἀφορμὴν δι-
δόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν ◦ ἤδη γάρ τινες ἐξ- 15
ετράπησαν ὀπίσω τοῦ σατανᾶ ◦ εἴ τις πιστὸς˚ ἢ πιστὴ ἔχει 16
χήρας ἐπαρκείτω αὐταῖς καὶ μὴ βαρείσθω ἡ ἐκκλησία ἵνα
ταῖς ὄντως χήραις ἐπαρκέσῃ ◦ οἱ καλῶς προεστῶτες πρε- 17
σβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν μάλιστα οἱ κοπιῶντες
ἐν λόγῳ καὶ διδασκαλίᾳ ◦ λέγει γὰρ ἡ γραφὴ βοῦν ἀλο- 18
ῶντα οὐ φιμώσεις καὶ ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ◦
κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέχου ἐκτὸς εἰ μὴ 19

**5. v.4** TK: καλον και, MV: ∅. **v.5** T*: τον, V: ∅. **v.7** T*: ανεπιληπτοι, V: ανεπιλημπτοι. **v.8** T*: των, V: ∅. **v.16** T*: πιστος η, V: ∅.

20 ἐπὶ δύο ἢ τριῶν μαρτύρων ◦ τοὺς ἁμαρτάνοντας ἐνώπιον
21 πάντων ἔλεγχε ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν ◦ διαμαρτύρομαι ἐνώπιον τοῦ θεοῦ καὶ κυρίου˚ ἰησοῦ χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίμα-
22 τος μηδὲν ποιῶν κατὰ πρόσκλισιν ◦ χεῖρας ταχέως μηδενὶ ἐπιτίθει μηδὲ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις σεαυτὸν ἁ-
23 γνὸν τήρει ◦ μηκέτι ὑδροπότει ἀλλ˚ οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν
24 στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας ◦ τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί εἰσιν προάγουσαι εἰς κρίσιν
25 τισὶν δὲ καὶ ἐπακολουθοῦσιν ◦ ὡσαύτως καὶ τὰ˚ καλὰ ἔργα πρόδηλά ἐστιν καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι οὐ δύναται ◦

**6** Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν ἵνα μὴ τὸ ὄνομα τοῦ θεοῦ καὶ
2 ἡ διδασκαλία βλασφημῆται ◦ οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν ὅτι ἀδελφοί εἰσιν ἀλλὰ μᾶλλον δουλευέτωσαν ὅτι πιστοί εἰσιν καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργε-
3 σίας ἀντιλαμβανόμενοι ταῦτα δίδασκε καὶ παρακάλει ◦ εἴ τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσιν λόγοις τοῖς τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ καὶ τῇ κατ˚ εὐ-
4 σέβειαν διδασκαλίᾳ ◦ τετύφωται μηδὲν ἐπιστάμενος ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας ἐξ ὧν γίνεται φθόνος
5 ἔρις βλασφημίαι ὑπόνοιαι πονηραί ◦ ῾παραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν ἀφί-
6 στασο˚ ἀπὸ τῶν τοιούτων ◦ ἔστιν δὲ πορισμὸς μέγας ἡ εὐ-
7 σέβεια μετὰ αὐταρκείας ◦ οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν
8 κόσμον δῆλόν ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα ◦ ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα ◦
9 οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβερὰς αἵτι-

---

**v.21** T*: κυριου ιησου χριστου, V: χριστου ιησου. **v.21** TKV: προσκλισιν, M: προσκλησιν. **v.23** T*: αλλ, V: αλλα. **v.23** T*: σου, V: ∅. **v.25** T*: τα καλα εργα, V: τα εργα τα καλα. **v.25** T*: εστιν, V: ∅. **v.25** TK: δυναται, MV: δυνανται. **6. v.5** TK: παραδιατριβαι, MV: διαπαρατριβαι. **v.5** T*: αφιστασο απο των τοιουτων, V: ∅. **v.7** T*: δηλον, V: ∅.

νες βυθίζουσιν τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν ⸰
ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία ἧς τινες ὀ- 10
ρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως καὶ ἑαυτοὺς
περιέπειραν ὀδύναις πολλαῖς ⸰ σὺ δέ ὦ ἄνθρωπε τόῦ θεοῦ 11
ταῦτα φεῦγε δίωκε δὲ δικαιοσύνην εὐσέβειαν πίστιν ἀγά-
πην ὑπομονὴν πρᾳότητα ⸰ ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς 12
πίστεως ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς εἰς ἣν κἀὶ ἐκλήθης καὶ
ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύ-
ρων ⸰ παραγγέλλω σοι ἐνώπιον τοῦ θεοῦ τοῦ ζωοῤποιοῦντος 13
τὰ πάντα καὶ χριστοῦ ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ πον-
τίου πιλάτου τὴν καλὴν ὁμολογίαν ⸰ τηρῆσαί σε τὴν ἐντο- 14
λὴν ἄσπιλον ἀνεπίλῆῤπτον μέχρι τῆς ἐπιφανείας τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ ⸰ ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος 15
καὶ μόνος δυνάστης ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύ-
ριος τῶν κυριευόντων ⸰ ὁ μόνος ἔχων ἀθανασίαν φῶς οἰ- 16
κῶν ἀπρόσιτον ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύ-
ναται ᾧ τιμὴ καὶ κράτος αἰώνιον ἀμήν ⸰ τοῖς πλουσίοις ἐν 17
τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν μηδὲ ἠλπι-
κέναι ἐπὶ πλούτου ἀδηλότητι ἀλλ᾽ ἐν᾽ τῷ θεῷ τῷ ζῶντι τῷ
παρέχοντι ἡμῖν πλουσίως᾽ πάντα εἰς ἀπόλαυσιν ⸰ ἀγαθο- 18
εργεῖν πλουτεῖν ἐν ἔργοις καλοῖς εὐμεταδότους εἶναι κοι-
νωνικούς ⸰ ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς 19
τὸ μέλλον ἵνα ἐπιλάβωνται τῆς αἰωνΐου ζωῆς ⸰ ὦ τιμόθεε 20
τὴν παρακαταθήκην φύλαξον ἐκτρεπόμενος τὰς βεβήλους
κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως ⸰ ἥν 21
τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν ἡ χάρις
μετὰ᾽ σοῦ ἀμήν ⸰Πρὸς᾽ τιμόθεον πρώτη ἐγράφη ἀπὸ λαο-
δικείας ἥτις ἐστὶν μητρόπολις φρυγίας τῆς πακατιανῆς ⸰

**v.11** T*: του, V: ∅. **v.11** T*: πραοτητα, V: πραυπαθιαν. **v.12** TK: και, MV: ∅. **v.13** T*: ζωοποιουντος, V: ζωογονουντος. **v.14** T*: ανεπιλημπτον, V: ανεπιλημπτον. **v.17** T*: εν τω θεω τω ζωντι, V: επι θεω. **v.17** TK: πλουσιως παντα, MV: παντα πλουσιως. **v.19** T*: αιωνιου, V: οντως. **v.20** TK: παρακαταθηκην, MV: παραθηκην. **v.21** T*: μετα σου αμην, V: μεθ υμων. **v.21** T: Προς . . . πακατιανης, KMV: ∅.

# Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ
## ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ˚

**1** Παῦλος ἀπόστολος ἰησοῦ˚ χριστοῦ διὰ θελήματος θε-
2 οῦ κατ᾽ ἐπαγγελίαν ζωῆς τῆς ἐν χριστῷ ἰησοῦ ⸰ τιμοθέῳ
ἀγαπητῷ τέκνῳ χάρις ἔλεος εἰρήνη ἀπὸ θεοῦ πατρὸς καὶ
3 χριστοῦ ἰησοῦ τοῦ κυρίου ἡμῶν ⸰ χάριν ἔχω τῷ θεῷ ᾧ λα-
τρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει ὡς ἀδιάλει-
πτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσίν μου νυ-
4 κτὸς καὶ ἡμέρας ⸰ ἐπιποθῶν σε ἰδεῖν μεμνημένος σου τῶν
5 δακρύων ἵνα χαρᾶς πληρωθῶ ⸰ ὑπόμνησιν λαμβάνων τῆς
ἐν σοὶ ἀνυποκρίτου πίστεως ἥτις ἐνῴκησεν πρῶτον ἐν τῇ
μάμμῃ σου λωΐδι καὶ τῇ μητρί σου εὐνείκῃ πέπεισμαι δὲ
6 ὅτι καὶ ἐν σοί ⸰ δι᾽ ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυ-
ρεῖν τὸ χάρισμα τοῦ θεοῦ ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως
7 τῶν χειρῶν μου ⸰ οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δει-
8 λίας ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ ⸰ μὴ
οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ κυρίου ἡμῶν μηδὲ ἐμὲ
τὸν δέσμιον αὐτοῦ ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ
9 κατὰ δύναμιν θεοῦ ⸰ τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος
κλήσει ἁγίᾳ οὐ κατὰ τὰ ἔργα ἡμῶν ἀλλὰ κἀτ᾽ ἰδίαν πρό-
θεσιν καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν χριστῷ ἰησοῦ πρὸ
10 χρόνων αἰωνίων ⸰ φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας
τοῦ σωτῆρος ἡμῶν ἰησοῦ˚ χριστοῦ καταργήσαντος μὲν τὸν
θάνατον φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγ-
11 γελίου ⸰ εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος καὶ διδά-
12 σκαλος ἐθνῶν ⸰ δι᾽ ἣν αἰτίαν καὶ ταῦτα πάσχω ἀλλ᾽ οὐκ
ἐπαισχύνομαι οἶδα γὰρ ᾧ πεπίστευκα καὶ πέπεισμαι ὅτι
δυνατός ἐστιν τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν

---

Τ: Η ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, Κ: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΤΙ-ΜΟΘΕΟΝ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, ΜV: ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β. **1. v.1** ΤΚ: ιησου χριστου, ΜV: χριστου ιησου. **v.5** Τ*: λαμβανων, V: λαβων. **v.5** Τ: ευνεικη, ΚΜV: ευνικη. **v.9** Τ*: κατ, V: κατα. **v.10** Τ*: ιησου χριστου, V: χριστου ιησου. **v.11** Τ*: εθνων, V: ∅.

ἡμέραν· ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων ὧν παρ᾽ ἐ- 13
μοῦ ἤκουσας ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν χριστῷ ἰησοῦ·
τὴν καλὴν παραϗαταθήκην φύλαξον διὰ πνεύματος ἁγίου 14
τοῦ ἐνοικοῦντος ἐν ἡμῖν· οἶδας τοῦτο ὅτι ἀπεστράφησάν 15
με πάντες οἱ ἐν τῇ ἀσίᾳ ὧν ἐστιν φύγελλος καὶ ἑρμογένης·
δῴη ἔλεος ὁ κύριος τῷ ὀνησιφόρου οἴκῳ ὅτι πολλάκις με 16
ἀνέψυξεν καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη· ἀλλὰ γε- 17
νόμενος ἐν ῥώμῃ σπουδαιότερον ἐζήτησέν με καὶ εὗρεν·
δῴη αὐτῷ ὁ κύριος εὑρεῖν ἔλεος παρὰ κυρίου ἐν ἐκείνῃ τῇ 18
ἡμέρᾳ καὶ ὅσα ἐν ἐφέσῳ διηκόνησεν βέλτιον σὺ γινώσκεις·

Σὺ οὖν τέκνον μου ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν χρι- **2**
στῷ ἰησοῦ· καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύ- 2
ρων ταῦτα παράθου πιστοῖς ἀνθρώποις οἵτινες ἱκανοὶ ἔσον-
ται καὶ ἑτέρους διδάξαι· σὺ˚ οὖν κακοπάθησον ὡς καλὸς 3
στρατιώτης ἰησοῦ˚ χριστοῦ· οὐδεὶς στρατευόμενος ἐμπλέ- 4
κεται ταῖς τοῦ βίου πραγματείαις ἵνα τῷ στρατολογήσαντι
ἀρέσῃ· ἐὰν δὲ καὶ ἀθλῇ τις οὐ στεφανοῦται ἐὰν μὴ νομί- 5
μως ἀθλήσῃ· τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρ- 6
πῶν μεταλαμβάνειν· νόει ἃ˚ λέγω δῴη γάρ σοι ὁ κύριος 7
σύνεσιν ἐν πᾶσιν· μνημόνευε ἰησοῦν χριστὸν ἐγηγερμένον 8
ἐκ νεκρῶν ἐκ σπέρματος δαβὶδ κατὰ τὸ εὐαγγέλιόν μου·
ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος ἀλλ᾽ ὁ λόγος 9
τοῦ θεοῦ οὐ δέδεται· διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς 10
ἐκλεκτοὺς ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσιν τῆς ἐν χριστῷ
ἰησοῦ μετὰ δόξης αἰωνίου· πιστὸς ὁ λόγος εἰ γὰρ συνα- 11
πεθάνομεν καὶ συζήσομεν· εἰ ὑπομένομεν καὶ συμβασι- 12
λεύσομεν εἰ ἀρνούμεθα κἀκεῖνος ἀρνήσεται ἡμᾶς· εἰ ἀ- 13
πιστοῦμεν ἐκεῖνος πιστὸς μένει ἀρνήσασθαι ἑαυτὸν οὐ δύ-
ναται· ταῦτα ὑπομίμνησκε διαμαρτυρόμενος ἐνώπιον τοῦ 14

---

**v.14** TK: παρακαταθηκην, MV: παραθηκην. **v.15** TK: φυγελλος, MV: φυγελος. **v.16** TK: επηςχυνθη, MV: επαισχυνθη. **v.17** T*: σπουδαιοτερον, V: σπουδαιως. **2. v.3** T*: συ ουν κακοπαθησον, V: συγκακοπαθησον. **v.3** T*: ιησου χριστου, V: χριστου ιησου. **v.7** T*: α λεγω δωη, V: ο λεγω δωσει. **v.8** T*: δαβιδ, V: δαυιδ. **v.9** T*: αλλ, V: αλλα. **v.12** T*: αρνουμεθα, V: αρνησομεθα. **v.13** T*: αρνησασθαι, V: αρνησασθαι γαρ.

κυρίου˚ μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον ἐπὶ καταστρο-
15 φῇ τῶν ἀκουόντων. σπούδασον σεαυτὸν δόκιμον παρα-
στῆσαι τῷ θεῷ ἐργάτην ἀνεπαίσχυντον ὀρθοτομοῦντα τὸν
16 λόγον τῆς ἀληθείας. τὰς δὲ βεβήλους κενοφωνίας περιΐ-
17 στασο ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας. καὶ ὁ λόγος
αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει ὧν ἐστιν ὑμέναιος καὶ φι-
18 λητός. οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν λέγοντες τὴν
ἀνάστασιν ἤδη γεγονέναι καὶ ἀνατρέπουσιν τήν τινων πί-
19 στιν. ὁ μέντοι στερεὸς θεμέλιος τοῦ θεοῦ ἕστηκεν ἔχων τὴν
σφραγῖδα ταύτην ἔγνω κύριος τοὺς ὄντας αὐτοῦ καὶ ἀπο-
20 στήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα χριȣ̊τοῦ. ἐν
μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστιν μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ
ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα καὶ ἃ μὲν εἰς τιμὴν ἃ δὲ εἰς
21 ἀτιμίαν. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων ἔσται
σκεῦος εἰς τιμὴν ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ εἰς
22 πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. τὰς δὲ νεωτερικὰς ἐπι-
θυμίας φεῦγε δίωκε δὲ δικαιοσύνην πίστιν ἀγάπην εἰρήνην
μετὰ τῶν ἐπικαλουμένων τὸν κύριον ἐκ καθαρᾶς καρδίας.
23 τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ εἰδὼς
24 ὅτι γεννῶσιν μάχας. δοῦλον δὲ κυρίου οὐ δεῖ μάχεσθαι
25 ἀλλ᾽ ἤπιον εἶναι πρὸς πάντας διδακτικὸν ἀνεξίκακον. ἐν
πρᾳότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους μήποτε δῷ˚
26 αὐτοῖς ὁ θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας. καὶ ἀ-
νανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος ἐζωγρημένοι ὑπ᾽
αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

**3** Τοῦτο δὲ γίνωσκε ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται
2 καιροὶ χαλεποί. ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι φιλάρ-
γυροι ἀλαζόνες ὑπερήφανοι βλάσφημοι γονεῦσιν ἀπειθεῖς
3 ἀχάριστοι ἀνόσιοι. ἄστοργοι ἄσπονδοι διάβολοι ἀκρατεῖς
4 ἀνήμεροι ἀφιλάγαθοι. προδόται προπετεῖς τετυφωμένοι
5 φιλήδονοι μᾶλλον ἢ φιλόθεοι. ἔχοντες μόρφωσιν εὐσε-

**v.14** T*: κυριου μη λογομαχειν εις, V: θεου μη λογομαχειν επ. **v.19** TK: χριστου, MV: κυριου. **v.21** T*: και, V: ∅. **v.24** T*: αλλ, V: αλλα. **v.25** T*: πραοτητι, V: πραυτητι. **v.25** T*: δω, V: δωη.

βείας τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι καὶ τούτους ἀπο-
τρέπου ◦ ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας 6
καὶ αἰχμαλωτεύοντες˚ τὰ γυναικάρια σεσωρευμένα ἁμαρ-
τίαις ἀγόμενα ἐπιθυμίαις ποικίλαις ◦ πάντοτε μανθάνοντα 7
καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα ◦ ὃν 8
τρόπον δὲ ἰάννης καὶ ἰαμβρῆς ἀντέστησαν μωϋσεῖ οὕτως
καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ ἄνθρωποι κατεφθαρμέ-
νοι τὸν νοῦν ἀδόκιμοι περὶ τὴν πίστιν ◦ ἀλλ᾽ οὐ προκόψου- 9
σιν ἐπὶ πλεῖον ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν ὡς
καὶ ἡ ἐκείνων ἐγένετο ◦ σὺ δὲ παρηκολούθηκάς μου τῇ δι- 10
δασκαλίᾳ τῇ ἀγωγῇ τῇ προθέσει τῇ πίστει τῇ μακροθυμίᾳ
τῇ ἀγάπῃ τῇ ὑπομονῇ ◦ τοῖς διωγμοῖς τοῖς παθήμασιν οἷά 11
μοι ἐγένετο ἐν ἀντιοχείᾳ ἐν ἰκονίῳ ἐν λύστροις οἵους δι-
ωγμοὺς ὑπήνεγκα καὶ ἐκ πάντων με ἐρρύσατο ὁ κύριος ◦
καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν χριστῷ ἰησοῦ δι- 12
ωχθήσονται ◦ πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψου- 13
σιν ἐπὶ τὸ χεῖρον πλανῶντες καὶ πλανώμενοι ◦ σὺ δὲ μένε 14
ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης εἰδὼς παρὰ τίνος ἔμαθες ◦
καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά 15
σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν χριστῷ ἰησοῦ ◦
πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν 16
πρὸς ἔλεγχον πρὸς ἐπανόρθωσιν πρὸς παιδείαν τὴν ἐν δι-
καιοσύνῃ ◦ ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος πρὸς πᾶν 17
ἔργον ἀγαθὸν ἐξηρτισμένος ◦

Διαμαρτύρομαι οὖν˚ ἐγὼ ἐνώπιον τοῦ θεοῦ καὶ τοῦ κυ- **4**
ρίου ἰησοῦ χριστοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νε-
κροὺς καὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐ-
τοῦ ◦ κήρυξον τὸν λόγον ἐπίστηθι εὐκαίρως ἀκαίρως ἔλεγ- 2
ξον ἐπιτίμησον παρακάλεσον ἐν πάσῃ μακροθυμίᾳ καὶ δι-
δαχῇ ◦ ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας 3

**3. v.6** TK: αιχμαλωτευοντες τα, M: αιχμαλωτευοντες, V: αιχμαλωτιζοντες. **v.10** T*: παρηκολουθηκας, V: παρηκολουθησας. **v.14** T*: τινος, V: τινων. **v.16** T*: ελεγχον, V: ελεγμον. **4. v.1** T*: ουν εγω ενωπιον του θεου και του κυριου ιησου χριστου, V: ενωπιον του θεου και χριστου ιησου. **v.1** T*: κατα, V: και.

οὐκ ἀνέξονται ἀλλὰ κατὰ τὰς᾽ ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσιν διδασκάλους κνηθόμενοι τὴν ἀκοήν·
4 καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν ἐ-
5 πὶ δὲ τοὺς μύθους ἐκτραπήσονται· σὺ δὲ νῆφε ἐν πᾶσιν κακοπάθησον ἔργον ποίησον εὐαγγελιστοῦ τὴν διακονίαν
6 σου πληροφόρησον· ἐγὼ γὰρ ἤδη σπένδομαι καὶ ὁ και-
7 ρὸς τῆς ἐμῆς᾽ ἀναλύσεως ἐφέστηκεν· τὸν᾽ ἀγῶνα τὸν καλὸν ἠγώνισμαι τὸν δρόμον τετέλεκα τὴν πίστιν τετήρηκα·
8 λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος ὃν ἀποδώσει μοι ὁ κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτὴς οὐ μόνον δὲ ἐμοὶ ἀλλὰ καὶ πᾶσιν τοῖς ἠγαπηκόσιν τὴν ἐπι-
9, 10 φάνειαν αὐτοῦ· σπούδασον ἐλθεῖν πρός με ταχέως· δη-
μᾶς γάρ με ἐγκατέλιπεν ἀγαπήσας τὸν νῦν αἰῶνα καὶ ἐ-
πορεύθη εἰς θεσσαλονίκην κρήσκης εἰς γαλατίαν τίτος εἰς
11 δαλματίαν· λουκᾶς ἐστιν μόνος μετ᾽ ἐμοῦ μάρκον ἀναλα-
βὼν ἄγε μετὰ σεαυτοῦ ἔστιν γάρ μοι εὔχρηστος εἰς δια-
12, 13 κονίαν· τυχικὸν δὲ ἀπέστειλα εἰς ἔφεσον· τὸν φαιλόνην
ὃν ἀπέλιπον ἐν τρωάδι παρὰ κάρπῳ ἐρχόμενος φέρε καὶ
14 τὰ βιβλία μάλιστα τὰς μεμβράνας· ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο ἀπόδῴη αὐτῷ ὁ κύριος κατὰ
15 τὰ ἔργα αὐτοῦ· ὃν καὶ σὺ φυλάσσου λίαν γὰρ ἀνθέστηκεν
16 τοῖς ἡμετέροις λόγοις· ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο ἀλλὰ πάντες με ἐγκατέλιπον μὴ αὐτοῖς
17 λογισθείη· ὁ δὲ κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέν με ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσῃ πάντα
18 τὰ ἔθνη καὶ ἐρρύσθην ἐκ στόματος λέοντος· κἀὶ ῥύσεταί με ὁ κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας
19 τῶν αἰώνων ἀμήν· ἄσπασαι πρίσκαν καὶ ἀκύλαν καὶ τὸν
20 ὀνησιφόρου οἶκον· ἔραστος ἔμεινεν ἐν κορίνθῳ τρόφιμον

**v.3** T*: τας επιθυμιας τας ιδιας, V: τας ιδιας επιθυμιας. **v.6** T*: εμης αναλυσεως, V: αναλυσεως μου. **v.7** T*: τον αγωνα τον καλον, V: τον καλον αγωνα. **v.13** TMV: φαιλονην, K: φελονην. **v.14** T*: αποδωη, V: αποδωσει. **v.15** T*: ανθεστηκεν, V: αντεστη. **v.16** T*: συμπαρεγενετο, V: παρεγενετο. **v.17** T*: ακουση, V: ακουσωσιν. **v.18** T*: και, V: ∅.

δὲ ἀπέλιπον ἐν μιλήτῳ ἀσθενοῦντα ⸰ σπούδασον πρὸ χει- 21
μῶνος ἐλθεῖν ἀσπάζεταί σε εὔβουλος καὶ πούδης καὶ λῖνος
καὶ κλαυδία καὶ οἱ ἀδελφοὶ πάντες ⸰ ὁ κύριος ἰησοῦς˚ χρι- 22
στὸς μετὰ τοῦ πνεύματός σου ἡ χάρις μεθ᾽ ὑμῶν ἀ᾽μήν ⸰
Πρὸς˚ τιμόθεον δευτέρα τῆς ἐφεσίων ἐκκλησίας πρῶτον ἐ-
πίσκοπον χειροτονηθέντα ἐγράφη ἀπὸ ῥώμης ὅτε ἐκ δευ-
τέρου παρέστη παῦλος τῷ καίσαρι νέρωνι ⸰

**v.22** T*: ιησους χριστος, V: ∅. **v.22** T*: αμην, V: ∅. **v.22** T: Προς . . . νερωνι, KMV: ∅.

# Η ΠΡΟΣ ΤΙΤΟΝ
## ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

**1** Παῦλος δοῦλος θεοῦ ἀπόστολος δὲ ἰησοῦ χριστοῦ κα-
τὰ πίστιν ἐκλεκτῶν θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾽
2 εὐσέβειαν ⸰ ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου ἣν ἐπηγγείλατο ὁ ἀ-
3 ψευδὴς θεὸς πρὸ χρόνων αἰωνίων ⸰ ἐφανέρωσεν δὲ και-
ροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην
4 ἐγὼ κατ᾽ ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν θεοῦ ⸰ τίτῳ γνησίῳ
τέκνῳ κατὰ κοινὴν πίστιν χάρις ἔλεος εἰρήνη ἀπὸ θεοῦ
πατρὸς καὶ κυρίου˚ ἰησοῦ χριστοῦ τοῦ σωτῆρος ἡμῶν ⸰
5 τούτου χάριν ἀπέλιπόν σε ἐν κρήτῃ ἵνα τὰ λείποντα ἐ-
πιδιορθώσῃ καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους ὡς
6 ἐγώ σοι διεταξάμην ⸰ εἴ τίς ἐστιν ἀνέγκλητος μιᾶς γυναι-
κὸς ἀνὴρ τέκνα ἔχων πιστὰ μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ
7 ἀνυπότακτα ⸰ δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς
θεοῦ οἰκονόμον μὴ αὐθάδη μὴ ὀργίλον μὴ πάροινον μὴ
8 πλήκτην μὴ αἰσχροκερδῆ ⸰ ἀλλὰ φιλόξενον φιλάγαθον σώ-
9 φρονα δίκαιον ὅσιον ἐγκρατῆ ⸰ ἀντεχόμενον τοῦ κατὰ τὴν
διδαχὴν πιστοῦ λόγου ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν
τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγ-
10 χειν ⸰ εἰσὶν γὰρ πολλοὶ καὶ ἀνυπότακτοι ματαιολόγοι καὶ
11 φρεναπάται μάλιστα οἱ ἐκ περιτομῆς ⸰ οὓς δεῖ ἐπιστομί-
ζειν οἵτινες ὅλους οἴκους ἀνατρέπουσιν διδάσκοντες ἃ μὴ
12 δεῖ αἰσχροῦ κέρδους χάριν ⸰ εἶπέν τις ἐξ αὐτῶν ἴδιος αὐ-
τῶν προφήτης κρῆτες ἀεὶ ψεῦσται κακὰ θηρία γαστέρες
13 ἀργαί ⸰ ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθὴς δι᾽ ἣν αἰτίαν ἔλεγχε
14 αὐτοὺς ἀποτόμως ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει ⸰ μὴ προσέ-
χοντες ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρε-
15 φομένων τὴν ἀλήθειαν ⸰ πάντα μὲν καθαρὰ τοῖς καθαροῖς

---

Τ: Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, Κ: ΠΑΥΛΟΥ Η ΠΡΟΣ ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ, ΜV: ΠΡΟΣ ΤΙΤΟΝ. **1. v.4** T*: ελεος, V: και. **v.4** T*: κυριου ιησου χριστου, V: χριστου ιησου. **v.5** T*: κατελιπον, V: απελιπον. **v.10** T*: εκ, V: εκ της. **v.15** T*: μεν, V: ∅.

τοῖς δὲ μεμιαῶμένοις καὶ ἀπίστοις οὐδὲν καθαρὸν ἀλλὰ
μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις· θεὸν ὁμο- 16
λογοῦσιν εἰδέναι τοῖς δὲ ἔργοις ἀρνοῦνται βδελυκτοὶ ὄντες
καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι·

Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ· πρε- **2**, 2
σβύτας νηφαλίους εἶναι σεμνοὺς σώφρονας ὑγιαίνοντας τῇ
πίστει τῇ ἀγάπῃ τῇ ὑπομονῇ· πρεσβύτιδας ὡσαύτως ἐν 3
καταστήματι ἱεροπρεπεῖς μὴ διαβόλους μὴ οἴνῳ πολλῷ
δεδουλωμένας καλοδιδασκάλους· ἵνα σωφρονίζωσιν τὰς 4
νέας φιλάνδρους εἶναι φιλοτέκνους· σώφρονας ἁγνὰς οἰ- 5
κουρούς ἀγαθὰς ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν ἵνα
μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται· τοὺς νεωτέρους ὡσαύ- 6
τως παρακάλει σωφρονεῖν· περὶ πάντα σεαυτὸν παρεχό- 7
μενος τύπον καλῶν ἔργων ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν˚
σεμνότητα ἀφθαρσίαν· λόγον ὑγιῆ ἀκατάγνωστον ἵνα ὁ ἐξ 8
ἐναντίας ἐντραπῇ μηδὲν ἔχων περὶ˚ ὑμῶν λέγειν φαῦλον·
δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι ἐν πᾶσιν εὐαρέ- 9
στους εἶναι μὴ ἀντιλέγοντας· μὴ νοσφιζομένους ἀλλὰ πί- 10
στιν˚ πᾶσαν ἐνδεικνυμένους ἀγαθὴν ἵνα τὴν διδασκαλίαν
τὸῦ σωτῆρος ὑμῶν θεοῦ κοσμῶσιν ἐν πᾶσιν· ἐπεφάνη γὰρ 11
ἡ χάρις τοῦ θεοῦ ἡ˚ σωτήριος πᾶσιν ἀνθρώποις· παιδεύ- 12
ουσα ἡμᾶς ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμι-
κὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσω-
μεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα 13
καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος
ἡμῶν ἰησοῦ χριστοῦ· ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν ἵνα 14
λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ
λαὸν περιούσιον ζηλωτὴν καλῶν ἔργων· ταῦτα λάλει καὶ 15
παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς μηδείς σου
περιφρονείτω·

---

**v.15** T*: μεμιασμενοις, V: μεμιαμμενοις. **2. v.2** TKV: νηφαλιους, M: νηφαλεους. **v.5** T*: οικουρους, V: οικουργους. **v.7** T*: αδιαφθοριαν σεμνοτητα αφθαρσιαν, V: αφθοριαν σεμνοτητα. **v.8** TK: περι υμων λεγειν, M: περι ημων λεγειν, V: λεγειν περι ημων. **v.10** T*: πιστιν πασαν, V: πασαν πιστιν. **v.10** T*: του, V: την του. **v.10** T: υμων, KMV: ημων. **v.11** T*: η, V: ∅.

**3** Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς κἀὶ ἐξουσίαις ὑποτάσσε-
σθαι πειθαρχεῖν πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι ·
2 μηδένα βλασφημεῖν ἀμάχους εἶναι ἐπιεικεῖς πᾶσαν ἐνδει-
3 κνυμένους πρᾳότητα πρὸς πάντας ἀνθρώπους · ἦμεν γάρ
ποτε καὶ ἡμεῖς ἀνόητοι ἀπειθεῖς πλανώμενοι δουλεύοντες
ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις ἐν κακίᾳ καὶ φθόνῳ διά-
4 γοντες στυγητοὶ μισοῦντες ἀλλήλους · ὅτε δὲ ἡ χρηστότης
5 καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ · οὐκ
ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν̓ ἐποιήσαμεν ἡμεῖς ἀλλὰ
κατὰ τὸν̓ αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγ-
6 γενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἁγίου · οὗ ἐξέχεεν
ἐφ̓ ἡμᾶς πλουσίως διὰ ἰησοῦ χριστοῦ τοῦ σωτῆρος ἡμῶν ·
7 ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα
8 κατ̓ ἐλπίδα ζωῆς αἰωνίου · πιστὸς ὁ λόγος καὶ περὶ τού-
των βούλομαί σε διαβεβαιοῦσθαι ἵνα φροντίζωσιν καλῶν
ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ̓ θεῷ̓ ταῦτά ἐστιν
9 τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις · μωρὰς δὲ ζητήσεις
καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο
10 εἰσὶν γὰρ ἀνωφελεῖς καὶ μάταιοι · αἱρετικὸν ἄνθρωπον με-
11 τὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ · εἰδὼς ὅτι ἐξ-
έστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος ·
12 ὅταν πέμψω ἀρτεμᾶν πρός σε ἢ τυχικὸν σπούδασον ἐλθεῖν
πρός με εἰς νικόπολιν ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι ·
13 ζηνᾶν τὸν νομικὸν καὶ ἀπόλλὼ σπουδαίως πρόπεμψον ἵνα
14 μηδὲν αὐτοῖς λείπῃ · μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι κα-
λῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας ἵνα μὴ
15 ὦσιν ἄκαρποι · ἀσπάζονταί σε οἱ μετ̓ ἐμοῦ πάντες ἄσπασαι
τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει ἡ χάρις μετὰ πάντων ὑμῶν
ἀμήν · Πρὸς̓ τίτον τῆς κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκο-
πον χειροτονηθέντα ἐγράφη ἀπὸ νικοπόλεως τῆς μακεδο-
νίας ·

**3. v.1** T*: και, V: ∅. **v.2** T*: πραοτητα, V: πραυτητα. **v.5** T*: ων, V: α. **v.5** T*: τον αυτου ελεον, V: το αυτου ελεος. **v.7** T*: γενωμεθα, V: γενηθωμεν. **v.8** TK: τω, MV: ∅. **v.8** T*: τα, V: ∅. **v.13** T*: απολλω, V: απολλων. **v.15** T*: αμην, V: ∅. **v.15** T: Προς ... μακεδονιας, KMV: ∅.

# Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ
## ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

Παῦλος δέσμιος χριστοῦ ἰησοῦ καὶ τιμόθεος ὁ ἀδελ- **1**
φὸς φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν ◦ καὶ ἀπ- 2
φίᾳ τῇ ἀγαπητῇ καὶ ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ
τῇ κατ᾽ οἶκόν σου ἐκκλησίᾳ ◦ χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ 3
θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου ἰησοῦ χριστοῦ ◦ εὐχαριστῶ 4
τῷ θεῷ μου πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσ-
ευχῶν μου ◦ ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν 5
ἔχεις πρὸς τὸν κύριον ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους ◦
ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐ- 6
πιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς χριστὸν ἰησοῦν ◦
χάριν˚ γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ 7
σου ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ ἀ-
δελφέ ◦ διὸ πολλὴν ἐν χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν 8
σοι τὸ ἀνῆκον ◦ διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ τοιοῦ- 9
τος ὢν ὡς παῦλος πρεσβύτης νυνὶ δὲ καὶ δέσμιος ἰησοῦ˚
χριστοῦ ◦ παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου ὃν ἐγέννησα 10
ἐν τοῖς δεσμοῖς μοῦ ὀνήσιμον ◦ τόν ποτέ σοι ἄχρηστον νυνὶ 11
δέ˚ σοι καὶ ἐμοὶ εὔχρηστον ◦ ὃν ἀνέπεμψα σὺ˚ δὲ αὐτὸν 12
τουτ᾽έστιν τὰ ἐμὰ σπλάγχνα προσλαβοῦ ◦ ὃν ἐγὼ ἐβουλό- 13
μην πρὸς ἐμαυτὸν κατέχειν ἵνα ὑπὲρ σοῦ διακονῇ˚ μοι ἐν
τοῖς δεσμοῖς τοῦ εὐαγγελίου ◦ χωρὶς δὲ τῆς σῆς γνώμης οὐ- 14
δὲν ἠθέλησα ποιῆσαι ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν
σου ᾖ ἀλλὰ κατὰ ἑκούσιον ◦ τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη 15
πρὸς ὥραν ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς ◦ οὐκέτι ὡς δοῦλον 16
ἀλλ᾽ ὑπὲρ δοῦλον ἀδελφὸν ἀγαπητὸν μάλιστα ἐμοὶ πόσῳ

---

T: Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, K: ΠΑΥΛΟΥ Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ, MV: ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ. **1. v.2** T*: αγαπητη, V: αδελφη. **v.6** TK: υμιν, MV: ημιν. **v.6** T*: ιησουν, V: ∅. **v.7** TM: χαριν γαρ εχομεν πολλην, K: χαραν γαρ εχομεν πολλην, V: χαραν γαρ πολλην εσχον. **v.9** T*: ιησου χριστου, V: χριστου ιησου. **v.10** T*: μου, V: ∅. **v.11** T*: δε, V: δε [και]. **v.12** T*: συ δε, V: σοι. **v.12** T: τουτεστιν, KMV: τουτ εστιν. **v.12** T*: προσλαβου, V: ∅. **v.13** T*: διακονη μοι, V: μοι διακονη.

17 δὲ μᾶλλόν σοι καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ ⸰ εἰ οὖν ἐμὲ ἔχεις
18 κοινωνὸν προσλαβοῦ αὐτὸν ὡς ἐμέ ⸰ εἰ δέ τι ἠδίκησέν σε
19 ἢ ὀφείλει τοῦτο ἐμοὶ ἐλλόγει ⸰ ἐγὼ παῦλος ἔγραψα τῇ ἐ-
μῇ χειρὶ ἐγὼ ἀποτίσω ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι
20 προσοφείλεις ⸰ ναὶ ἀδελφὲ ἐγώ σου ὀναίμην ἐν κυρίῳ ἀνά-
21 παυσόν μου τὰ σπλάγχνα ἐν κυρίῳ ⸰ πεποιθὼς τῇ ὑπακοῇ
22 σου ἔγραψά σοι εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ˚ λέγω ποιήσεις ⸰ ἅμα
δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευ-
23 χῶν ὑμῶν χαρισθήσομαι ὑμῖν ⸰ ἀσπάζονταί σε ἐπαφρᾶς ὁ
24 συναιχμάλωτός μου ἐν χριστῷ ἰησοῦ ⸰ μάρκος ἀρίσταρχος
25 δημᾶς λουκᾶς οἱ συνεργοί μου ⸰ ἡ χάρις τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν ἀμήν ⸰ Πρὸς˚ φι-
λήμονα ἐγράφη ἀπὸ ῥώμης διὰ ὀνησίμου οἰκέτου ⸰

**v.17** ΤΚ: εμε, ΜV: με. **v.18** T*: ελλογει, V: ελλογα. **v.20** T*: κυριω, V: χριστω. **v.21** T*: ο, V: α. **v.23** T*: ασπαζονται, V: ασπαζεται. **v.25** T*: ημων, V: ∅. **v.25** T*: αμην, V: ∅. **v.25** T: Προς . . . οικετου, ΚΜV: ∅.

# Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ
## ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ˚

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς **1**
πατράσιν ἐν τοῖς προφήταις ⸰ ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τού- 2
των ἐλάλησεν ἡμῖν ἐν υἱῷ ὃν ἔθηκεν κληρονόμον πάντων
δι᾽ οὗ καὶ τοὺς˚ αἰῶνας ἐποίησεν ⸰ ὃς ὢν ἀπαύγασμα τῆς 3
δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ φέρων τε τὰ
πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ δι᾽˚ ἑαυτοῦ καθαρι-
σμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν ἐκάθισεν ἐν δεξιᾷ
τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς ⸰ τοσούτῳ κρείττων γενόμε- 4
νος τῶν ἀγγέλων ὅσῳ διαφορώτερον παρ᾽ αὐτοὺς κεκλη-
ρονόμηκεν ὄνομα ⸰ τίνι γὰρ εἶπέν ποτε τῶν ἀγγέλων υἱός 5
μου εἶ σὺ ἐγὼ σήμερον γεγέννηκά σε καὶ πάλιν ἐγὼ ἔσο-
μαι αὐτῷ εἰς πατέρα καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν ⸰ ὅταν 6
δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέ-
γει καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ ⸰ καὶ 7
πρὸς μὲν τοὺς ἀγγέλους λέγει ὁ ποιῶν τοὺς ἀγγέλους αὐ-
τοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα ⸰
πρὸς δὲ τὸν υἱὸν ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ 8
αἰῶνος ῥάβδος˚ εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου ⸰
ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν διὰ τοῦτο 9
ἔχρισέν σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ
τοὺς μετόχους σου ⸰ καὶ σὺ κατ᾽ ἀρχὰς κύριε τὴν γῆν ἐ- 10
θεμελίωσας καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί ⸰
αὐτοὶ ἀπολοῦνται σὺ δὲ διαμένεις καὶ πάντες ὡς ἱμάτιον 11
παλαιωθήσονται ⸰ καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς˚ καὶ 12
ἀλλαγήσονται σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλεί-

---

Τ: Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ ΠΑΥΛΟΥ, Κ: ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ, ΜV: ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ. **1. v.2** ΤΚ: εσχατων, ΜV: εσχατου. **v.2** Τ*: τους αιωνας εποιησεν, V: εποιησεν τους αιωνας. **v.3** Τ*: δι εαυτου καθαρισμον ποιησαμενος των αμαρτιων ημων, V: καθαρισμον των αμαρτιων ποιησαμενος. **v.8** Τ*: ραβδος ευθυτητος η, V: και η ραβδος της ευθυτητος. **v.12** Τ*: αυτους, V: αυτους ως ιματιον.

13 ψουσιν ⸰ πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέν ποτε κάθου ἐκ
δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν πο-
14 δῶν σου ⸰ οὐχὶ πάντες εἰσὶν λειτουργικὰ πνεύματα εἰς δι-
ακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν
σωτηρίαν ⸰

**2** Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς˚ προσέχειν τοῖς ἀκου-
2 σθεῖσιν μή˚ ποτε παραρῥυῶμεν ⸰ εἰ γὰρ ὁ δι᾽ ἀγγέλων λα-
ληθεὶς λόγος ἐγένετο βέβαιος καὶ πᾶσα παράβασις καὶ πα-
3 ρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν ⸰ πῶς ἡμεῖς ἐκφευ-
ξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας ἥτις ἀρχὴν λα-
βοῦσα λαλεῖσθαι διὰ τοῦ κυρίου ὑπὸ τῶν ἀκουσάντων εἰς
4 ἡμᾶς ἐβεβαιώθη ⸰ συνεπιμαρτυροῦντος τοῦ θεοῦ σημείοις
τε καὶ τέρασιν καὶ ποικίλαις δυνάμεσιν καὶ πνεύματος ἁ-
5 γίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν ⸰ οὐ γὰρ ἀγγέλοις
ὑπέταξεν τὴν οἰκουμένην τὴν μέλλουσαν περὶ ἧς λαλοῦ-
6 μεν ⸰ διεμαρτύρατο δέ πού τις λέγων τί ἐστιν ἄνθρωπος ὅτι
μιμνήσκῃ αὐτοῦ ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν ⸰
7 ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους δόξῃ καὶ τιμῇ
ἐστεφάνωσας αὐτὸν καὶ˚ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν
8 χειρῶν σου ⸰ πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ
ἐν γὰρ˚ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ
ἀνυπότακτον νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑπο-
9 τεταγμένα ⸰ τὸν δὲ βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον
βλέπομεν ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ
τιμῇ ἐστεφανωμένον ὅπως χάριτι θεοῦ ὑπὲρ παντὸς γεύ-
10 σηται θανάτου ⸰ ἔπρεπεν γὰρ αὐτῷ δι᾽ ὃν τὰ πάντα καὶ δι᾽
οὗ τὰ πάντα πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα τὸν ἀρχη-
11 γὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι ⸰ ὅ τε
γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες δι᾽ ἣν αἰτίαν
12 οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν ⸰ λέγων ἀπαγ-
γελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου ἐν μέσῳ ἐκκλησίας

**2. v.1** T*: ημας προσεχειν, V: προσεχειν ημας. **v.1** TK: μη ποτε, MV: μηποτε. **v.1** T*: παραρρυωμεν, V: παραρυωμεν. **v.7** TK: και . . . σου, MV: ∅. **v.8** T*: γαρ τω, V: τω γαρ.

ὑμνήσω σε· καὶ πάλιν ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ· καὶ 13
πάλιν ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ θεός· ἐπεὶ 14
οὖν τὰ παιδία κεκοινώνηκεν σαρκὸς˚ καὶ αἵματος καὶ αὐ-
τὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν ἵνα διὰ τοῦ θανάτου
καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου τουτ᾽ἔστιν
τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου 15
διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας· οὐ γὰρ δήπου 16
ἀγγέλων ἐπιλαμβάνεται ἀλλὰ σπέρματος ἀβραὰμ ἐπιλαμ-
βάνεται· ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιω- 17
θῆναι ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς
τὸν θεὸν εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ 18
γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς δύναται τοῖς πειραζομέ-
νοις βοηθῆσαι·

**3** Ὅθεν ἀδελφοὶ ἅγιοι κλήσεως ἐπουρανίου μέτοχοι κατα-
νοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν
χριστὸν˚ ἰησοῦν· πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν ὡς καὶ 2
μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· πλείονος γὰρ δόξης˚ οὗ- 3
τος παρὰ μωσῆν ἠξίωται καθ᾽ ὅσον πλείονα τιμὴν ἔχει τοῦ
οἴκου ὁ κατασκευάσας αὐτόν· πᾶς γὰρ οἶκος κατασκευ- 4
άζεται ὑπό τινος ὁ δὲ τὰ πάντα κατασκευάσας θεός· καὶ 5
μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων εἰς
μαρτύριον τῶν λαληθησομένων· χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν 6
οἶκον αὐτοῦ οὗ οἶκός ἐσμεν ἡμεῖς ἐάνπερ τὴν παρρησίαν
καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι˚ τέλους βεβαίαν κατά-
σχωμεν· διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον σήμερον ἐὰν 7
τῆς φωνῆς αὐτοῦ ἀκούσητε· μὴ σκληρύνητε τὰς καρδίας 8
ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πει-
ρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν 9
ἐδοκίμασάν˚ με καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη·

---

**v.14** T*: σαρκος και αιματος, V: αιματος και σαρκος. **v.14** T: τουτεστιν, KMV: τουτ εστιν. **3. v.1** TK: χριστον ιησουν, M: ιησουν χριστον, V: ιησουν. **v.2** TK: μωσης, MV: μωυσης. **v.3** T*: δοξης ουτος, V: ουτος δοξης. **v.3** TK: μωσην, MV: μωυσην. **v.4** T*: τα, V: ∅. **v.5** TK: μωσης, MV: μωυσης. **v.6** T*: εανπερ, V: εαν[περ]. **v.6** T*: μεχρι τελους βεβαιαν, V: ∅. **v.9** T*: με, V: ∅. **v.9** T*: εδοκιμασαν με, V: εν δοκιμασια. **v.9** T*: τεσσαρακοντα, V: τεσσερακοντα.

διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ καὶ εἶπον ἀεὶ πλανῶνται
τῇ καρδίᾳ αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· ὡς ὤ-
μοσα ἐν τῇ ὀργῇ μου εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν
μου· βλέπετε ἀδελφοὶ μή˚ ποτε ἔσται ἔν τινι ὑμῶν καρ-
δία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ θεοῦ ζῶντος·
ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν ἄχρις οὗ
τὸ σήμερον καλεῖται ἵνα μὴ σκληρυνθῇ τις˚ ἐξ ὑμῶν ἀ-
πάτῃ τῆς ἁμαρτίας· μέτοχοι γὰρ γεγόναμεν˚ τοῦ χριστοῦ
ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν
κατάσχωμεν· ἐν τῷ λέγεσθαι σήμερον ἐὰν τῆς φωνῆς αὐ-
τοῦ ἀκούσητε μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ
παραπικρασμῷ· τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν ἀλλ᾽
οὐ πάντες οἱ ἐξελθόντες ἐξ αἰγύπτου διὰ μωσέως· τίσιν δὲ
προσώχθισεν τεσσαράκοντα ἔτη οὐχὶ τοῖς ἁμαρτήσασιν ὧν
τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ· τίσιν δὲ ὤμοσεν μὴ εἰσελεύ-
σεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ εἰ μὴ τοῖς ἀπειθήσασιν·
καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι᾽ ἀπιστίαν·

**4** Φοβηθῶμεν οὖν μή˚ ποτε καταλειπομένης ἐπαγγελίας
εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκῇ τις ἐξ ὑμῶν ὑστε-
ρηκέναι· καὶ γάρ ἐσμεν εὐηγγελισμένοι καθάπερ κἀκεῖ-
νοι ἀλλ᾽ οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγ-
κεκραμένος τῇ πίστει τοῖς ἀκούσασιν· εἰσερχόμεθα γὰρ
εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες καθὼς εἴρηκεν ὡς ὤ-
μοσα ἐν τῇ ὀργῇ μου εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν
μου καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων·
εἴρηκεν γάρ που περὶ τῆς ἑβδόμης οὕτως καὶ κατέπαυσεν ὁ
θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ·
καὶ ἐν τούτῳ πάλιν εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν
μου· ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτὴν καὶ
οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι᾽ ἀπείθειαν·

---

**v.10** T*: εκεινη, V: ταυτη. **v.12** TK: μη ποτε, MV: μηποτε. **v.13** TKV: τις εξ υμων, M: εξ υμων τις. **v.14** T*: γεγοναμεν του χριστου, V: του χριστου γεγοναμεν. **v.16** TK: τινὲς, MV: τίνες. **v.16** TK: μωσεως, MV: μωυσεως. **v.17** T*: τεσσαρακοντα, V: τεσσερακοντα. **4. v.1** TK: μη ποτε, MV: μηποτε. **v.2** TK: συγκεκραμενος, M: συγκεκραμενους, V: συγκεκερασμενους.

πάλιν τινὰ ὁρίζει ἡμέραν σήμερον ἐν Δαβὶδ λέγων μετὰ τοσοῦτον χρόνον καθὼς ἐῖρηται σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν· εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας· ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ· ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός· σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας· ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος ἁρμῶν τε καὶ μυελῶν καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγος· ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανοὺς Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ κρατῶμεν τῆς ὁμολογίας· οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας· προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν·

Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ **5** ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν· μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσιν καὶ πλανωμένοις ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ˚ ταύτην ὀφείλει καθὼς περὶ τοῦ λαοῦ οὕτως καὶ περὶ ἑαυτοῦ˚ προσφέρειν ὑπὲρ ἁμαρτιῶν· καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν ἀλλὰ ὁ˚ καλούμενος ὑπὸ τοῦ Θεοῦ καθάπερ καὶ ὁ˚ Ἀαρών· οὕτως καὶ ὁ Χριστὸς οὐχ

**v.7** T*: δαβιδ, V: δαυιδ. **v.7** T*: ειρηται, V: προειρηται. **v.12** T*: τε, V: ∅. **v.15** TM: πεπειραμενον, KV: πεπειρασμενον. **v.16** T*: ελεον, V: ελεος. **5. v.3** T*: δια ταυτην, V: δι αυτην. **v.3** T*: εαυτου προσφερειν υπερ, V: αυτου προσφερειν περι. **v.4** TKV: αλλα, M: αλλ. **v.4** T*: ο, V: ∅. **v.4** T*: καθαπερ, V: καθωσπερ. **v.4** TK: ο, MV: ∅.

ἑαυτὸν ἐδόξασεν γενηθῆναι ἀρχιερέα ἀλλ᾽ ὁ λαλήσας πρὸς
6 αὐτὸν υἱός μου εἶ σὺ ἐγὼ σήμερον γεγέννηκά σε ⸰ καθὼς
καὶ ἐν ἑτέρῳ λέγει σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν
7 μελχισεδέκ ⸰ ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις
τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανά-
του μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας καὶ
8 εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας ⸰ καίπερ ὢν υἱὸς ἔμαθεν
9 ἀφ᾽ ὧν ἔπαθεν τὴν ὑπακοήν ⸰ καὶ τελειωθεὶς ἐγένετο τοῖς˚
10 ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου ⸰ προ-
αγορευθεὶς ὑπὸ τοῦ θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν μελ-
11 χισεδέκ ⸰ περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος
12 λέγειν ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς ⸰ καὶ γὰρ ὀφεί-
λοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον πάλιν χρείαν ἔχετε
τοῦ διδάσκειν ὑμᾶς τινὰ τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων
τοῦ θεοῦ καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στε-
13 ρεᾶς τροφῆς ⸰ πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου
14 δικαιοσύνης νήπιος γάρ ἐστιν ⸰ τελείων δέ ἐστιν ἡ στερεὰ
τροφὴ τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόν-
των πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ ⸰

**6** Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ χριστοῦ λόγον ἐπὶ τὴν
τελειότητα φερώμεθα μὴ πάλιν θεμέλιον καταβαλλόμενοι
2 μετανοίας ἀπὸ νεκρῶν ἔργων καὶ πίστεως ἐπὶ θεόν ⸰ βα-
πτισμῶν διδαχῆς ἐπιθέσεώς τε χειρῶν ἀναστάσεώς τε νε-
3 κρῶν καὶ κρίματος αἰωνίου ⸰ καὶ τοῦτο ποιήσομεν ἐάνπερ
4 ἐπιτρέπῃ ὁ θεός ⸰ ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας
γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου καὶ μετόχους
5 γενηθέντας πνεύματος ἁγίου ⸰ καὶ καλὸν γευσαμένους θε-
6 οῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος ⸰ καὶ παραπεσόν-
τας πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν ἀνασταυροῦντας ἑ-
7 αυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας ⸰ γῆ γὰρ
ἡ πιοῦσα τὸν ἐπ᾽ αὐτῆς πολλάκις˚ ἐρχόμενον ὑετὸν καὶ τί-
κτουσα βοτάνην εὔθετον ἐκείνοις δι᾽ οὓς καὶ γεωργεῖται

**v.9** T*: τοις υπακουουσιν αυτω πασιν, V: πασιν τοις υπακουουσιν αυτω. **6. v.3** TKV: ποιησομεν, M: ποιησωμεν. **v.7** T*: πολλακις ερχομενον, V: ερχομενον πολλακις.

μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ θεοῦ· ἐκφέρουσα δὲ ἀ- 8
κάνθας καὶ τριβόλους ἀδόκιμος καὶ κατάρας ἐγγὺς ἧς τὸ
τέλος εἰς καῦσιν· πεπείσμεθα δὲ περὶ ὑμῶν ἀγαπητοὶ τὰ 9
κρείττονα καὶ ἐχόμενα σωτηρίας εἰ καὶ οὕτως λαλοῦμεν·
οὐ γὰρ ἄδικος ὁ θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ 10
τοῦ˚ κόπου τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ
διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες· ἐπιθυμοῦ- 11
μεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν
πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους· ἵνα μὴ 12
νωθροὶ γένησθε μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακρο-
θυμίας κληρονομούντων τὰς ἐπαγγελίας· τῷ γὰρ ἀβραὰμ 13
ἐπαγγειλάμενος ὁ θεὸς ἐπεὶ κατ᾽ οὐδενὸς εἶχεν μείζονος
ὀμόσαι ὤμοσεν καθ᾽ ἑαυτοῦ· λέγων ἦ˚ μὴν εὐλογῶν εὐλο- 14
γήσω σε καὶ πληθύνων πληθυνῶ σε· καὶ οὕτως μακροθυ- 15
μήσας ἐπέτυχεν τῆς ἐπαγγελίας· ἄνθρωποι μὲν γὰρ κατὰ 16
τοῦ μείζονος ὀμνύουσιν καὶ πάσης αὐτοῖς ἀντιλογίας πέ-
ρας εἰς βεβαίωσιν ὁ ὅρκος· ἐν ᾧ περισσότερον βουλόμενος 17
ὁ θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμε-
τάθετον τῆς βουλῆς αὐτοῦ ἐμεσίτευσεν ὅρκῳ· ἵνα διὰ δύο 18
πραγμάτων ἀμεταθέτων ἐν οἷς ἀδύνατον ψεύσασθαι θεὸν ἰ-
σχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς
προκειμένης ἐλπίδος· ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς 19
ἀσφαλῆ τε καὶ βεβαίαν καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον
τοῦ καταπετάσματος· ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλ- 20
θεν ἰησοῦς κατὰ τὴν τάξιν μελχισεδὲκ ἀρχιερεὺς γενόμενος
εἰς τὸν αἰῶνα·

Οὗτος γὰρ ὁ μελχισεδὲκ βασιλεὺς σαλὴμ ἱερεὺς τοῦ θε- **7**
οῦ τοῦ ὑψίστου ὁ συναντήσας ἀβραὰμ ὑποστρέφοντι ἀπὸ
τῆς κοπῆς τῶν βασιλέων καὶ εὐλογήσας αὐτόν· ᾧ καὶ δε- 2
κάτην ἀπὸ πάντων ἐμέρισεν ἀβραὰμ πρῶτον μὲν ἑρμηνευό-
μενος βασιλεὺς δικαιοσύνης ἔπειτα δὲ καὶ βασιλεὺς σαλὴμ

**v.9** TK: κρειττονα, MV: κρεισσονα. **v.10** T*: του κοπου, V: ∅. **v.10** TV: ενεδειξασθε, MK: ενδειξασθε. **v.14** T*: η, V: ει. **v.16** T*: μεν, V: ∅. **v.18** T*: θεον, V: [τον] θεον.

3 ὅ ἐστιν βασιλεὺς εἰρήνης ⸰ ἀπάτωρ ἀμήτωρ ἀγενεαλόγητος
μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων ἀφωμοιωμένος
4 δὲ τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκές ⸰ θεωρεῖτε
δὲ πηλίκος οὗτος ᾧ καὶ δεκάτην ἀβραὰμ ἔδωκεν ἐκ τῶν
5 ἀκροθινίων ὁ πατριάρχης ⸰ καὶ οἱ μὲν ἐκ τῶν υἱῶν λευΐ
τὴν ἱερατείαν λαμβάνοντες ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν
τὸν λαὸν κατὰ τὸν νόμον τουτέστιν τοὺς ἀδελφοὺς αὐτῶν
6 καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος ἀβραάμ ⸰ ὁ δὲ μὴ γε-
νεαλογούμενος ἐξ αὐτῶν δεδεκάτωκεν τὸν˚ ἀβραὰμ καὶ τὸν
7 ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκεν ⸰ χωρὶς δὲ πάσης ἀντι-
8 λογίας τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται ⸰ καὶ ὧδε
μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν ἐκεῖ
9 δὲ μαρτυρούμενος ὅτι ζῇ ⸰ καὶ ὡς ἔπος εἰπεῖν διὰ˚ ἀβρα-
10 ὰμ καὶ λευΐ ὁ δεκάτας λαμβάνων δεδεκάτωται ⸰ ἔτι γὰρ ἐν
τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν ὅτε συνήντησεν αὐτῷ ὁ˚ μελχι-
11 σεδέκ ⸰ εἰ μὲν οὖν τελείωσις διὰ τῆς λευϊτικῆς ἱερωσύνης
ἦν ὁ λαὸς γὰρ ἐπ᾽ αὐτῇ˚ νενομοθέτητο τίς ἔτι χρεία κα-
τὰ τὴν τάξιν μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα καὶ οὐ
12 κατὰ τὴν τάξιν ἀαρὼν λέγεσθαι ⸰ μετατιθεμένης γὰρ τῆς ἱ-
13 ερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται ⸰ ἐφ᾽ ὃν
γὰρ λέγεται ταῦτα φυλῆς ἑτέρας μετέσχηκεν ἀφ᾽ ἧς οὐδεὶς
14 προσέσχηκεν τῷ θυσιαστηρίῳ ⸰ πρόδηλον γὰρ ὅτι ἐξ ἰούδα
ἀνατέταλκεν ὁ κύριος ἡμῶν εἰς ἣν φυλὴν οὐδὲν˚ περὶ ἱερω-
15 σύνης μωσῆς ἐλάλησεν ⸰ καὶ περισσότερον ἔτι κατάδηλόν
ἐστιν εἰ κατὰ τὴν ὁμοιότητα μελχισεδὲκ ἀνίσταται ἱερεὺς
16 ἕτερος ⸰ ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν ἀλ-
17 λὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου ⸰ μαρτυρεῖ γὰρ ὅτι σὺ
18 ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν μελχισεδέκ ⸰ ἀθέτησις
μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς διὰ τὸ αὐτῆς ἀσθενὲς
19 καὶ ἀνωφελές ⸰ οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος ἐπεισαγωγὴ

**7. v.5** T: τουτεστιν, KMV: τουτ εστιν. **v.6** T*: τον, V: ∅. **v.9** T*: δια, V: δι. **v.10** T*: ο, V: ∅. **v.11** T*: αυτη νενομοθετητο, V: αυτης νενομοθετηται. **v.14** T*: ουδεν περι ιερωσυνης, V: περι ιερεων ουδεν. **v.14** TK: μωσης, MV: μωυσης. **v.16** T*: σαρκικης, V: σαρκινης. **v.17** T*: μαρτυρει, V: μαρτυρειται.

δὲ κρείττονος ἐλπίδος δι᾽ ἧς ἐγγίζομεν τῷ θεῷ· καὶ καθ᾽ ὅ- 20
σον οὐ χωρὶς ὁρκωμοσίας· οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας 21
εἰσὶν ἱερεῖς γεγονότες ὁ δὲ μετὰ ὁρκωμοσίας διὰ τοῦ λέγον-
τος πρὸς αὐτὸν ὤμοσεν κύριος καὶ οὐ μεταμεληθήσεται σὺ
ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ˙ τὴν τάξιν μελχισεδέκ· κατὰ το- 22
σοῦτον˙ κρείττονος διαθήκης γέγονεν ἔγγυος ἰησοῦς· καὶ 23
οἱ μὲν πλείονές εἰσιν γεγονότες ἱερεῖς διὰ τὸ θανάτῳ κωλύ-
εσθαι παραμένειν· ὁ δὲ διὰ τὸ μένειν αὐτὸν εἰς τὸν αἰῶνα 24
ἀπαράβατον ἔχει τὴν ἱερωσύνην· ὅθεν καὶ σώζειν εἰς τὸ 25
παντελὲς δύναται τοὺς προσερχομένους δι᾽ αὐτοῦ τῷ θεῷ
πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν· τοιοῦτος γὰρ 26
ἡμῖν˙ ἔπρεπεν ἀρχιερεὺς ὅσιος ἄκακος ἀμίαντος κεχωρι-
σμένος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν
γενόμενος· ὃς οὐκ ἔχει καθ᾽ ἡμέραν ἀνάγκην ὥσπερ οἱ 27
ἀρχιερεῖς πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀν-
αφέρειν ἔπειτα τῶν τοῦ λαοῦ τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ
ἑαυτὸν ἀνενέγκας· ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν 28
ἀρχιερεῖς ἔχοντας ἀσθένειαν ὁ λόγος δὲ τῆς ὁρκωμοσίας
τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον·

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις τοιοῦτον ἔχομεν ἀρ- **8**
χιερέα ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης
ἐν τοῖς οὐρανοῖς· τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς 2
τῆς ἀληθινῆς ἣν ἔπηξεν ὁ κύριος κἀι οὐκ ἄνθρωπος· πᾶς 3
γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθί-
σταται ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ·
εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς οὐδ᾽ ἂν ἦν ἱερεὺς ὄντων τῶν ἱερέων˙ 4
τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα· οἵτινες ὑπο- 5
δείγματι καὶ σκιᾷ λατρεύουσιν τῶν ἐπουρανίων καθὼς κε-
χρημάτισται μωσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν˙ ὅρα γάρ
φησιν ποιήσῃς πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν
τῷ ὄρει· νυνὶ δὲ διαφορωτέρας τέτευχεν λειτουργίας ὅσῳ 6

**v.21** T*: κατα την ταξιν μελχισεδεκ, V: ∅. **v.22** T*: τοσουτον, V: τοσουτο [και]. **v.26** T*: ημιν, V: ημιν και. **8. v.2** T*: και, V: ∅. **v.4** T*: γαρ, V: ουν. **v.4** T*: ιερεων των προσφεροντων κατα τον, V: προσφεροντων κατα. **v.5** TK: μωσης, MV: μωυσης. **v.5** TK: ποιησης, MV: ποιησεις.

καὶ κρείττονός ἐστιν διαθήκης μεσίτης ἥτις ἐπὶ κρείττο-
7 σιν ἐπαγγελίαις νενομοθέτηται ◦ εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν
8 ἄμεμπτος οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος ◦ μεμφόμενος
γὰρ αὐτοῖς λέγει ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος καὶ
συντελέσω ἐπὶ τὸν οἶκον ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον ἰούδα
9 διαθήκην καινήν ◦ οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς
πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς
αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου ὅτι αὐτοὶ οὐκ ἐν-
έμειναν ἐν τῇ διαθήκῃ μου κἀγὼ ἠμέλησα αὐτῶν λέγει κύ-
10 ριος ◦ ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ ἰσραὴλ
μετὰ τὰς ἡμέρας ἐκείνας λέγει κύριος διδοὺς νόμους μου
εἰς τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω
αὐτοὺς καὶ ἔσομαι αὐτοῖς εἰς θεὸν καὶ αὐτοὶ ἔσονταί μοι
11 εἰς λαόν ◦ καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πλησίον αὐτοῦ
καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ λέγων γνῶθι τὸν κύριον
ὅτι πάντες εἰδήσουσίν με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου
12 αὐτῶν ◦ ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ τῶν ἁ-
μαρτιῶν αὐτῶν καὶ˚ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι ◦
13 ἐν τῷ λέγειν καινὴν πεπαλαίωκεν τὴν πρώτην τὸ δὲ παλαι-
ούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ ◦

**9** Εἶχεν μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας
2 τό τε ἅγιον κοσμικόν ◦ σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη
ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων
3 ἥτις λέγεται ἅγια ◦ μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκη-
4 νὴ ἡ λεγομένη ἅγια ἁγίων ◦ χρυσοῦν ἔχουσα θυμιατήριον
καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντο-
θεν χρυσίῳ ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ
ῥάβδος ἀαρὼν ἡ βλαστήσασα καὶ αἱ πλάκες τῆς διαθή-
5 κης ◦ ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης κατασκιάζοντα τὸ
6 ἱλαστήριον περὶ ὧν οὐκ ἔστιν νῦν λέγειν κατὰ μέρος ◦ τού-
των δὲ οὕτως κατεσκευασμένων εἰς μὲν τὴν πρώτην σκη-

---

**v.6** T*: νυνι, V: νυν[ι]. **v.6** TK: τετευχεν, MV: τετυχεν. **v.8** T*: αυτοις, V: αυτους. **v.11** TK: πλησιον, MV: πολιτην. **v.11** T*: αυτων, V: ∅. **v.12** T*: και των ανομιων αυτων, V: ∅. **9. v.1** T: σκηνη, KMV: ∅. **v.5** T*: χερουβιμ, V: χερουβιν.

νὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦν-
τες· εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρ- 7
χιερεὺς οὐ χωρὶς αἵματος ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ
τῶν τοῦ λαοῦ ἀγνοημάτων· τοῦτο δηλοῦντος τοῦ πνεύμα- 8
τος τοῦ ἁγίου μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδὸν
ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν· ἥτις παραβολὴ 9
εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα καθ' ὃν δῶρά τε καὶ θυ-
σίαι προσφέρονται μὴ δυνάμεναι κατὰ συνείδησιν τελει-
ῶσαι τὸν λατρεύοντα· μόνον ἐπὶ βρώμασιν καὶ πόμασιν 10
καὶ διαφόροις βαπτισμοῖς καὶ δικαιώμασιν σαρκὸς μέχρι
καιροῦ διορθώσεως ἐπικείμενα· χριστὸς δὲ παραγενόμε- 11
νος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ
τελειοτέρας σκηνῆς οὐ χειροποιήτου τουτέστιν οὐ ταύτης
τῆς κτίσεως· οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων διὰ δὲ 12
τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια αἰωνίαν λύ-
τρωσιν εὑράμενος· εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ 13
σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει
πρὸς τὴν τῆς σαρκὸς καθαρότητα· πόσῳ μᾶλλον τὸ αἷμα 14
τοῦ χριστοῦ ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν
ἄμωμον τῷ θεῷ καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν
ἔργων εἰς τὸ λατρεύειν θεῷ ζῶντι· καὶ διὰ τοῦτο διαθήκης 15
καινῆς μεσίτης ἐστὶν ὅπως θανάτου γενομένου εἰς ἀπολύ-
τρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων τὴν ἐπαγ-
γελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας·
ὅπου γὰρ διαθήκη θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμέ- 16
νου· διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία ἐπεὶ μή ποτε ἰσχύει 17
ὅτε ζῇ ὁ διαθέμενος· ὅθεν οὐδ' ἡ πρώτη χωρὶς αἵματος ἐγ- 18
κεκαίνισται· λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ νόμον 19
ὑπὸ μωϋσέως παντὶ τῷ λαῷ λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ
τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου αὐ-

**v.6** T: διαπαντος, KMV: δια παντος. **v.9** T*: ον, V: ην. **v.10** T*: και δικαιωμασιν, V: δικαιωματα. **v.11** T*: μελλοντων, V: γενομενων. **v.11** T: τουτεστιν, KMV: τουτ εστιν. **v.13** T*: ταυρων και τραγων, V: τραγων και ταυρων. **v.14** T*: υμων, V: ημων. **v.17** TK: μη ποτε, MV: μηποτε. **v.18** T*: ουδ, V: ουδε. **v.19** T*: νομον, V: τον νομον. **v.19** T*: και τραγων, V: [και των τραγων].

20 τό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐρῥάντισεν ◦ λέγων
τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ θε-
21 ός ◦ καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας
22 τῷ αἵματι ὁμοίως ἐρῥάντισεν ◦ καὶ σχεδὸν ἐν αἵματι πάντα
καθαρίζεται κατὰ τὸν νόμον καὶ χωρὶς αἱματεκχυσίας οὐ
23 γίνεται ἄφεσις ◦ ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν
τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι αὐτὰ δὲ τὰ ἐπουράνια
24 κρείττοσιν θυσίαις παρὰ ταύτας ◦ οὐ γὰρ εἰς χειροποίητα
ἅγια᾽ εἰσῆλθεν ὁ χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν ἀλλ᾽ εἰς
αὐτὸν τὸν οὐρανὸν νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θε-
25 οῦ ὑπὲρ ἡμῶν ◦ οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν ὥσπερ
ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ᾽ ἐνιαυτὸν ἐν αἵματι
26 ἀλλοτρίῳ ◦ ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβο-
λῆς κόσμου νῦν᾽ δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀ-
27 θέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται ◦ καὶ
καθ᾽ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν μετὰ
28 δὲ τοῦτο κρίσις ◦ οὕτως ὁ᾽ χριστὸς ἅπαξ προσενεχθεὶς εἰς
τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας ἐκ δευτέρου χωρὶς ἁμαρ-
τίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν ◦

**10** Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν οὐκ
αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων κατ᾽ ἐνιαυτὸν ταῖς αὐταῖς
θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς οὐδέποτε δύναται
2 τοὺς προσερχομένους τελειῶσαι ◦ ἐπεὶ οὐκ ἂν ἐπαύσαντο
προσφερόμεναι διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁ-
3 μαρτιῶν τοὺς λατρεύοντας ἅπαξ κεκαθαρμένους ◦ ἀλλ᾽ ἐν
4 αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ᾽ ἐνιαυτόν ◦ ἀδύνατον γὰρ
5 αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας ◦ διὸ εἰσερχό-
μενος εἰς τὸν κόσμον λέγει θυσίαν καὶ προσφορὰν οὐκ ἠ-
6 θέλησας σῶμα δὲ κατηρτίσω μοι ◦ ὁλοκαυτώματα καὶ περὶ
7 ἁμαρτίας οὐκ εὐδόκησας ◦ τότε εἶπον ἰδοὺ ἥκω ἐν κεφα-
λίδι βιβλίου γέγραπται περὶ ἐμοῦ τοῦ ποιῆσαι ὁ θεὸς τὸ

**v.19** T*: ερραντισεν, V: εραντισεν. **v.21** T*: ερραντισεν, V: εραντισεν. **v.24** T*: αγια εισηλθεν ο, V: εισηλθεν αγια. **v.26** T*: νυν, V: νυνι. **v.26** T*: αμαρτιας, V: [της] αμαρτιας. **v.28** TK: ο, MV: και ο. **10. v.1** TKV: δυναται, M: δυνανται. **v.2** T*: κεκαθαρμενους, V: κεκαθαρισμενους.

θέλημά σου· ἀνώτερον λέγων ὅτι Θυσίαν˚ καὶ προσφορὰν 8
καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας οὐδὲ
εὐδόκησας αἵτινες κατὰ τὸν νόμον προσφέρονται· τότε εἴ- 9
ρηκεν ἰδοὺ ἥκω τοῦ ποιῆσαι ὁ˚ Θεὸς τὸ θέλημά σου ἀναιρεῖ
τὸ πρῶτον ἵνα τὸ δεύτερον στήσῃ· ἐν ᾧ θελήματι ἡγιασμέ- 10
νοι ἐσμὲν ὁἱ διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ ἰησοῦ
χριστοῦ ἐφάπαξ· καὶ πᾶς μὲν ἱερεὺς ἕστηκεν καθ᾽ ἡμέ- 11
ραν λειτουργῶν καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυ-
σίας αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας· ἀὐτὸς 12
δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν εἰς τὸ διηνε-
κὲς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ· τὸ λοιπὸν ἐκδεχόμενος 13
ἕως τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐ-
τοῦ· μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς τοὺς 14
ἁγιαζομένους· μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ πνεῦμα τὸ ἅγιον 15
μετὰ γὰρ τὸ ῥηθὲν προειρηκέναι· αὕτη ἡ διαθήκη ἣν διαθήσο- 16
μαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας λέγει κύριος
διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν καὶ ἐπὶ τῶν˚ δια-
νοιῶν αὐτῶν ἐπιγράψω αὐτούς· καὶ τῶν ἁμαρτιῶν αὐτῶν 17
καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι· ὅπου δὲ ἄφε- 18
σις τούτων οὐκ˚ ἔτι προσφορὰ περὶ ἁμαρτίας· ἔχοντες οὖν 19
ἀδελφοὶ παρρησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι
ἰησοῦ· ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ 20
τοῦ καταπετάσματος τουτ᾽έστιν τῆς σαρκὸς αὐτοῦ· καὶ ἱ- 21
ερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ· προσερχώμεθα μετὰ 22
ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως ἐῤῥαντισμένοι
τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς καὶ λελουμένοι τὸ
σῶμα ὕδατι καθαρῷ· κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπί- 23
δος ἀκλινῆ πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος· καὶ κατανοῶ- 24
μεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων·

---

**v.8** T*: θυσιαν και προσφοραν, V: θυσιας και προσφορας. **v.8** T*: τον, V: ∅. **v.9** T*: ο θεος, V: ∅. **v.10** TM: οι, KV: ∅. **v.10** TK: του, MV: ∅. **v.12** T*: αυτος, V: ουτος. **v.15** T*: προειρηκεναι, V: ειρηκεναι. **v.16** T*: των διανοιων, V: την διανοιαν. **v.17** TKV: αυτων, M: ∅. **v.17** T*: μνησθω, V: μνησθησομαι. **v.18** T: ουκ ετι, KMV: ουκετι. **v.20** T: τουτεστιν, KMV: τουτ εστιν. **v.22** T*: ερραντισμενοι, V: ρεραντισμενοι. **v.22** T*: λελουμενοι, V: λελουσμενοι.

25 μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν καθὼς ἔ-
θος τισὶν ἀλλὰ παρακαλοῦντες καὶ τοσούτῳ μᾶλλον ὅσῳ
26 βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν· ἑκουσίως γὰρ ἁμαρτα-
νόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας
27 οὐκ᾽ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία· φοβερὰ δέ τις
ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑ-
28 πεναντίους· ἀθετήσας τις νόμον μωσέως χωρὶς οἰκτιρμῶν
29 ἐπὶ δυσὶν ἢ τρισὶν μάρτυσιν ἀποθνήσκει· πόσῳ δοκεῖτε
χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ θεοῦ κατα-
πατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος ἐν
30 ᾧ ἡγιάσθη καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας· οἴδαμεν
γὰρ τὸν εἰπόντα ἐμοὶ ἐκδίκησις ἐγὼ ἀνταποδώσω λέγει᾽
31 κύριος καὶ πάλιν κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ· φοβε-
32 ρὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος· ἀναμιμνήσκεσθε
δὲ τὰς πρότερον ἡμέρας ἐν αἷς φωτισθέντες πολλὴν ἄθλη-
33 σιν ὑπεμείνατε παθημάτων· τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ
θλίψεσιν θεατριζόμενοι τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀνα-
34 στρεφομένων γενηθέντες· καὶ γὰρ τοῖς δεσμοῖς᾽ μου συν-
επαθήσατε καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ
χαρᾶς προσεδέξασθε γινώσκοντες ἔχειν ἐν᾽ ἑαυτοῖς κρείτ-
35 τονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν· μὴ ἀποβάλητε
οὖν τὴν παρρησίαν ὑμῶν ἥτις ἔχει μισθαποδοσίαν᾽ μεγά-
36 λην· ὑπομονῆς γὰρ ἔχετε χρείαν ἵνα τὸ θέλημα τοῦ θεοῦ
37 ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν· ἔτι γὰρ μικρὸν ὅ-
38 σον ὅσον ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ· ὁ δὲ δίκαιός ἐκ
πίστεως ζήσεται καὶ ἐὰν ὑποστείληται οὐκ εὐδοκεῖ ἡ ψυχή
39 μου ἐν αὐτῷ· ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν
ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς·

**11** Ἔστιν δὲ πίστις ἐλπιζομένων ὑπόστασις πραγμάτων ἔ-

---

**v.26** T: ουκ ετι, KMV: ουκετι. **v.28** TK: μωσεως, MV: μωυσεως. **v.30** T*: λεγει κυριος και παλιν κυριος κρινει, V: και παλιν κρινει κυριος. **v.34** T*: δεσμοις μου, V: δεσμιοις. **v.34** TK: εν εαυτοις κρειττονα υπαρξιν εν ουρανοις, M: εαυτοις κρειττονα υπαρξιν εν ουρανοις, V: εαυτους κρειττονα υπαρξιν. **v.35** T*: μισθαποδοσιαν μεγαλην, V: μεγαλην μισθαποδοσιαν. **v.37** T*: χρονιει, V: χρονισει. **v.38** T*: δικαιος, V: δικαιος μου.

λεγχος οὐ βλεπομένων ⸰ ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ 2
πρεσβύτεροι ⸰ πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥή- 3
ματι θεοῦ εἰς τὸ μὴ ἐκ φαινομένων τὰ˚ βλεπόμενα γεγονέ-
ναι ⸰ πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκεν 4
τῷ θεῷ δι᾽ ἧς ἐμαρτυρήθη εἶναι δίκαιος μαρτυροῦντος ἐ-
πὶ τοῖς δώροις αὐτοῦ τοῦ θεοῦ καὶ δι᾽ αὐτῆς ἀποθανὼν
ἔτι λαλεῖ῎ται ⸰ πίστει ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν θάνατον 5
καὶ οὐχ ἑὑρίσκετο διότι μετέθηκεν αὐτὸν ὁ θεός πρὸ γὰρ
τῆς μεταθέσεως αὐτοῦ˚ μεμαρτύρηται εὐηρεστηκέναι τῷ
θεῷ ⸰ χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι πιστεῦσαι 6
γὰρ δεῖ τὸν προσερχόμενον τῷ θεῷ ὅτι ἔστιν καὶ τοῖς ἐκζη-
τοῦσιν αὐτὸν μισθαποδότης γίνεται ⸰ πίστει χρηματισθεὶς 7
νῶε περὶ τῶν μηδέπω βλεπομένων εὐλαβηθεὶς κατεσκεύα-
σεν κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ δι᾽ ἧς κατέκρινεν
τὸν κόσμον καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κλη-
ρονόμος ⸰ πίστει καλούμενος ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν 8
εἰς ῞τὸν τόπον ὃν ἤμελλεν λαμβάνειν εἰς κληρονομίαν καὶ
ἐξῆλθεν μὴ ἐπιστάμενος ποῦ ἔρχεται ⸰ πίστει παρῴκησεν 9
εἰς ῾τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν ἐν σκηναῖς κα-
τοικήσας μετὰ ἰσαὰκ καὶ ἰακὼβ τῶν συγκληρονόμων τῆς
ἐπαγγελίας τῆς αὐτῆς ⸰ ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους 10
ἔχουσαν πόλιν ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός ⸰ πίστει 11
καὶ αὐτὴ σάρρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβεν
καὶ παρὰ καιρὸν ἡλικίας ἔ῞τεκεν ἐπεὶ πιστὸν ἡγήσατο τὸν
ἐπαγγειλάμενον ⸰ διὸ καὶ ἀφ᾽ ἑνὸς ἐγεννήθησαν καὶ ταῦτα 12
νενεκρωμένου καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει καὶ
ὡσεὶ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμη-
τος ⸰ κατὰ πίστιν ἀπέθανον οὗ῾τοι πάντες μὴ λαβόντες τὰς 13
ἐπαγγελίας ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ πεισθέντες˚
καὶ ἀσπασάμενοι καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρε-

**11. v.3** T*: τα βλεπομενα, V: το βλεπομενον. **v.4** TM: λαλειται, KV: λαλει. **v.5** T*: ευρισκετο, V: ηυρισκετο. **v.5** T*: αυτου μεμαρτυρηται ευηρεστηκεναι, V: μεμαρτυρηται ευαρεστηκεναι. **v.8** T*: τον, V: ∅. **v.9** TK: την, MV: ∅. **v.11** T*: σαρρα, V: σαρρα στειρα. **v.11** T*: ετεκεν, V: ∅. **v.12** TK: ωσει, MV: ως η. **v.13** TK: πεισθεντες και, MV: ∅.

14 πίδημοί εἰσιν ἐπὶ τῆς γῆς· οἱ γὰρ τοιαῦτα λέγοντες ἐμ-
15 φανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσιν· καὶ εἰ μὲν ἐκείνης
ἐμνημόνευον ἀφ᾽ ἧς ἐξῆλθὸν εἶχον ἂν καιρὸν ἀνακάμψαι·
16 νυνὶ δὲ κρείττονος ὀρέγονται τουτέστιν ἐπουρανίου διὸ οὐκ
ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς θεὸς ἐπικαλεῖσθαι αὐτῶν ἡ-
17 τοίμασεν γὰρ αὐτοῖς πόλιν· πίστει προσενήνοχεν ἀβραὰμ
τὸν ἰσαὰκ πειραζόμενος καὶ τὸν μονογενῆ προσέφερεν ὁ
18 τὰς ἐπαγγελίας ἀναδεξάμενος· πρὸς ὃν ἐλαλήθη ὅτι ἐν
19 ἰσαὰκ κληθήσεταί σοι σπέρμα· λογισάμενος ὅτι καὶ ἐκ
νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεὸς ὅθεν αὐτὸν καὶ ἐν παρα-
20 βολῇ ἐκομίσατο· πίστει περὶ μελλόντων εὐλόγησεν ἰσαὰκ
21 τὸν ἰακὼβ καὶ τὸν ἠσαῦ· πίστει ἰακὼβ ἀποθνήσκων ἕκα-
στον τῶν υἱῶν ἰωσὴφ εὐλόγησεν καὶ προσεκύνησεν ἐπὶ τὸ
22 ἄκρον τῆς ῥάβδου αὐτοῦ· πίστει ἰωσὴφ τελευτῶν περὶ τῆς
ἐξόδου τῶν υἱῶν ἰσραὴλ ἐμνημόνευσεν καὶ περὶ τῶν ὀστέων
23 αὐτοῦ ἐνετείλατο· πίστει μωσῆς γεννηθεὶς ἐκρύβη τρίμη-
νον ὑπὸ τῶν πατέρων αὐτοῦ διότι εἶδον ἀστεῖον τὸ παιδίον
24 καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως· πίστει
μωσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς
25 φαραώ· μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ
26 θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν· μείζονα
πλοῦτον ἡγησάμενος τῶν ἐν˙ αἰγύπτῳ θησαυρῶν τὸν ὀνει-
δισμὸν τοῦ χριστοῦ ἀπέβλεπεν γὰρ εἰς τὴν μισθαποδοσίαν·
27 πίστει κατέλιπεν αἴγυπτον μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βα-
28 σιλέως τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησεν· πίστει πε-
ποίηκεν τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος ἵνα μὴ
29 ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν· πίστει διέβησαν
τὴν ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς ἧς πεῖραν λαβόντες οἱ
30 αἰγύπτιοι κατεπόθησαν· πίστει τὰ τείχη ἰεριχὼ ἔπεσὲν κυ-
31 κλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας· πίστει ῥαὰβ ἡ πόρνη οὐ συνα-
πώλετο τοῖς ἀπειθήσασιν δεξαμένη τοὺς κατασκόπους μετ᾽

**v.15** T*: εξηλθον, V: εξεβησαν. **v.16** TK: νυνι, MV: νυν. **v.16** T: τουτεστιν, KMV: τουτ εστιν. **v.20** T*: περι, V: και περι. **v.23** TK: μωσης, MV: μωυσης. **v.24** TK: μωσης, MV: μωυσης. **v.26** TK: εν αιγυπτω, MV: αιγυπτου. **v.29** T*: ης, V: γης ης. **v.30** T*: επεσεν, V: επεσαν.

εἰρήνης· καὶ τί ἔτι λέγω ἐπιλείψει γάρ˚ με διηγούμενον 32
ὁ χρόνος περὶ γεδεὼν βαράκ τε˚ καὶ σαμψὼν κἀὶ ἰεφθάε
δαβίδ τε καὶ σαμουὴλ καὶ τῶν προφητῶν· οἳ διὰ πίστεως 33
κατηγωνίσαντο βασιλείας εἰργάσαντο δικαιοσύνην ἐπέτυ-
χον ἐπαγγελιῶν ἔφραξαν στόματα λεόντων· ἔσβεσαν δύ- 34
ναμιν πυρὸς ἔφυγον στόματα μαχαίρας˚ ἐνεδυναμώθησαν
ἀπὸ ἀσθενείας ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ παρεμβο-
λὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως 35
τοὺς νεκροὺς αὐτῶν ἄλλοι δὲ ἐτυμπανίσθησαν οὐ προσδε-
ξάμενοι τὴν ἀπολύτρωσιν ἵνα κρείττονος ἀναστάσεως τύ-
χωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον 36
ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν ἐπρίσθησαν ἐ- 37
πειράσθησαν ἐν φόνῳ μαχαίρᾶς ἀπέθανον περιῆλθον ἐν
μηλωταῖς ἐν αἰγείοις δέρμασιν ὑστερούμενοι θλιβόμενοι
κακουχούμενοι· ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος ἐν̓ ἐρημίαις 38
πλανώμενοι καὶ ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς
γῆς· καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ 39
ἐκομίσαντο τὴν ἐπαγγελίαν· τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν 40
τι προβλεψαμένου ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν·

Τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡ- **12**
μῖν νέφος μαρτύρων ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐ-
περίστατον ἁμαρτίαν δἰ ὑπομονῆς τρέχωμεν τὸν προκείμε-
νον ἡμῖν ἀγῶνα· ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν 2
καὶ τελειωτὴν ἰησοῦν ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ̔ χα-
ρᾶς ὑπέμεινεν σταυρὸν αἰσχύνης καταφρονήσας ἐν δεξιᾷ̔
τε τοῦ θρόνου τοῦ θεοῦ ἐκάθισεν· ἀναλογίσασθε γὰρ τὸν 3
τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς ἑαὐτὸν
ἀντιλογίαν ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι·
οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀν- 4
ταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως ἥτις ὑμῖν 5

**v.32** T*: γαρ με, V: με γαρ. **v.32** T*: τε και, V: ∅. **v.32** T*: και, V: ∅. **v.32** T*: δαβιδ, V: δαυιδ. **v.34** T*: μαχαιρας ενεδυναμωθησαν, V: μαχαιρης εδυναμωθησαν. **v.37** T*: επειρασθησαν, V: ∅. **v.37** T*: μαχαιρας, V: μαχαιρης. **v.38** T*: εν, V: επι. **12. v.2** TK: εκαθισεν, MV: κεκαθικεν. **v.3** T*: αυτον, V: εαυτον.

ὡς υἱοῖς διαλέγεται υἱέ μου μὴ ὀλιγώρει παιδείας κυρίου
6 μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ κύ-
7 ριος παιδεύει μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται· εἰ
παιδείαν ὑπομένετε ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ θεὸς τίς
8 γάρ ἐστιν˚ υἱὸς ὃν οὐ παιδεύει πατήρ· εἰ δὲ χωρίς ἐστε
παιδείας ἧς μέτοχοι γεγόνασιν πάντες ἄρα νόθοι ἐστε˚ καὶ
9 οὐχ υἱοί· εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν
παιδευτὰς καὶ ἐνετρεπόμεθα οὐ πολλῷ μᾶλλον ὑποταγη-
10 σόμεθα τῷ πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν· οἱ μὲν γὰρ
πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον ὁ
δὲ ἐπὶ τὸ συμφέρον εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐ-
11 τοῦ· πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς
εἶναι ἀλλὰ λύπης ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι᾽
12 αὐτῆς γεγυμνασμένοις ἀποδίδωσιν δικαιοσύνης· διὸ τὰς
παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώ-
13 σατε· καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν ἵνα μὴ
14 τὸ χωλὸν ἐκτραπῇ ἰαθῇ δὲ μᾶλλον· εἰρήνην διώκετε μετὰ
πάντων καὶ τὸν ἁγιασμὸν οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύ-
15 ριον· ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ
θεοῦ μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ καὶ διὰ˚ ταύ-
16 της μιανθῶσιν πολλοί· μή τις πόρνος ἢ βέβηλος ὡς ἡσαῦ
17 ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια ἀὐτοῦ· ἴστε
γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐλογίαν
ἀπεδοκιμάσθη μετανοίας γὰρ τόπον οὐχ εὗρεν καίπερ με-
18 τὰ δακρύων ἐκζητήσας αὐτήν· οὐ γὰρ προσεληλύθατε ψη-
λαφωμένῳ ὄρει καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ ὁκότῳ
19 καὶ θυέλλῃ· καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων ἧς οἱ
ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον·
20 οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον κἂν θηρίον θίγῃ τοῦ
21 ὄρους λιθοβοληθήσεται ἢ˚ βολίδι κατατοξευθήσεται· καὶ

---

**v.7** ΤΚ: ει, ΜV: εις. **v.7** T*: εστιν υιος, V: υιος. **v.8** T*: εστε και ουχ υιοι, V: και ουχ υιοι εστε. **v.9** T*: πολλω, V: πολυ [δε]. **v.13** T*: ποιησατε, V: ποιειτε. **v.15** T*: δια ταυτης, V: δι αυτης. **v.16** T*: απεδοτο, V: απεδετο. **v.16** T*: αυτου, V: εαυτου. **v.18** T*: ορει, V: ∅. **v.18** T*: σκοτω, V: ζοφω. **v.20** ΤΚ: η βολιδι κατατοξευθησεται, ΜV: ∅.

οὕτως φοβερὸν ἦν τὸ φανταζόμενον μωϋσῆς εἶπεν ἔκφοβός εἰμι καὶ ἔντρομος ⸰ ἀλλὰ προσεληλύθατε σιὼν ὄρει καὶ πό- 22
λει θεοῦ ζῶντος ἱερουσαλὴμ ἐπουρανίῳ καὶ μυριάσιν ἀγ-
γέλων ⸰ πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν˚ οὐρανοῖς 23
ἀπογεγραμμένων καὶ κριτῇ θεῷ πάντων καὶ πνεύμασιν δι-
καίων τετελειωμένων ⸰ καὶ διαθήκης νέας μεσίτῃ ἰησοῦ καὶ 24
αἵματι ῥαντισμοῦ κρείττονά λαλοῦντι παρὰ τὸν ἄβελ ⸰ βλέ- 25
πετε μὴ παραιτήσησθε τὸν λαλοῦντα εἰ γὰρ ἐκεῖνοι οὐκ
ἔφυγον˚ τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα˚
πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ᾽ οὐρανῶν ἀποστρεφόμενοι ⸰
οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσεν τότε νῦν δὲ ἐπήγγελται λέγων 26
ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν ἀλλὰ καὶ τὸν οὐρα-
νόν ⸰ τὸ δέ ἔτι ἅπαξ δηλοῖ τῶν˚ σαλευομένων τὴν μετάθεσιν 27
ὡς πεποιημένων ἵνα μείνῃ τὰ μὴ σαλευόμενα ⸰ διὸ βασι- 28
λείαν ἀσάλευτον παραλαμβάνοντες ἔχωμεν χάριν δι᾽ ἧς λα-
τρεύωμεν εὐαρέστως τῷ θεῷ μετὰ αἰδοῦς˚ καὶ εὐλαβείας ⸰
καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον ⸰ 29

῾Η φιλαδελφία μενέτω ⸰ τῆς φιλοξενίας μὴ ἐπιλανθάνε- **13**, 2
σθε διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους ⸰ μι- 3
μνήσκεσθε τῶν δεσμίων ὡς συνδεδεμένοι τῶν κακουχου-
μένων ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι ⸰ τίμιος ὁ γάμος ἐν 4
πᾶσιν καὶ ἡ κοίτη ἀμίαντος πόρνους δὲ˚ καὶ μοιχοὺς κρι-
νεῖ ὁ θεός ⸰ ἀφιλάργυρος ὁ τρόπος ἀρκούμενοι τοῖς πα- 5
ροῦσιν αὐτὸς γὰρ εἴρηκεν οὐ μή σε ἀνῶ οὐδ᾽ οὐ μή σε
ἐγκαταλίπω ⸰ ὥστε θαρροῦντας ἡμᾶς λέγειν κύριος ἐμοὶ 6
βοηθὸς καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος ⸰
μνημονεύετε τῶν ἡγουμένων ὑμῶν οἵτινες ἐλάλησαν ὑμῖν 7
τὸν λόγον τοῦ θεοῦ ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀ-
ναστροφῆς μιμεῖσθε τὴν πίστιν ⸰ ἰησοῦς χριστὸς χθὲς καὶ 8

**v.21** ΤΚ: μωσης, ΜV: μωυσης. **v.23** T*: εν ουρανοις απογεγραμμενων, V: απογεγραμμενων εν ουρανοις. **v.24** ΤΚ: κρειττονα, ΜV: κρειττον. **v.24** TV: τον, ΜΚ: το. **v.25** ΤΚ: εφυγον τον επι της, Μ: εφυγον τον επι, V: εξεφυγον επι. **v.25** T*: χρηματιζοντα πολλω, V: τον χρηματιζοντα πολυ. **v.26** T*: σειω, V: σεισω. **v.27** T*: των σαλευομενων την, V: [την] των σαλευομενων. **v.28** ΤΚV: λατρευωμεν, Μ: λατρευομεν. **v.28** T*: αιδους και ευλαβειας, V: ευλαβειας και δεους. **13. v.4** T*: δε, V: γαρ. **v.5** ΤΚV: εγκαταλιπω, Μ: εγκαταλειπω. **v.8** T*: χθες, V: εχθες.

9 σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας ◦ διδαχαῖς ποικίλαις
καὶ ξέναις μὴ πέριφέρεσθε καλὸν γὰρ χάριτι βεβαιοῦσθαι
τὴν καρδίαν οὐ βρώμασιν ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περι-
10 πατήσαντες ◦ ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχου-
11 σιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες ◦ ὧν γὰρ εἰσφέρεται
ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιε-
ρέως τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς ◦
12 διὸ καὶ ἰησοῦς ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λα-
13 ὸν ἔξω τῆς πύλης ἔπαθεν ◦ τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν
14 ἔξω τῆς παρεμβολῆς τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες ◦ οὐ
γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν ἀλλὰ τὴν μέλλουσαν ἐ-
15 πιζητοῦμεν ◦ δι᾽ αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως
διαπαντὸς τῷ θεῷ τουτέστιν καρπὸν χειλέων ὁμολογούν-
16 των τῷ ὀνόματι αὐτοῦ ◦ τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ
ἐπιλανθάνεσθε τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ θεός ◦
17 πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε αὐτοὶ γὰρ ἀ-
γρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες
ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσιν καὶ μὴ στενάζοντες ἀλυσιτε-
18 λὲς γὰρ ὑμῖν τοῦτο ◦ προσεύχεσθε περὶ ἡμῶν πεποίθαμεν
γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν ἐν πᾶσιν καλῶς θέλοντες
19 ἀναστρέφεσθαι ◦ περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆ-
20 σαι ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν ◦ ὁ δὲ θεὸς τῆς εἰρήνης
ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέ-
γαν ἐν αἵματι διαθήκης αἰωνίου τὸν κύριον ἡμῶν ἰησοῦν ◦
21 καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ
θέλημα αὐτοῦ ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ
διὰ ἰησοῦ χριστοῦ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων
22 ἀμήν ◦ παρακαλῶ δὲ ὑμᾶς ἀδελφοὶ ἀνέχεσθε τοῦ λόγου
τῆς παρακλήσεως καὶ γὰρ διὰ βραχέων ἐπέστειλα ὑμῖν ◦
23 γινώσκετε τὸν ἀδελφὸν τιμόθεον ἀπολελυμένον μεθ᾽ οὗ ἐ-
24 ὰν τάχιον ἔρχηται ὄψομαι ὑμᾶς ◦ ἀσπάσασθε πάντας τοὺς

**v.9** TK: περιφερεσθε, MV: παραφερεσθε. **v.9** T*: περιπατησαντες, V: περιπατουντες. **v.15** T: διαπαντος, KMV: δια παντος. **v.15** T: τουτεστιν, KMV: τουτ εστιν. **v.18** T*: πεποιθαμεν, V: πειθομεθα. **v.21** T*: εργω, V: ∅. **v.21** T*: υμιν, V: ημιν. **v.23** T*: αδελφον, V: αδελφον ημων.

ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς ἰταλίας ⸰ ἡ χάρις μετὰ πάντων ὑμῶν ἀμήν ⸰ 25
Πρὸς˚ ἑβραίους ἐγράφη ἀπὸ τῆς ἰταλίας διὰ τιμοθέου ⸰

**v.25** T*: αμην, V: ∅. **v.25** T: Προς . . . τιμοθεου, KMV: ∅.

# ΙΑΚΩΒΟΥ
## ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ˚

**1** Ἰάκωβος θεοῦ καὶ κυρίου ἰησοῦ χριστοῦ δοῦλος ταῖς
2 δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν ⸰ πᾶσαν χα-
ρὰν ἡγήσασθε ἀδελφοί μου ὅταν πειρασμοῖς περιπέσητε
3 ποικίλοις ⸰ γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως
4 κατεργάζεται ὑπομονήν ⸰ ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐ-
χέτω ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι ἐν μηδενὶ λειπόμενοι ⸰
5 εἰ δέ τις ὑμῶν λείπεται σοφίας αἰτείτω παρὰ τοῦ διδόν-
τος θεοῦ πᾶσιν ἁπλῶς καὶ μὴ ὀνειδίζοντος καὶ δοθήσεται
6 αὐτῷ ⸰ αἰτείτω δὲ ἐν πίστει μηδὲν διακρινόμενος ὁ γὰρ δια-
κρινόμενος ἔοικεν κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥι-
7 πιζομένῳ ⸰ μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί
8 τι παρὰ τοῦ κυρίου ⸰ ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις
9 ταῖς ὁδοῖς αὐτοῦ ⸰ καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν
10 τῷ ὕψει αὐτοῦ ⸰ ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ ὅτι
11 ὡς ἄνθος χόρτου παρελεύσεται ⸰ ἀνέτειλεν γὰρ ὁ ἥλιος σὺν
τῷ καύσωνι καὶ ἐξήρανεν τὸν χόρτον καὶ τὸ ἄνθος αὐτοῦ ἐξ-
έπεσεν καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο οὕ-
τως καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται ⸰
12 μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμὸν ὅτι δόκιμος γενό-
μενος λήψεται τὸν στέφανον τῆς ζωῆς ὃν ἐπηγγείλατο ὁ˚
13 κύριος τοῖς ἀγαπῶσιν αὐτόν ⸰ μηδεὶς πειραζόμενος λεγέτω
ὅτι ἀπὸ τοῦ θεοῦ πειράζομαι ὁ γὰρ θεὸς ἀπείραστός ἐστιν
14 κακῶν πειράζει δὲ αὐτὸς οὐδένα ⸰ ἕκαστος δὲ πειράζεται
ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος ⸰
15 εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν ἡ δὲ ἁμαρτία
16 ἀποτελεσθεῖσα ἀποκύει θάνατον ⸰ μὴ πλανᾶσθε ἀδελφοί
17 μου ἀγαπητοί ⸰ πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέ-

---

ΤΚ: ΙΑΚΩΒΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ, ΜV: ΙΑΚΩΒΟΥ. **1. v.5** ΤΚV: μη, Μ: ουκ. **v.7** Τ*: ληψεται, V: λημψεται. **v.12** Τ*: ληψεται, V: λημψεται. **v.12** Τ*: ο κυριος, V: ∅. **v.13** ΤΚ: του, ΜV: ∅.

λειον ἄνωθέν ἐστιν καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων
παρ᾽ ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα ◦ βου- 18
ληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας εἰς τὸ εἶναι ἡμᾶς
ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων ◦ ὥστε ἀδελφοί μου 19
ἀγαπητοὶ ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι βρα-
δὺς εἰς τὸ λαλῆσαι βραδὺς εἰς ὀργήν ◦ ὀργὴ γὰρ ἀνδρὸς 20
δικαιοσύνην θεοῦ οὐ˚ κατεργάζεται ◦ διὸ ἀποθέμενοι πᾶ- 21
σαν ῥυπαρίαν καὶ περισσείαν κακίας ἐν πραΰτητι δέξασθε
τὸν ἔμφυτον λόγον τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν ◦
γίνεσθε δὲ ποιηταὶ λόγου καὶ μὴ μόνον ἀκροαταὶ παραλο- 22
γιζόμενοι ἑαυτούς ◦ ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶν καὶ οὐ 23
ποιητὴς οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς
γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ ◦ κατενόησεν γὰρ ἑαυτὸν καὶ 24
ἀπελήλυθεν καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν ◦ ὁ δὲ πα- 25
ρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας καὶ παρα-
μείνας οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος ἀλλὰ
ποιητὴς ἔργου οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται ◦
εἴ τις δοκεῖ θρῆσκος εἶναι ἐν˚ ὑμῖν μὴ χαλιναγωγῶν γλῶσ- 26
σαν αὐτοῦ ἀλλ᾽ ἀπατῶν καρδίαν αὐτοῦ τούτου μάταιος ἡ
θρησκεία ◦ θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ θεῷ 27
καὶ πατρὶ αὕτη ἐστὶν ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας
ἐν τῇ θλίψει αὐτῶν ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κό-
σμου ◦

Ἀδελφοί μου μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν **2**
τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ τῆς δόξης ◦ ἐὰν γὰρ εἰσ- 2
έλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν
ἐσθῆτι λαμπρᾷ εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι ◦
καὶ˚ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν 3
καὶ εἴπητε αὐτῷ σὺ κάθου ὧδε καλῶς καὶ τῷ πτωχῷ εἴπητε
σὺ στῆθι ἐκεῖ ἢ κάθου ὧδέ ὑπὸ τὸ ὑποπόδιόν μου ◦ κἀὶ 4

**v.19** T*: ωστε, V: ιστε. **v.19** T*: εστω, V: εστω δε. **v.20** T*: ου κατεργαζεται, V: ουκ εργαζεται. **v.25** T*: ουτος, V: ∅. **v.26** T*: εν υμιν, V: ∅. **v.26** TK: αλλ, MV: αλλα. **v.27** TKV: τω, M: ∅. **2. v.1** T*: προσωποληψιαις, V: προσωπολημψιαις. **v.2** T*: την, V: ∅. **v.3** T*: και επιβλεψητε, V: επιβλεψητε δε. **v.3** T*: αυτω, V: ∅. **v.3** T*: ωδε, V: ∅. **v.4** T*: και, V: ∅.

οὐ διεκρίθητε ἐν ἑαυτοῖς καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν
5 πονηρῶν ◦ ἀκούσατε ἀδελφοί μου ἀγαπητοὶ οὐχ ὁ θεὸς
ἐξελέξατο τοὺς πτωχοὺς τοῦ˚ κόσμου τούτου πλουσίους ἐν
πίστει καὶ κληρονόμους τῆς βασιλείας ἧς ἐπηγγείλατο τοῖς
6 ἀγαπῶσιν αὐτόν ◦ ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχὸν οὐχ οἱ
πλούσιοι καταδυναστεύουσιν ὑμῶν καὶ αὐτοὶ ἕλκουσιν ὑ-
7 μᾶς εἰς κριτήρια ◦ οὐκ αὐτοὶ βλασφημοῦσιν τὸ καλὸν ὄ-
8 νομα τὸ ἐπικληθὲν ἐφ᾽ ὑμᾶς ◦ εἰ μέντοι νόμον τελεῖτε βα-
σιλικὸν κατὰ τὴν γραφὴν ἀγαπήσεις τὸν πλησίον σου ὡς
9 σεαυτὸν καλῶς ποιεῖτε ◦ εἰ δὲ προσωποληπτεῖτε ἁμαρτίαν
10 ἐργάζεσθε ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται ◦ ὅσ-
τις γὰρ ὅλον τὸν νόμον τηρήσει˚ πταίσει δὲ ἐν ἑνὶ γέγονεν
11 πάντων ἔνοχος ◦ ὁ γὰρ εἰπὼν μὴ μοιχεύσῃς εἶπεν καὶ μὴ
φονεύσῃς εἰ δὲ οὐ μοιχεύσεις˚ φονεύσεις δὲ γέγονας πα-
12 ραβάτης νόμου ◦ οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε ὡς διὰ
13 νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι ◦ ἡ γὰρ κρίσις ἀν-
ίλεως τῷ μὴ ποιήσαντι ἔλεος κἀὶ κατακαυχᾶται ἔλεος κρί-
14 σεως ◦ τί τὸ ὄφελος ἀδελφοί μου ἐὰν πίστιν λέγῃ τις ἔχειν
15 ἔργα δὲ μὴ ἔχῃ μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν ◦ ἐὰν δὲ˚
ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσιν καὶ λειπόμενοι ὦσιν
16 τῆς ἐφημέρου τροφῆς ◦ εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν ὑπάγετε
ἐν εἰρήνῃ θερμαίνεσθε καὶ χορτάζεσθε μὴ δῶτε δὲ αὐτοῖς
17 τὰ ἐπιτήδεια τοῦ σώματος τί τὸ ὄφελος ◦ οὕτως καὶ ἡ πίστις
18 ἐὰν μὴ ἔργα˚ ἔχῃ νεκρά ἐστιν καθ᾽ ἑαυτήν ◦ ἀλλ᾽ ἐρεῖ τις σὺ
πίστιν ἔχεις κἀγὼ ἔργα ἔχω δεῖξόν μοι τὴν πίστιν σου ἐκ
τῶν ἔργων σου κἀγὼ δείξω˚ σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν
19 μου ◦ σὺ πιστεύεις ὅτι ὁ˚ θεὸς εἷς ἐστιν καλῶς ποιεῖς καὶ τὰ
20 δαιμόνια πιστεύουσιν καὶ φρίσσουσιν ◦ θέλεις δὲ γνῶναι ὦ

---

**v.5** ΤΚ: του κοσμου τουτου, Μ: του κοσμου, V: τω κοσμω. **v.9** T*: προσωποληπτειτε, V: προσωπολημπτειτε. **v.10** T*: τηρησει πταισει, V: τηρηση πταιση. **v.11** ΤΚV: μοιχευσης, Μ: μοιχευσεις. **v.11** ΤΚV: φονευσης, Μ: φονευσεις. **v.11** T*: μοιχευσεις φονευσεις, V: μοιχευεις φονευεις. **v.13** ΤΚ: ανιλεως, ΜV: ανελεος. **v.13** ΤΚ: και, ΜV: ∅. **v.13** ΤΚV: ελεος, Μ: ελεον. **v.15** T*: δε, V: ∅. **v.15** T*: ωσιν, V: ∅. **v.17** T*: εργα εχη, V: εχη εργα. **v.18** ΤΜ: εκ, ΚV: χωρις. **v.18** T*: σου, V: ∅. **v.18** T*: δειξω σοι, V: σοι δειξω. **v.18** T*: μου, V: ∅. **v.19** T*: ο θεος εις εστιν, V: εις εστιν ο θεος.

ἄνθρωπε κενὲ ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν ◦
ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη ἀνενέγκας 21
ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον ◦ βλέπεις ὅτι ἡ 22
πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ καὶ ἐκ τῶν ἔργων ἡ πίστις
ἐτελειώθη ◦ καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα ἐπίστευσεν 23
δὲ ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην καὶ
φίλος θεοῦ ἐκλήθη ◦ ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦ- 24
ται ἄνθρωπος καὶ οὐκ ἐκ πίστεως μόνον ◦ ὁμοίως δὲ καὶ 25
ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη ὑποδεξαμένη τοὺς
ἀγγέλους καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα ◦ ὥσπερ γὰρ τὸ σῶμα 26
χωρὶς πνεύματος νεκρόν ἐστιν οὕτως καὶ ἡ πίστις χωρὶς
τῶν ἔργων νεκρά ἐστιν ◦

Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε ἀδελφοί μου εἰδότες ὅτι **3**
μεῖζον κρίμα ληψόμεθα ◦ πολλὰ γὰρ πταίομεν ἅπαντες εἴ 2
τις ἐν λόγῳ οὐ πταίει οὗτος τέλειος ἀνὴρ δυνατὸς χαλινα-
γωγῆσαι καὶ ὅλον τὸ σῶμα ◦ ἰδοὺ τῶν ἵππων τοὺς χαλινοὺς 3
εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν
καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν ◦ ἰδοὺ καὶ τὰ πλοῖα 4
τηλικαῦτα ὄντα καὶ ὑπὸ σκληρῶν˚ ἀνέμων ἐλαυνόμενα με-
τάγεται ὑπὸ ἐλαχίστου πηδαλίου ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐ-
θύνοντος βούλῆται ◦ οὕτως καὶ ἡ γλῶσσα μικρὸν μέλος 5
ἐστὶν καὶ μεγαλαυχεῖ ἰδοὺ ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνά-
πτει ◦ καὶ ἡ γλῶσσα πῦρ ὁ κόσμος τῆς ἀδικίας οὕτως ἡ 6
γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν ἡ σπιλοῦσα ὅλον
τὸ σῶμα καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως καὶ φλο-
γιζομένη ὑπὸ τῆς γεέννης ◦ πᾶσα γὰρ φύσις θηρίων τε καὶ 7
πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται
τῇ φύσει τῇ ἀνθρωπίνῃ ◦ τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται˚ 8
ἀνθρώπων δαμάσαι ἀκατάσχετον κακὸν μεστὴ ἰοῦ θανα-

---

**v.20** T*: νεκρα, V: αργη. **v.24** T*: τοινυν, V: ∅. **v.26** T*: των, V: ∅. **3. v.1** T*: ληψομεθα, V: λημψομεθα. **v.3** TK: ιδου, M: ιδε, V: ει δε. **v.3** T*: προς, V: εις. **v.4** T*: σκληρων ανεμων, V: ανεμων σκληρων. **v.4** T*: αν, V: ∅. **v.4** T*: βουληται, V: βουλεται. **v.5** T*: μεγαλαυχει, V: μεγαλα αυχει. **v.5** T*: ολιγον, V: ηλικον. **v.6** T*: ουτως, V: ∅. **v.8** T*: δυναται ανθρωπων δαμασαι ακατασχετον, V: δαμασαι δυναται ανθρωπων ακαταστατον.

9 τηφόρου ⸰ ἐν αὐτῇ εὐλογοῦμεν τὸν θεὸν καὶ πατέρα καὶ ἐν
αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ᾽ ὁμοίωσιν θε-
10 οῦ γεγονότας ⸰ ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία
καὶ κατάρα οὐ χρὴ ἀδελφοί μου ταῦτα οὕτως γίνεσθαι ⸰
11 μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ
12 πικρόν ⸰ μὴ δύναται ἀδελφοί μου συκῆ ἐλαίας ποιῆσαι ἢ
ἄμπελος σῦκα οὕτως˚ οὐδεμία πηγὴ ἁλυκὸν καὶ γλυκὺ
13 ποιῆσαι ὕδωρ ⸰ τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν δειξάτω
ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σο-
14 φίας ⸰ εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐρίθειαν ἐν τῇ καρδίᾳ
ὑμῶν μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας ⸰
15 οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη ἀλλ᾽ ἐπίγειος
16 ψυχικὴ δαιμονιώδης ⸰ ὅπου γὰρ ζῆλος καὶ ἐρίθεια ἐκεῖ ἀ-
17 καταστασία καὶ πᾶν φαῦλον πρᾶγμα ⸰ ἡ δὲ ἄνωθεν σοφία
πρῶτον μὲν ἁγνή ἐστιν ἔπειτα εἰρηνικὴ ἐπιεικὴς εὐπειθὴς
μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν ἀδιάκριτος κἀι ἀνυπό-
18 κριτος ⸰ καρπὸς δὲ τ̃ῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται
τοῖς ποιοῦσιν εἰρήνην ⸰

**4** Πόθεν πόλεμοι κἀι μάχαι ἐν ὑμῖν οὐκ ἐντεῦθεν ἐκ τῶν
ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν ⸰
2 ἐπιθυμεῖτε καὶ οὐκ ἔχετε φονεύετε καὶ ζηλοῦτε καὶ οὐ δύ-
νασθε ἐπιτυχεῖν μάχεσθε καὶ πολεμεῖτε οὐκ ἔχετε δὲ˚ διὰ τὸ
3 μὴ αἰτεῖσθαι ὑμᾶς ⸰ αἰτεῖτε καὶ οὐ λαμβάνετε διότι κακῶς
4 αἰτεῖσθε ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε ⸰ μοιχοὶ˚
καὶ μοιχαλίδες οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα
τοῦ θεοῦ ἐστιν ὃς ἂν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου
5 ἐχθρὸς τοῦ θεοῦ καθίσταται ⸰ ἢ δοκεῖτε ὅτι κενῶς ἡ γρα-
φὴ λέγει πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα ὃ κατῴκ̃ησεν
6 ἐν ἡμῖν ⸰ μείζονα δὲ δίδωσιν χάριν διὸ λέγει ὁ θεὸς ὑ-
7 περηφάνοις ἀντιτάσσεται ταπεινοῖς δὲ δίδωσιν χάριν ⸰ ὑ-

---

**v.9** T*: θεον, V: κυριον. **v.12** T*: ουτως ουδεμια πηγη αλυκον και, V: ουτε αλυκον. **v.15** T*: αλλ, V: αλλα. **v.17** T*: και, V: ∅. **v.18** T*: της, V: ∅. **4. v.1** T*: και, V: και ποθεν. **v.2** TK: δε, MV: ∅. **v.4** T*: μοιχοι και, V: ∅. **v.4** T*: αν, V: εαν. **v.5** T*: κατωκησεν, V: κατωκισεν.

ποτάγητε οὖν τῷ θεῷ ἀντίστητε τῷ διαβόλῳ καὶ φεύξεται
ἀφ᾽ ὑμῶν ◦ ἐγγίσατε τῷ θεῷ καὶ ἐγγιεῖ ὑμῖν καθαρίσατε 8
χεῖρας ἁμαρτωλοὶ καὶ ἁγνίσατε καρδίας δίψυχοι ◦ ταλαι- 9
πωρήσατε καὶ πενθήσατε καὶ κλαύσατε ὁ γέλως ὑμῶν εἰς
πένθος μεταστραφήτω καὶ ἡ χαρὰ εἰς κατήφειαν ◦ ταπει- 10
νώθητε ἐνώπιον τοῦ κυρίου καὶ ὑψώσει ὑμᾶς ◦ μὴ καταλα- 11
λεῖτε ἀλλήλων ἀδελφοὶ ὁ καταλαλῶν ἀδελφοῦ κἀι κρίνων
τὸν ἀδελφὸν αὐτοῦ καταλαλεῖ νόμου καὶ κρίνει νόμον εἰ
δὲ νόμον κρίνεις οὐκ εἶ ποιητὴς νόμου ἀλλὰ κριτής ◦ εἷς 12
ἐστιν ὁ νομοθέτης ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι σὺ τίς
εἶ ὃς κρίνεις τὸν ἕτερον ◦ ἄγε νῦν οἱ λέγοντες σήμερον καὶ 13
αὔριον πορευσώμεθα εἰς τήνδε τὴν πόλιν καὶ ποιήσωμεν
ἐκεῖ ἐνιαυτὸν ἕνα καὶ ἐμπορευσώμεθα καὶ κερδήσωμεν ◦
οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον ποία γὰρ ἡ ζωὴ ὑμῶν 14
ἀτμὶς γάρ ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη ἔπειτα δὲ ἀφα-
νιζομένη ◦ ἀντὶ τοῦ λέγειν ὑμᾶς ἐὰν ὁ κύριος θελήσῃ καὶ 15
ζήσωμεν καὶ ποιήσωμεν τοῦτο ἢ ἐκεῖνο ◦ νῦν δὲ καυχᾶσθε 16
ἐν ταῖς ἀλαζονείαις ὑμῶν πᾶσα καύχησις τοιαύτη πονηρά
ἐστιν ◦ εἰδότι οὖν καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι ἁμαρτία 17
αὐτῷ ἐστιν ◦

Ἄγε νῦν οἱ πλούσιοι κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαι- **5**
πωρίαις ὑμῶν ταῖς ἐπερχομέναις ◦ ὁ πλοῦτος ὑμῶν σέ- 2
σηπεν καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν ◦ ὁ χρυσὸς 3
ὑμῶν καὶ ὁ ἄργυρος κατίωται καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρ-
τύριον ὑμῖν ἔσται καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ
ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις ◦ ἰδοὺ ὁ μισθὸς τῶν ἐρ- 4
γατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν ὁ ἀπεστερημένος
ἀφ᾽ ὑμῶν κράζει καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα

**v.7** ΤΚ: τω, ΜV: δε τω. **v.9** T*: μεταστραφητω, V: μετατραπητω. **v.10** T*: του, V: ∅. **v.11** T*: και, V: η. **v.12** T*: ο νομοθετης, V: [ο] νομοθετης και κριτης. **v.12** ΤΚ: συ, ΜV: συ δε. **v.12** T*: ος κρινεις τον ετερον, V: ο κρινων τον πλησιον. **v.13** ΤΜ: και αυριον πορευσωμεθα, ΚV: η αυριον πορευσομεθα. **v.13** ΤΜ: ποιησωμεν, ΚV: ποιησομεν. **v.13** T*: ενα, V: ∅. **v.13** ΤΜ: εμπορευσωμεθα και κερδησωμεν, ΚV: εμπορευσομεθα και κερδησομεν. **v.14** T*: γαρ, V: ∅. **v.14** ΤΚ: εστιν, Μ: εσται, V: εστε. **v.14** ΤΚ: δε, Μ: δε και, V: και. **v.15** ΤΜ: ζησωμεν και ποιησωμεν, ΚV: ζησομεν και ποιησομεν.

κυρίου σαβαὼθ εἰσεληλύθασιν ⸰ ἐτρυφήσατε ἐπὶ τῆς γῆς
καὶ ἐσπαταλήσατε ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡ-
μέρᾳ σφαγῆς ⸰ κατεδικάσατε ἐφονεύσατε τὸν δίκαιον οὐκ
ἀντιτάσσεται ὑμῖν ⸰ μακροθυμήσατε οὖν ἀδελφοὶ ἕως τῆς
παρουσίας τοῦ κυρίου ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον
καρπὸν τῆς γῆς μακροθυμῶν ἐπ᾽ αὐτῷ˚ ἕως ἂν λάβῃ ὑετὸν
πρώϊμον καὶ ὄψιμον ⸰ μακροθυμήσατε καὶ ὑμεῖς στηρίξατε τὰς καρδίας ὑμῶν ὅτι ἡ παρουσία τοῦ κυρίου ἤγγικεν ⸰
μὴ στενάζετε κατ᾽˚ ἀλλήλων ἀδελφοὶ ἵνα μὴ κατακριθῆτε˚
ἰδοὺ κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν ⸰ ὑπόδειγμα λάβετε
τῆς˚ κακοπαθείας ἀδελφοί μου καὶ τῆς μακροθυμίας τοὺς
προφήτας οἳ ἐλάλησαν τῷ˚ ὀνόματι κυρίου ⸰ ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας τὴν ὑπομονὴν ἰὼβ ἠκούσατε καὶ
τὸ τέλος κυρίου εἴδετε ὅτι πολύσπλαγχνός ἐστιν ὁ˚ κύριος
καὶ οἰκτίρμων ⸰ πρὸ πάντων δὲ ἀδελφοί μου μὴ ὀμνύετε
μήτε τὸν οὐρανὸν μήτε τὴν γῆν μήτε ἄλλον τινὰ ὅρκον ἤτω
δὲ ὑμῶν τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ ἵνα μὴ εἰς˚ ὑπόκρισιν
πέσητε ⸰ κακοπαθεῖ τις ἐν ὑμῖν προσευχέσθω εὐθυμεῖ τις
ψαλλέτω ⸰ ἀσθενεῖ τις ἐν ὑμῖν προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας καὶ προσευξάσθωσαν ἐπ᾽ αὐτὸν
ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ˚ ὀνόματι τοῦ κυρίου ⸰ καὶ ἡ
εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα καὶ ἐγερεῖ αὐτὸν ὁ
κύριος κἂν ἁμαρτίας ᾖ πεποιηκὼς ἀφεθήσεται αὐτῷ˚ ⸰ ἐξομολογεῖσθε˚ ἀλλήλοις τὰ παραπτώματα καὶ εὔχεσθε ὑπὲρ
ἀλλήλων ὅπως ἰαθῆτε πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη ⸰ ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν καὶ προσευχῇ
προσηύξατο τοῦ μὴ βρέξαι καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ ⸰ καὶ πάλιν προσηύξατο καὶ

**5. v.5** T*: ως, V: ∅. **v.7** TK: αυτω εως αν λαβη υετον πρωιμον, M: αυτον εως λαβη υετον πρωιμον, V: αυτω εως λαβη προιμον. **v.9** T*: κατ αλληλων αδελφοι, V: αδελφοι κατ αλληλων. **v.9** T: κατακριθητε ιδου, K: κατακριθητε ιδου ο, MV: κριθητε ιδου ο. **v.10** TK: της κακοπαθειας αδελφοι μου, M: αδελφοι μου της κακοπαθειας, V: αδελφοι της κακοπαθιας. **v.10** T*: τω, V: εν τω. **v.11** T*: υπομενοντας, V: υπομεναντας. **v.11** TKV: ο κυριος, M: ∅. **v.12** TM: εις υποκρισιν, KV: υπο κρισιν. **v.16** T*: εξομολογεισθε αλληλοις τα παραπτωματα, V: εξομολογεισθε ουν αλληλοις τας αμαρτιας.

ὁ οὐρανὸς ὑετὸν ἔδωκεν καὶ ἡ γῆ ἐβλάστησεν τὸν καρπὸν
αὐτῆς ⸰ ἀδελφοὶ ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας 19
καὶ ἐπιστρέψῃ τις αὐτόν ⸰ γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁ- 20
μαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου
καὶ καλύψει πλῆθος ἁμαρτιῶν ⸰

**v.19** T*: αδελφοι, V: αδελφοι μου. **v.20** T*: ψυχην, V: ψυχην αυτου.

# ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ
## ΠΡΩΤΗ˚

**1** Πέτρος ἀπόστολος ἰησοῦ χριστοῦ ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς πόντου γαλατίας καππαδοκίας ἀσίας καὶ
2 βιθυνίας ◦ κατὰ πρόγνωσιν θεοῦ πατρὸς ἐν ἁγιασμῷ̃ πνεύματος εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος ἰησοῦ χριστοῦ
3 χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ◦ εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι᾽ ἀ-
4 ναστάσεως ἰησοῦ χριστοῦ ἐκ νεκρῶν ◦ εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον τετηρημένην ἐν οὐ-
5 ρανοῖς εἰς ἡ̔μᾶς ◦ τοὺς ἐν δυνάμει θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ̃
6 ἐσχάτῳ ◦ ἐν ᾧ̃ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι εἰ δέον ἐστὶν λυπη-
7 θέντες ἐν ποικίλοις πειρασμοῖς ◦ ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολὺ˚ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου διὰ πυρὸς δὲ δοκιμαζομένου εὑρεθῇ̃ εἰς ἔπαινον καὶ τιμὴν˚
8 καὶ δόξαν ἐν ἀποκαλύψει ἰησοῦ χριστοῦ ◦ ὃν οὐκ ἰ̈δότες ἀγαπᾶτε εἰς ὃν ἄρτι μὴ ὁρῶντες πιστεύοντες δὲ ἀγαλλιᾶσθε
9 χαρᾷ̃ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ ◦ κομιζόμενοι τὸ τέλος
10 τῆς πίστεως ὑμῶν σωτηρίαν ψυχῶν ◦ περὶ ἧ̃ς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρἐύνησαν προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς
11 χάριτος προφητεύσαντες ◦ ἐρἐυνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα χριστοῦ προμαρτυρόμενον τὰ εἰς χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας ◦
12 οἷ̃ς ἀπεκαλύφθη ὅτι οὐχ ἑαυτοῖς ἡ̔μῖν δὲ διηκόνουν αὐτὰ ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν

---

Τ: ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ ΕΠΙΣΤΟΛΗ ΠΡΩΤΗ, Κ: ΠΕΤΡΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ, ΜV: ΠΕΤΡΟΥ Α. **1. v.4** Τ: ημας, ΚΜV: υμας. **v.7** Τ*: πολυ τιμιωτερον, V: πολυτιμοτερον. **v.7** ΤΚ: τιμην και δοξαν, Μ: τιμην και εις δοξαν, V: δοξαν και τιμην. **v.8** ΤΜ: ειδοτες, ΚV: ιδοντες. **v.10** Τ*: εξηρευνησαν, V: εξηραυνησαν. **v.11** Τ*: ερευνωντες, V: εραυνωντες. **v.12** ΤΚ: ημιν, ΜV: υμιν.

πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ᾽ οὐρανοῦ εἰς ἃ ἐπιθυμοῦ-
σιν ἄγγελοι παρακύψαι· διὸ ἀναζωσάμενοι τὰς ὀσφύας 13
τῆς διανοίας ὑμῶν νήφοντες τελείως ἐλπίσατε ἐπὶ τὴν φε-
ρομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει ἰησοῦ χριστοῦ· ὡς τέ- 14
κνα ὑπακοῆς μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ
ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις· ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς 15
ἅγιον καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε· διότι 16
γέγραπται ἅγιοι˚ γένεσθε ὅτι ἐγὼ ἅγιός εἰμι· καὶ εἰ πα- 17
τέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ
ἑκάστου ἔργον ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον
ἀναστράφητε· εἰδότες ὅτι οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ 18
ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαρα-
δότου· ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου 19
χριστοῦ· προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου φα- 20
νερωθέντος δὲ ἐπ᾽ ἐσχάτων τῶν χρόνων δι᾽ ὑμᾶς· τοὺς δι᾽ 21
αὐτοῦ πιστεύοντας εἰς θεὸν τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν
καὶ δόξαν αὐτῷ δόντα ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα
εἶναι εἰς θεόν· τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ 22
τῆς ἀληθείας διὰ˚ πνεύματος εἰς φιλαδελφίαν ἀνυπόκρι-
τον ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς·
ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς ἀλλὰ ἀφθάρτου 23
διὰ λόγου ζῶντος θεοῦ καὶ μένοντος εἰς˚ τὸν αἰῶνα· διότι 24
πᾶσα σὰρξ ὡς χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος
χόρτου ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν·
τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα τοῦτο δέ ἐστιν τὸ 25
ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς·

Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑ- **2**
ποκρίσεις καὶ φθόνους καὶ πάσας καταλαλιάς· ὡς ἀρτι- 2
γέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε ἵνα
ἐν αὐτῷ αὐξηθῆτε˙· εἴπερ ἐγεύσασθε ὅτι χρηστὸς ὁ κύ- 3

---

**v.16** TK: αγιοι γενεσθε, M: αγιοι γινεσθε, V: [οτι] αγιοι εσεσθε. **v.17** T*: απροσωποληπτως, V: απροσωπολημπτως. **v.20** T*: εσχατων, V: εσχατου. **v.21** T*: πιστευοντας, V: πιστους. **v.22** T*: δια πνευματος, V: ∅. **v.23** T*: εις τον αιωνα, V: ∅. **v.24** T*: ανθρωπου, V: αυτης. **v.24** T*: αυτου, V: ∅. **2. v.2** T*: αυξηθητε, V: αυξηθητε εις σωτηριαν. **v.3** T*: ειπερ, V: ει.

4 ριος ⸰ πρὸς ὃν προσερχόμενοι λίθον ζῶντα ὑπὸ ἀνθρώπων
μὲν ἀποδεδοκιμασμένον παρὰ δὲ θεῷ ἐκλεκτὸν ἔντιμον ⸰
5 καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε οἶκος πνευματικὸς
ἱεράτευμα ἅγιον ἀνενέγκαι πνευματικὰς θυσίας εὐπροσ-
6 δέκτους τῷ θεῷ διὰ ἰησοῦ χριστοῦ ⸰ διὸ καὶ περιέχει ἐν τῇ
γραφῇ ἰδοὺ τίθημι ἐν σιὼν λίθον ἀκρογωνιαῖον ἐκλεκτὸν
7 ἔντιμον καὶ ὁ πιστεύων ἐπ᾽ αὐτῷ οὐ μὴ καταισχυνθῇ ⸰ ὑμῖν
οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν ἀπειθοῦσιν δὲ λίθον ὃν ἀπε-
δοκίμασαν οἱ οἰκοδομοῦντες οὗτος ἐγενήθη εἰς κεφαλὴν
8 γωνίας ⸰ καὶ λίθος προσκόμματος καὶ πέτρα σκανδάλου
οἳ προσκόπτουσιν τῷ λόγῳ ἀπειθοῦντες εἰς ὃ καὶ ἐτέθη-
9 σαν ⸰ ὑμεῖς δὲ γένος ἐκλεκτὸν βασίλειον ἱεράτευμα ἔθνος
ἅγιον λαὸς εἰς περιποίησιν ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε
τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ
10 φῶς ⸰ οἵ ποτε οὐ λαὸς νῦν δὲ λαὸς θεοῦ οἱ οὐκ ἠλεημένοι
11 νῦν δὲ ἐλεηθέντες ⸰ ἀγαπητοὶ παρακαλῶ ὡς παροίκους καὶ
παρεπιδήμους ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν αἵτινες
12 στρατεύονται κατὰ τῆς ψυχῆς ⸰ τὴν ἀναστροφὴν ὑμῶν ἐν
τοῖς ἔθνεσιν ἔχοντες καλὴν ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς
κακοποιῶν ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες δοξάσωσιν
13 τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς ⸰ ὑποτάγητε οὖν πάσῃ ἀν-
θρωπίνῃ κτίσει διὰ τὸν κύριον εἴτε βασιλεῖ ὡς ὑπερέχοντι ⸰
14 εἴτε ἡγεμόσιν ὡς δι᾽ αὐτοῦ πεμπομένοις εἰς ἐκδίκησιν μὲν
15 κακοποιῶν ἔπαινον δὲ ἀγαθοποιῶν ⸰ ὅτι οὕτως ἐστὶν τὸ θέ-
λημα τοῦ θεοῦ ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων
16 ἀνθρώπων ἀγνωσίαν ⸰ ὡς ἐλεύθεροι καὶ μὴ ὡς ἐπικάλυμμα
ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν ἀλλ᾽ ὡς δοῦλοι θεοῦ ⸰
17 πάντας τιμήσατε τὴν ἀδελφότητα ἀγαπᾶτε τὸν θεὸν φοβεῖ-
18 σθε τὸν βασιλέα τιμᾶτε ⸰ οἱ οἰκέται ὑποτασσόμενοι ἐν παντὶ
φόβῳ τοῖς δεσπόταις οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν

**v.5** T*: πνευματικος, V: πνευματικος εις. **v.6** TK: διο και, MV: διοτι. **v.6** T*: τη, V: ∅. **v.7** T*: απειθουσιν δε λιθον, V: απιστουσιν δε λιθος. **v.12** TKV: εν τοις εθνεσιν εχοντες καλην, M: εχοντες καλην εν τοις εθνεσιν. **v.12** T*: εποπτευσαντες, V: εποπτευοντες. **v.13** T*: ουν, V: ∅. **v.14** TK: μεν, MV: ∅. **v.16** T*: δουλοι θεου, V: θεου δουλοι. **v.17** TKV: αγαπατε, M: αγαπησατε.

ἀλλὰ καὶ τοῖς σκολιοῖς· τοῦτο γὰρ χάρις εἰ διὰ συνείδη- 19
σιν θεοῦ ὑποφέρει τις λύπας πάσχων ἀδίκως· ποῖον γὰρ 20
κλέος εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε ἀλλ᾽
εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε τοῦτο χάρις
παρὰ θεῷ· εἰς τοῦτο γὰρ ἐκλήθητε ὅτι καὶ χριστὸς ἔπαθεν 21
ὑπὲρ ἡμῶν˚ ἡμῖν ὑπολιμπάνων ὑπογραμμὸν ἵνα ἐπακο-
λουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· ὃς ἁμαρτίαν οὐκ ἐποίησεν 22
οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ὃς λοιδορούμε- 23
νος οὐκ ἀντελοιδόρει πάσχων οὐκ ἠπείλει παρεδίδου δὲ
τῷ κρίνοντι δικαίως· ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνή- 24
νεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον ἵνα ταῖς ἁμαρτίαις
ἀπογενόμενοι τῇ δικαιοσύνῃ ζήσωμεν οὗ τῷ μώλωπι αὐτοῦ
ἰάθητε· ἦτε γὰρ ὡς πρόβατα πλανώμενᾰ ἀλλ᾽ ἐπεστράφητε 25
νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν·

Ὁμοίως αἱ γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν **3**
ἵνα καὶ εἴ τινες ἀπειθοῦσιν τῷ λόγῳ διὰ τῆς τῶν γυναικῶν
ἀναστροφῆς ἄνευ λόγου κερδηθήσωνται· ἐποπτεύσαντες 2
τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν· ὧν ἔστω οὐχ ὁ ἔξω- 3
θεν ἐμπλοκῆς τριχῶν καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως
ἱματίων κόσμος· ἀλλ᾽ ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος 4
ἐν τῷ ἀφθάρτῳ τοῦ πρᾳέος καὶ ἡσυχίου πνεύματος ὅ ἐστιν
ἐνώπιον τοῦ θεοῦ πολυτελές· οὕτως γάρ ποτε καὶ αἱ ἅγιαι 5
γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ˚ τὸν θεὸν ἐκόσμουν ἑαυτὰς ὑ-
ποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν· ὡς σάρρα ὑπήκουσεν 6
τῷ ἀβραὰμ κύριον αὐτὸν καλοῦσα ἧς ἐγενήθητε τέκνα ἀ-
γαθοποιοῦσαι καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν· οἱ 7
ἄνδρες ὁμοίως συνοικοῦντες κατὰ γνῶσιν ὡς ἀσθενεστέρῳ
σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμὴν ὡς καὶ συγκληρο-
νόμοι χάριτος ζωῆς εἰς τὸ μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς
ὑμῶν· τὸ δὲ τέλος πάντες ὁμόφρονες συμπαθεῖς φιλάδελ- 8

**v.21** ΤΚ: ημων ημιν, Μ: ημων υμιν, V: υμων υμιν. **v.24** T*: αυτου, V: ∅. **v.25** T*: πλανωμενα, V: πλανωμενοι. **v.25** T*: αλλ, V: αλλα. **3. v.1** ΤΚ: κερδηθησωνται, ΜV: κερδηθησονται. **v.4** T*: πραεος, V: πραεως. **v.5** ΤΚ: επι τον, Μ: επι, V: εις. **v.7** T*: συγκληρονομοι, V: συγκληρονομοις. **v.7** ΤΚ: εκκοπτεσθαι, ΜV: εγκοπτεσθαι.

9 φοι εὔσπλαγχνοι φιλόφρονες ◦ μὴ ἀποδιδόντες κακὸν ἀντὶ
κακοῦ ἢ λοιδορίαν ἀντὶ λοιδορίας τοὐναντίον δὲ εὐλογοῦν-
τες εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε ἵνα εὐλογίαν κληρονομή-
10 σητε ◦ ὁ γὰρ θέλων ζωὴν ἀγαπᾶν καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς
παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ καὶ χείλη αὐτοῦ
11 τοῦ μὴ λαλῆσαι δόλον ◦ ἐκκλινάτω ἀπὸ κακοῦ καὶ ποιη-
12 σάτω ἀγαθὸν ζητησάτω εἰρήνην καὶ διωξάτω αὐτήν ◦ ὅτι ὀἱ
ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους καὶ ὦτα αὐτοῦ εἰς δέησιν
13 αὐτῶν πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά ◦ καὶ τίς
14 ὁ κακώσων ὑμᾶς ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε ◦ ἀλλ᾽
εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην μακάριοι τὸν δὲ φόβον
15 αὐτῶν μὴ φοβηθῆτε μηδὲ ταραχθῆτε ◦ κύριον δὲ τὸν θεὸν
ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν ἕτοιμοι δὲ ̊ ἀεὶ πρὸς ἀ-
πολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν
16 ἐλπίδος μετὰ πραΰτητος καὶ φόβου ◦ συνείδησιν ἔχοντες
ἀγαθὴν ἵνα ἐν ᾧ καταλαλῶσιν ̊ ὑμῶν ὡς κακοποιῶν κα-
ταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν χριστῷ
17 ἀναστροφήν ◦ κρεῖττον γὰρ ἀγαθοποιοῦντας εἰ θέλει τὸ θέ-
18 λημα τοῦ θεοῦ πάσχειν ἢ κακοποιοῦντας ◦ ὅτι καὶ χριστὸς
ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθεν δίκαιος ὑπὲρ ἀδίκων ἵνα ἡμᾶς
προσαγάγῃ τῷ θεῷ θανατωθεὶς μὲν σαρκὶ ζωοποιηθεὶς δὲ
19 τῷ πνεύματι ◦ ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασιν πορευ-
20 θεὶς ἐκήρυξεν ◦ ἀπειθήσασίν ποτε ὅτε ἅπαξ ̊ ἐξεδέχετο ἡ
τοῦ θεοῦ μακροθυμία ἐν ἡμέραις νῶε κατασκευαζομένης
κιβωτοῦ εἰς ἣν ὀλίγαι τουτέστιν ὀκτὼ ψυχαὶ διεσώθησαν
21 δι᾽ ὕδατος ◦ ὃ ̊ καὶ ἡμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα οὐ
σαρκὸς ἀπόθεσις ῥύπου ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώ-
22 τημα εἰς θεὸν δι᾽ ἀναστάσεως ἰησοῦ χριστοῦ ◦ ὅς ἐστιν ἐν

---

**v.8** T*: φιλοφρονες, V: ταπεινοφρονες. **v.9** T*: ειδοτες, V: ∅. **v.10** T*: αυτου, V: ∅. **v.11** T*: εκκλινατω, V: εκκλινατω δε. **v.12** TK: οι, MV: ∅. **v.13** T*: μιμηται, V: ζηλωται. **v.15** T*: θεον, V: χριστον. **v.15** T*: δε, V: ∅. **v.15** T*: μετα, V: αλλα μετα. **v.16** T*: καταλαλωσιν υμων ως κακοποιων, V: καταλαλεισθε. **v.17** TK: θελει, MV: θελοι. **v.18** TK: ημας, MV: υμας. **v.18** TK: τω, MV: ∅. **v.20** TK: απαξ εξεδεχετο, MV: απεξεδεχετο. **v.20** T*: ολιγαι, V: ολιγοι. **v.20** T: τουτεστιν, KMV: τουτ εστιν. **v.21** T: ο και ημας αντιτυπον νυν, K: ω και ημας αντιτυπον νυν, M: ο αντιτυπον νυν και ημας, V: ο και υμας αντιτυπον νυν.

δεξιᾷ τοῦ θεοῦ πορευθεὶς εἰς οὐρανὸν ὑποταγέντων αὐτῷ
ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων ⸰

Χριστοῦ οὖν παθόντος ὑπὲρ˚ ἡμῶν σαρκὶ καὶ ὑμεῖς τὴν **4**
αὐτὴν ἔννοιαν ὁπλίσασθε ὅτι ὁ παθὼν ἐν σαρκὶ πέπαυται
ἁμαρτίας ⸰ εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις ἀλλὰ θελή- 2
ματι θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον ⸰ ἀρκετὸς 3
γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ˚ βίου τὸ θέλημα τῶν
ἐθνῶν κατεργάσασθαι πεπορευμένους ἐν ἀσελγείαις ἐπι-
θυμίαις οἰνοφλυγίαις κώμοις πότοις καὶ ἀθεμίτοις εἰδω-
λολατρείαις ⸰ ἐν ᾧ ξενίζονται μὴ συντρεχόντων ὑμῶν εἰς 4
τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν βλασφημοῦντες ⸰ οἳ ἀπο- 5
δώσουσιν λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νε-
κρούς ⸰ εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη ἵνα κριθῶ- 6
σιν μὲν κατὰ ἀνθρώπους σαρκὶ ζῶσιν δὲ κατὰ θεὸν πνεύ-
ματι ⸰ πάντων δὲ τὸ τέλος ἤγγικεν σωφρονήσατε οὖν καὶ 7
νήψατε εἰς τὰς προσευχάς ⸰ πρὸ πάντων δὲ˚ τὴν εἰς ἑαυ- 8
τοὺς ἀγάπην ἐκτενῆ ἔχοντες ὅτι ἀγάπη καλύψει πλῆθος ἁ-
μαρτιῶν ⸰ φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμῶν˙ ⸰ ἕκα- 9, 10
στος καθὼς ἔλαβεν χάρισμα εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες
ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος θεοῦ ⸰ εἴ˙ τις λαλεῖ ὡς 11
λόγια θεοῦ εἴ˙ τις διακονεῖ ὡς ἐξ ἰσχύος ἧς˙ χορηγεῖ ὁ θεὸς
ἵνα ἐν πᾶσιν δοξάζηται ὁ θεὸς διὰ ἰησοῦ χριστοῦ ᾧ˙ ἐστιν ἡ
δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν ⸰ ἀ- 12
γαπητοὶ μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν
ὑμῖν γινομένῃ ὡς ξένου ὑμῖν συμβαίνοντος ⸰ ἀλλὰ καθὸ 13
κοινωνεῖτε τοῖς τοῦ χριστοῦ παθήμασιν χαίρετε ἵνα καὶ ἐν
τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι ⸰ εἰ 14
ὀνειδίζεσθε ἐν ὀνόματι χριστοῦ μακάριοι ὅτι τὸ τῆς δόξης
καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ᾽ ὑμᾶς ἀναπαύεται κατὰ˚ μὲν
αὐτοὺς βλασφημεῖται κατὰ δὲ ὑμᾶς δοξάζεται ⸰ μὴ γάρ τις 15

**4. v.1** T*: υπερ ημων, V: ∅. **v.1** T*: εν, V: ∅. **v.3** TK: ημιν, M: υμιν, V: ∅. **v.3** T*: του βιου το θελημα, V: το βουλημα. **v.3** T*: κατεργασασθαι, V: κατειργασθαι. **v.3** T*: ειδωλολατρειαις, V: ειδωλολατριαις. **v.7** T*: τας, V: ∅. **v.8** T*: δε, V: ∅. **v.8** TMV: οτι, K: οτι η. **v.8** T*: καλυψει, V: καλυπτει. **v.9** T*: γογγυσμων, V: γογγυσμου. **v.11** TKV: ης, M: ως. **v.14** T*: κατα . . . δοξαζεται, V: ∅.

ὑμῶν πασχέτω ὡς φονεὺς ἢ κλέπτης ἢ κακοποιὸς ἢ ὡς
16 ἀλλοτριοεπίσκοπος· εἰ δὲ ὡς χριστιανὸς μὴ αἰσχυνέσθω
17 δοξαζέτω δὲ τὸν θεὸν ἐν τῷ μέρει τούτῳ· ὅτι ὁ καιρὸς τοῦ
ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ εἰ δὲ πρῶτον ἀφ᾽
ἡμῶν τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ θεοῦ εὐαγγελίῳ·
18 καὶ εἰ ὁ δίκαιος μόλις σώζεται ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς
19 ποῦ φανεῖται· ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ
θεοῦ ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς ἑαυτῶν
ἐν ἀγαθοποιΐᾳ·

**5** Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ συμπρεσβύτε-
ρος καὶ μάρτυς τῶν τοῦ χριστοῦ παθημάτων ὁ καὶ τῆς μελ-
2 λούσης ἀποκαλύπτεσθαι δόξης κοινωνός· ποιμάνατε τὸ
ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ ἐπισκοποῦντες μὴ ἀναγκαστῶς
3 ἀλλ᾽ ἑκουσίως μηδὲ αἰσχροκερδῶς ἀλλὰ προθύμως· μηδ᾽
ὡς κατακυριεύοντες τῶν κλήρων ἀλλὰ τύποι γινόμενοι τοῦ
4 ποιμνίου· καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος κομιεῖσθε
5 τὸν ἀμαράντινον τῆς δόξης στέφανον· ὁμοίως νεώτεροι ὑ-
ποτάγητε πρεσβυτέροις πάντες δὲ ἀλλήλοις ὑποταῤσόμενοι
τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε ὅτι ὁ θεὸς ὑπερηφά-
6 νοις ἀντιτάσσεται ταπεινοῖς δὲ δίδωσιν χάριν· ταπεινώθητε
οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ ἵνα ὑμᾶς ὑψώσῃ ἐν
7 καιρῷ· πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ᾽ αὐ-
8 τὸν ὅτι αὐτῷ μέλει περὶ ὑμῶν· νήψατε γρηγορήσατε ὅτι ὁ
ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ ζη-
9 τῶν τίνα˚ καταπίῃ· ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει εἰδότες τὰ
αὐτὰ τῶν παθημάτων τῇ ἐν̓ κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτε-
10 λεῖσθαι· ὁ δὲ θεὸς πάσης χάριτος ὁ καλέσας ἡμᾶς εἰς τὴν
αἰώνιον αὐτοῦ δόξαν ἐν χριστῷ ἰησοῦ ὀλίγον παθόντας αὐ-

---

**v.15** T*: αλλοτριοεπισκοπος, V: αλλοτριεπισκοπος. **v.16** T*: μερει, V: ονοματι. **v.19** T*: ως, V: ∅. **v.19** TK: εαυτων, MV: αυτων. **5. v.1** T*: τους, V: ουν. **v.2** T*: αλλ, V: αλλα. **v.2** T*: εκουσιως, V: εκουσιως κατα θεον. **v.3** TKV: μηδ, M: μηδε. **v.5** T*: υποτασσομενοι, V: ∅. **v.7** T*: επιρριψαντες, V: επιριψαντες. **v.8** TK: οτι, MV: ∅. **v.8** T*: τινα καταπιη, V: [τινα] καταπιειν. **v.9** T*: εν, V: εν [τω]. **v.10** TK: ημας, MV: υμας.

τὸς καταρτίσαι˚ ὑμᾶς στηρίξαι σθενώσαι θεμελιώσαι ⸰ αὐτῷ 11
ἡ˚ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν ⸰
διὰ σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ ὡς λογίζομαι δι᾽ 12
ὀλίγων ἔγραψα παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι
ἀληθῆ χάριν τοῦ θεοῦ εἰς ἣν ἑ̔στήκατε ⸰ ἀσπάζεται ὑμᾶς 13
ἡ ἐν βαβυλῶνι συνεκλεκτὴ καὶ μάρκος ὁ υἱός μου ⸰ ἀσπά- 14
σασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης εἰρήνη ὑμῖν πᾶσιν
τοῖς ἐν χριστῷ ἰησοῦ˚ ἀμήν ⸰

**v.10** TK: καταρτισαι υμας στηριξαι σθενωσαι θεμελιωσαι, M: καταρτισαι υμας στηριξει σθενωσει θεμελιωσει, V: καταρτισει στηριξει σθενωσει θεμελιωσει. **v.11** T*: η δοξα και το κρατος εις τους αιωνας των αιωνων, V: το κρατος εις τους αιωνας. **v.12** T*: εστηκατε, V: στητε. **v.14** T*: ιησου αμην, V: ∅.

# ΕΠΙΣΤΟΛΗ ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ
## ΔΕΥΤΕΡΑ˚

**1** Σὺμεὼν πέτρος δοῦλος καὶ ἀπόστολος ἰησοῦ χριστοῦ
τοῖς ἰσότιμον ἡμῖν λαχοῦσιν πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ
2 ἡμῶν καὶ σωτῆροῦ ἰησοῦ χριστοῦ ⋄ χάρις ὑμῖν καὶ εἰρήνη
πληθυνθείη ἐν ἐπιγνώσει τοῦ θεοῦ καὶ ἰησοῦ τοῦ κυρίου
3 ἡμῶν ⋄ ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς
ζωὴν καὶ εὐσέβειαν δεδωρημένης διὰ τῆς ἐπιγνώσεως τοῦ
4 καλέσαντος ἡμᾶς διὰ˚ δόξης καὶ ἀρετῆς ⋄ δι᾽ ὧν τὰ μέγι-
στα˚ ἡμῖν καὶ τίμια ἐπαγγέλματα δεδώρηται ἵνα διὰ τού-
των γένησθε θείας κοινωνοὶ φύσεως ἀποφυγόντες τῆς ἐν˙
5 κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς ⋄ καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν
πᾶσαν παρεισενέγκαντες ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν
6 τὴν ἀρετὴν ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν ⋄ ἐν δὲ τῇ γνώσει τὴν
ἐγκράτειαν ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονὴν ἐν δὲ τῇ ὑπο-
7 μονῇ τὴν εὐσέβειαν ⋄ ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν ἐν
8 δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην ⋄ ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα
καὶ πλεονάζοντα οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν
9 εἰς τὴν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ἐπίγνωσιν ⋄ ᾧ γὰρ
μὴ πάρεστιν ταῦτα τυφλός ἐστιν μυωπάζων λήθην λαβὼν
10 τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν ⋄ διὸ μᾶλλον
ἀδελφοὶ σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλο-
γὴν ποιεῖσθαι ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε ⋄
11 οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς
τὴν αἰώνιον βασιλείαν τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος ἰησοῦ
12 χριστοῦ ⋄ διὸ οὐκ˚ ἀμελήσω ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ
τούτων καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ

---

**1. v.1** TMV: συμεων, K: σιμων. T: ΕΠΙΣΤΟΛΗ ΠΕΤΡΟΥ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ, K: ΠΕΤΡΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΔΕΥΤΕΡΑ, MV: ΠΕΤΡΟΥ Β. **v.1** TMV: σωτηρος, K: σωτηρος ημων. **v.3** T*: δια δοξης και αρετης, V: ιδια δοξη και αρετη. **v.4** TK: μεγιστα ημιν και τιμια, M: τιμια ημιν και μεγιστα, V: τιμια και μεγιστα ημιν. **v.4** T*: εν, V: εν τω. **v.12** TK: ουκ αμελησω υμας αει, M: ουκ αμελησω αει υμας, V: μελλησω αει υμας.

ἀληθείᾳ ◦ δίκαιον δὲ ἡγοῦμαι ἐφ᾽ ὅσον εἰμὶ ἐν τούτῳ τῷ 13
σκηνώματι διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει ◦ εἰδὼς ὅτι τα- 14
χινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου καθὼς καὶ ὁ
κύριος ἡμῶν ἰησοῦς χριστὸς ἐδήλωσέν μοι ◦ σπουδάσω δὲ 15
καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν τού-
των μνήμην ποιεῖσθαι ◦ οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξ- 16
ακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ κυρίου ἡμῶν
ἰησοῦ χριστοῦ δύναμιν καὶ παρουσίαν ἀλλ᾽ ἐπόπται γενη-
θέντες τῆς ἐκείνου μεγαλειότητος ◦ λαβὼν γὰρ παρὰ θεοῦ 17
πατρὸς τιμὴν καὶ δόξαν φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε
ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης οὗτός˚ ἐστιν ὁ υἱός μου ὁ
ἀγαπητὸς εἰς ὃν ἐγὼ εὐδόκησα ◦ καὶ ταύτην τὴν φωνὴν ἡ- 18
μεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν σὺν αὐτῷ ὄντες ἐν
τῷ ὄρει˚ τῷ ἁγίῳ ◦ καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν 19
λόγον ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν
αὐχμηρῷ τόπῳ ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀ-
νατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν ◦ τοῦτο πρῶτον γινώσκοντες 20
ὅτι πᾶσα προφητεία γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται ◦
οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ˚ προφητεία ἀλλ᾽ 21
ὑπὸ πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν οἱ˚ ἅγιοι θεοῦ
ἄνθρωποι ◦

Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ ὡς καὶ ἐν **2**
ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι οἵτινες παρεισάξουσιν αἱ-
ρέσεις ἀπωλείας καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρ-
νούμενοι ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν ◦ καὶ πολ- 2
λοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀπωλείαις δι᾽ οὓς ἡ ὁδὸς
τῆς ἀληθείας βλασφημηθήσεται ◦ καὶ ἐν πλεονεξίᾳ πλα- 3
στοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται οἷς τὸ κρίμα ἔκπαλαι
οὐκ ἀργεῖ καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει ◦ εἰ γὰρ ὁ θεὸς 4
ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο ἀλλὰ σειραῖς ζόφου

**v.17** T*: ουτος εστιν ο υιος μου ο αγαπητος, V: ο υιος μου ο αγαπητος μου ουτος εστιν. **v.18** T*: ορει τω αγιω, V: αγιω ορει. **v.21** T*: ποτε προφητεια αλλ, V: προφητεια ποτε αλλα. **v.21** T: οι αγιοι, KM: αγιοι, V: απο. **2. v.2** TK: απωλειαις, MV: ασελγειαις. **v.3** TKV: νυσταζει, M: νυσταξει.

5 ταρταρώσας παρέδωκεν εἰς κρίσιν τετηρημένους· καὶ ἀρ-
χαίου κόσμου οὐκ ἐφείσατο ἀλλ᾽ ὄγδοον νῶε δικαιοσύνης
κήρυκα ἐφύλαξεν κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας·
6 καὶ πόλεις σοδόμων καὶ γομόρρας τεφρώσας καταστροφῇ
7 κατέκρινεν ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθεικώς· καὶ
δίκαιον λὼτ καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀ-
8 σελγείᾳ ἀναστροφῆς ἐρρύσατο· βλέμματι γὰρ καὶ ἀκοῇ ὁ
δίκαιος ἐγκατοικῶν ἐν αὐτοῖς ἡμέραν ἐξ ἡμέρας ψυχὴν
9 δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν· οἶδεν κύριος εὐσε-
βεῖς ἐκ πειρασμοῦ ῥύεσθαι ἀδίκους δὲ εἰς ἡμέραν κρί-
10 σεως κολαζομένους τηρεῖν· μάλιστα δὲ τοὺς ὀπίσω σαρ-
κὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομένους καὶ κυριότητος
καταφρονοῦντας τολμηταὶ αὐθάδεις δόξας οὐ τρέμουσιν
11 βλασφημοῦντες· ὅπου ἄγγελοι ἰσχύϊ καὶ δυνάμει μείζο-
νες ὄντες οὐ φέρουσιν κατ᾽ αὐτῶν παρὰ κυρίῳ βλάσφημον
12 κρίσιν· οὗτοι δὲ ὡς ἄλογα ζῶα φυσικὰ γεγενημένα εἰς ἅ-
λωσιν καὶ φθορὰν ἐν οἷς ἀγνοοῦσιν βλασφημοῦντες ἐν τῇ
13 φθορᾷ αὐτῶν καὶ φθαρήσονται· κομιούμενοι μισθὸν ἀ-
δικίας ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφὴν σπίλοι καὶ
μῶμοι ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν συνευωχούμενοι
14 ὑμῖν· ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ ἀκατα-
παύστους ἁμαρτίας δελεάζοντες ψυχὰς ἀστηρίκτους καρ-
δίαν γεγυμνασμένην πλεονεξίαις ἔχοντες κατάρας τέκνα·
15 καταλιπόντες τὴν εὐθεῖαν ὁδὸν ἐπλανήθησαν ἐξακολου-
θήσαντες τῇ ὁδῷ τοῦ βαλαὰμ τοῦ βοσὸρ ὃς μισθὸν ἀδι-
16 κίας ἠγάπησεν· ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας ὑπο-
ζύγιον ἄφωνον ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον ἐκώλυσεν
17 τὴν τοῦ προφήτου παραφρονίαν· οὗτοί εἰσιν πηγαὶ ἄνυ-
δροι νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι οἷς ὁ ζόφος τοῦ

---

**v.4** TK: τετηρημενους, MV: τηρουμενους. **v.5** T*: αλλ, V: αλλα. **v.6** T*: ασεβειν, V: ασεβε[σ]ιν. **v.9** TMV: πειρασμου, K: πειρασμων. **v.11** T*: κυριω, V: κυριου. **v.12** T*: φυσικα γεγενημενα, V: γεγεννημενα φυσικα. **v.12** TK: καταφθαρησονται, M: και καταφθαρησονται, V: και φθαρησονται. **v.13** T*: κομιουμενοι, V: αδικουμενοι. **v.14** TK: πλεονεξιαις, MV: πλεονεξιας. **v.15** TK: καταλιποντες την, M: καταλιποντες, V: καταλειποντες. **v.17** T*: νεφελαι, V: και ομιχλαι.

σκότους εἰς˚ αἰῶνα τετήρηται ⸰ ὑπέρογκα γὰρ ματαιότητος 18
φθεγγόμενοι δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς ἀσελγεί-
αις˚ τοὺς ὄντως ἀποφυγόντας τοὺς ἐν πλάνῃ ἀναστρεφο-
μένους ⸰ ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι αὐτοὶ δοῦλοι 19
ὑπάρχοντες τῆς φθορᾶς ᾧ γάρ τις ἥττηται τούτῳ κἀι δεδού-
λωται ⸰ εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν 20
ἐπιγνώσει τοῦ κυρίοὺ καὶ σωτῆρος ἰησοῦ χριστοῦ τούτοις
δὲ πάλιν ἐμπλακέντες ἡττῶνται γέγονεν αὐτοῖς τὰ ἔσχατα
χείρονα τῶν πρώτων ⸰ κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνω- 21
κέναι τὴν ὁδὸν τῆς δικαιοσύνης ἢ ἐπιγνοῦσιν ἐπιστρέψαι
ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς ⸰ συμβέβηκεν 22
δὲ˚ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας κύων ἐπιστρέψας ἐπὶ
τὸ ἴδιον ἐξέραμα καὶ ὗς λουσαμένη εἰς κύλισμὰ βορβόρου ⸰

Ταύτην ἤδη ἀγαπητοὶ δευτέραν ὑμῖν γράφω ἐπιστολὴν **3**
ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν ⸰
μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προ- 2
φητῶν καὶ τῆς τῶν ἀποστόλων ἡμῶν ἐντολῆς τοῦ κυρίου καὶ
σωτῆρος ⸰ τοῦτο πρῶτον γινώσκοντες ὅτι ἐλεύσονται ἐπ᾽ ἐ- 3
σχάτου˚ τῶν ἡμερῶν ἐμπαῖκται κατὰ τὰς ἰδίας αὐτῶν˚ ἐπι-
θυμίας πορευόμενοι ⸰ καὶ λέγοντες ποῦ ἐστιν ἡ ἐπαγγελία 4
τῆς παρουσίας αὐτοῦ ἀφ᾽ ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν
πάντα οὕτως διαμένει ἀπ᾽ ἀρχῆς κτίσεως ⸰ λανθάνει γὰρ 5
αὐτοὺς τοῦτο θέλοντας ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι καὶ γῆ
ἐξ ὕδατος καὶ δι᾽ ὕδατος συνεστῶσα τῷ τοῦ θεοῦ λόγῳ ⸰ δι᾽ 6
ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο ⸰ οἱ δὲ νῦν 7
οὐρανοὶ καὶ ἡ γῆ αὐτοῦ˚ λόγῳ τεθησαυρισμένοι εἰσὶν πυρὶ
τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν
ἀνθρώπων ⸰ ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς ἀγαπητοὶ ὅτι 8
μία ἡμέρα παρὰ κυρίῳ ὡς χίλια ἔτη καὶ χίλια ἔτη ὡς ἡ-

**v.17** T*: εις αιωνα, V: ∅. **v.18** TM: ασελγειαις τους οντως αποφυγοντας, K: εν ασελγειαις τους οντως αποφυγοντας, V: ασελγειαις τους ολιγως αποφευγοντας. **v.19** T*: και, V: ∅. **v.20** T*: κυριου, V: κυριου [ημων]. **v.21** T*: επιστρεψαι, V: υποστρεψαι. **v.22** T*: δε, V: ∅. **v.22** T*: κυλισμα, V: κυλισμον. **3. v.2** TK: ημων, MV: υμων. **v.3** T*: εσχατου των ημερων, V: εσχατων των ημερων [εν] εμπαιγμονη. **v.3** TK: αυτων επιθυμιας, MV: επιθυμιας αυτων. **v.7** T: αυτου, KV: τω αυτω, M: τω αυτου.

9 μέρα μία ◦ οὐ βραδύνει ὁ˚ κύριος τῆς ἐπαγγελίας ὥς τινες
βραδυτῆτα ἡγοῦνται ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς μὴ βου-
λόμενός τινας ἀπολέσθαι ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆ-
10 σαι ◦ ἥξει δὲ ἡ˚ ἡμέρα κυρίου ὡς κλέπτης ἐν νυκτὶ˚ ἐν ᾗ οἱ
οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται στοιχεῖα δὲ καυσούμενα
λυθήσο̑νται καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατ̀ακαήσεται ◦
11 τούτων οὖν̊ πάντων λυομένων ποταποὺς δεῖ ὑπάρχειν ὑ-
12 μᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις ◦ προσδοκῶν-
τας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ θεοῦ ἡμέρας
δι᾽ ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται καὶ στοιχεῖα καυ-
13 σούμενα τήκεται ◦ καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν
κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν ἐν οἷς δικαιοσύνη
14 κατοικεῖ ◦ διὸ ἀγαπητοὶ ταῦτα προσδοκῶντες σπουδάσατε
15 ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ̃ εὑρεθῆναι ἐν εἰρήνῃ ◦ καὶ τὴν
τοῦ κυρίου ἡμῶν μακροθυμίαν σωτηρίαν ἡγεῖσθε καθὼς
καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς παῦλος κατὰ τὴν αὐτῷ̃˚ δο-
16 θεῖσαν σοφίαν ἔγραψεν ὑμῖν ◦ ὡς καὶ ἐν πάσαις τα̑ῖς ἐπι-
στολαῖς λαλῶν ἐν αὐταῖς περὶ τούτων ἐν ὁ̑ῖς ἐστιν δυσνό-
ητά τινα ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν ὡς καὶ
17 τὰς λοιπὰς γραφὰς πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν ◦ ὑμεῖς
οὖν ἀγαπητοὶ προγινώσκοντες φυλάσσεσθε ἵνα μὴ τῇ τῶν
ἀθέσμων πλάνῃ συναπαχθέντες ἐκπέσητε τοῦ ἰδίου στηρι-
18 γμοῦ ◦ αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει τοῦ κυρίου ἡμῶν
καὶ σωτῆρος ἰησοῦ χριστοῦ αὐτῷ̃ ἡ δόξα καὶ νῦν καὶ εἰς
ἡμέραν αἰῶνος ἀμήν ◦

**v.9** T*: ο, V: ∅. **v.9** T*: ημας, V: υμας. **v.10** T*: η, V: ∅. **v.10** T*: νυκτι εν, V: ∅. **v.10** T*: λυθησονται, V: λυθησεται. **v.10** T*: κατακαησεται, V: ευρεθησεται. **v.11** T*: ουν, V: ουτως. **v.15** T*: αυτω δοθεισαν, V: δοθεισαν αυτω. **v.16** T*: ταις, V: ∅. **v.16** T*: οις, V: αις.

# ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ
## ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ˚

**1** ῞Ο ἦν ἀπ᾽ ἀρχῆς ὃ ἀκηκόαμεν ὃ ἑωράκαμεν τοῖς ὀφθαλ-
μοῖς ἡμῶν ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν
περὶ τοῦ λόγου τῆς ζωῆς ⸰ καὶ ἡ ζωὴ ἐφανερώθη καὶ ἑωρά- 2
καμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν
τὴν αἰώνιον ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν ⸰
ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν ἀπαγγέλλομεν ὑμῖν ἵνα καὶ 3
ὑμεῖς κοινωνίαν ἔχητε μεθ᾽ ἡμῶν καὶ ἡ κοινωνία δὲ ἡ ἡ-
μετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ ἰησοῦ
χριστοῦ ⸰ καὶ ταῦτα γράφομεν ὑμῖν ἵνα ἡ χαρὰ ἡμῶν ᾖ 4
πεπληρωμένη ⸰ καὶ αὕτη˚ ἐστὶν ἡ ἐπαγγελία ἣν ἀκηκόα- 5
μεν ἀπ᾽ αὐτοῦ καὶ ἀναγγέλλομεν ὑμῖν ὅτι ὁ θεὸς φῶς ἐστιν
καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία ⸰ ἐὰν εἴπωμεν ὅτι 6
κοινωνίαν ἔχομεν μετ᾽ αὐτοῦ καὶ ἐν τῷ σκότει περιπατῶ-
μεν ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν ⸰ ἐὰν δὲ ἐν 7
τῷ φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτὶ κοινωνίαν
ἔχομεν μετ᾽ ἀλλήλων καὶ τὸ αἷμα ἰησοῦ χριστοῦ τοῦ υἱοῦ
αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας ⸰ ἐὰν εἴπωμεν 8
ὅτι ἁμαρτίαν οὐκ ἔχομεν ἑαυτοὺς πλανῶμεν καὶ ἡ ἀλήθεια
οὐκ ἔστιν ἐν ἡμῖν ⸰ ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν 9
πιστός ἐστιν καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ
καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας ⸰ ἐὰν εἴπωμεν ὅτι οὐχ 10
ἡμαρτήκαμεν ψεύστην ποιοῦμεν αὐτὸν καὶ ὁ λόγος αὐτοῦ
οὐκ ἔστιν ἐν ἡμῖν ⸰

**2** Τεκνία μου ταῦτα γράφω ὑμῖν ἵνα μὴ ἁμάρτητε καὶ ἐάν
τις ἁμάρτῃ παράκλητον ἔχομεν πρὸς τὸν πατέρα ἰησοῦν
χριστὸν δίκαιον ⸰ καὶ αὐτὸς ἱλασμός ἐστιν περὶ τῶν ἁμαρ- 2

---

T: ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ, K: ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ, MV: ΙΩΑΝΝΟΥ Α. **1. v.3** T*: υμιν, V: και υμιν. **v.4** T*: υμιν, V: ημεις. **v.4** TMV: ημων, K: υμων. **v.5** T: αυτη εστιν η επαγγελια, K: αυτη εστιν η αγγελια, MV: εστιν αυτη η αγγελια. **v.7** T*: χριστου, V: ∅.

τιῶν ἡμῶν οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον ἀλλὰ καὶ περὶ ὅ-
3 λου τοῦ κόσμου ⸰ καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν
4 αὐτὸν ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν ⸰ ὁ λέγων᾽ ἔγνωκα
αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν ψεύστης ἐστὶν καὶ
5 ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν ⸰ ὃς δ᾽ ἂν τηρῇ αὐτοῦ τὸν
λόγον ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται ἐν
6 τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμεν ⸰ ὁ λέγων ἐν αὐτῷ μέ-
νειν ὀφείλει καθὼς ἐκεῖνος περιεπάτησεν καὶ αὐτὸς οὕτως
7 περιπατεῖν ⸰ ἀδελφοὶ οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν ἀλλ᾽
ἐντολὴν παλαιὰν ἣν εἴχετε ἀπ᾽ ἀρχῆς ἡ ἐντολὴ ἡ παλαιά
8 ἐστιν ὁ λόγος ὃν ἠκούσατε ἀπ᾽° ἀρχῆς ⸰ πάλιν ἐντολὴν και-
νὴν γράφω ὑμῖν ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν ὅτι ἡ
9 σκοτία παράγεται καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει ⸰ ὁ
λέγων ἐν τῷ φωτὶ εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν ἐν τῇ
10 σκοτίᾳ ἐστὶν ἕως ἄρτι ⸰ ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ
11 φωτὶ μένει καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν ⸰ ὁ δὲ μισῶν
τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ πε-
ριπατεῖ καὶ οὐκ οἶδεν ποῦ ὑπάγει ὅτι ἡ σκοτία ἐτύφλωσεν
12 τοὺς ὀφθαλμοὺς αὐτοῦ ⸰ γράφω ὑμῖν τεκνία ὅτι ἀφέωνται
13 ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ ⸰ γράφω ὑμῖν πατέ-
ρες ὅτι ἐγνώκατε τὸν ἀπ᾽ ἀρχῆς γράφω ὑμῖν νεανίσκοι ὅτι
νενικήκατε τὸν πονηρὸν ϒράφω ὑμῖν παιδία ὅτι ἐγνώκατε
14 τὸν πατέρα ⸰ ἔγραψα ὑμῖν πατέρες ὅτι ἐγνώκατε τὸν ἀπ᾽
ἀρχῆς ἔγραψα ὑμῖν νεανίσκοι ὅτι ἰσχυροί ἐστε καὶ ὁ λόγος
15 τοῦ θεοῦ ἐν ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν ⸰ μὴ
ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ ἐάν τις ἀγαπᾷ
16 τὸν κόσμον οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ ⸰ ὅτι
πᾶν τὸ ἐν τῷ κόσμῳ ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία
τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου οὐκ ἔστιν ἐκ τοῦ
17 πατρὸς ἀλλ᾽ ἐκ τοῦ κόσμου ἐστίν ⸰ καὶ ὁ κόσμος παράγε-
ται καὶ ἡ ἐπιθυμία αὐτοῦ ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ
18 μένει εἰς τὸν αἰῶνα ⸰ παιδία ἐσχάτη ὥρα ἐστὶν καὶ καθὼς

**2. v.4** T*: λεγων, V: λεγων οτι. **v.7** T*: αδελφοι, V: αγαπητοι. **v.7** T*: απ αρχης, V: ∅. **v.13** T*: γραφω, V: εγραψα.

ἠκούσατε ὅτι ὁ ἀντίχριστος ἔρχεται καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν· ἐξ ἡμῶν ἐξῆλθόν ἀλλ᾽ οὐκ ἦσαν ἐξ ἡμῶν εἰ γὰρ ἦσαν ἐξ 19
ἡμῶν μεμενήκεισαν ἂν μεθ᾽ ἡμῶν ἀλλ᾽ ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰσὶν πάντες ἐξ ἡμῶν· καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ 20
τοῦ ἁγίου καὶ οἴδατε πάντα· οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ 21
οἴδατε τὴν ἀλήθειαν ἀλλ᾽ ὅτι οἴδατε αὐτὴν καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστιν· τίς ἐστιν ὁ ψεύστης εἰ μὴ 22
ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ χριστός οὗτός ἐστιν ὁ ἀντίχριστος ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν· πᾶς 23
ὁ ἀρνούμενος τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει· ὑμεῖς οὖν 24
ὃ ἠκούσατε ἀπ᾽ ἀρχῆς ἐν ὑμῖν μενέτω ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ᾽ ἀρχῆς ἠκούσατε καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε· καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγεί- 25
λατο ἡμῖν τὴν ζωὴν τὴν αἰώνιον· ταῦτα ἔγραψα ὑμῖν περὶ 26
τῶν πλανώντων ὑμᾶς· καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ᾽ 27
αὐτοῦ ἐν᾽ ὑμῖν μένει καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς ἀλλ᾽ ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων καὶ ἀληθές ἐστιν καὶ οὐκ ἔστιν ψεῦδος καὶ καθὼς ἐδίδαξεν ὑμᾶς μενεῖτε ἐν αὐτῷ· καὶ νῦν τεκνία μένετε ἐν αὐτῷ ἵνα 28
ὅταν᾽ φανερωθῇ ἔχωμεν παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ᾽ αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ· ἐὰν εἰδῆτε ὅτι δίκαιός 29
ἐστιν γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται·

**3** Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ ἵνα τέ-
κνα θεοῦ κληθῶμεν διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ἡμᾶς ὅτι οὐκ ἔγνω αὐτόν· ἀγαπητοί νῦν τέκνα θεοῦ ἐσμεν καὶ 2
οὔπω ἐφανερώθη τί ἐσόμεθα οἴδαμεν δὲ᾽ ὅτι ἐὰν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν·

---

**v.18** T*: ο, V: ∅. **v.19** T*: εξηλθον, V: εξηλθαν. **v.19** T*: ησαν εξ ημων, V: εξ ημων ησαν. **v.20** T*: παντα, V: παντες. **v.23** TM: εχει, KV: εχει ο ομολογων τον υιον και τον πατερα εχει. **v.24** T*: ουν, V: ∅. **v.27** T*: εν υμιν μενει, V: μενει εν υμιν. **v.27** T*: αυτο, V: αυτου. **v.27** T*: μενειτε, V: μενετε. **v.28** T*: οταν φανερωθη εχωμεν, V: εαν φανερωθη σχωμεν. **v.29** T*: οτι, V: οτι και. **3. v.1** T*: κληθωμεν, V: κληθωμεν και εσμεν. **v.1** TKV: ημας, M: υμας. **v.2** T*: δε, V: ∅.

3 καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ᾽ αὐτῷ ἁγνίζει ἑαυ-
4 τὸν καθὼς ἐκεῖνος ἁγνός ἐστιν ◦ πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν
5 καὶ τὴν ἀνομίαν ποιεῖ καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία ◦ καὶ
οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ
6 καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν ◦ πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ
ἁμαρτάνει πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν οὐδὲ ἔ-
7 γνωκεν αὐτόν ◦ τεκνία μηδεὶς πλανάτω ὑμᾶς ὁ ποιῶν τὴν
8 δικαιοσύνην δίκαιός ἐστιν καθὼς ἐκεῖνος δίκαιός ἐστιν ◦ ὁ
ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστὶν ὅτι ἀπ᾽ ἀρχῆς
ὁ διάβολος ἁμαρτάνει εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θε-
9 οῦ ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου ◦ πᾶς ὁ γεγεννημένος
ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ
μένει καὶ οὐ δύναται ἁμαρτάνειν ὅτι ἐκ τοῦ θεοῦ γεγέννη-
10 ται ◦ ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα
τοῦ διαβόλου πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ
11 τοῦ θεοῦ καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ◦ ὅτι αὕτη
ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ᾽ ἀρχῆς ἵνα ἀγαπῶμεν ἀλ-
12 λήλους ◦ οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξεν
τὸν ἀδελφὸν αὐτοῦ καὶ χάριν τίνος ἔσφαξεν αὐτὸν ὅτι τὰ
ἔργα αὐτοῦ πονηρὰ ἦν τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια ◦
13, 14 μὴ θαυμάζετε ἀδελφοί μου εἰ μισεῖ ὑμᾶς ὁ κόσμος ◦ ἡμεῖς
οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν
ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς ὁ μὴ ἀγαπῶν τὸν˚ ἀδελφὸν
15 μένει ἐν τῷ θανάτῳ ◦ πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀν-
θρωποκτόνος ἐστὶν καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ
16 ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ μένουσαν ◦ ἐν τούτῳ ἐγνώκα-
μεν τὴν ἀγάπην˙ ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ
ἔθηκεν καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς
17 ϯθέναι ◦ ὃς δ᾽ ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ τὸν
ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα καὶ κλείσῃ τὰ σπλάγχνα αὐ-
18 τοῦ ἀπ᾽ αὐτοῦ πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ ◦ τεκνία

**v.5** T*: ημων, V: ∅. **v.13** T*: μη, V: [και] μη. **v.13** T*: μου, V: ∅. **v.14** T*: τον αδελφον, V: ∅. **v.15** TKV: αυτω, M: εαυτω. **v.16** TMV: αγαπην, K: αγαπην του θεου. **v.16** T*: τιθεναι, V: θειναι.

μοὺ μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ˚ ἀλλ᾽ ἔργῳ καὶ ἀλη-
θείᾳ ◦ καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας ἐσμὲν 19
καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς˚ καρδίας ἡμῶν ◦ ὅτι ἐ- 20
ὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία ὅτι μείζων ἐστὶν ὁ θεὸς τῆς
καρδίας ἡμῶν καὶ γινώσκει πάντα ◦ ἀγαπητοὶ ἐὰν ἡ καρ- 21
δία ἡμῶν μὴ˚ καταγινώσκῃ ἡμῶν παρρησίαν ἔχομεν πρὸς
τὸν θεόν ◦ καὶ ὃ ἐὰν αἰτῶμεν λαμβάνομεν πάρ᾽ αὐτοῦ ὅτι 22
τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ
ποιοῦμεν ◦ καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ ἵνα πιστεύσωμεν 23
τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ ἰησοῦ χριστοῦ καὶ ἀγαπῶμεν
ἀλλήλους καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν ◦ καὶ ὁ τηρῶν τὰς 24
ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν αὐτῷ καὶ ἐν τού-
τῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν ἐκ τοῦ πνεύματος οὗ ἡμῖν
ἔδωκεν ◦

Ἀγαπητοὶ μὴ παντὶ πνεύματι πιστεύετε ἀλλὰ δοκιμάζετε **4**
τὰ πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστιν ὅτι πολλοὶ ψευδοπροφῆ-
ται ἐξεληλύθασιν εἰς τὸν κόσμον ◦ ἐν τούτῳ γινώσκετε˙ τὸ 2
πνεῦμα τοῦ θεοῦ πᾶν πνεῦμα ὃ ὁμολογεῖ ἰησοῦν χριστὸν
ἐν σαρκὶ ἐληλυθότα ἐκ τοῦ θεοῦ ἐστιν ◦ καὶ πᾶν πνεῦμα ὃ 3
μὴ ὁμολογεῖ τὸν˚ ἰησοῦν χριστὸν ἐν˚ σαρκὶ ἐληλυθότα ἐκ
τοῦ θεοῦ οὐκ ἔστιν καὶ τοῦτό ἐστιν τὸ τοῦ ἀντιχρίστου ὃ ἀ-
κηκόατε ὅτι ἔρχεται καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη ◦ ὑμεῖς 4
ἐκ τοῦ θεοῦ ἐστε τεκνία καὶ νενικήκατε αὐτούς ὅτι μείζων
ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ ◦ αὐτοὶ ἐκ τοῦ κόσμου 5
εἰσὶν διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν καὶ ὁ κόσμος αὐ-
τῶν ἀκούει ◦ ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν ὁ γινώσκων τὸν θεὸν 6
ἀκούει ἡμῶν ὃς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ οὐκ ἀκούει ἡμῶν ἐκ
τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα
τῆς πλάνης ◦ ἀγαπητοὶ ἀγαπῶμεν ἀλλήλους ὅτι ἡ ἀγάπη 7
ἐκ τοῦ θεοῦ ἐστιν καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννη-

**v.18** T*: μου, V: ∅. **v.18** TK: γλωσση αλλ, M: τη γλωσση αλλ εν, V: τη γλωσση αλλα εν. **v.19** T*: γινωσκομεν, V: γνωσομεθα. **v.19** T*: τας καρδιας, V: την καρδιαν. **v.21** T*: μη καταγινωσκη ημων, V: [ημων] μη καταγινωσκη. **v.22** T*: παρ, V: απ. **v.23** TKV: ημιν, M: ∅. **4. v.2** TKV: γινωσκετε, M: γινωσκεται. **v.3** TK: τον ιησουν χριστον, M: ιησουν χριστον, V: τον ιησουν. **v.3** T*: εν σαρκι εληλυθοτα, V: ∅.

8 ται καὶ γινώσκει τὸν θεόν ◦ ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν θεὸν
9 ὅτι ὁ θεὸς ἀγάπη ἐστίν ◦ ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ
θεοῦ ἐν ἡμῖν ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν
10 ὁ θεὸς εἰς τὸν κόσμον ἵνα ζήσωμεν δι᾽ αὐτοῦ ◦ ἐν τούτῳ ἐ-
στὶν ἡ ἀγάπη οὐχ ὅτι ἡμεῖς ἠγαπήϗαμεν τὸν θεὸν ἀλλ᾽ ὅτι
αὐτὸς ἠγάπησεν ἡμᾶς καὶ ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλα-
11 σμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν ◦ ἀγαπητοί εἰ οὕτως ὁ θεὸς
ἠγάπησεν ἡμᾶς καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν ◦
12 θεὸν οὐδεὶς πώποτε τεθέαται ἐὰν ἀγαπῶμεν ἀλλήλους ὁ
θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη˚ ἐστὶν
13 ἐν ἡμῖν ◦ ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ
αὐτὸς ἐν ἡμῖν ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν ◦
14 καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέ-
15 σταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου ◦ ὃς ἂν ὁμολογήσῃ
ὅτι ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ ὁ θεὸς ἐν αὐτῷ μένει καὶ
16 αὐτὸς ἐν τῷ θεῷ ◦ καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν
τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν ὁ θεὸς ἀγάπη ἐστὶν καὶ
ὁ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ θεῷ μένει καὶ ὁ θεὸς ἐν αὐτῷ ◦
17 ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ᾽ ἡμῶν ἵνα παρρησίαν ἔ-
χωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὅτι καθὼς ἐκεῖνός ἐστιν καὶ
18 ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ ◦ φόβος οὐκ ἔστιν ἐν τῇ ἀ-
γάπῃ ἀλλ᾽ ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον ὅτι ὁ φόβος
κόλασιν ἔχει ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ ◦
19 ἡμεῖς ἀγαπῶμεν αὐτὸν ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς ◦
20 ἐάν τις εἴπῃ ὅτι ἀγαπῶ τὸν θεὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ
μισῇ ψεύστης ἐστὶν ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ
ὃν ἑώρακεν τὸν θεὸν ὃν οὐχ ἑώρακεν πῶς δύναται ἀγαπᾶν ◦
21 καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ᾽ αὐτοῦ ἵνα ὁ ἀγαπῶν τὸν
θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ ◦

**5** Πᾶς ὁ πιστεύων ὅτι ἰησοῦς ἐστιν ὁ χριστὸς ἐκ τοῦ θεοῦ
γεγέννηται καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ

**v.10** T*: ηγαπησαμεν, V: ηγαπηκαμεν. **v.12** T*: τετελειωμενη εστιν εν ημιν, V: εν ημιν τετελειωμενη εστιν. **v.15** T*: αν, V: εαν. **v.16** TK: αυτω, MV: αυτω μενει. **v.19** T*: αυτον, V: ∅. **v.20** T*: πως, V: ου.

τὸν γεγεννημένον ἐξ αὐτοῦ ◦ ἐν τούτῳ γινώσκομεν ὅτι ἀ- 2
γαπῶμεν τὰ τέκνα τοῦ θεοῦ ὅταν τὸν θεὸν ἀγαπῶμεν καὶ
τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν ◦ αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ 3
θεοῦ ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν καὶ αἱ ἐντολαὶ αὐτοῦ
βαρεῖαι οὐκ εἰσίν ◦ ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ θεοῦ 4
νικᾷ τὸν κόσμον καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κό-
σμον ἡ πίστις ἡμῶν ◦ τίς ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ 5
ὁ πιστεύων ὅτι ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ θεοῦ ◦ οὗτός ἐστιν 6
ὁ ἐλθὼν δι᾽ ὕδατος καὶ αἵματος ἰησοῦς ὁ˚ χριστὸς οὐκ ἐν
τῷ ὕδατι μόνον ἀλλ᾽ ἐν τῷ ὕδατι καὶ τῷ αἵματι καὶ τὸ πνεῦ-
μά ἐστιν τὸ μαρτυροῦν ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια ◦ ὅτι 7
τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν˚ τῷ οὐρανῷ ὁ πατὴρ ὁ λόγος
καὶ τὸ ἅγιον πνεῦμα καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσιν ◦ καὶ˚ τρεῖς 8
εἰσιν οἱ μαρτυροῦντες ἓν τῇ γῇ τὸ πνεῦμα καὶ τὸ ὕδωρ καὶ
τὸ αἷμα καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν ◦ εἰ τὴν μαρτυρίαν τῶν 9
ἀνθρώπων λαμβάνομεν ἡ μαρτυρία τοῦ θεοῦ μείζων ἐστὶν
ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ ἣν˙ μεμαρτύρηκεν πε-
ρὶ τοῦ υἱοῦ αὐτοῦ ◦ ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει 10
τὴν μαρτυρίαν ἐν ἑαυτῷ ὁ μὴ πιστεύων τῷ θεῷ ψεύστην
πεποίηκεν αὐτὸν ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν
μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ ◦ καὶ αὕτη ἐστὶν 11
ἡ μαρτυρία ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεὸς καὶ αὕτη
ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν ◦ ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζω- 12
ὴν ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν οὐκ ἔχει ◦ ταῦτα 13
ἔγραψα ὑμῖν τοῖς˚ πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ
θεοῦ ἵνα εἰδῆτε ὅτι ζωὴν ἔχετε˚ αἰώνιον καὶ ἵνα πιστεύητε
εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ ◦ καὶ αὕτη ἐστὶν ἡ παρ- 14
ρησία ἣν ἔχομεν πρὸς αὐτὸν ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ
θέλημα αὐτοῦ ἀκούει ἡμῶν ◦ καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει 15

**5. v.2** T*: τηρωμεν, V: ποιωμεν. **v.4** TKV: ημων, M: υμων. **v.5** T*: τις, V: τις [δε]. **v.6** TK: ο, MV: ∅. **v.6** T*: τω, V: εν τω. **v.7** TK: εν τω ουρανω ο πατηρ ο λογος και το αγιον πνευμα και ουτοι οι τρεις εν εισιν, MV: ∅. **v.8** TK: και τρεις εισιν οι μαρτυρουντες εν τη γη, MV: ∅. **v.9** T*: ην, V: οτι. **v.10** TKV: εαυτω, M: αυτω. **v.13** T*: τοις πιστευουσιν εις το ονομα του υιου του θεου, V: ∅. **v.13** TK: εχετε αιωνιον και ινα πιστευητε, M: αιωνιον εχετε και ινα πιστευητε, V: εχετε αιωνιον τοις πιστευουσιν.

ἡμῶν ὃ ἂν αἰτώμεθα οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ
16 ᾐτήκαμεν πἀρ᾽ αὐτοῦ ◦ ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁ-
μαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον αἰτήσει καὶ δώσει
αὐτῷ ζωὴν τοῖς ἁμαρτάνουσιν μὴ πρὸς θάνατον ἔστιν ἁ-
μαρτία πρὸς θάνατον οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ ◦
17 πᾶσα ἀδικία ἁμαρτία ἐστὶν καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θά-
18 νατον ◦ οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ
ἁμαρτάνει ἀλλ᾽ ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ ἑἀυτὸν καὶ
19 ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ ◦ οἴδαμεν ὅτι ἐκ τοῦ θεοῦ
20 ἐσμεν καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται ◦ οἴδαμεν
δὲ ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει καὶ δέδωκεν ἡμῖν διάνοιαν ἵνα
γινώσκωμεν τὸν ἀληθινὸν καί ἐσμεν ἐν τῷ ἀληθινῷ ἐν τῷ
υἱῷ αὐτοῦ ἰησοῦ χριστῷ οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ
21 ἡ ̔ ζωὴ αἰώνιος ◦ τεκνία φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων
ἀ̊μήν ◦

**v.15** TK: αν, MV: εαν. **v.15** T*: παρ, V: απ. **v.18** T*: εαυτον, V: αυτον. **v.20** TK: η ζωη, M: η ζωη η, V: ζωη. **v.21** TK: εαυτους, MV: εαυτα. **v.21** T*: αμην, V: ∅.

# ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ
## ΔΕΥΤΕΡΑ˚

῾Ο πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς **1**
οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ καὶ οὐκ ἐγὼ μόνος ἀλλὰ καὶ
πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν ◦ διὰ τὴν ἀλήθειαν τὴν 2
μένουσαν ἐν ἡμῖν καὶ μεθ᾽ ἡμῶν ἔσται εἰς τὸν αἰῶνα ◦ ἔ- 3
σται μεθ᾽ ἡμῶν χάρις ἔλεος εἰρήνη παρὰ θεοῦ πατρὸς καὶ
παρὰ κυρίου ἰησοῦ χριστοῦ τοῦ υἱοῦ τοῦ πατρὸς ἐν ἀλη-
θείᾳ καὶ ἀγάπῃ ◦ ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων 4
σου περιπατοῦντας ἐν ἀληθείᾳ καθὼς ἐντολὴν ἐλάβομεν
παρὰ τοῦ πατρός ◦ καὶ νῦν ἐρωτῶ σε κυρία οὐχ ὡς ἐν- 5
τολὴν γράφω˚ σοι καινὴν ἀλλὰ ἣν εἴχομεν ἀπ᾽ ἀρχῆς ἵνα
ἀγαπῶμεν ἀλλήλους ◦ καὶ αὕτη ἐστὶν ἡ ἀγάπη ἵνα περιπα- 6
τῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ αὕτη ἐστὶν˚ ἡ ἐντολὴ καθὼς
ἠκούσατε ἀπ᾽ ἀρχῆς ἵνα ἐν αὐτῇ περιπατῆτε ◦ ὅτι πολλοὶ 7
πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον οἱ μὴ ὁμολογοῦντες ἰη-
σοῦν χριστὸν ἐρχόμενον ἐν σαρκὶ οὗτός ἐστιν ὁ πλάνος
καὶ ὁ ἀντίχριστος ◦ βλέπετε ἑαυτοὺς ἵνα μὴ ἀπολέσωμεν 8
ἃ εἰργασάμεθα ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν ◦ πᾶς ὁ 9
παραβαίνων καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ χριστοῦ θε-
ὸν οὐκ ἔχει ὁ μένων ἐν τῇ διδαχῇ τοῦ˚ χριστοῦ οὗτος καὶ
τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει ◦ εἴ τις ἔρχεται πρὸς ὑμᾶς 10
καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει μὴ λαμβάνετε αὐτὸν εἰς
οἰκίαν καὶ χαίρειν αὐτῷ μὴ λέγετε ◦ ὁ γὰρ˚ λέγων αὐτῷ 11
χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς ◦ πολλὰ 12
ἔχων ὑμῖν γράφειν οὐκ ἠβουλήθην διὰ χάρτου καὶ μέλα-

---

T: ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΔΕΥΤΕΡΑ, K: ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ, MV: ΙΩΑΝΝΟΥ Β.
**1. v.3** TMV: ημων, K: υμων. **v.3** T*: κυριου, V: ∅. **v.5** T: γραφω σοι καινην, KM: γραφων σοι καινην, V: καινην γραφων σοι. **v.6** T*: εστιν η εντολη, V: η εντολη εστιν. **v.7** T*: εισηλθον, V: εξηλθον. **v.8** T*: απολεσωμεν, V: απολεσητε. **v.8** T*: απολαβωμεν, V: απολαβητε. **v.9** T*: παραβαινων, V: προαγων. **v.9** T*: του χριστου, V: ∅. **v.11** T*: γαρ λεγων, V: λεγων γαρ. **v.12** TK: ηβουληθην, MV: εβουληθην.

νος ἀλλὰ ἐλπίζω ἐλθεῖν πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα
13 λαλῆσαι ἵνα ἡ χαρὰ ἡμῶν ᾖ˚ πεπληρωμένη ⋄ ἀσπάζεταί σε
τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς ἐκλεκτῆς ἀμήν ⋄

**v.12** T*: ελθειν, V: γενεσθαι. **v.12** T*: η πεπληρωμενη, V: πεπληρωμενη η. **v.13** T*: αμην, V: ∅.

# ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ
## ΤΡΙΤΗ˚

**1** ῾Ο πρεσβύτερος γαΐῳ τῷ ἀγαπητῷ ὃν ἐγὼ ἀγαπῶ ἐν ἀ-
ληθείᾳ ⸰ ἀγαπητὲ περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ 2
ὑγιαίνειν καθὼς εὐοδοῦταί σου ἡ ψυχή ⸰ ἐχάρην γὰρ λίαν 3
ἐρχομένων ἀδελφῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ κα-
θὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς ⸰ μειζοτέραν τούτων οὐκ ἔχω 4
χαρὰν ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα ⸰
ἀγαπητὲ πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ 5
εἰς˚ τοὺς ξένους ⸰ οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον 6
ἐκκλησίας οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ θε-
οῦ ⸰ ὑπὲρ γὰρ τοῦ ὀνόματος˚ ἐξῆλθον μηδὲν λαμβάνοντες 7
ἀπὸ τῶν ἐθνῶν ⸰ ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς 8
τοιούτους ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ ⸰ ἔγραψά τῇ 9
ἐκκλησίᾳ ἀλλ᾽ ὁ φιλοπρωτεύων αὐτῶν διοτρεφὴς οὐκ ἐπι-
δέχεται ἡμᾶς ⸰ διὰ τοῦτο ἐὰν ἔλθω ὑπομνήσω αὐτοῦ τὰ 10
ἔργα ἃ ποιεῖ λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς καὶ μὴ ἀρ-
κούμενος ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς
καὶ τοὺς βουλομένους κωλύει καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλ-
λει ⸰ ἀγαπητὲ μὴ μιμοῦ τὸ κακὸν ἀλλὰ τὸ ἀγαθὸν ὁ ἀγαθο- 11
ποιῶν ἐκ τοῦ θεοῦ ἐστιν ὁ δὲ˚ κακοποιῶν οὐχ ἑώρακεν τὸν
θεόν ⸰ δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων καὶ ὑπ᾽˚ αὐτῆς 12
τῆς ἀληθείας καὶ ἡμεῖς δὲ μαρτυροῦμεν καὶ οἶδατε ὅτι ἡ
μαρτυρία ἡμῶν ἀληθής ἐστιν ⸰ πολλὰ εἶχον γράφειν ἀλλ᾽ 13
οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι ⸰ ἐλπίζω 14
δὲ εὐθέως ἰδεῖν˚ σε καὶ στόμα πρὸς στόμα λαλήσομεν ⸰ εἰ- 15
ρήνη σοι ἀσπάζονταί σε οἱ φίλοι ἀσπάζου τοὺς φίλους κατ᾽
ὄνομα ⸰

---

Τ: ΕΠΙΣΤΟΛΗ ΙΩΑΝΝΟΥ ΤΡΙΤΗ, Κ: ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗ ΤΡΙΤΗ, ΜV: ΙΩΑΝΝΟΥ Γ.
**1. v.4** T*: εν, V: εν τη. **v.5** T*: εις τους, V: τουτο. **v.7** ΤΜV: ονοματος, Κ: ονοματος αυτου. **v.7** T*: εθνων, V: εθνικων. **v.8** T*: απολαμβανειν, V: υπολαμβανειν. **v.9** T*: εγραψα, V: εγραψα τι. **v.11** ΤΚ: δε, ΜV: Ø. **v.12** T*: υπ, V: υπο. **v.12** T*: οιδατε, V: οιδας. **v.13** T*: γραφειν, V: γραψαι σοι. **v.13** T*: γραψαι, V: γραφειν. **v.14** T*: ιδειν σε, V: σε ιδειν.

# ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΙΟΥΔΑ
## ΚΑΘΟΛΙΚΗ˚

**1** Ἰούδας ἰησοῦ χριστοῦ δοῦλος ἀδελφὸς δὲ ἰακώβου τοῖς
ἐν θεῷ πατρὶ ἡγιασμένοις καὶ ἰησοῦ χριστῷ τετηρημένοις
2 κλητοῖς· ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη·
3 ἀγαπητοὶ πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν πε-
ρὶ τῆς κοινῆς σωτηρίας ἀνάγκην ἔσχον γράψαι ὑμῖν πα-
ρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις
4 πίστει· παρεισέδυσαν γάρ τινες ἄνθρωποι οἱ πάλαι προ-
γεγραμμένοι εἰς τοῦτο τὸ κρίμα ἀσεβεῖς τὴν τοῦ θεοῦ ἡμῶν
χάριν μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον δεσπότην
5 θεὸν καὶ κύριον ἡμῶν ἰησοῦν χριστὸν ἀρνούμενοι· ὑπο-
μνῆσαι δὲ ὑμᾶς βούλομαι εἰδότας ὑμᾶς˚ ἅπαξ τοῦτο ὅτι
ὁ κύριος λαὸν ἐκ γῆς αἰγύπτου σώσας τὸ δεύτερον τοὺς
6 μὴ πιστεύσαντας ἀπώλεσεν· ἀγγέλους τε τοὺς μὴ τηρή-
σαντας τὴν ἑαυτῶν ἀρχὴν ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰ-
κητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ
7 ζόφον τετήρηκεν· ὡς σόδομα καὶ γόμορρα καὶ αἱ περὶ αὐ-
τὰς πόλεις τὸν ὅμοιον τούτοις˚ τρόπον ἐκπορνεύσασαι καὶ
ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας πρόκεινται δεῖγμα πυ-
8 ρὸς αἰωνίου δίκην ὑπέχουσαι· ὁμοίως μέντοι καὶ οὗτοι
ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσιν κυριότητα δὲ ἀθε-
9 τοῦσιν δόξας δὲ βλασφημοῦσιν· ὁ δὲ μιχαὴλ ὁ ἀρχάγ-
γελος ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ
μωσέως σώματος οὐκ ἐτόλμησεν κρίσιν ἐπενεγκεῖν βλα-
10 σφημίας ἀλλ᾽ εἶπεν ἐπιτιμήσαι σοι κύριος· οὗτοι δὲ ὅσα
μὲν οὐκ οἴδασιν βλασφημοῦσιν ὅσα δὲ φυσικῶς ὡς τὰ ἄ-
11 λογα ζῶα ἐπίστανται ἐν τούτοις φθείρονται· οὐαὶ αὐτοῖς

---

T: ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΙΟΥΔΑ ΚΑΘΟΛΙΚΗ, K: ΙΟΥΔΑ ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ, MV: ΙΟΥΔΑ.
**1. v.1** T*: ηγιασμενοις, V: ηγαπημενοις. **v.3** T*: κοινης, V: κοινης ημων. **v.4** T*: χαριν, V: χαριτα. **v.4** T*: θεον, V: ∅. **v.5** T*: υμας απαξ τουτο οτι ο κυριος, V: [υμας] παντα οτι [ο] κυριος απαξ. **v.7** T*: τουτοις τροπον, V: τροπον τουτοις. **v.9** T*: μωσεως, V: μωυσεως. **v.9** T*: αλλ, V: αλλα.

ὅτι τῇ ὁδῷ τοῦ κάϊν ἐπορεύθησαν καὶ τῇ πλάνῃ τοῦ βα-
λαὰμ μισθοῦ ἐξεχύθησαν καὶ τῇ ἀντιλογίᾳ τοῦ κορὲ ἀπώ-
λοντο ⸰ οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες συνευ- 12
ωχούμενοι ἀφόβως ἑαυτοὺς ποιμαίνοντες νεφέλαι ἄνυδροι
ὑπὸ ἀνέμων περιφερόμεναι δένδρα φθινοπωρινὰ ἄκαρπα
δὶς ἀποθανόντα ἐκριζωθέντα ⸰ κύματα ἄγρια θαλάσσης ἐ- 13
παφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας ἀστέρες πλανῆται οἷς ὁ
ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα τετήρηται ⸰ προεφήτευ- 14
σεν δὲ καὶ τούτοις ἕβδομος ἀπὸ ἀδὰμ ἐνὼχ λέγων ἰδοὺ
ἦλθεν κύριος ἐν μυριάσιν˚ ἁγίαις αὐτοῦ ⸰ ποιῆσαι κρίσιν 15
κατὰ πάντων καὶ ἐξελέγξαι πάντας˚ τοὺς ἀσεβεῖς αὐτῶν πε-
ρὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ
πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν κατ᾽ αὐτοῦ ἁμαρτωλοὶ
ἀσεβεῖς ⸰ οὗτοί εἰσιν γογγυσταὶ μεμψίμοιροι κατὰ τὰς ἐ- 16
πιθυμίας ἀὐτῶν πορευόμενοι καὶ τὸ στόμα αὐτῶν λαλεῖ
ὑπέρογκα θαυμάζοντες πρόσωπα ὠφελείας χάριν ⸰ ὑμεῖς 17
δὲ ἀγαπητοὶ μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑ-
πὸ τῶν ἀποστόλων τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ ⸰ ὅτι 18
ἔλεγον ὑμῖν ὅτι˚ ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται κατὰ
τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν ⸰ οὗτοί 19
εἰσιν οἱ ἀποδιορίζοντες˙ ψυχικοὶ πνεῦμα μὴ ἔχοντες ⸰ ὑ- 20
μεῖς δὲ ἀγαπητοὶ τῇ˚ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦν-
τες ἑαυτοὺς ἐν πνεύματι ἁγίῳ προσευχόμενοι ⸰ ἑαυτοὺς ἐν 21
ἀγάπῃ θεοῦ τηρήσατε προσδεχόμενοι τὸ ἔλεος τοῦ κυρίου
ἡμῶν ἰησοῦ χριστοῦ εἰς ζωὴν αἰώνιον ⸰ καὶ οὓς μὲν ἐλεεῖτε˚ 22
διακρινόμενοι ⸰ οὓς δὲ ἐν˚ φόβῳ σώζετε ἐκ τοῦ πυρὸς ἁρ- 23
πάζοντες μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον

---

**v.12** T*: εισιν, V: εισιν οι. **v.12** TMV: αφοβως, K: υμιν αφοβως. **v.12** TK: περιφερομεναι, MV: παραφερομεναι. **v.13** TK: τον, MV: ∅. **v.14** TK: μυριασιν αγιαις, MV: αγιαις μυριασιν. **v.15** TK: εξελεγξαι, MV: ελεγξαι. **v.15** T*: παντας τους ασεβεις αυτων, V: πασαν ψυχην. **v.16** T*: αυτων, V: εαυτων. **v.18** T*: οτι εν εσχατω χρονω, V: [οτι] επ εσχατου [του] χρονου. **v.19** TMV: αποδιοριζοντες, K: αποδιοριζοντες εαυτους. **v.20** T*: τη αγιωτατη υμων πιστει εποικοδομουντες εαυτους, V: εποικοδομουντες εαυτους τη αγιωτατη υμων πιστει. **v.22** T*: ελεειτε διακρινομενοι, V: ελεατε διακρινομενους. **v.23** TK: εν φοβω σωζετε εκ του πυρος αρπαζοντες, M: εν φοβω σωζετε εκ πυρος αρπαζοντες, V: σωζετε εκ πυρος αρπαζοντες ους δε ελεατε εν φοβω.

24 χιτῶνα ⸰ τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους καὶ
στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιά-
25 σει ⸰ μόνῳ σοφῷ θεῷ σωτῆρι ἡμῶν δόξα˚ καὶ μεγαλωσύνη
κράτος καὶ ἐξουσίᾳ καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας
ἀμήν ⸰

**v.24** TM: αυτους, KV: υμας. **v.25** T*: σοφω, V: ∅. **v.25** T*: δοξα και, V: δια ιησου χριστου του κυριου ημων δοξα. **v.25** T*: εξουσια, V: εξουσια προ παντος του αιωνος.

# ΑΠΟΚΑΛΥΨΙΣ
## ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ˚

**1** Ἀποκάλυψις ἰησοῦ χριστοῦ ἣν ἔδωκεν αὐτῷ ὁ θεὸς δεῖ-
ξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει καὶ ἐσήμανεν
ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ ἰωάν-
νῃ ⸰ **2** ὃς ἐμαρτύρησεν τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν
ἰησοῦ χριστοῦ ὅσα τε εἶδεν ⸰ **3** μακάριος ὁ ἀναγινώσκων καὶ
οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας καὶ τηροῦντες
τὰ ἐν αὐτῇ γεγραμμένα ὁ γὰρ καιρὸς ἐγγύς ⸰ **4** ἰωάννης ταῖς
ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ ἀσίᾳ χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ
ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος καὶ ἀπὸ τῶν ἑπτὰ πνευ-
μάτων ἃ ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ ⸰ **5** καὶ ἀπὸ ἰησοῦ
χριστοῦ ὁ μάρτυς ὁ πιστὸς ὁ πρωτότοκος ἐκ τῶν νεκρῶν
καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς τῷ ἀγαπήσαντι ἡμᾶς
καὶ λούσαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι
αὐτοῦ ⸰ **6** καὶ ἐποίησεν ἡμᾶς βασιλεῖς˚ καὶ ἱερεῖς τῷ θεῷ καὶ
πατρὶ αὐτοῦ αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας
τῶν αἰώνων ἀμήν ⸰ **7** ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν καὶ ὄ-
ψεται αὐτὸν πᾶς ὀφθαλμὸς καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν
καὶ κόψονται ἐπ᾽ αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς ναὶ ἀμήν ⸰
**8** ἐγώ εἰμι τὸ ἅ καὶ τὸ ω ἀρχὴ˚ καὶ τέλος λέγει ὁ˚ κύριος ὁ
ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος ὁ παντοκράτωρ ⸰ **9** ἐγὼ ἰωάν-
νης ὁ κἀι ἀδελφὸς ὑμῶν καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ
ἐν˚ τῇ βασιλείᾳ καὶ ὑπομονῇ ἰησοῦ˚ χριστοῦ ἐγενόμην ἐν
τῇ νήσῳ τῇ καλουμένῃ πάτμῳ διὰ τὸν λόγον τοῦ θεοῦ καὶ

---

T: ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ, K: ΑΠΟΚΑΛΥΨΙΣ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ, M: ΑΠΟΚΑΛΥΨΙΣ, V: ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ. **1. v.2** TK: τε, MV: ∅. **v.4** TK: του, M: θεου, V: ∅. **v.4** TK: εστιν, MV: ∅. **v.5** TK: εκ, MV: ∅. **v.5** TK: αγαπησαντι, MV: αγαπωντι. **v.5** T*: λουσαντι, V: λυσαντι. **v.5** T*: απο, V: εκ. **v.6** TK: βασιλεις και, MV: βασιλειαν. **v.8** TK: α, MV: αλφα. **v.8** TK: αρχη και τελος, MV: ∅. **v.8** TK: ο κυριος, MV: κυριος ο θεος. **v.9** TK: και, MV: ∅. **v.9** TKV: συγκοινωνος, M: κοινωνος. **v.9** TK: εν τη, MV: ∅. **v.9** TK: ιησου χριστου, M: εν χριστω ιησου, V: εν ιησου.

10 διὰ˚ τὴν μαρτυρίαν ἰησοῦ χριȣ̀τοῦ ⸰ ἐγενόμην ἐν πνεύματι
ἐν τῇ κυριακῇ ἡμέρᾳ καὶ ἤκουσα ὀπίσω˚ μου φωνὴν με-
11 γάλην ὡς σάλπιγγος ⸰ λεγούσης ἐγώ˚ εἰμι τὸ α καὶ τὸ ω ὁ
πρῶτος καὶ ὁ ἔσχατος καὶ ὃ βλέπεις γράψον εἰς βιβλίον
καὶ πέμψον ταῖς ἐκκλησίαις˚ ταῖς ἐν ἀσίᾳ εἰς ἔφεσον καὶ
εἰς σμύρναν καὶ εἰς πέργαμον καὶ εἰς θυάτειρα καὶ εἰς
12 σάρδεις καὶ εἰς φιλαδέλφειαν καὶ εἰς λαοδίκειαν ⸰ κἀὶ ἐ-
πέστρεψα βλέπειν τὴν φωνὴν ἥτις ἐλάληȣ̀σεν μετ᾽ ἐμοῦ καὶ
13 ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς ⸰ καὶ ἐν μέσῳ τῶν
ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ˚ ἀνθρώπου ἐνδεδυμένον ποδήρη
14 καὶ περιεζωσμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν ⸰ ἡ δὲ
κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες λευκαὶ ὡσεὶ ἔριον λευκὸν ὡς
15 χιὼν καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός ⸰ καὶ οἱ πόδες
αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ ὡς ἐν καμίνῳ πεπυρωμένοι καὶ
16 ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν ⸰ καὶ ἔχων ἐν τῇ δε-
ξιᾷ αὐτοῦ˚ χειρὶ ἀστέρας ἑπτὰ καὶ ἐκ τοῦ στόματος αὐτοῦ
ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη καὶ ἡ ὄψις αὐτοῦ
17 ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ ⸰ καὶ ὅτε εἶδον αὐ-
τὸν ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρὸς καὶ ἐπέθηκεν
τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐπ᾽ ἐμὲ λέγων μοὶ μὴ φοβοῦ ἐγώ
18 εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος ⸰ καὶ ὁ ζῶν καὶ ἐγενόμην νε-
κρὸς καὶ ἰδοὺ ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμὴν
19 καὶ ἔχω τὰς κλεῖς˚ τοῦ ᾅδου καὶ τοῦ θανάτου ⸰ γράψον˚ ἃ
20 εἶδες καὶ ἅ εἰσιν καὶ ἃ μέλλει γἰνέσθαι μετὰ ταῦτα ⸰ τὸ μυ-
στήριον τῶν ἑπτὰ ἀστέρων ὧν˚ εἶδες ἐπὶ τῆς δεξιᾶς μου καὶ
τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς οἱ ἑπτὰ ἀστέρες ἄγγελοι τῶν

---

**v.9** T*: δια, V: ∅. **v.9** T*: χριστου, V: ∅. **v.10** TKV: οπισω μου φωνην, M: φωνην οπισω μου. **v.11** TK: εγω ειμι το α και το ω ο πρωτος και ο εσχατος και, MV: ∅. **v.11** T: εκκλησιαις ταις εν ασια, K: επτα εκκλησιαις ταις εν ασια, MV: επτα εκκλησιαις. **v.12** TKV: και, M: και εκει. **v.12** TK: ελαλησεν, MV: ελαλει. **v.13** T*: επτα, V: ∅. **v.13** TK: υιω, MV: υιον. **v.13** T*: χρυσην, V: χρυσαν. **v.14** TK: ωσει, M: και ως, V: ως. **v.15** T*: πεπυρωμενοι, V: πεπυρωμενης. **v.16** T*: αυτου χειρι, V: χειρι αυτου. **v.17** TK: επεθηκεν, MV: εθηκεν. **v.17** TK: χειρα, MV: ∅. **v.17** TK: μοι, MV: ∅. **v.18** T*: αμην, V: ∅. **v.18** TKV: κλεις, M: κλειδας. **v.18** TK: του αδου και του θανατου, MV: του θανατου και του αδου. **v.19** TK: γραψον, MV: γραψον ουν. **v.19** T*: γινεσθαι, V: γενεσθαι. **v.20** T*: ων, V: ους.

ἑπτὰ ἐκκλησιῶν εἰσιν καὶ αἱ˚ ἑπτὰ λυχνίαι ἃς˚ εἶδες ἑπτὰ ἐκκλησίαι εἰσίν ◦

Τῷ ἀγγέλῳ τῆς ἐφεσίνης ἐκκλησίας γράψον τάδε λέγει **2**
ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ ὁ περιπα-
τῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν ◦ οἶδα τὰ ἔργα 2
σου καὶ τὸν κόπον σοῦ καὶ τὴν ὑπομονήν σου καὶ ὅτι οὐ
δύνῃ βαστάσαι κακοὺς καὶ ἐπειράσω˚ τοὺς φάσκοντας εἶ-
ναι ἀποστόλους καὶ οὐκ εἰσὶν καὶ εὗρες αὐτοὺς ψευδεῖς ◦
καὶ ἐβάστασας˚ καὶ ὑπομονὴν ἔχεις καὶ διὰ τὸ ὄνομά μου 3
κεκοπίακας˚ καὶ οὐ κέκμηκας ◦ ἀλλ᾽ ἔχω κατὰ σοῦ ὅτι τὴν 4
ἀγάπην σου τὴν πρώτην ἀφῆκάς ◦ μνημόνευε οὖν πόθεν 5
ἐκπέπτωκας καὶ μετανόησον καὶ τὰ πρῶτα ἔργα ποίησον
εἰ δὲ μή ἔρχομαί σοι τάχεὶ καὶ κινήσω τὴν λυχνίαν σου
ἐκ τοῦ τόπου αὐτῆς ἐὰν μὴ μετανοήσῃς ◦ ἀλλὰ τοῦτο ἔ- 6
χεις ὅτι μισεῖς τὰ ἔργα τῶν νικολαϊτῶν ἃ κἀγὼ μισῶ ◦ ὁ 7
ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις τῷ
νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς ὅ ἐστιν
ἐν μέσῳ˚ τοῦ παραδείσου τοῦ θεοῦ ◦ καὶ τῷ ἀγγέλῳ τῆς 8
ἐκκλησίας˚ σμυρναίων γράψον τάδε λέγει ὁ πρῶτος καὶ ὁ
ἔσχατος ὃς ἐγένετο νεκρὸς καὶ ἔζησεν ◦ οἶδά σου τὰ˚ ἔργα 9
καὶ τὴν θλίψιν καὶ τὴν πτωχείαν πλούσιος˚ δὲ εἶ καὶ τὴν
βλασφημίαν τῶν λεγόντων ἰουδαίους εἶναι ἑαυτοὺς καὶ οὐκ
εἰσὶν ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ ◦ μηδὲν φοβοῦ ἃ μέλλεις 10
πάσχειν ἰδοὺ μέλλει βαλεῖν ἐξ˚ ὑμῶν ὁ διάβολος εἰς φυλα-
κὴν ἵνα πειρασθῆτε καὶ ἕξετε θλίψιν ἡμερῶν δέκα γίνου

---

**v.20** TK: αι επτα λυχνιαι, MV: αι λυχνιαι αι επτα. **v.20** TK: ας ειδες, MV: ∅. **2. v.1** TK: εφεσινης, MV: εν εφεσω. **v.2** T*: σου, V: ∅. **v.2** TK: επειρασω τους φασκοντας ειναι αποστολους, M: επειρασας τους λεγοντας εαυτους αποστολους ειναι, V: επειρασας τους λεγοντας εαυτους αποστολους. **v.3** TK: εβαστασας και υπομονην εχεις και, MV: υπομονην εχεις και εβαστασας. **v.3** TK: κεκοπιακας και ου κεκμηκας, M: και ουκ εκοπιασας, V: και ου κεκοπιακες. **v.4** TK: αλλ, MV: αλλα. **v.4** T*: αφηκας, V: αφηκες. **v.5** TK: εκπεπτωκας, MV: πεπτωκας. **v.5** T: ταχει, KM: ταχυ, V: ∅. **v.7** TK: μεσω του παραδεισου, MV: τω παραδεισω. **v.7** TKV: θεου, M: θεου μου. **v.8** TK: εκκλησιας σμυρναιων, MV: εν σμυρνη εκκλησιας. **v.9** T*: τα εργα και, V: ∅. **v.9** TK: πλουσιος δε, MV: αλλα πλουσιος. **v.9** TK: των, MV: εκ των. **v.10** TKV: πασχειν, M: παθειν. **v.10** TKV: μελλει, M: δη μελλει. **v.10** T*: βαλειν, V: βαλλειν. **v.10** TK: εξ υμων ο διαβολος, MV: ο διαβολος εξ υμων. **v.10** TKV: ημερων, M: ημερας.

πιστὸς ἄχρι θανάτου καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς ⸰
11 ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις ὁ
12 νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου ⸰ καὶ
τῷ ἀγγέλῳ τῆς ἐν περγάμῳ ἐκκλησίας γράψον τάδε λέγει
13 ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν ⸰ οἶδα τὰ˚
ἔργα σου καὶ ποῦ κατοικεῖς ὅπου ὁ θρόνος τοῦ σατανᾶ
καὶ κρατεῖς τὸ ὄνομά μου καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου
κἀὶ ἐν ταῖς ἡμέραις ἐν˚ αἷς ἀντίπας ὁ μάρτυς μου ὁ πιστὸς
14 ὃς ἀπεκτάνθη παρ᾽ ὑμῖν ὅπου κατοικεῖ˚ ὁ σατανᾶς ⸰ ἀλλ᾽
ἔχω κατὰ σοῦ ὀλίγα ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν
βαλαὰμ ὃς ἐδίδαὸκεν ἐν˚ τῷ βαλὰκ βαλεῖν σκάνδαλον ἐν-
ώπιον τῶν υἱῶν ἰσραὴλ ϕαγεῖν εἰδωλόθυτα καὶ πορνεῦσαι ⸰
15 οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν ἓ̃ων νικολαϊ-
16 τῶν ὃ˚ μισῶ ⸰ μετανόησονν᾽ εἰ δὲ μὴ ἔρχομαί σοι ταχὺ καὶ
πολεμήσω μετ᾽ αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου ⸰
17 ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις
τῷ νικῶντι δώσω αὐτῷ ϕαγεῖν˚ ἀπὸ τοῦ μάννα τοῦ κεκρυμ-
μένου καὶ δώσω αὐτῷ ψῆϕον λευκὴν καὶ ἐπὶ τὴν ψῆϕον
ὄνομα καινὸν γεγραμμένον ὃ οὐδεὶς ἔγνω εἰ μὴ ὁ λαμβά-
18 νων ⸰ καὶ τῷ ἀγγέλῳ τῆς ἐν θυατείροις ἐκκλησίας γράψον
τάδε λέγει ὁ υἱὸς τοῦ θεοῦ ὁ ἔχων τοὺς ὀϕθαλμοὺς αὐτοῦ
ὡς ϕλόγα πυρὸς καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ ⸰
19 οἶδά σου τὰ ἔργα καὶ τὴν ἀγάπην καὶ τὴν διακονίαν˚ καὶ
τὴν πίστιν καὶ τὴν ὑπομονήν σου καὶ τὰ ἔργα σου κἀὶ τὰ
20 ἔσχατα πλείονα τῶν πρώτων ⸰ ἀλλ᾽ ἔχω κατὰ σοῦ ὀλίγα˚ ὅτι
ἐᾷς τὴν γυναῖκα ἰεζαβὴλ τὴν λέγουσαν ἑαυτὴν προϕῆτιν
διδάσκειν˚ καὶ πλανᾶσθαι ἐμοὺς δούλους πορνεῦσαι καὶ

---

**v.13** T*: τα εργα σου και, V: ∅. **v.13** TKV: και, M: ∅. **v.13** TK: εν αις, M: αις, V: ∅. **v.13** T*: πιστος, V: πιστος μου. **v.13** TK: κατοικει ο σατανας, MV: ο σατανας κατοικει. **v.14** TKV: αλλ, M: αλλα. **v.14** TKV: εδιδασκεν, M: εδιδαξε. **v.14** T: εν τω, KM: τον, V: τω. **v.14** TKV: φαγειν, M: και φαγειν. **v.15** TK: των, M: ∅, V: [των]. **v.15** TK: ο μισω, MV: ομοιως. **v.16** TK: μετανοησον, MV: μετανοησον ουν. **v.17** TK: φαγειν απο, MV: ∅. **v.17** TK: εγνω, MV: οιδεν. **v.19** TK: διακονιαν και την πιστιν, MV: πιστιν και την διακονιαν. **v.19** TK: και, MV: ∅. **v.20** TK: αλλ, MV: αλλα. **v.20** TK: ολιγα οτι εας την γυναικα ιεζαβηλ την λεγουσαν, M: οτι αφεις την γυναικα σου ιεζαβελ η λεγει, V: οτι αφεις την γυναικα ιεζαβελ η λεγουσα. **v.20** TK: διδασκειν και πλανασθαι, MV: και διδασκει και πλανα τους.

εἰδωλόθυτα˚ φαγεῖν· καὶ ἔδωκα αὐτῇ χρόνον ἵνα μετανο- 21
ήσῃ˚ ἐκ τῆς πορνείας αὐτῆς καὶ οὐ μετενόησεν· ἰδοὺ ἐγὼ 22
βάλλω αὐτὴν εἰς κλίνην καὶ τοὺς μοιχεύοντας μετ᾽ αὐτῆς
εἰς θλῖψιν μεγάλην ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐ-
τῶν· καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ καὶ γνώσον- 23
ται πᾶσαι αἱ ἐκκλησίαι ὅτι ἐγώ εἰμι ὁ ἐρεῦνῶν νεφροὺς καὶ
καρδίας καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν· ὑμῖν 24
δὲ λέγω καὶ λοιποῖς τοῖς ἐν Θυατείροις ὅσοι οὐκ ἔχουσιν
τὴν διδαχὴν ταύτην καὶ οἵτινες οὐκ ἔγνωσαν τὰ βάθη τοῦ
σατανᾶ ὡς λέγουσιν οὐ βάλῶ ἐφ᾽ ὑμᾶς ἄλλο βάρος· πλὴν 25
ὃ ἔχετε κρατήσατε ἄχριȣ οὗ ἂν ἥξω· καὶ ὁ νικῶν καὶ ὁ 26
τηρῶν ἄχρι τέλους τὰ ἔργα μου δώσω αὐτῷ ἐξουσίαν ἐπὶ
τῶν ἐθνῶν· καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ ὡς τὰ 27
σκεύη τὰ κεραμικὰ συντρίβεται ὡς κἀγὼ εἴληφα παρὰ τοῦ
πατρός μου· καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν· ὁ 28, 29
ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις·

Καὶ τῷ ἀγγέλῳ τῆς ἐν σάρδεσιν ἐκκλησίας γράψον τάδε **3**
λέγει ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ καὶ τοὺς ἑπτὰ ἀστέρας
οἶδά σου τὰ ἔργα ὅτι τὸ ὄνομα ἔχεις ὅτι ζῇς καὶ νεκρὸς εἶ·
γίνου γρηγορῶν καὶ στήριξον τὰ λοιπὰ ἃ μέλλει ἀποθανεῖν 2
οὐ γὰρ εὕρηκά σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ
θεοῦ· μνημόνευε οὖν πῶς εἴληφας καὶ ἤκουσας καὶ τή- 3
ρει καὶ μετανόησον ἐὰν οὖν μὴ γρηγορήσῃς ἥξω ἐπί˚ σε ὡς
κλέπτης καὶ οὐ μὴ γνῷς˚ ποίαν ὥραν ἥξω ἐπί σε· ἔχεις˚ 4
ὀλίγα ὀνόματα καὶ ἐν σάρδεσιν ἃ οὐκ ἐμόλυναν τὰ ἱμάτια
αὐτῶν καὶ περιπατήσουσιν μετ᾽ ἐμοῦ ἐν λευκοῖς ὅτι ἄξιοί

**v.20** ΤΚ: ειδωλοθυτα φαγειν, ΜV: φαγειν ειδωλοθυτα. **v.21** ΤΚ: μετανοηση εκ της πορνειας αυτης και ου μετενοησεν, ΜV: μετανοηση και ου θελει μετανοησαι εκ της πορνειας αυτης. **v.22** ΤΚ: εγω, ΜV: ∅. **v.22** Ε: κλινην, Α: φυλακην, F: κλιβανον. **v.22** ΤΚ: αυτων, ΜV: αυτης. **v.23** Τ*: ερευνων, V: εραυνων. **v.24** ΤΚ: και, ΜV: τοις. **v.24** ΤΚ: και, ΜV: ∅. **v.24** ΤΚ: βαθη, ΜV: βαθεα. **v.24** ΤΚ: βαλω, ΜV: βαλλω. **v.25** Τ*: αχρις, V: αχρι[ς]. **v.27** ΤΚV: συντριβεται, Μ: συντριβησεται. **3. v.1** Τ: πνευματα, ΚΜV: επτα πνευματα. **v.1** ΤΚ: το, ΜV: ∅. **v.1** ΤΚV: οτι, Μ: και. **v.2** ΤΚ: στηριξον, Μ: τηρησον, V: στηρισον. **v.2** ΤΚ: μελλει, Μ: εμελλες, V: εμελλον. **v.2** ΤΚV: αποθανειν, Μ: αποβαλλειν. **v.2** ΤΚ: θεου, ΜV: θεου μου. **v.3** Τ*: επι σε, V: ∅. **v.3** ΤΚV: γνως, Μ: γνωση. **v.4** ΤΚ: εχεις ολιγα, Μ: αλλ ολιγα εχεις, V: αλλα εχεις ολιγα. **v.4** ΤΚ: και, ΜV: ∅.

5 εἰσιν ⸰ ὁ νικῶν οὗτός περιβαλεῖται ἐν ἱματίοις λευκοῖς καὶ
οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς
καὶ ἐξομολογήσομαι τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός
6 μου καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ ⸰ ὁ ἔχων οὖς ἀκου-
7 σάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις ⸰ καὶ τῷ ἀγγέλῳ
τῆς ἐν φιλαδελφείᾳ ἐκκλησίας γράψον τάδε λέγει ὁ ἅγιος
ὁ ἀληθινὸς ὁ ἔχων τὴν κλεῖδα τοῦ˙ δαβὶδ ὁ ἀνοίγων καὶ
8 οὐδεὶς κλείει˙ καὶ κλείει καὶ οὐδεὶς ἀνοίγει ⸰ οἶδά σου τὰ
ἔργα ἰδοὺ δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳγμένην κἀι οὐ-
δεὶς δύναται κλεῖσαι αὐτὴν ὅτι μικρὰν ἔχεις δύναμιν καὶ
ἐτήρησάς μου τὸν λόγον καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου ⸰
9 ἰδοὺ δίδωμι ἐκ τῆς συναγωγῆς τοῦ σατανᾶ τῶν λεγόντων ἑ-
αυτοὺς ἰουδαίους εἶναι καὶ οὐκ εἰσὶν ἀλλὰ ψεύδονται ἰδοὺ
ποιήσω αὐτοὺς ἵνα ἥξῶσιν καὶ προσκυνήσῶσιν ἐνώπιον τῶν
10 ποδῶν σου καὶ γνῶσιν ὅτι ἐγὼ ἠγάπησά σε ⸰ ὅτι ἐτήρησας
τὸν λόγον τῆς ὑπομονῆς μου κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας
τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμέ-
11 νης ὅλης πειράσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ⸰ ἰδοὺ
ἔρχομαι ταχὺ κράτει ὃ ἔχεις ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν
12 σου ⸰ ὁ νικῶν ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ θεοῦ
μου καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι καὶ γράψω ἐπ᾽ αὐτὸν τὸ ὄ-
νομα τοῦ θεοῦ μου καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ θεοῦ μου
τῆς καινῆς ἱερουσαλὴμ ἡ καταβαίνουσα ἐκ̀ τοῦ οὐρανοῦ
13 ἀπὸ τοῦ θεοῦ μου καὶ τὸ ὄνομά μου τὸ καινόν ⸰ ὁ ἔχων
14 οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις ⸰ καὶ τῷ
ἀγγέλῳ τῆς ἐκκλησίας˙ λαοδικέων γράψον τάδε λέγει ὁ ἀ-
μὴν ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινὸς ἡ ἀρχὴ τῆς κτίσεως
15 τοῦ θεοῦ ⸰ οἶδά σου τὰ ἔργα ὅτι οὔτε ψυχρὸς εἶ οὔτε ζε-

---

**v.5** T*: outos, V: outws. **v.5** TK: εξομολογησομαι, MV: ομολογησω. **v.7** TK: κλειδα, MV: κλειν. **v.7** T*: του δαβιδ, V: δαυιδ. **v.7** TK: κλειει και κλειει και ουδεις ανοιγει, M: κλεισει αυτην ει μη ο ανοιγων και ουδεις ανοιξει, V: κλεισει και κλειων και ουδεις ανοιγει. **v.8** T*: ανεωγμενην, V: ηνεωγμενην. **v.8** TK: και, MV: ην. **v.9** T*: διδωμι, V: διδω. **v.9** T*: ηξωσιν, V: ηξουσιν. **v.9** T*: προσκυνησωσιν, V: προσκυνησουσιν. **v.9** TKV: εγω, M: ∅. **v.11** TK: ιδου, MV: ∅. **v.12** TV: καταβαινουσα, KM: καταβαινει. **v.12** TKV: εκ, M: απο. **v.14** TK: εκκλησιας λαοδικεων, MV: εν λαοδικεια εκκλησιας.

στὸς ὄφελον ψυχρὸς ἦἵης ἢ ζεστός· οὕτως ὅτι χλιαρὸς εἶ 16
καὶ οὐτε˚ ψυχρὸς οὔτε ζεστὸς μέλλω σε ἐμέσαι ἐκ τοῦ στό-
ματός μου· ὅτι λέγεις ὅτὶ πλούσιός εἰμι καὶ πεπλούτηκα 17
καὶ οὐδενὸς̣ χρείαν ἔχω καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ ταλαί-
πωρος κἀὶ ἐλεεινὸς καὶ πτωχὸς καὶ τυφλὸς καὶ γυμνός·
συμβουλεύω σοι ἀγοράσαι παρ᾽˚ ἐμοῦ χρυσίον πεπυρωμέ- 18
νον ἐκ πυρὸς ἵνα πλουτήσῃς καὶ ἱμάτια λευκὰ ἵνα περιβά-
λῃ καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου καὶ
κολλούριον˚ ἔγχρισον τοὺς ὀφθαλμούς σου ἵνα βλέπῃς·
ἐγὼ ὅσους ἐὰν φιλῶ ἐλέγχω καὶ παιδεύω ζήλῶσον οὖν καὶ 19
μετανόησον· ἰδοὺ ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω ἐάν τις 20
ἀκούσῃ τῆς φωνῆς μου καὶ ἀνοίξῃ τὴν θύραν ἐἰσελεύσομαι
πρὸς αὐτὸν καὶ δειπνήσω μετ᾽ αὐτοῦ καὶ αὐτὸς μετ᾽ ἐμοῦ·
ὁ νικῶν δώσω αὐτῷ καθίσαι μετ᾽ ἐμοῦ ἐν τῷ θρόνῳ μου 21
ὡς κἀγὼ ἐνίκησα καὶ ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ
θρόνῳ αὐτοῦ· ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει 22
ταῖς ἐκκλησίαις·

Μετὰ ταῦτα εἶδον καὶ ἰδοὺ θύρα ἠνεῳγμένη ἐν τῷ οὐρα- **4**
νῷ καὶ ἡ φωνὴ ἡ πρώτη ἣν ἤκουσα ὡς σάλπιγγος λαλούσης
μετ᾽ ἐμοῦ λέγουσα ἀνάβα ὧδε καὶ δείξω σοι ἃ δεῖ γενέσθαι
μετὰ ταῦτα· κἀὶ εὐθέως ἐγενόμην ἐν πνεύματι καὶ ἰδοὺ 2
θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τοῦ˚ θρόνου καθή-
μενος· καὶ˚ ὁ καθήμενος ἦν̣ ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι 3
καὶ σαρδίνῳ καὶ ἶρις κυκλόθεν τοῦ θρόνου ὅμοιός ὁρά-
σει˚ σμαραγδίνῳ· κἀὶ κυκλόθεν τοῦ θρόνου θρόνοι εἴκοσι 4
κἀὶ τέσσαρες καὶ ἐπὶ τοὺς θρόνους εἶδον˚ τοὺς εἴκοσι κἀὶ

**v.15** ΤΚ: ειης, ΜV: ης. **v.16** ΤΚ: ουτε ψυχρος ουτε ζεστος, Μ: ου ζεστος ουτε ψυχρος, V: ουτε ζεστος ουτε ψυχρος. **v.17** ΤΚV: οτι, Μ: ∅. **v.17** Τ*: ουδενος, V: ουδεν. **v.17** ΤΚV: και, Μ: και ο. **v.18** ΤΚV: παρ εμου χρυσιον, Μ: χρυσιον παρ εμου. **v.18** ΤΚ: κολλουριον εγχρισον, Μ: κολλυριον ινα εγχριση, V: κολλ[ο]υριον εγχρισαι. **v.19** ΤΚ: ζηλωσον, ΜV: ζηλευε. **v.20** ΤΚ: εισελευσομαι, Μ: και εισελευσομαι, V: [και] εισελευσομαι. **4. v.1** ΤΚV: ηνεωγμενη, Μ: ανεωγμενη. **v.1** ΤΚ: λεγουσα, ΜV: λεγων. **v.2** ΤΚ: και, ΜV: ∅. **v.2** ΤΚ: του θρονου, ΜV: τον θρονον. **v.3** ΤΚV: και ο καθημενος, Μ: ∅. **v.3** ΤΚ: ην, ΜV: ∅. **v.3** ΤΚ: σαρδινω, ΜV: σαρδιω. **v.3** ΤV: ομοιος, Κ: ομοια, Μ: ομοιως. **v.3** ΤΚV: ορασει σμαραγδινω, Μ: ορασις σμαραγδινων. **v.4** ΤΚV: και, Μ: ∅. **v.4** Τ*: θρονοι, V: θρονους. **v.4** ΤΚ: και, ΜV: ∅. **v.4** ΤΚ: ειδον τους, Μ: τους, V: ∅. **v.4** ΤΚ: και, ΜV: ∅.

τέσσαρας πρεσβυτέρους καθημένους περιβεβλημένους ἐν
ἱματίοις λευκοῖς καὶ ἔσχον ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφά-
5 νους χρυσοῦς ◦ καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαὶ
καὶ βρονταὶ˚ καὶ φωναὶ καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμε-
ναι ἐνώπιον τοῦ θρόνου ἅἵ εἰσιν τὰ ἑπτὰ πνεύματα τοῦ θε-
6 οῦ ◦ καὶ ἐνώπιον τοῦ θρόνου θάλασσα ὑαλίνη ὁμοία κρυ-
στάλλῳ καὶ ἐν μέσῳ τοῦ θρόνου καὶ κύκλῳ τοῦ θρόνου
τέσσαρα ζῶα γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν ◦
7 καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι καὶ τὸ δεύτερον ζῶον
ὅμοιον μόσχῳ καὶ τὸ τρίτον ζῶον ἔχὸν τὸ˚ πρόσωπον ὡς
ἄνθρωπος καὶ τὸ τέταρτον ζῶὸν ὅμοιον ἀετῷ πετὼμένῳ ◦
8 κἀὶ τέσσαρα ζῶα ἓν καθ᾽ ἑαυτὸ˚ εἶχον ἀνὰ πτέρυγας ἓξ κυ-
κλόθεν καὶ ἔσωθεν γέμοὐτα ὀφθαλμῶν καὶ ἀνάπαυσιν οὐκ
ἔχουσιν ἡμέρας καὶ νυκτὸς λέγοντἁ ἅγιος˚ ἅγιος ἅγιος κύ-
ριος ὁ θεὸς ὁ παντοκράτωρ ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος ◦
9 καὶ ὅταν δώσὁυσιν τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν
τῷ καθημένῳ ἐπὶ τοῦ˚ θρόνου τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν
10 αἰώνων ◦ πεσοῦνται οἱ εἴκοσι κἀὶ τέσσαρες πρεσβύτεροι ἐν-
ώπιον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου καὶ προσκυνὁῦσιν
τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων καὶ βάλλὁυσιν τοὺς
11 στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου λέγοντες ◦ ἄξιος εἶ
κύρ̣ιε λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν ὅτι
σὺ ἔκτισας τὰ πάντα καὶ διὰ τὸ θέλημά σου ἐἰσὶν καὶ ἐκτί-
σθησαν ◦

**5** Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου
βιβλίον γεγραμμένον ἔσωθεν καὶ ὄπ̣ισθεν κατεσφραγισμέ-

---

**v.4** TK: εσχον, MV: ∅. **v.5** TK: βρονται και φωναι, MV: φωναι και βρονται. **v.5** TK: αι, M: αυτου αι, V: α. **v.5** TKV: τα, M: ∅. **v.6** TK: θαλασσα, MV: ως θαλασσα. **v.7** T*: εχον, V: εχων. **v.7** TK: το προσωπον ως ανθρωπος, M: προσωπον ανθρωπου, V: το προσωπον ως ανθρωπου. **v.7** TKV: ζωον, M: ∅. **v.7** TK: πετωμενω, MV: πετομενω. **v.8** TK: και, MV: και τα. **v.8** TK: εαυτο ειχον, M: εν εχον, V: εν αυτων εχων. **v.8** TK: γεμοντα, MV: γεμουσιν. **v.8** TK: λεγοντα, MV: λεγοντες. **v.8** TKV: αγιος αγιος αγιος, M: αγιος αγιος αγιος αγιος αγιος αγιος αγιος αγιος αγιος (9 times, other mss 8 times). **v.9** TKV: δωσουσιν, M: δωσι. **v.9** T*: του θρονου, V: τω θρονω. **v.10** TK: και, MV: ∅. **v.10** TK: προσκυνουσιν, MV: προσκυνησουσιν. **v.10** TK: βαλλουσιν, MV: βαλουσιν. **v.11** TK: κυριε, M: ο κυριος και ο θεος ημων ο αγιος, V: ο κυριος και ο θεος ημων. **v.11** TKV: τα, M: ∅. **v.11** TK: εισιν, MV: ησαν. **5. v.1** TKV: οπισθεν, M: εξωθεν.

νον σφραγῖσιν ἑπτά· καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσ- 2
σοντα φωνῇ μεγάλῃ τίς ἐστιν˚ ἄξιος ἀνοῖξαι τὸ βιβλίον καὶ
λῦσαι τὰς σφραγῖδας αὐτοῦ· καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐ- 3
ρανῷ οὐδὲ ἐπὶ τῆς γῆς οὐδὲ ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ
βιβλίον οὐδὲ βλέπειν αὐτό· καὶ ἐγὼ ἔκλαιον πολλὰ ὅτι οὐ- 4
δεὶς ἄξιος εὑρέθη ἀνοῖξαι καὶ˚ ἀναγνῶναι τὸ βιβλίον οὔτε
βλέπειν αὐτό· καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι μὴ 5
κλαῖε ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ ὢν ἐκ τῆς φυλῆς ἰούδα ἡ
ῥίζα δαβὶδ ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς ἑπτὰ σφραγῖ-
δας αὐτοῦ· καὶ εἶδον καὶ˚ ἰδοὺ ἐν μέσῳ τοῦ θρόνου καὶ 6
τῶν τεσσάρων ζώων καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων ἀρνίον
ἑστηκὸς ὡς ἐσφαγμένον ἔχον κέρατα ἑπτὰ καὶ ὀφθαλμοὺς
ἑπτὰ οἵ εἰσιν τὰ ἑπτὰ τοῦ˚ θεοῦ πνεύματα τὰ ἀπεσταλμένα
εἰς πᾶσαν τὴν γῆν· καὶ ἦλθεν καὶ εἴληφεν τὸ˚ βιβλίον ἐκ 7
τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου· καὶ ὅτε ἔλα- 8
βεν τὸ βιβλίον τὰ τέσσαρα ζῶα καὶ οἱ εἰκοσιτέσσαρες πρε-
σβύτεροι ἔπεσον ἐνώπιον τοῦ ἀρνίου ἔχοντες ἕκαστος κι-
θάραν καὶ φιάλας χρυσᾶς γεμούσας θυμιαμάτων αἵ εἰσιν
αἱ προσευχαὶ τῶν ἁγίων· καὶ ᾄδουσιν ᾠδὴν καινὴν λέγον- 9
τες ἄξιος εἶ λαβεῖν τὸ βιβλίον καὶ ἀνοῖξαι τὰς σφραγῖδας
αὐτοῦ ὅτι ἐσφάγης καὶ ἠγόρασας τῷ θεῷ ἡμᾶς ἐν τῷ αἵμα-
τί σου ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λαοῦ καὶ ἔθνους·
καὶ ἐποίησας ἡμᾶς τῷ θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς καὶ 10
βασιλεύσομεν ἐπὶ τῆς γῆς· καὶ εἶδον καὶ ἤκουσα φωνὴν 11
ἀγγέλων πολλῶν κυκλόθεν τοῦ θρόνου καὶ τῶν ζώων καὶ

**v.2** TK: φωνη, MV: εν φωνη. **v.2** TK: εστιν αξιος, M: αξιος εστιν, V: αξιος. **v.3** TK: ηδυνατο, MV: εδυνατο. **v.3** TKV: ουδε, M: ανω ουτε. **v.3** TKV: ουδε, M: ουτε. **v.3** TK: ουδε, MV: ουτε. **v.4** T*: εγω, V: ∅. **v.4** TK: πολλα, MV: πολυ. **v.4** TK: και αναγνωναι, MV: ∅. **v.5** TK: ων, MV: ∅. **v.5** T*: δαβιδ, V: δαυιδ. **v.5** TKV: ανοιξαι, M: ο ανοιγων. **v.5** TK: λυσαι, MV: ∅. **v.6** TK: και ιδου, MV: ∅. **v.6** T*: εχον, V: εχων. **v.6** TKV: οι, M: α. **v.6** TK: του θεου πνευματα τα απεσταλμενα, M: πνευματα του θεου αποστελλομενα, V: πνευματα του θεου απεσταλμενοι. **v.7** TK: το βιβλιον, MV: ∅. **v.8** TK: εικοσιτεσσαρες, MV: εικοσι τεσσαρες. **v.8** T*: επεσον, V: επεσαν. **v.8** TK: κιθαρας, MV: κιθαραν. **v.8** TKV: αι, M: ∅. **v.9** T*: ημας, V: ∅. **v.10** TK: ημας, MV: αυτους. **v.10** T*: βασιλεις, V: βασιλειαν. **v.10** TK: βασιλευσομεν, MV: βασιλευσουσιν. **v.11** TKV: φωνην, M: ως φωνην. **v.11** TK: κυκλοθεν, MV: κυκλω.

12 τῶν πρεσβυτέρων καὶ χιλιάδες˚ χιλιάδων ◦ λέγοντες φωνῇ
μεγάλῃ ἄξιόν ἐστιν τὸ ἀρνίον τὸ ἐσφαγμένον λαβεῖν τὴν
δύναμιν καὶ πλοῦτον καὶ σοφίαν καὶ ἰσχὺν καὶ τιμὴν καὶ
13 δόξαν καὶ εὐλογίαν ◦ καὶ πᾶν κτίσμα ὅ ἐστιν ἐν τῷ οὐρανῷ
καὶ ἐν˚ τῇ γῇ καὶ ὑποκάτω τῆς γῆς καὶ ἐπὶ τῆς θαλάσσης ἅ˚
ἐστιν καὶ τὰ ἐν αὐτοῖς πάντά ἤκουσα λέγοντας τῷ καθημέ-
νῳ ἐπὶ τοῦ˚ θρόνου καὶ τῷ ἀρνίῳ ἡ εὐλογία καὶ ἡ τιμὴ καὶ
14 ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνωνˆ ◦ καὶ τὰ
τέσσαρα ζῶα ἔλεγον ἀμὴν καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτε-
ροι ἔπεσαν καὶ προσεκύνησαν ζῶντι˚ εἰς τοὺς αἰῶνας τῶν
αἰώνων ◦

**6** Καὶ εἶδον ὅτε ἤνοιξεν τὸ ἀρνίον μίαν ἐκ τῶν ὀφραγίδων
καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος ὡς φω-
2 νῆς βροντῆς ἔρχου καὶ˚ βλέπε ◦ καὶ˚ εἶδον καὶ ἰδοὺ ἵπ-
πος λευκὸς καὶ ὁ καθήμενος ἐπ᾽ αὐτῷ ἔχων τόξον καὶ ἐ-
δόθη αὐτῷ στέφανος καὶ ἐξῆλθεν νικῶν καὶ ἵνα νικήσῃ ◦
3 καὶ ὅτε ἤνοιξεν τὴν˚ δευτέραν σφραγῖδα ἤκουσα τοῦ δευ-
4 τέρου ζώου λέγοντος ἔρχου καὶ˚ βλέπε ◦ καὶ ἐξῆλθεν ἄλλος
ἵππος πυρρὸς καὶ τῷ καθημένῳ ἐπ᾽ αὐτῷ ἐδόθη αὐτῷ λα-
βεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς καὶ ἵνα ἀλλήλους σφάξῶσιν
5 καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη ◦ καὶ ὅτε ἤνοιξεν τὴν˚ τρί-
την σφραγῖδα ἤκουσα τοῦ τρίτου ζώου λέγοντος ἔρχου καὶ
βλέπε˚ καὶ εἶδον καὶ ἰδοὺ ἵππος μέλας καὶ ὁ καθήμενος ἐπ᾽
6 αὐτῷ ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ ◦ καὶ ἤκουσα φωνὴν ἐν

---

**v.11** T: χιλιαδες χιλιαδων, KMV: ην ο αριθμος αυτων μυριαδες μυριαδων και χιλιαδες χιλιαδων. **v.12** TKV: πλουτον, M: τον πλουτον. **v.13** TK: εστιν, MV: ∅. **v.13** TK: εν τη γη, MV: επι της γης. **v.13** TK: α εστιν, M: εστιν, V: ∅. **v.13** TKV: παντα, M: παντας. **v.13** TK: του θρονου, MV: τω θρονω. **v.13** TKV: αιωνων, M: αιωνων αμην. **v.14** TKV: ελεγον, M: λεγοντα το. **v.14** TK: εικοσιτεσσαρες, MV: ∅. **v.14** TKV: επεσαν, M: επεσον. **v.14** TK: ζωντι εις τους αιωνας των αιωνων, MV: ∅. **6. v.1** TKV: οτε, M: οτι. **v.1** TK: σφραγιδων, MV: επτα σφραγιδων. **v.1** TK: φωνης, MV: φωνη. **v.1** TK: και βλεπε, M: και ιδε, V: ∅. **v.2** TKV: και ειδον, M: ∅. **v.2** TK: αυτω, MV: αυτον. **v.3** T*: την δευτεραν σφραγιδα, V: την σφραγιδα την δευτεραν. **v.3** TK: και βλεπε, MV: ∅. **v.4** TKV: πυρρος, M: πυρος. **v.4** TK: αυτω, MV: αυτον. **v.4** TK: απο, MV: εκ. **v.4** TKV: και, M: ∅. **v.4** T*: σφαξωσιν, V: σφαξουσιν. **v.5** TK: την τριτην σφραγιδα, MV: την σφραγιδα την τριτην. **v.5** TK: βλεπε και ειδον, M: ιδε, V: ειδον. **v.5** TK: αυτω, MV: αυτον. **v.6** T*: φωνην, V: ως φωνην.

μέσῳ τῶν τεσσάρων ζώων λέγουσαν χοῖνιξ σίτου δηναρίου
καὶ τρεῖς χοίνικες κριθῆς δηναρίου καὶ τὸ ἔλαιον καὶ τὸν
οἶνον μὴ ἀδικήσῃς ⸰ καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν τε- 7
τάρτην ἤκουσα φωνὴν τοῦ τετάρτου ζώου λέγουσαν ἔρχου
καὶ˚ βλέπε ⸰ καὶ˚ εἶδον καὶ ἰδοὺ ἵππος χλωρὸς καὶ ὁ κα- 8
θήμενος ἐπάνω αὐτοῦ ὄνομα αὐτῷ ὁ θάνατος καὶ ὁ ᾅδης
ἀκολουθεῖ μετ˚ αὐτοῦ καὶ ἐδόθη αὐτοῖς ἐξουσία ἀποκτεῖ-
ναι˚ ἐπὶ τὸ τέταρτον τῆς γῆς ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν
θανάτῳ καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς ⸰ καὶ ὅτε ἤνοιξεν τὴν 9
πέμπτην σφραγῖδα εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς
ψυχὰς τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ θεοῦ καὶ διὰ τὴν
μαρτυρίαν ἣν εἶχον ⸰ καὶ ἔκραζον φωνῇ˚ μεγάλῃ λέγοντες 10
ἕως πότε ὁ δεσπότης ὁ ἅγιος καὶ ὁ˚ ἀληθινὸς οὐ κρίνεις καὶ
ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἀπὸ τῶν κατοικούντων ἐπὶ τῆς γῆς ⸰
καὶ ἐδόθησαν˚ ἑκάστοις στολαὶ λευκαὶ καὶ ἐρρέθη αὐτοῖς 11
ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρὸν˚ ἕως οὗ πληρώσονται
καὶ οἱ σύνδουλοι αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν οἱ μέλλον-
τες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί ⸰ καὶ εἶδον ὅτε ἤνοιξεν τὴν 12
σφραγῖδα τὴν ἕκτην καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο καὶ ὁ
ἥλιος ἐγένετο˚ μέλας ὡς σάκκος τρίχινος καὶ ἡ σελήνη ἐγέ-
νετο ὡς αἷμα ⸰ καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν εἰς τὴν 13
γῆν ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς ὑπὸ μεγάλου˚
ἀνέμου σειομένη ⸰ καὶ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον εἱ- 14
λισσόμενον˚ καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν

---

**v.6** T*: κριθης, V: κριθων. **v.7** TKV: φωνην, M: ∅. **v.7** TK: λεγουσαν, MV: λεγοντος. **v.7** TK: και βλεπε, M: και ιδε, V: ∅. **v.8** TKV: και ειδον, M: ∅. **v.8** TK: ακολουθει, MV: ηκολουθει. **v.8** TKV: μετ αυτου, M: αυτω. **v.8** TKV: αυτοις, M: αυτω. **v.8** TK: αποκτειναι επι το τεταρτον της γης, MV: επι το τεταρτον της γης αποκτειναι. **v.9** TKV: μαρτυριαν, M: μαρτυριαν του αρνιου. **v.10** TK: εκραζον, MV: εκραξαν. **v.10** TKV: φωνη μεγαλη, M: φωνην μεγαλην. **v.10** TK: ο, MV: ∅. **v.10** TK: απο, MV: εκ. **v.11** TK: εδοθησαν εκαστοις στολαι λευκαι, M: εδοθη αυτοις στολη λευκη, V: εδοθη αυτοις εκαστω στολη λευκη. **v.11** T*: αναπαυσωνται, V: αναπαυσονται. **v.11** TK: μικρον εως ου πληρωσονται, M: εως πληρωσωσι, V: μικρον εως πληρωθωσιν. **v.11** TKV: οι, M: και οι. **v.11** TK: αποκτεινεσθαι, M: αποκτενεσθαι, V: αποκτεννεσθαι. **v.12** TK: ιδου, MV: ∅. **v.12** TKV: εγενετο μελας, M: μελας εγενετο. **v.12** TK: σεληνη, MV: σεληνη ολη. **v.13** TKV: επεσαν, M: επεσον. **v.13** TKV: βαλλει, M: βαλουσα. **v.13** TK: μεγαλου ανεμου, MV: ανεμου μεγαλου. **v.14** TK: ουρανος, MV: ο ουρανος. **v.14** TK: ειλισσομενον, M: ελισσομενος, V: ελισσομενον.

15 ἐκινήθησαν ⸰ καὶ οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ μεγιστᾶνες καὶ
οἱ πλούσιοι˚ καὶ οἱ χιλίαρχοι καὶ οἱ δυνατοὶ καὶ πᾶς δοῦ-
λος καὶ ᾖπᾶς ἐλεύθερος ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπήλαια
16 καὶ εἰς τὰς πέτρας τῶν ὀρέων ⸰ καὶ λέγουσιν τοῖς ὄρεσιν
καὶ ταῖς πέτραις πέσετε ἐφ᾽ ἡμᾶς καὶ κρύψατε ἡμᾶς ἀπὸ
προσώπου τοῦ καθημένου ἐπὶ τοῦ˚ θρόνου καὶ ἀπὸ τῆς
17 ὀργῆς τοῦ ἀρνίου ⸰ ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς
αὐτοῦ καὶ τίς δύναται σταθῆναι ⸰

**7** Καὶ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ
τὰς τέσσαρας γωνίας τῆς γῆς κρατοῦντας τοὺς τέσσαρας
ἀνέμους τῆς γῆς ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς μήτε ἐ-
2 πὶ τῆς θαλάσσης μήτε ἐπὶ ᾖπᾶν δένδρον ⸰ καὶ εἶδον ἄλλον
ἄγγελον ἀναβάντα ἀπὸ ἀνατολῆς ἡλίου ἔχοντα σφραγῖδα
θεοῦ ζῶντος καὶ ἔκραξεν φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγ-
γέλοις οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασ-
3 σαν ⸰ λέγων μὴ ἀδικήσητε τὴν γῆν μήτε τὴν θάλασσαν μήτε
τὰ δένδρα ἄχρις˚ οὗ σφραγίζωμεν τοὺς δούλους τοῦ θεοῦ
4 ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν ⸰ καὶ ἤκουσα τὸν ἀριθμὸν
τῶν ἐσφραγισμένων $\overline{ρμδ}$˚ χιλιάδες ἐσφραγισμένοι ἐκ πά-
5 σης φυλῆς υἱῶν ἰσραήλ ⸰ ἐκ φυλῆς ἰούδα $\overline{ιβ}$˚ χιλιάδες ἐσ-
φραγισμένοι ἐκ φυλῆς ῥουβὴν $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι
6 ἐκ φυλῆς γὰδ $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ⸰ ἐκ φυλῆς ἀ-
σὴρ $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ἐκ φυλῆς νεφθαλεὶμ $\overline{ιβ}$˚
χιλιάδες ἐσφραγισμένοι ἐκ φυλῆς μανασσῆ $\overline{ιβ}$˚ χιλιάδες
7 ἐσφραγισμένοι ⸰ ἐκ φυλῆς συμεὼν $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισ-
μένοι ἐκ φυλῆς λευΐ $\overline{ιβ}$˚ χιλιάδες ἐσφραγισμένοι ἐκ φυλῆς

---

**v.15** TK: πλουσιοι και οι χιλιαρχοι και οι δυνατοι, MV: χιλιαρχοι και οι πλουσιοι και οι ισχυροι. **v.15** TK: πας, MV: ∅. **v.16** TKV: του θρονου, M: τω θρονω. **v.17** T*: αυτου, V: αυτων. **7. v.1** T*: και, V: ∅. **v.1** TK: ταυτα, MV: τουτο. **v.1** TKV: παν, M: τι. **v.2** T: αναβαντα, KMV: αναβαινοντα. **v.3** T: αχρις ου σφραγιζωμεν, KM: αχρις ου σφραγισωμεν, V: αχρι σφραγισωμεν. **v.4** TK: $\overline{ρμδ}$, M: εκατον και τεσσαρακοντα τεσσαρες, V: εκατον τεσσερακοντα τεσσαρες. **v.4** TKV: εσφραγισμενοι, M: εσφραγισμενων. **v.5** TK: $\overline{ιβ}$, MV: δωδεκα. **v.5** TKV: εσφραγισμενοι, M: εσφραγισμεναι. **v.5** TKV: ρουβην, M: ρουβιμ. **v.5** TK: εσφραγισμενοι, MV: ∅. **v.5** TK: εσφραγισμενοι, MV: ∅. **v.6** TK: $\overline{ιβ}$, MV: δωδεκα. **v.6** TK: εσφραγισμενοι, MV: ∅. **v.6** T*: νεφθαλειμ, V: νεφθαλιμ. **v.7** TK: $\overline{ιβ}$, MV: δωδεκα. **v.7** TK: εσφραγισμενοι, MV: ∅.

ἰὸαχὰρ ϊϐ͂ χιλιάδες ἐσφραγῖσμένοι ⸰ ἐκ φυλῆς ζαβουλὼν 8
ϊϐ͂ χιλιάδες ἐσφραγῖσμένοι ἐκ φυλῆς ἰωσὴφ ϊϐ͂ χιλιάδες
ἐσφραγῖσμένοι ἐκ φυλῆς βενιαμὶν ϊϐ͂ χιλιάδες ἐσφραγι-
σμένοὶ ⸰ μετὰ ταῦτα εἶδον καὶ ἰδοὺ ὄχλος πολὺς ὃν ἀρι- 9
θμῆσαι αὐτὸν οὐδεὶς ἠδύνατο ἐκ παντὸς ἔθνους καὶ φυλῶν
καὶ λαῶν καὶ γλωσσῶν ἑστῶτες ἐνώπιον τοῦ θρόνου καὶ ἐν-
ώπιον τοῦ ἀρνίου περιϐεϐλημένοὶ στολὰς λευκὰς καὶ φοί-
νικες ἐν ταῖς χερσὶν αὐτῶν ⸰ καὶ κράζοντες φωνῇ μεγάλῃ 10
λέγοντες ἡ σωτηρία τῷ καθημένῳ˚ ἐπὶ τοῦ θρόνου τοῦ θε-
οῦ ἡμῶν καὶ τῷ ἀρνίῳ ⸰ καὶ πάντες οἱ ἄγγελοι ἑστήκεσαν 11
κύκλῳ τοῦ θρόνου καὶ τῶν πρεσϐυτέρων καὶ τῶν τεσσά-
ρων ζώων καὶ ἔπεσὸν ἐνώπιον τοῦ θρόνοὺ ἐπὶ πρόσωπὸν
αὐτῶν καὶ προσεκύνησαν τῷ θεῷ ⸰ λέγοντες ἀμὴν ἡ εὐλο- 12
γία καὶ ἡ δόξα καὶ ἡ σοφία καὶ ἡ εὐχαριστία καὶ ἡ τιμὴ
καὶ ἡ δύναμις καὶ ἡ ἰσχὺς τῷ θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας
τῶν αἰώνων ἀμήν ⸰ καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσϐυτέρων 13
λέγων μοι οὗτοι οἱ περιϐεϐλημένοι τὰς στολὰς τὰς λευκὰς
τίνες εἰσὶν καὶ πόθεν ἦλθον ⸰ καὶ εἴρηκα αὐτῷ κύριὲ σὺ οἶ- 14
δας καὶ εἶπέν μοι οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως
τῆς μεγάλης καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν καὶ ἐλεύκαναν
στολὰς˚ αὐτῶν ἐν τῷ αἵματι τοῦ ἀρνίου ⸰ διὰ τοῦτό εἰσιν 15
ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ καὶ λατρεύουσιν αὐτῷ ἡμέ-
ρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ καὶ ὁ καθήμενος ἐπὶ τοῦ˚
θρόνου σκηνώσει ἐπ᾽ αὐτούς ⸰ οὐ πεινάσουσιν ἔτι οὐδὲ δι- 16
ψήσουσιν ἔτι ὀὐδὲ μὴ πέσῃ ἐπ᾽ αὐτοὺς ὁ ἥλιος οὐδὲ πᾶν
καῦμα ⸰ ὅτι τὸ ἀρνίον τὸ ἀναμέσον τοῦ θρόνου ποιμανεῖ 17

**v.7** T*: ισαχαρ, V: ισσαχαρ. **v.8** TK: ϊϐ͂, MV: δωδεκα. **v.8** TK: εσφραγισμενοι, MV: ∅. **v.8** TK: εσφραγισμενοι, MV: ∅. **v.8** TKV: εσφραγισμενοι, M: εσφραγισμεναι. **v.9** TKV: αυτον, M: ∅. **v.9** TK: ηδυνατο, MV: εδυνατο. **v.9** TKV: εστωτες, M: εστωτας. **v.9** TK: περιϐεϐλημενοι, MV: περιϐεϐλημενους. **v.9** TKV: φοινικες, M: φοινικας. **v.10** TK: κραζοντες, MV: κραζουσιν. **v.10** T: καθημενω επι του θρονου του θεου ημων, K: θεω ημων τω καθημενω επι του θρονου, MV: θεω ημων τω καθημενω επι τω θρονω. **v.11** TK: εστηκεσαν, MV: ειστηκεισαν. **v.11** T*: επεσον, V: επεσαν. **v.11** TKV: θρονου, M: θρονου αυτου. **v.11** TK: προσωπον, MV: τα προσωπα. **v.14** TKV: ειρηκα, M: ειπον. **v.14** TK: κυριε, MV: κυριε μου. **v.14** T: στολας αυτων, KV: αυτας, M: ∅. **v.15** TKV: του θρονου, M: τω θρονω. **v.16** TKV: ουδε, M: ουδ ου. **v.17** T: αναμεσον, KMV: ανα μεσον. **v.17** TKV: ποιμανει, M: ποιμαινει.

αὐτοὺς καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζώσας πηγὰς ὑδάτων καὶ
ἐξαλείψει ὁ θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν ◦

**8** Καὶ ὅτε ἤνοιξεν τὴν σφραγῖδα τὴν ἑβδόμην ἐγένετο σι-
2 γὴ ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον ◦ καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέ-
λους οἳ ἐνώπιον τοῦ θεοῦ ἑστήκασιν καὶ ἐδόθησαν αὐτοῖς
3 ἑπτὰ σάλπιγγες ◦ καὶ ἄλλος ἄγγελος ἦλθεν καὶ ἐστάθη ἐπὶ
τὸ˚ θυσιαστήριον ἔχων λιβανωτὸν χρυσοῦν καὶ ἐδόθη αὐ-
τῷ θυμιάματα πολλὰ ἵνα δώσῃ ταῖς προσευχαῖς τῶν ἁγίων
πάντων ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ
4 θρόνου ◦ καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσ-
ευχαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέλου ἐνώπιον τοῦ θεοῦ ◦
5 καὶ εἴληφεν ὁ ἄγγελος τὸ λιβανωτὸν καὶ ἐγέμισεν αὐτὸ ἐκ
τοῦ πυρὸς τοῦ θυσιαστηρίου καὶ ἔβαλεν εἰς τὴν γῆν καὶ
ἐγένοντο φωναὶ˚ καὶ βρονταὶ καὶ ἀστραπαὶ καὶ σεισμός ◦
6 καὶ οἱ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ σάλπιγγας ἡτοίμα-
7 σαν ἑαυτοὺς ἵνα σαλπίσωσιν ◦ καὶ ὁ πρῶτος ἀγγελος ἐσάλ-
πισεν καὶ ἐγένετο χάλαζα καὶ πῦρ μεμιγμένα αἵματι καὶ
ἐβλήθη εἰς τὴν γῆν καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη καὶ
8 πᾶς χόρτος χλωρὸς κατεκάη ◦ καὶ ὁ δεύτερος ἄγγελος ἐσ-
άλπισεν καὶ ὡς ὄρος μέγα πυρὶ καιόμενον ἐβλήθη εἰς τὴν
9 θάλασσαν καὶ ἐγένετο τὸ τρίτον τῆς θαλάσσης αἷμα ◦ καὶ
ἀπέθανεν τὸ τρίτον τῶν κτισμάτων τῶν ἐν τῇ θαλάσσῃ τὰ
10 ἔχοντα ψυχὰς καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρη ◦ καὶ ὁ
τρίτος ἄγγελος ἐσάλπισεν καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀ-
στὴρ μέγας καιόμενος ὡς λαμπὰς καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον
11 τῶν ποταμῶν καὶ ἐπὶ τὰς πηγὰς ὑδάτων ◦ καὶ τὸ ὄνομα
τοῦ ἀστέρος λέγεται ἄψινθος καὶ γίνεται τὸ˚ τρίτον εἰς ἃ-

---

**v.17** TKV: οδηγησει, M: οδηγει. **v.17** TK: ζωσας, MV: ζωης. **v.17** TK: απο, MV: εκ. **8. v.1** T*: οτε, V: οταν. **v.3** TK: το θυσιαστηριον, MV: του θυσιαστηριου. **v.3** TK: δωση, MV: δωσει. **v.5** TK: το, MV: τον. **v.5** TK: αυτο, MV: αυτον. **v.5** TK: φωναι και βρονται, MV: βρονται και φωναι. **v.6** T: εχοντες, KMV: οι εχοντες. **v.6** T*: εαυτους, V: αυτους. **v.7** TK: αγγελος, MV: ∅. **v.7** TK: αιματι, MV: εν αιματι. **v.7** TK: γην, MV: γην και το τριτον της γης κατεκαη. **v.8** TKV: πυρι, M: ∅. **v.9** TKV: των, M: ∅. **v.9** T*: διεφθαρη, V: διεφθαρησαν. **v.10** TK: υδατων, MV: των υδατων. **v.11** TK: αψινθος, MV: ο αψινθος. **v.11** TK: γινεται, MV: εγενετο. **v.11** T: το τριτον, KMV: το τριτον των υδατων.

ψινθον καὶ πολλοὶ ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων ὅτι
ἐπικράνθησαν ⸰ καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισεν καὶ ἐ- 12
πλήγη τὸ τρίτον τοῦ ἡλίου καὶ τὸ τρίτον τῆς σελήνης καὶ τὸ
τρίτον τῶν ἀστέρων ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν καὶ ἡ˚ ἡ-
μέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς καὶ ἡ νὺξ ὁμοίως ⸰ καὶ εἶδον 13
καὶ ἤκουσα ἑνὸς ἀγγέλου˚ πετωμένου ἐν μεσουρανήματι
λέγοντος φωνῇ μεγάλῃ οὐαὶ οὐαὶ οὐαὶ τοῖς˚ κατοικοῦσιν
ἐπὶ τῆς γῆς ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν
ἀγγέλων τῶν μελλόντων σαλπίζειν ⸰

Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισεν καὶ εἶδον ἀστέρα ἐκ **9**
τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς
τοῦ φρέατος τῆς ἀβύσσου ⸰ καὶ ἤνοιξεν τὸ φρέαρ τῆς ἀβύσ- 2
σου καὶ ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου
μεγάλης καὶ ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ
τοῦ φρέατος ⸰ καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν 3
γῆν καὶ ἐδόθη αὐταῖς ἐξουσία ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορ-
πίοι τῆς γῆς ⸰ καὶ ἐρρέθη αὐταῖς ἵνα μὴ ἀδικήσῶσιν τὸν 4
χόρτον τῆς γῆς οὐδὲ πᾶν χλωρὸν οὐδὲ πᾶν δένδρον εἰ μὴ
τοὺς ἀνθρώπους μόνους οἵτινες οὐκ ἔχουσιν τὴν σφρα-
γῖδα τοῦ θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν ⸰ καὶ ἐδόθη αὐτᾶῖς 5
ἵνα μὴ ἀποκτείνωσιν αὐτοὺς ἀλλ᾽ ἵνα βασανισθῶσιν μῆνας
πέντε καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασανισμὸς σκορπίου
ὅταν παίσῃ ἄνθρωπον ⸰ καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζητή- 6
σουσιν οἱ ἄνθρωποι τὸν θάνατον καὶ οὐχ εὑρήσουσιν αὐτὸν
καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν καὶ φεύξἐται ὁ˚ θάνατος ἀπ᾽
αὐτῶν ⸰ καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις ἡτοι- 7
μασμένοις εἰς πόλεμον καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὡς στέ-
φανοι ὅμοιοι˚ χρυσῷ καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα

---

**v.11** ΤΚ: ανθρωπων, ΜV: των ανθρωπων. **v.12** ΤΚ: η ημερα μη φαινη το τριτον αυτης, Μ: το τριτον αυτης μη φανη η ημερα, V: η ημερα μη φανη το τριτον αυτης. **v.13** ΤΚ: αγγελου πετωμενου, ΜV: αετου πετομενου. **v.13** ΤΚ: τοις κατοικουσιν, ΜV: τους κατοικουντας. **9. v.2** ΤΚV: μεγαλης, Μ: καιομενης. **v.2** T*: εσκοτισθη, V: εσκοτωθη. **v.4** T*: αδικησωσιν, V: αδικησουσιν. **v.4** ΤΚ: μονους, ΜV: ∅. **v.4** T*: αυτων, V: ∅. **v.5** T*: αυταις, V: αυτοις. **v.5** T*: βασανισθωσιν, V: βασανισθησονται. **v.6** ΤΚ: ουχ, ΜV: ου μη. **v.6** T*: φευξεται, V: φευγει. **v.6** ΤΚV: ο θανατος απ αυτων, Μ: απ αυτων ο θανατος. **v.7** ΤΚV: ομοιοι χρυσω, Μ: χρυσοι.

8 ἀνθρώπων ⸰ καὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν καὶ οἱ
9 ὀδόντες αὐτῶν ὡς λεόντων ἦσαν ⸰ καὶ εἶχον θώρακας ὡς
θώρακας σιδηροῦς καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς
10 φωνὴ ἁρμάτων ἵππων πολλῶν τρεχόντων εἰς πόλεμον ⸰ καὶ
ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις καὶ κέντρα ἦν ἐν ταῖς οὐ-
ραῖς αὐτῶν καὶ˚ ἡ ἐξουσία αὐτῶν ἀδικῆσαι τοὺς ἀνθρώπους
11 μῆνας πέντε ⸰ καὶ˚ ἔχουσιν ἐφ᾽ αὐτῶν βασιλέα τὸν ἄγγελον
τῆς ἀβύσσου ὄνομα αὐτῷ ἑβρα�ϊστὶ ἀβαδδὼν˚ καὶ ἐν τῇ ἑλ-
12 ληνικῇ ὄνομα ἔχει ἀπολλύων ⸰ ἡ οὐαὶ ἡ μία ἀπῆλθεν ἰδοὺ
13 ἔρχονται ἔτι δύο οὐαὶ μετὰ ταῦτα ⸰ καὶ ὁ ἕκτος ἄγγελος
ἐσάλπισεν καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κερά-
των τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ θεοῦ ⸰
14 λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ ὃς˚ εἶχε τὴν σάλπιγγα λῦσον
τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ
15 τῷ μεγάλῳ εὐφράτῃ ⸰ καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι
οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ ἡμέραν καὶ μῆνα καὶ
16 ἐνιαυτὸν ἵνα ἀποκτείνωσιν τὸ τρίτον τῶν ἀνθρώπων ⸰ καὶ
ὁ ἀριθμὸς στρατευμάτων˚ τοῦ ἱππικοῦ δύο μυριάδες μυ-
17 ριάδων καὶ ἤκουσα τὸν ἀριθμὸν αὐτῶν ⸰ καὶ οὕτως εἶδον
τοὺς ἵππους ἐν τῇ ὁράσει καὶ τοὺς καθημένους ἐπ᾽ αὐτῶν
ἔχοντας θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώδεις
καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόντων καὶ ἐκ τῶν
στομάτων αὐτῶν ἐκπορεύεται πῦρ καὶ καπνὸς καὶ θεῖον ⸰
18 ὑπὸ τῶν τριῶν τούτων ἀπεκτάνθησαν τὸ τρίτον τῶν ἀνθρώ-
πων ἐκ τοῦ πυρὸς καὶ ἐκ τοῦ καπνοῦ καὶ ἐκ τοῦ θείου τοῦ
19 ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν ⸰ αἱ˚ γὰρ ἐξουσίαι

---

**v.10** ΤΚ: ην, ΜV: και. **v.10** ΤΚ: και η εξουσια αυτων, Μ: εξουσιαν εχουσι του, V: η εξουσια αυτων. **v.11** Τ: και εχουσιν ἐφ᾽ αὐτῶν βασιλεα τον, Κ: και εχουσιν ἐπ᾽ αὐτῶν βασιλεα τον, Μ: εχουσαι βασιλεα ἐπ᾽ αὐτῶν, V: εχουσιν ἐπ᾽ αὐτῶν βασιλεα τον. **v.11** ΤΚV: αβαδδων και εν, Μ: αββαδων εν δε. **v.12** ΤΚ: ερχονται, ΜV: ερχεται. **v.14** ΤΚ: λεγουσαν, Μ: λεγοντος, V: λεγοντα. **v.14** ΤΚ: ος ειχε, ΜV: ο εχων. **v.15** ΤΚV: ημεραν, Μ: εις την ημεραν. **v.16** ΤΚ: στρατευματων του ιππικου δυο μυριαδες μυριαδων και, Μ: των στρατευματων του ιππου μυριαδες μυριαδων, V: των στρατευματων του ιππικου δισμυριαδες μυριαδων. **v.18** Τ*: υπο, V: απο. **v.18** ΤΚ: τουτων, ΜV: πληγων τουτων. **v.18** ΤΚV: εκ, Μ: απο. **v.18** ΤΚ: εκ, ΜV: ∅. **v.18** ΤΚ: εκ, ΜV: ∅. **v.19** Τ: αι γαρ εξουσιαι, ΚΜV: η γαρ εξουσια.

αὐτῶν ἐν τῷ στόματι αὐτῶν εἰσιν αἱ γὰρ οὐραὶ αὐτῶν ὅμοιαι ὄφεσιν ἔχουσαι κεφαλὰς καὶ ἐν αὐταῖς ἀδικοῦσιν ⸰
καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς 20
πληγαῖς ταύταις οὔτε μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν
αὐτῶν ἵνα μὴ προσκυνήσωσιν τὰ δαιμόνια καὶ εἴδωλα τὰ
χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα καὶ τὰ
ξύλινα ἃ οὔτε βλέπειν δύναται οὔτε ἀκούειν οὔτε περιπα-
τεῖν ⸰ καὶ οὐ μετενόησαν ἐκ τῶν φόνων αὐτῶν οὔτε ἐκ τῶν 21
φαρμακειῶν αὐτῶν οὔτε ἐκ τῆς πορνείας αὐτῶν οὔτε ἐκ τῶν
κλεμμάτων αὐτῶν ⸰

Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ **10**
οὐρανοῦ περιβεβλημένον νεφέλην καὶ ἶρις ἐπὶ τῆς κεφα-
λῆς καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος καὶ οἱ πόδες αὐτοῦ
ὡς στύλοι πυρός ⸰ καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλαρίδιον 2
ἠνεῳγμένον καὶ ἔθηκεν τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τὴν˚
θάλασσαν τὸν δὲ εὐώνυμον ἐπὶ τὴν˚ γῆν ⸰ καὶ ἔκραξεν φω- 3
νῇ μεγάλῃ ὥσπερ λέων μυκᾶται καὶ ὅτε ἔκραξεν ἐλάλησαν
αἱ ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς ⸰ καὶ ὅτε ἐλάλησαν αἱ 4
ἑπτὰ βρονταὶ τὰς˚ φωνὰς ἑαυτῶν ἔμελλον γράφειν καὶ ἤ-
κουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσάν μοι σφράγισον ἃ
ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ καὶ μὴ ταῦτα γράψῃς ⸰ καὶ ὁ 5
ἄγγελος ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς
ἦρεν τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανόν ⸰ καὶ ὤμοσεν ἐν˙ τῷ 6
ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων ὃς ἔκτισεν τὸν οὐρανὸν
καὶ τὰ ἐν αὐτῷ καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ καὶ τὴν θά-
λασσαν καὶ τὰ ἐν αὐτῇ ὅτι χρόνος οὐκ˚ ἔσται ἔτι ⸰ ἀλλὰ ἐν 7
ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου ὅταν μέλλῃ

---

**v.19** TK: αυτων, MV: των ιππων. **v.19** T: εισιν, KMV: εστιν και εν ταις ουραις αυτων. **v.19** TKV: οφεσιν, M: οφεων. **v.20** T: ουτε, KM: ου, V: ουδε. **v.20** T*: προσκυνησωσιν, V: προσκυνησουσιν. **v.20** TK: και, MV: και τα. **v.20** T*: δυναται, V: δυνανται. **v.21** TK: φαρμακειων, MV: φαρμακων. **10. v.1** TKV: αλλον, M: ∅. **v.1** TK: ιρις, MV: η ιρις. **v.1** TK: κεφαλης, MV: κεφαλης αυτου. **v.2** TK: ειχεν, MV: εχων. **v.2** TKV: βιβλαριδιον, M: βιβλιον. **v.2** T*: ανεωγμενον, V: ηνεωγμενον. **v.2** TK: την θαλασσαν, MV: της θαλασσης. **v.2** TK: την γην, MV: της γης. **v.4** TK: τας φωνας εαυτων εμελλον, M: εμελλον, V: ημελλον. **v.4** TK: μοι, MV: ∅. **v.4** TK: ταυτα, MV: αυτα. **v.5** TK: αυτου, MV: αυτου την δεξιαν. **v.6** TKV: εν, M: ∅. **v.6** TK: ουκ εσται ετι, MV: ουκετι εσται. **v.7** TK: αλλα, MV: αλλ.

σαλπίζειν καὶ ἐτελεσθῇ τὸ μυστήριον τοῦ θεοῦ ὡς εὐηγγέ-
8 λισεν τοῖς˚ ἑαυτοῦ δούλοις τοῖς προφήταις. καὶ ἡ φωνὴ
ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ πάλιν λαλοῦσά μετ᾽ ἐμοῦ καὶ
λέγουσά ὕπαγε λάβε τὸ βιβλάρίδιον τὸ ἠνεῳγμένον ἐν τῇ
χειρὶ ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς
9 γῆς. καὶ ἀπῆλθὸν πρὸς τὸν ἄγγελον λέγων αὐτῷ δός μοι
τὸ βιβλάρίδιον καὶ λέγει μοι λάβε καὶ κατάφαγε αὐτὸ καὶ
πικρανεῖ σου τὴν κοιλίαν ἀλλ᾽ ἐν τῷ στόματί σου ἔσται γλυ-
10 κὺ ὡς μέλι. καὶ ἔλαβον τὸ βιβλάρίδιον ἐκ τῆς χειρὸς τοῦ
ἀγγέλου καὶ κατέφαγον αὐτὸ καὶ ἦν ἐν τῷ στόματί μου
ὡς μέλι γλυκὺ καὶ ὅτε ἔφαγον αὐτὸ ἐπικράνθη ἡ κοιλία
11 μου. καὶ λέγει μοι δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς
κἀὶ ἔθνεσιν καὶ γλώσσαις καὶ βασιλεῦσιν πολλοῖς.

**11** Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ λέγων˚ ἔγειραι
καὶ μέτρησον τὸν ναὸν τοῦ θεοῦ καὶ τὸ θυσιαστήριον καὶ
2 τοὺς προσκυνοῦντας ἐν αὐτῷ. καὶ τὴν αὐλὴν τὴν ἔσωθεν
τοῦ ναοῦ ἔκβαλε ἔξω καὶ μὴ αὐτὴν μετρήσῃς ὅτι ἐδόθη τοῖς
ἔθνεσιν καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσιν μῆνας τεσ-
3 σαράκοντα˚ δύο. καὶ δώσω τοῖς δυσὶν μάρτυσίν μου καὶ
προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα περι-
4 βεβλημένοι σάκκους. οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι καὶ δύὸ
5 λυχνίαι αἱ ἐνώπιον τοῦ θεοῦ τῆς γῆς ἑστῶσαι. καὶ εἴ τις
αὐτοὺς θέλῃ˚ ἀδικῆσαι πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος
αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν καὶ εἴ τις αὐτοὺς˚
6 θέλῃ ἀδικῆσαι οὕτως δεῖ αὐτὸν ἀποκτανθῆναι. οὗτοι ἔ-

---

**v.7** TK: τελεσθη, MV: ετελεσθη. **v.7** TK: τοις εαυτου δουλοις τοις προφηταις, M: τους δουλους αυτου τους προφητας, V: τους εαυτου δουλους τους προφητας. **v.8** T*: λαλουσα, V: λαλουσαν. **v.8** T*: λεγουσα, V: λεγουσαν. **v.8** TK: βιβλαριδιον, M: βιβλιδαριον, V: βιβλιον. **v.8** TKV: ηνεωγμενον, M: ανεωγμενον. **v.8** TK: αγγελου, MV: του αγγελου. **v.9** T*: απηλθον, V: απηλθα. **v.9** TK: δος, MV: δουναι. **v.9** TKV: βιβλαριδιον, M: βιβλιδαριον. **v.10** TKV: βιβλαριδιον, M: βιβλιον. **v.11** TK: λεγει, MV: λεγουσιν. **v.11** TKV: και, M: και επι. **11. v.1** T: λεγων εγειραι, K: και ο αγγελος ειστηκει λεγων εγειραι, MV: λεγων εγειρε. **v.2** TN: εσωθεν, KMV: εξωθεν. **v.2** T*: εξω, V: εξωθεν. **v.2** TK: τεσσαρακοντα, M: τεσσαρακοντα και, V: τεσσερακοντα [και]. **v.4** T: δυο, KMV: αι δυο. **v.4** TK: θεου, MV: κυριου. **v.4** TK: εστωσαι, MV: εστωτες. **v.5** TK: θελη, MV: θελει. **v.5** TK: αυτους θελη, M: θελει αυτους, V: θεληση αυτους.

χουσιν ἐξουσίαν˚ κλεῖσαι τὸν οὐρανὸν ἵνα μὴ βρέχῃ˚ ὑετὸς
ἐν ἡμέραις αὐτῶν τῆς προφητείας καὶ ἐξουσίαν ἔχουσιν ἐ-
πὶ τῶν ὑδάτων στρέφειν αὐτὰ εἰς αἷμα καὶ πατάξαι τὴν γῆν
πάσῃ˚ πληγῇ ὁσάκις ἐὰν θελήσωσιν ⸰ καὶ ὅταν τελέσωσιν 7
τὴν μαρτυρίαν αὐτῶν τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσ-
σου ποιήσει πόλεμον˚ μετ᾽ αὐτῶν καὶ νικήσει αὐτοὺς καὶ
ἀποκτενεῖ αὐτούς ⸰ καὶ τὰ˚ πτώματα αὐτῶν ἐπὶ τῆς πλα- 8
τείας τῆς πόλεως τῆς μεγάλης ἥτις καλεῖται πνευματικῶς σό-
δομα καὶ αἴγυπτος ὅπου καὶ ὁ κύριος ἡμῶν ἐσταυρώθη ⸰
καὶ βλέψουσιν ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ γλωσσῶν καὶ 9
ἐθνῶν τὰ˚ πτώματα αὐτῶν ἡμέρας τρεῖς καὶ ἥμισυ καὶ τὰ
πτώματα αὐτῶν οὐκ ἀφήσουσιν τεθῆναι εἰς μνήματα ⸰ καὶ 10
οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαροῦσιν ἐπ᾽ αὐτοῖς καὶ εὐ-
φρανθήσονται καὶ δῶρα πέμψουσιν ἀλλήλοις ὅτι οὗτοι οἱ
δύο προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ⸰
καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ πνεῦμα ζωῆς ἐκ τοῦ 11
θεοῦ εἰσῆλθεν ἐπ᾽˚ αὐτοὺς καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐ-
τῶν καὶ φόβος μέγας ἔπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς ⸰
καὶ ἤκουσαν φωνὴν˚ μεγάλην ἐκ τοῦ οὐρανοῦ λέγουσαν 12
αὐτοῖς ἀνάβητε ὧδε καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ
νεφέλῃ καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν ⸰ κἀὶ ἐν ἐ- 13
κείνῃ τῇ ὥρᾳ ἐγένετο σεισμὸς μέγας καὶ τὸ δέκατον τῆς
πόλεως ἔπεσεν καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα
ἀνθρώπων χιλιάδες ἑπτὰ καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο
καὶ ἔδωκαν δόξαν τῷ θεῷ τοῦ οὐρανοῦ ⸰ ἡ οὐαὶ ἡ δευτέρα 14

---

**v.6** TK: εξουσιαν κλεισαι τον ουρανον, M: τον ουρανον εξουσιαν κλεισαι, V: την εξουσιαν κλεισαι τον ουρανον. **v.6** TK: βρεχη υετος εν ημεραις αυτων της προφητειας, MV: υετος βρεχη τας ημερας της προφητειας αυτων. **v.6** TK: παση πληγη οσακις εαν θελησωσιν, M: οσακις εαν θελησωσιν εν παση πληγη, V: εν παση πληγη οσακις εαν θελησωσιν. **v.7** TK: πολεμον μετ αυτων, MV: μετ αυτων πολεμον. **v.8** TK: τα πτωματα, MV: το πτωμα. **v.8** TK: πολεως, MV: της πολεως. **v.8** TK: ημων, MV: αυτων. **v.9** TK: βλεψουσιν, MV: βλεπουσιν. **v.9** TK: τα πτωματα, MV: το πτωμα. **v.9** TKV: και, M: ∅. **v.9** T*: αφησουσιν, V: αφιουσιν. **v.9** TK: μνηματα, MV: μνημα. **v.10** TK: χαρουσιν, MV: χαιρουσιν. **v.10** T*: ευφρανθησονται, V: ευφραινονται. **v.10** TKV: πεμψουσιν, M: δωσουσιν. **v.11** TK: επ αυτους, M: εις αυτους, V: εν αυτοις. **v.11** T*: επεσεν, V: επεπεσεν. **v.12** E: ηκουσαν, F: ηκουσα. **v.12** T*: φωνην μεγαλην, V: φωνης μεγαλης. **v.12** T*: λεγουσαν, V: λεγουσης. **v.12** T*: αναβητε, V: αναβατε. **v.13** TKV: και, M: ∅. **v.13** TKV: ωρα, M: ημερα.

15 ἀπῆλθεν ἰδοὺ˚ ἡ οὐαὶ ἡ τρίτη ἔρχεται ταχύ ⸰ καὶ ὁ ἕβδο-
μος ἄγγελος ἐσάλπισεν καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ
οὐρανῷ λέγουσαι˚ ἐγένοντο αἱ βασιλεῖαι τοῦ κόσμου τοῦ
κυρίου ἡμῶν καὶ τοῦ χριστοῦ αὐτοῦ καὶ βασιλεύσει εἰς
16 τοὺς αἰῶνας τῶν αἰώνων ⸰ καὶ οἱ εἴκοσι κἀι τέσσαρες πρε-
σβύτεροι οἱ ἐνώπιον τοῦ˚ θεοῦ καθήμενοι ἐπὶ τοὺς θρόνους
αὐτῶν ἔπεσἀν ἐπὶ τὰ πρόσωπα αὐτῶν καὶ προσεκύνησαν τῷ
17 θεῷ ⸰ λέγοντες εὐχαριστοῦμέν σοι κύριε ὁ θεὸς ὁ παντο-
κράτωρ ὁ ὢν καὶ ὁ ἦν καὶ˚ ὁ ἐρχόμενος ὅτι εἴληφας τὴν
18 δύναμίν σου τὴν μεγάλην καὶ ἐβασίλευσας ⸰ καὶ τὰ ἔθνη
ὠργίσθησαν καὶ ἦλθεν ἡ ὀργή σου καὶ ὁ καιρὸς τῶν νε-
κρῶν κριθῆναι καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς
προφήταις καὶ τοῖς ἁγίοις καὶ τοῖς φοβουμένοις τὸ ὄνομά
σου τοῖς˚ μικροῖς καὶ τοῖς μεγάλοις καὶ διαφθεῖραι τοὺς
19 διαφθείροντας τὴν γῆν ⸰ καὶ ἠνοίγη ὁ ναὸς τοῦ θεοῦ ἐν τῷ
οὐρανῷ καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης αὐτοῦ ἐν τῷ ναῷ
αὐτοῦ καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ καὶ˚
σεισμὸς καὶ χάλαζα μεγάλη ⸰

**12** Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ γυνὴ περιβεβλη-
μένη τὸν ἥλιον καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς καὶ
2 ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα ⸰ καὶ ἐν
γαστρὶ ἔχουσα κρἀζει ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν ⸰
3 καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ καὶ ἰδοὺ δράκων
μέγας˚ πυρρὸς ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα καὶ
4 ἐπὶ τὰς κεφαλὰς αὐτοῦ διαδήματα˚ ἑπτά ⸰ καὶ ἡ οὐρὰ αὐ-
τοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ καὶ ἔβαλεν
αὐτοὺς εἰς τὴν γῆν καὶ ὁ δράκων ἔστηκεν ἐνώπιον τῆς γυ-
ναικὸς τῆς μελλούσης τεκεῖν ἵνα ὅταν τέκῃ τὸ τέκνον αὐτῆς

---

**v.14** TV: ιδου η ουαι η τριτη, K: και ιδου η ουαι η τριτη, M: η ουαι η τριτη ιδου. **v.15** TK: λεγουσαι εγενοντο αι βασιλειαι, MV: λεγοντες εγενετο η βασιλεια. **v.16** TK: και, MV: ∅. **v.16** TKV: του θεου καθημενοι, M: του θρονου του θεου οι καθηνται. **v.16** TKV: επεσαν, M: επεσον. **v.17** TK: και ο ερχομενος, MV: ∅. **v.18** T*: τοις μικροις και τοις μεγαλοις, V: τους μικρους και τους μεγαλους. **v.19** TKV: ηνοιγη, M: ηνοιχθη. **v.19** T*: εν, V: ο εν. **v.19** TKV: αυτου, M: του κυριου. **v.19** TKV: και σεισμος, M: ∅. **12. v.2** TK: κραζει, M: εκραζεν, V: και κραζει. **v.3** TKV: μεγας πυρρος, M: πυρος μεγας. **v.3** TK: διαδηματα επτα, MV: επτα διαδηματα.

καταφάγῃ ⸰ καὶ ἔτεκεν υἱὸν ἄρρενα ὃς μέλλει ποιμαίνειν 5
πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ καὶ ἡρπάσθη τὸ τέκνον
αὐτῆς πρὸς τὸν θεὸν καὶ ⸌τὸν θρόνον αὐτοῦ⸍ ⸰ καὶ ἡ γυ- 6
νὴ ἔφυγεν εἰς τὴν ἔρημον ὅπου ἔχει τόπον ἡτοιμασμένον
ἀπὸ τοῦ θεοῦ ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας δι-
ακοσίας ἑξήκοντα ⸰ καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ ὁ 7
μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ ἐπολέμησαν˚ κατὰ τοῦ δρά-
κοντος καὶ ὁ δράκων ἐπολέμησεν καὶ οἱ ἄγγελοι αὐτοῦ ⸰
καὶ οὐκ ἴσχυσαν˚ οὐτε τόπος εὑρέθη αὐτῶν ἔτι ἐν τῷ οὐ- 8
ρανῷ ⸰ καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας ὁ ὄφις ὁ ἀρχαῖος ὁ 9
καλούμενος διάβολος καὶ ὁ˚ σατανᾶς ὁ πλανῶν τὴν οἰκου-
μένην ὅλην ἐβλήθη εἰς τὴν γῆν καὶ οἱ ἄγγελοι αὐτοῦ μετ᾽
αὐτοῦ ἐβλήθησαν ⸰ καὶ ἤκουσα φωνὴν μεγάλην λέγουσαν˚ 10
ἐν τῷ οὐρανῷ ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ
βασιλεία τοῦ θεοῦ ἡμῶν καὶ ἡ ἐξουσία τοῦ χριστοῦ αὐτοῦ
ὅτι κατέβλήθη ὁ κατήγορός τῶν ἀδελφῶν ἡμῶν ὁ κατηγο-
ρῶν αὐτῶν ἐνώπιον τοῦ θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός ⸰ καὶ 11
αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ ἀρνίου καὶ διὰ τὸν
λόγον τῆς μαρτυρίας αὐτῶν καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν
αὐτῶν ἄχρι θανάτου ⸰ διὰ τοῦτο εὐφραίνεσθε οἱ οὐρανοὶ 12
καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες οὐαὶ τοῖς˚ κατοικοῦσιν τὴν γῆν
καὶ τὴν θάλασσαν ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων
θυμὸν μέγαν εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει ⸰ καὶ ὅτε εἶδεν 13
ὁ δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν ἐδίωξεν τὴν γυναῖκα ἥτις
ἔτεκεν τὸν ἄρρενα ⸰ καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυ- 14
γες τοῦ ἀετοῦ τοῦ μεγάλου ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς
τὸν τόπον αὐτῆς ὅπου˚ τρέφεται ἐκεῖ καιρὸν καὶ καιροὺς

**v.5** T*: αρρενα, V: αρσεν. **v.5** TK: τον, MV: προς τον. **v.6** TK: εχει, MV: εχει εκει. **v.6** TKV: απο, M: υπο. **v.6** TKV: τρεφωσιν, M: εκτρεφωσιν. **v.7** TK: επολεμησαν κατα, M: πολεμησαι μετα, V: του πολεμησαι μετα. **v.8** TK: ισχυσαν ουτε, MV: ισχυσεν ουδε. **v.8** TKV: αυτων, M: αυτω. **v.9** TKV: ο, M: ∅. **v.10** TK: λεγουσαν εν τω ουρανω, MV: εν τω ουρανω λεγουσαν. **v.10** TK: κατεβληθη, MV: εβληθη. **v.10** T*: κατηγορος, V: κατηγωρ. **v.10** T*: αυτων, V: αυτους. **v.12** TKV: οι, M: ∅. **v.12** TK: τοις κατοικουσιν την γην και την θαλασσαν, M: τη γη και τη θαλασση, V: την γην και την θαλασσαν. **v.13** T*: αρρενα, V: αρσενα. **v.14** T*: δυο, V: αι δυο. **v.14** TKV: οπου τρεφεται, M: οπως τρεφηται.

15 καὶ ἥμισυ καιροῦ ἀπὸ προσώπου τοῦ ὄφεως ⸰ καὶ ἔβαλεν
ὁ ὄφις ὀπίσω˚ τῆς γυναικὸς ἐκ τοῦ στόματος αὐτοῦ ὕδωρ
16 ὡς ποταμὸν ἵνα ταύτην ποταμοφόρητον ποιήσῃ ⸰ καὶ ἐβο-
ήθησεν ἡ γῆ τῇ γυναικὶ καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς
καὶ κατέπιεν τὸν ποταμὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στό-
17 ματος αὐτοῦ ⸰ καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικὶ καὶ
ἀπῆλθεν ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρματος
αὐτῆς τῶν τηρούντων τὰς ἐντολὰς τοῦ θεοῦ καὶ ἐχόντων τὴν
18 μαρτυρίαν τοῦ˚ ἰησοῦ χριστοῦ ⸰ καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον
τῆς θαλάσσης ⸰

**13** Καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον ἔχον κε-
φαλὰς˚ ἑπτὰ καὶ κέρατα δέκα καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ
δέκα διαδήματα καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὄνομὰ βλα-
2 σφημίας ⸰ καὶ τὸ θηρίον ὃ εἶδον ἦν ὅμοιον παρδάλει καὶ
οἱ πόδες αὐτοῦ ὡς ἄρκτου καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα
λέοντος καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ
3 καὶ τὸν θρόνον αὐτοῦ καὶ ἐξουσίαν μεγάλην ⸰ καὶ εἶδον
μίαν τῶν κεφαλῶν αὐτοῦ ὡς ἐσφαγμένην εἰς θάνατον καὶ
ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη καὶ ἐθαυμάσθη˚
4 ἐν ὅλῃ τῇ γῇ ὀπίσω τοῦ θηρίου ⸰ καὶ προσεκύνησαν τὸν˚
δράκοντα ὃς ἔδωκεν ἐξουσίαν τῷ θηρίῳ καὶ προσεκύνη-
σαν τὸ˚ θηρίον λέγοντες τίς ὅμοιος τῷ θηρίῳ τίς δύνατάι
5 πολεμῆσαι μετ᾽ αὐτοῦ ⸰ καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν με-
γάλα καὶ βλασφημίας καὶ ἐδόθη αὐτῷ ἐξουσία ποιῆσαι
6 μῆνας τεσσαράκοντα δύο ⸰ καὶ ἤνοιξεν τὸ στόμα αὐτοῦ εἰς
βλασφημίαν πρὸς τὸν θεὸν βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ

---

**v.15** TK: οπισω της γυναικος εκ του στοματος αυτου, MV: εκ του στοματος αυτου οπισω της γυναικος. **v.15** TK: ταυτην, MV: αυτην. **v.17** TK: του ιησου χριστου, MV: ιησου. **13. v.1** TK: κεφαλας επτα και κερατα δεκα, MV: κερατα δεκα και κεφαλας επτα. **v.1** TK: ονομα, M: ονοματα, V: ονομα[τα]. **v.2** TK: αρκτου, MV: αρκου. **v.3** TK: ειδον, MV: ∅. **v.3** TK: των, MV: εκ των. **v.3** TKV: ως, M: ωσει. **v.3** T: εθαυμασθη εν, KM: εθαυμασεν, V: εθαυμασθη. **v.3** T: τη, KMV: η. **v.4** TK: τον δρακοντα ος εδωκεν, M: τω δρακοντι τω δεδωκοτι την, V: τω δρακοντι οτι εδωκεν την. **v.4** TK: το θηριον, MV: τω θηριω. **v.4** T*: τις, V: και τις. **v.4** TKV: δυναται, M: δυνατος. **v.5** TKV: βλασφημιας, M: βλασφημιαν. **v.5** TKV: ποιησαι, M: πολεμον ποιησαι. **v.5** T*: τεσσαρακοντα, V: τεσσερακοντα [και]. **v.6** T*: βλασφημιαν, V: βλασφημιας.

καὶ τὴν σκηνὴν αὐτοῦ κἀὶ τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦντας ⸰ καὶ ἐδόθη αὐτῷ πόλεμον˚ ποιῆσαι μετὰ τῶν ἁγίων 7
καὶ νικῆσαι αὐτοὺς καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν
φυλὴν̓ καὶ γλῶσσαν καὶ ἔθνος ⸰ καὶ προσκυνήσουσιν αὐτ̓ῷ 8
πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς ὧν˚ οὐ γέγραπται τὰ
ὀνόματα ἐν τῇ βίβλῳ τῆς ζωῆς τοῦ ἀρνίου ἐ̔σφαγμένου ἀ-
πὸ καταβολῆς κόσμου ⸰ εἴ τις ἔχει οὖς ἀκουσάτω ⸰ εἴ τις 9, 10
αἰχμαλωσίαν˚ συνάγει εἰς αἰχμαλωσίαν ὑπάγει εἴ τις ἐν˚
μαχαίρᾳ ἀποκτενεῖ δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆναι
ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων ⸰ καὶ εἶδον 11
ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς καὶ εἶχεν κέρατα δύο
ὅμοια ἀρνίῳ καὶ ἐλάλει ὡς δράκων ⸰ καὶ τὴν ἐξουσίαν τοῦ 12
πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ καὶ ποιεῖ τὴν
γῆν καὶ τοὺς κατοικοῦντας˚ ἐν αὐτῇ ἵνα προσκυνήσωσιν
τὸ θηρίον τὸ πρῶτον οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανά-
του αὐτοῦ ⸰ καὶ ποιεῖ σημεῖα μεγάλα ἵνα˚ καὶ πῦρ ποιῇ 13
καταβαίνειν ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν ἐνώπιον τῶν ἀν-
θρώπων ⸰ καὶ πλανᾷ τοὺς˚ κατοικοῦντας ἐπὶ τῆς γῆς διὰ τὰ 14
σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου λέγων
τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι εἰκόνα τῷ θηρίῳ ὃ˚
ἔχει τὴν πληγὴν τῆς μαχαίρας καὶ ἔζησεν ⸰ καὶ ἐδόθη αὐ- 15
τῷ δοῦναι˚ πνεῦμα τῇ εἰκόνι τοῦ θηρίου ἵνα καὶ λαλήσῃ ἡ
εἰκὼν τοῦ θηρίου καὶ ποιήσῃ ὅσοι˚ ἂν μὴ προσκυνήσωσιν

**v.6** TK: και, MV: ∅. **v.7** TK: πολεμον ποιησαι, MV: ποιησαι πολεμον. **v.7** TK: φυλην, MV: φυλην και λαον. **v.8** TK: αυτω, MV: αυτον. **v.8** TK: ων ου γεγραπται τα ονοματα εν τη βιβλω, M: ων ου γεγραπται το ονομα εν τω βιβλιω, V: ου ου γεγραπται το ονομα αυτου εν τω βιβλιω. **v.8** TK: εσφαγμενου, MV: του εσφαγμενου. **v.10** TK: αιχμαλωσιαν συναγει εις αιχμαλωσιαν υπαγει, M: εχει αιχμαλωσιαν υπαγει, V: εις αιχμαλωσιαν εις αιχμαλωσιαν υπαγει. **v.10** TK: εν μαχαιρα αποκτενει δει αυτον εν μαχαιρα αποκτανθηναι, M: εν μαχαιρα δει αυτον αποκτανθηναι, V: εν μαχαιρη αποκτανθηναι αυτον εν μαχαιρη αποκτανθηναι. **v.12** TKV: ποιει, M: εποιει. **v.12** TK: κατοικουντας εν αυτη, MV: εν αυτη κατοικουντας. **v.12** T*: προσκυνησωσιν, V: προσκυνησουσιν. **v.13** TK: ινα και πυρ ποιη καταβαινειν εκ του ουρανου εις, M: και πυρ ινα εκ του ουρανου καταβαινη επι, V: ινα και πυρ ποιη εκ του ουρανου καταβαινειν εις. **v.14** TKV: τους κατοικουντας, M: τους εμους τους κατοικουντας. **v.14** TK: ο εχει την πληγην της μαχαιρας και εζησεν, M: ο ειχε πληγην και εζησε απο της μαχαιρας, V: ος εχει την πληγην της μαχαιρης και εζησεν. **v.15** TKV: δουναι πνευμα, M: πνευμα δουναι. **v.15** TK: οσοι αν, M: οσοι εαν, V: [ινα] οσοι εαν.

16 τὴν˚ εἰκόνα τοῦ θηρίου ἵνα ἀποκτανθῶσιν ⸰ καὶ ποιεῖ πάντας τοὺς μικροὺς καὶ τοὺς μεγάλους καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχοὺς καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους ἵνα δώσῃ αὐτοῖς χάραγμά ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς
17 ἢ ἐπὶ τῶν˚ μετώπων αὐτῶν ⸰ καὶ ἵνα μήτις δύνηται ἀγοράσαι ἢ πωλῆσαι εἰ μὴ ὁ ἔχων τὸ χάραγμα ἢ˚ τὸ ὄνομα τοῦ
18 θηρίου ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ ⸰ ὧδε ἡ σοφία ἐστὶν ὁ ἔχων τὸν νοῦν ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου ἀριθμὸς γὰρ ἀνθρώπου ἐστὶν καὶ ὁ ἀριθμὸς αὐτοῦ $\overline{χξϛ}$˚ ⸰

**14** Καὶ εἶδον καὶ ἰδοὺ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος σιὼν καὶ μετ᾽ αὐτοῦ ἑκατὸν˚ τεσσαράκοντα τέσσαρες χιλιάδες ἔχουσαι τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώ-
2 πων αὐτῶν ⸰ καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῆς μεγάλης καὶ φωνὴν˚ ἤκουσα κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν ⸰
3 καὶ ᾄδουσιν ὡς᾽ ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν τεσσάρων ζώων καὶ τῶν πρεσβυτέρων καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδὴν εἰ μὴ αἱ ἑκατὸν˚ τεσσαράκοντα
4 τέσσαρες χιλιάδες οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς ⸰ οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν παρθένοι γάρ εἰσιν οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ θεῷ καὶ
5 τῷ ἀρνίῳ ⸰ καὶ ἐν˚ τῷ στόματι αὐτῶν οὐχ εὑρέθη δόλος˚ ἄ-
6 μωμοι γάρ εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ ⸰ καὶ εἶδον

---

**v.15** TK: την εικονα, MV: τη εικονι. **v.15** TK: ινα, MV: ∅. **v.16** TK: δωση, M: δωσωσιν, V: δωσιν. **v.16** TKV: χαραγμα, M: χαραγματα. **v.16** TK: των μετωπων, MV: το μετωπον. **v.17** T: μητις, KMV: μη τις. **v.17** TKV: δυνηται, M: δυναται. **v.17** TK: η, MV: ∅. **v.18** TK: τον, MV: ∅. **v.18** TKV: και, M: ∅. **v.18** T*: $\overline{χξϛ}$, V: εξακοσιοι εξηκοντα εξ, C: εξακοσιοι δεκα εξ, others: εξακοσιοι εξηκοντα πεντε, or εξακοσιοι τεσσαρακοντα εξ. **14. v.1** TK: αρνιον, MV: το αρνιον. **v.1** T*: εστηκος, V: εστος. **v.1** T: εκατον τεσσαρακοντα τεσσαρες, K: εκατον τεσσαρακοντατεσσαρες, M: αριθμος $\overline{ρμδ}$, V: εκατον τεσσερακοντα τεσσαρες. **v.1** TK: το, MV: το ονομα αυτου και το. **v.2** TK: φωνην ηκουσα, MV: η φωνη ην ηκουσα ως. **v.3** TK: ως, M: ∅, V: [ως]. **v.3** TK: ηδυνατο, MV: εδυνατο. **v.3** T: εκατον τεσσαρακοντα τεσσαρες, K: εκατον τεσσαρακοντατεσσαρες, M: $\overline{ρμδ}$, V: εκατον τεσσερακοντα τεσσαρες. **v.4** T*: εισιν, V: ∅. **v.4** TKV: αν, M: εαν. **v.4** TKV: ουτοι, M: ουτοι υπο ιησου. **v.5** TKV: εν τω στοματι αυτων ουχ ευρεθη, M: ουχ ευρεθη εν τω στοματι αυτων. **v.5** TK: δολος αμωμοι γαρ εισιν ενωπιον του θρονου του θεου, M: ψευδος αμωμοι γαρ εισι, V: ψευδος αμωμοι εισιν.

ἄλλον᾽ ἄγγελον πετώμενον ἐν μεσουρανήματι ἔχοντα εὐαγ-
γέλιον αἰώνιον εὐαγγελίσαι τοὺς˚ κατοικοῦντας ἐπὶ τῆς γῆς
καὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαόν· λέγοντα 7
ἐν φωνῇ μεγάλῃ φοβήθητε τὸν θεὸν καὶ δότε αὐτῷ δόξαν ὅτι
ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ καὶ προσκυνήσατε τῷ˚ ποι-
ήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ θάλασσαν καὶ πηγὰς
ὑδάτων· καὶ ἄλλος ἄγγελος ἠκολούθησεν λέγων ἔπεσεν 8
ἔπεσεν βαβυλὼν ἡ˚ πόλις ἡ μεγάλη ὅτι ἐκ τοῦ οἴνου τοῦ
θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικεν πάντα ἔθνη· καὶ 9
τρίτος˚ ἄγγελος ἠκολούθησεν αὐτοῖς λέγων ἐν φωνῇ μεγά-
λῃ εἴ τις τὸ˚ θηρίον προσκυνεῖ καὶ τὴν εἰκόνα αὐτοῦ καὶ
λαμβάνει χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ ἢ ἐπὶ τὴν χεῖρα
αὐτοῦ· καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θε- 10
οῦ τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς
αὐτοῦ καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον τῶν˚
ἁγίων ἀγγέλων καὶ ἐνώπιον τοῦ ἀρνίου· καὶ ὁ καπνὸς τοῦ 11
βασανισμοῦ αὐτῶν ἀναβαίνει˚ εἰς αἰῶνας αἰώνων καὶ οὐκ
ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες
τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ καὶ εἴ τις λαμβάνει τὸ χά-
ραγμα τοῦ ὀνόματος αὐτοῦ· ὧδε ὑπομονὴ τῶν ἁγίων ἐστὶν 12
ὧδε οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ θεοῦ καὶ τὴν πίστιν ἰη-
σοῦ· καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης μοι 13
γράψον μακάριοι οἱ νεκροὶ οἱ ἐν κυρίῳ ἀποθνήσκοντες
ἀπάρτι ναὶ˚ λέγει τὸ πνεῦμα ἵνα ἀναπαύσωνται ἐκ τῶν κό-
πων αὐτῶν τὰ δὲ˚ ἔργα αὐτῶν ἀκολουθεῖ μετ᾽ αὐτῶν· καὶ 14
εἶδον καὶ ἰδοὺ νεφέλη λευκὴ καὶ ἐπὶ τὴν νεφέλην καθή-

---

**v.6** ΤΚV: αλλον, Μ: ∅. **v.6** ΤΚ: πετωμενον, MV: πετομενον. **v.6** ΤΚ: τους κατοικουντας, Μ: τους καθημενους, V: επι τους καθημενους. **v.6** ΤΚ: παν, MV: επι παν. **v.7** ΤΚ: λεγοντα, MV: λεγων. **v.7** ΤΚV: θεον, Μ: κυριον. **v.7** ΤΚV: τω ποιησαντι, Μ: αυτον τον ποιησαντα. **v.7** TV: θαλασσαν, ΚΜ: την θαλασσαν. **v.8** ΤΚ: αγγελος, Μ: δευτερος αγγελος, V: αγγελος δευτερος. **v.8** ΤΚV: επεσεν, Μ: ∅. **v.8** ΤΚ: η πολις η μεγαλη, MV: η μεγαλη. **v.8** ΤΚ: οτι, Μ: ∅, V: η. **v.8** ΤΚ: εθνη, MV: τα εθνη. **v.9** ΤΚ: τριτος αγγελος, MV: αλλος αγγελος τριτος. **v.9** ΤΚ: το θηριον προσκυνει, MV: προσκυνει το θηριον. **v.10** $T^{*}$: των αγιων αγγελων, V: αγγελων αγιων. **v.11** ΤΚ: αναβαινει εις αιωνας αιωνων, MV: εις αιωνας αιωνων αναβαινει. **v.12** ΤΚ: υπομονη, MV: η υπομονη. **v.12** ΤΚ: ωδε, MV: ∅. **v.13** ΤΚ: μοι, MV: ∅. **v.13** Τ: απαρτι, ΚMV: απ αρτι. **v.13** ΤΚV: ναι λεγει, Μ: λεγει ναι. **v.13** $T^{*}$: αναπαυσωνται, V: αναπαησονται. **v.13** $T^{*}$: δε, V: γαρ.

μενος˚ ὅμοιος υἱῷ ἀνθρώπου ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ
στέφανον χρυσοῦν καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ ◦
15 καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ κράζων ἐν μεγάλῃ˚
φωνῇ τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης πέμψον τὸ δρέπανόν
σου καὶ θέρισον ὅτι ἦλθέν σοι˚ ἡ ὥρα τοῦ θερίσαι ὅτι ἐξη-
16 ράνθη ὁ θερισμὸς τῆς γῆς ◦ καὶ ἔβαλεν ὁ καθήμενος ἐπὶ
τὴν˚ νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ ἐθερίσθη
17 ἡ γῆ ◦ καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ
18 οὐρανῷ ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ ◦ καὶ ἄλλος ἄγγελος
ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρὸς
καὶ ἐφώνησεν κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ
ὀξὺ λέγων πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ καὶ τρύγησον
τοὺς βότρυας τῆς˚ γῆς ὅτι ἤκμασαν˚ αἱ σταφυλαὶ αὐτῆς ◦
19 καὶ ἔβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν καὶ
ἐτρύγησεν τὴν ἄμπελον τῆς γῆς καὶ ἔβαλεν εἰς τὴν ληνὸν
20 τοῦ θυμοῦ τοῦ θεοῦ τὴν˚ μεγάλην ◦ καὶ ἐπατήθη ἡ ληνὸς
ἔξω τῆς πόλεως καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν
χαλινῶν τῶν ἵππων ἀπὸ σταδίων χιλίων ἑξακοσίων ◦

**15** Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυ-
μαστὸν ἀγγέλους ἑπτὰ ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας
2 ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ θυμὸς τοῦ θεοῦ ◦ καὶ εἶδον ὡς
θάλασσαν ὑαλίνην μεμιγμένην πυρὶ καὶ τοὺς νικῶντας ἐκ
τοῦ θηρίου καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ καὶ ἐκ˚ τοῦ χαράγμα-
τος αὐτοῦ ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ ἑστῶτας ἐπὶ
3 τὴν θάλασσαν τὴν ὑαλίνην ἔχοντας κιθάρας τοῦ θεοῦ ◦ καὶ
ᾄδουσιν τὴν ᾠδὴν μωσέως δούλου τοῦ θεοῦ καὶ τὴν ᾠδὴν
τοῦ ἀρνίου λέγοντες μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου
κύριε ὁ θεὸς ὁ παντοκράτωρ δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί

---

**v.14** ΤΚ: καθημενος ομοιος υιω, ΜV: καθημενον ομοιον υιον. **v.15** ΤΚ: μεγαλη φωνη, ΜV: φωνη μεγαλη. **v.15** ΤΚ: σοι η ωρα του, ΜV: η ωρα. **v.16** T*: την νεφελην, V: της νεφελης. **v.18** T*: εχων, V: [ο] εχων. **v.18** ΤΚ: κραυγη, Μ: εν κραυγη, V: φωνη. **v.18** Τ: της γης, ΚΜV: της αμπελου της γης. **v.18** ΤΚV: ηκμασαν αι σταφυλαι αυτης, Μ: ηκμασεν η σταφυλη της γης. **v.19** ΤΚV: εβαλεν, Μ: εξεβαλεν. **v.19** ΤΚ: την μεγαλην, ΜV: τον μεγαν. **v.20** ΤΚ: εξω, ΜV: εξωθεν. **15. v.2** ΤΚ: εκ του χαραγματος αυτου, ΜV: ∅. **v.2** ΤΚV: κιθαρας, Μ: τας κιθαρας. **v.3** ΤΚ: μωσεως, ΜV: μωυσεως. **v.3** Τ: δουλου, ΚΜV: του δουλου.

σου ὁ βασιλεὺς τῶν ἁγίων ⸰ τίς οὐ μὴ φοβηθῇ ὅε κύριε καὶ 4
δοξάσῃ τὸ ὄνομά σου ὅτι μόνος ὅσιος ὅτι πάντα˚ τὰ ἔθνη ἥ-
ξουσιν καὶ προσκυνήσουσιν ἐνώπιόν σου ὅτι τὰ δικαιώματά
σου ἐφανερώθησαν ⸰ καὶ μετὰ ταῦτα εἶδον καὶ ἰδοὺ ἠνοίγη 5
ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ ⸰ καὶ ἐξῆλ- 6
θον οἱ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ πληγὰς ἐκ˚ τοῦ ναοῦ
ἐνδεδυμένοι λίνον καθαρὸν κἀὶ λαμπρὸν καὶ περιεζωσμέ-
νοι περὶ τὰ στήθη ζώνας χρυσᾶς ⸰ καὶ ἓν ἐκ τῶν τεσσάρων 7
ζώων ἔδωκεν τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς γε-
μούσας τοῦ θυμοῦ τοῦ θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας
τῶν αἰώνων ⸰ καὶ ἐγεμίσθη ὁ ναὸς κἀπνοῦ ἐκ τῆς δόξης 8
τοῦ θεοῦ καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ καὶ οὐδεὶς ἠδύνατο
εἰσελθεῖν εἰς τὸν ναὸν ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν
ἑπτὰ ἀγγέλων ⸰

Καὶ ἤκουσα φωνῆς˚ μεγάλης ἐκ τοῦ ναοῦ λεγούσης τοῖς **16**
ἑπτὰ ἀγγέλοις ὑπάγετε καὶ ἐκχέἀτε τὰς φιάλας τοῦ θυμοῦ
τοῦ θεοῦ εἰς τὴν γῆν ⸰ καὶ ἀπῆλθεν ὁ πρῶτος καὶ ἐξέχεεν 2
τὴν φιάλην αὐτοῦ ἐπὶ τὴν γῆν καὶ ἐγένετο ἕλκος κακὸν καὶ
πονηρὸν ἐἰς τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ
θηρίου καὶ τοὺς τῇ˚ εἰκόνι αὐτοῦ προσκυνοῦντας ⸰ καὶ ὁ 3
δεύτερος ἄγγελος ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τὴν θά-
λασσαν καὶ ἐγένετο αἷμα ὡς νεκροῦ καὶ πᾶσα ψυχὴ ζῶσα˚
ἀπέθανεν ἐν τῇ θαλάσσῃ ⸰ καὶ ὁ τρίτος ἄγγελος ἐξέχεεν 4
τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ ἐἰς τὰς πηγὰς
τῶν ὑδάτων καὶ ἐγένετο αἷμα ⸰ καὶ ἤκουσα τοῦ ἀγγέλου 5
τῶν ὑδάτων λέγοντος δίκαιος κύριε εἶ ὁ ὢν καὶ ὁ ἦν καὶ˚
ὁ ὅσιος ὅτι ταῦτα ἔκρινας ⸰ ὅτι αἷμα ἁγίων καὶ προφητῶν 6

**v.3** TK: αγιων, MV: εθνων, F: αιωνων. **v.4** T*: σε, V: ∅. **v.4** T*: δοξαση, V: δοξασει. **v.4** TKV: οσιος, M: αγιος. **v.4** TKV: παντα τα εθνη, M: παντες. **v.5** TK: ιδου, MV: ∅. **v.6** TK: εχοντες, M: οι εχοντες, V: [οι] εχοντες. **v.6** TKV: εκ του ναου, M: οι ησαν. **v.6** TK: και, MV: ∅. **v.8** TKV: καπνου, M: εκ του καπνου. **v.8** TK: ηδυνατο, MV: εδυνατο. **16. v.1** T*: φωνης μεγαλης, V: μεγαλης φωνης. **v.1** T*: εκχεατε, V: εκχεετε. **v.1** TK: φιαλας, MV: επτα φιαλας. **v.2** TK: επι, MV: εις. **v.2** TK: εις, MV: επι. **v.2** TK: τη εικονι αυτου προσκυνουντας, MV: προσκυνουντας τη εικονι αυτου. **v.3** T*: αγγελος, V: ∅. **v.3** TK: ζωσα απεθανεν, M: απεθανεν, V: ζωης απεθανεν τα. **v.4** TK: αγγελος, MV: ∅. **v.4** T*: εις, V: ∅. **v.5** TK: κυριε, MV: ∅. **v.5** T: και ο οσιος, K: και ο εσομενος, M: οσιος, V: ο οσιος.

7 ἐξέχεαν καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν ἄξιοι γάρ εἰσιν ⸰ καὶ
ἤκουσα ἄλλου˚ ἐκ τοῦ θυσιαστηρίου λέγοντος ναὶ κύριε ὁ
θεὸς ὁ παντοκράτωρ ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου ⸰
8 καὶ ὁ τέταρτος ἄγγελος ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥ-
λιον καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς˚ ἀνθρώπους ἐν πυρί ⸰
9 καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα καὶ ἐβλα-
σφήμησαν τὸ ὄνομα τοῦ θεοῦ τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς
10 πληγὰς ταύτας καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν ⸰ καὶ
ὁ πέμπτος ἄγγελος ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρό-
νον τοῦ θηρίου καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη
11 καὶ ἐμασῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου ⸰ καὶ ἐ-
βλασφήμησαν τὸν θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν
καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων
12 αὐτῶν ⸰ καὶ ὁ ἕκτος ἄγγελος ἐξέχεεν τὴν φιάλην αὐτοῦ ἐ-
πὶ τὸν ποταμὸν τὸν μέγαν τὸν εὐφράτην καὶ ἐξηράνθη τὸ
ὕδωρ αὐτοῦ ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν ἀπὸ
13 ἀνατολῶν ἡλίου ⸰ καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκον-
τος καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου καὶ ἐκ τοῦ στόματος
τοῦ ψευδοπροφήτου πνεύματα τρία˚ ἀκάθαρτα ὅμοια˚ βα-
14 τράχοις ⸰ εἰσὶν γὰρ πνεύματα δαιμόνων ποιοῦντα σημεῖα
ἐκπορεύεσθαι ἐπὶ τοὺς βασιλεῖς τῆς˚ γῆς καὶ τῆς οἰκου-
μένης ὅλης συναγαγεῖν αὐτοὺς εἰς πόλεμον τῆς ἡμέρας
15 ἐκείνης τῆς μεγάλης τοῦ θεοῦ τοῦ παντοκράτορος ⸰ ἰδοὺ
ἔρχομαι ὡς κλέπτης μακάριος ὁ γρηγορῶν καὶ τηρῶν τὰ
ἱμάτια αὐτοῦ ἵνα μὴ γυμνὸς περιπατῇ καὶ βλέπωσιν τὴν
16 ἀσχημοσύνην αὐτοῦ ⸰ καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τό-
17 πον τὸν καλούμενον ἑβραϊστὶ ἀρμαγεδδών ⸰ καὶ ὁ ἕβδομος

---

**v.6** T*: εδωκας, V: [δ]εδωκας. **v.6** TK: γαρ, MV: ∅. **v.7** TK: αλλου εκ, MV: ∅. **v.8** TK: αγγελος, MV: ∅. **v.8** TKV: τους ανθρωπους εν πυρι, M: εν πυρι τους ανθρωπους. **v.9** TKV: εβλασφημησαν, M: εβλασφημησαν οι ανθρωποι. **v.9** T*: εξουσιαν, V: την εξουσιαν. **v.10** TK: αγγελος, MV: ∅. **v.10** TK: εμασσωντο, MV: εμασωντο. **v.12** TK: αγγελος, MV: ∅. **v.12** TKV: τον, M: ∅. **v.12** TK: ανατολων, MV: ανατολης. **v.13** TKV: τρια ακαθαρτα, M: ακαθαρτα τρια. **v.13** TK: ομοια βατραχοις, MV: ως βατραχοι. **v.14** TK: δαιμονων, MV: δαιμονιων. **v.14** T: εκπορευεσθαι, KMV: α εκπορευεται. **v.14** TK: της γης και της οικουμενης, MV: της οικουμενης. **v.14** T: πολεμον, KMV: τον πολεμον. **v.14** T*: εκεινης, V: ∅. **v.16** TK: ἁρμαγεδδών, M: μαγεδών, V: ἁρμαγεδών.

ἄγγελος ἐξέχεεν τὴν φιάλην αὐτοῦ εἰς τὸν ἀέρα καὶ ἐξῆλθεν
φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θρόνου
λέγουσα γέγονεν· καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀ- 18
στραπαὶ καὶ σεισμὸς ἐγένετο μέγας οἷος οὐκ ἐγένετο ἀφ'
οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς τηλικοῦτος σεισμὸς
οὕτως μέγας· καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη 19
καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσόν καὶ βαβυλὼν ἡ μεγάλη ἐ-
μνήσθη ἐνώπιον τοῦ θεοῦ δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴ-
νου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ· καὶ πᾶσα νῆσος ἔφυγεν 20
καὶ ὄρη οὐχ εὑρέθησαν· καὶ χάλαζα μεγάλη ὡς ταλαντι- 21
αία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους καὶ
ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν ἐκ τῆς πληγῆς τῆς
χαλάζης ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὐτῆς σφόδρα·

Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑ- **17**
πτὰ φιάλας καὶ ἐλάλησεν μετ' ἐμοῦ λέγων μοὶ δεῦρο δείξω
σοι τὸ κρίμα τῆς πόρνης τῆς μεγάλης τῆς καθημένης ἐπὶ
τῶν ὑδάτων τῶν πολλῶν· μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς 2
τῆς γῆς καὶ ἐμεθύσθησαν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐ-
τῆς οἱ κατοικοῦντες τὴν γῆν· καὶ ἀπήνεγκέν με εἰς ἔρη- 3
μον ἐν πνεύματι καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον
κόκκινον γέμον ὀνομάτων βλασφημίας ἔχον κεφαλὰς ἑ-
πτὰ καὶ κέρατα δέκα· καὶ ἡ γυνὴ ἦ περιβεβλημένη πορ- 4
φύρᾳ καὶ κόκκινῳ καὶ κεχρυσωμένη χρυσῷ καὶ λίθῳ τιμίῳ
καὶ μαργαρίταις ἔχουσα χρυσοῦν ποτήριον ἐν τῇ χειρὶ αὐ-
τῆς γέμον βδελυγμάτων καὶ ἀκαθάρτητος πορνείας αὐτῆς·

---

**v.17** TK: αγγελος, MV: ∅. **v.17** TK: εις, MV: επι. **v.17** T*: απο, V: εκ. **v.17** T*: του ουρανου, V: ∅. **v.18** TK: φωναι και βρονται και αστραπαι, M: αστραπαι και βρονται και φωναι, V: αστραπαι και φωναι και βρονται. **v.18** TKV: εγενετο, M: ∅. **v.18** T*: οι ανθρωποι εγενοντο, V: ανθρωπος εγενετο. **v.19** T*: επεσον, V: επεσαν. **v.21** TKV: αυτης, M: αυτη. **17. v.1** TK: μοι, MV: ∅. **v.1** T*: των, V: ∅. **v.2** TK: εκ του οινου της πορνειας αυτης οι κατοικουντες την γην, MV: οι κατοικουντες την γην εκ του οινου της πορνειας αυτης. **v.3** TKV: κοκκινον, M: το κοκκινον. **v.3** TK: γεμον ονοματων, M: γεμον ονοματα, V: γεμον[τα] ονοματα. **v.3** T*: εχον, V: εχων. **v.4** T: ἡ, KMV: ἦν. **v.4** TK: πορφυρα και κοκκινω και κεχρυσωμενη χρυσω, M: πορφυρουν και κοκκινον κεχρυσωμενη χρυσιω, V: πορφυρουν και κοκκινον και κεχρυσωμενη χρυσιω. **v.4** TK: χρυσουν ποτηριον, MV: ποτηριον χρυσουν. **v.4** TK: ακαθαρτητος, MV: τα ακαθαρτα της. **v.4** TKV: αυτης, M: της γης, ℵ: αυτης και της γης.

5 καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον μυστήριον
βαβυλὼν ἡ μεγάλη ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυ-
6 γμάτων τῆς γῆς ◦ καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ
αἵματος τῶν ἁγίων κἀὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων ἰησοῦ
7 καὶ ἐθαύμασα ἰδὼν αὐτὴν θαῦμα μέγα ◦ καὶ εἶπέν μοι ὁ
ἄγγελος διατὶ ἐθαύμασας ἐγώ σοι˚ ἐρῶ τὸ μυστήριον τῆς
γυναικὸς καὶ τοῦ θηρίου τοῦ βαστάζοντος αὐτὴν τοῦ ἔχον-
8 τος τὰς ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα ◦ θηρίον ὃ εἶδες
ἦν καὶ οὐκ ἔστιν καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου καὶ
εἰς ἀπώλειαν ὑπάγειν᾽ καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐ-
πὶ˚ τῆς γῆς ὧν οὐ γέγραπται τὰ˚ ὀνόματα ἐπὶ τὸ˚ βιβλίον
τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου βλέποντες˚ τὸ θηρίον ὅ τι
9 ἦν καὶ οὐκ ἔστιν καίπερ˚ ἐστίν ◦ ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν
αἱ ἑπτὰ κεφαλαὶ ὄρη˚ εἰσὶν ἑπτὰ ὅπου ἡ γυνὴ κάθηται ἐπ᾽
10 αὐτῶν ◦ καὶ βασιλεῖς ἑπτά˚ εἰσιν οἱ πέντε ἔπεσἀν κἀὶ ὁ εἷς
ἔστιν ὁ ἄλλος οὔπω ἦλθεν καὶ ὅταν ἔλθῃ ὀλίγον αὐτὸν˚ δεῖ
11 μεῖναι ◦ καὶ τὸ θηρίον ὃ ἦν καὶ οὐκ ἔστιν καὶ ἀὐτὸς ὄγδοός
12 ἐστιν καὶ ἐκ τῶν ἑπτά ἐστιν καὶ εἰς ἀπώλειαν ὑπάγει ◦ καὶ
τὰ δέκα κέρατα ἃ εἶδες δέκα βασιλεῖς εἰσιν οἵτινες βασι-
λείαν οὔπω ἔλαβον ἀλλ᾽ ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν
13 λαμβάνουσιν μετὰ τοῦ θηρίου ◦ οὗτοι μίαν γνώμην˚ ἔχου-
σιν καὶ τὴν δύναμιν καὶ τὴν˚ ἐξουσίαν ἑαυτῶν τῷ θηρίῳ
14 διἀδιδώσουσιν ◦ οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσιν καὶ
τὸ ἀρνίον νικήσει αὐτοὺς ὅτι κύριος κυρίων ἐστὶν καὶ βα-
σιλεὺς βασιλέων καὶ οἱ μετ᾽ αὐτοῦ κλητοὶ καὶ ἐκλεκτοὶ καὶ
15 πιστοί ◦ καὶ λέγει μοι τὰ ὕδατα ἃ εἶδες οὗ ἡ πόρνη κάθηται

---

**v.6** TKV: εκ, M: ∅. **v.6** TKV: και, M: ∅. **v.7** TK: διατι, MV: δια τι. **v.7** TK: σοι ερω, MV: ερω σοι. **v.8** T: θηριον, KMV: το θηριον. **v.8** T*: υπαγειν, V: υπαγει. **v.8** T*: θαυμασονται, V: θαυμασθησονται. **v.8** TKV: επι της γης, M: την γην. **v.8** TK: τα ονοματα, MV: το ονομα. **v.8** TKV: το βιβλιον, M: του βιβλιου. **v.8** TK: βλεποντες το θηριον ο τι ην, M: βλεποντων οτι ην το θηριον, V: βλεποντων το θηριον οτι ην. **v.8** TK: καιπερ εστιν, MV: και παρεσται. **v.9** TK: ορη εισιν επτα, MV: επτα ορη εισιν. **v.10** TKV: επτα εισιν, M: εισιν επτα. **v.10** TKV: επεσαν, M: επεσον. **v.10** TK: και, MV: ∅. **v.10** TKV: αυτον δει, M: δει αυτον. **v.11** TKV: αυτος, M: ουτος. **v.12** T*: αλλ, V: αλλα. **v.13** TKV: γνωμην εχουσιν, M: εχουσιν γνωμην. **v.13** TK: την εξουσιαν εαυτων, MV: εξουσιαν αυτων. **v.13** TK: διαδιδωσουσιν, MV: διδοασιν.

λαοὶ καὶ ὄχλοι εἰσὶν καὶ ἔθνη καὶ γλῶσσαι· καὶ τὰ δέκα 16
κέρατα ἃ εἶδες ἐπὶ τὸ θηρίον οὗτοι μισήσουσιν τὴν πόρ-
νην καὶ ἠρημωμένην ποιήσουσιν αὐτὴν καὶ γυμνὴν καὶ
τὰς σάρκας αὐτῆς φάγονται καὶ αὐτὴν κατακαύσουσιν ἐν
πυρί· ὁ γὰρ θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι 17
τὴν γνώμην αὐτοῦ καὶ ποιῆσαι μίαν˚ γνώμην καὶ δοῦναι
τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ ἄχρι τελεσθῇ˚ τὰ ῥήματα
τοῦ θεοῦ· καὶ ἡ γυνὴ ἣν εἶδες ἔστιν ἡ πόλις ἡ μεγάλη ἡ 18
ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς·

Καὶ μετὰ ταῦτα εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐ- **18**
ρανοῦ ἔχοντα ἐξουσίαν μεγάλην καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς
δόξης αὐτοῦ· καὶ ἔκραξεν ἐν˚ ἰσχύϊ φωνῇ μεγάλη λέγων 2
ἔπεσεν ἔπεσεν βαβυλὼν ἡ μεγάλη καὶ ἐγένετο κατοικητή-
ριον δαιμόνων καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου
καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου·
ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πέπωκεν 3
πάντα τὰ ἔθνη καὶ οἱ βασιλεῖς τῆς γῆς μετ᾽ αὐτῆς ἐπόρνευ-
σαν καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους
αὐτῆς ἐπλούτησαν· καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐ- 4
ρανοῦ λέγουσαν ἐξέλθετε ἐξ˚ αὐτῆς ὁ λαός μου ἵνα μὴ συγ-
κοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς καὶ ἵνα˚ μὴ λάβητε ἐκ
τῶν πληγῶν αὐτῆς· ὅτι ἠκολούθησαν αὐτῆς αἱ ἁμαρτίαι 5
ἄχρι τοῦ οὐρανοῦ καὶ ἐμνημόνευσεν ὁ θεὸς τὰ ἀδικήματα
αὐτῆς· ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ ἀπέδωκεν ὑμῖν καὶ δι- 6
πλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς ἐν τῷ ποτηρίῳ ᾧ

**v.16** TK: επι, MV: και. **v.16** TKV: γυμνην, M: γυμνην ποιησουσιν αυτην. **v.17** TKV: μιαν γνωμην, M: γνωμην μιαν. **v.17** TK: τελεσθη τα ρηματα, M: τελεσθωσιν οι λογοι, V: τελεσθησονται οι λογοι. **v.18** TKV: της, M: επι της. **18. v.1** TK: και, MV: ∅. **v.1** T: αγγελον, KMV: αλλον αγγελον. **v.2** TK: εν ισχυι, M: ισχυρα, V: εν ισχυρα. **v.2** TK: μεγαλη, MV: ∅. **v.2** TKV: επεσεν, M: ∅. **v.2** T*: δαιμονων, V: δαιμονιων. **v.2** T*: ακαθαρτου, V: ακαθαρτου [και φυλακη παντος θηριου ακαθαρτου]. **v.3** TK: πεπωκεν, M: πεπωκασι, V: πεπωκαν. **v.4** TK: εξελθετε, M: εξελθε, V: εξελθατε. **v.4** T*: εξ αυτης ο λαος μου, V: ο λαος μου εξ αυτης. **v.4** TK: ινα μη λαβητε εκ των πληγων αυτης, MV: εκ των πληγων αυτης ινα μη λαβητε. **v.5** T: ηκολουθησαν, KMV: εκολληθησαν. **v.5** TKV: εμνημονευσεν, M: εμνημονευσεν αυτης. **v.6** TK: υμιν, MV: ∅. **v.6** TK: αυτη διπλα, M: τα διπλα ως και αυτη και, V: τα διπλα. **v.6** TKV: ποτηριω, M: ποτηριω αυτης.

7 ἐκέρασεν κεράσατε αὐτῇ διπλοῦν ◦ ὅσα ἐδόξασεν ἑαυτὴν
καὶ ἐστρηνίασεν τοσοῦτον δότε αὐτῇ βασανισμὸν καὶ πέν-
θος ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει κάθημαι βασίλισσα καὶ
8 χήρα οὐκ εἰμὶ καὶ πένθος οὐ μὴ ἴδω ◦ διὰ τοῦτο ἐν μιᾷ
ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς θάνατος κἀὶ πένθος καὶ
λιμὸς καὶ ἐν πυρὶ κατακαυθήσεται ὅτι ἰσχυρὸς κύριος ὁ
9 θεὸς ὁ κρίνων αὐτήν ◦ καὶ κλαύσονται ˚ αὐτὴν καὶ κόψον-
ται ἐπ᾽ αὐτ῍ῇ οἱ βασιλεῖς τῆς γῆς οἱ μετ᾽ αὐτῆς πορνεύσαντες
καὶ στρηνιάσαντες ὅταν βλέπωσιν τὸν καπνὸν τῆς πυρώ-
10 σεως αὐτῆς ◦ ἀπὸ μακρόθεν ἑστηκότες διὰ τὸν φόβον τοῦ
βασανισμοῦ αὐτῆς λέγοντες οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη
βαβυλὼν ἡ πόλις ἡ ἰσχυρὰ ὅτι ἐν᾽ μιᾷ ὥρᾳ ἦλθεν ἡ κρί-
11 σις σου ◦ καὶ οἱ ἔμποροι τῆς γῆς κλαίουσιν καὶ πενθοῦσιν
ἐπ᾽ αὐτ῍ῇ ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκ ˚ ἔτι ◦
12 γόμον χρυσοῦ καὶ ἀργύρου καὶ λίθου τιμίου καὶ μαργα-
ρίτου καὶ βύσσου καὶ πορφύρας καὶ σηρικοῦ καὶ κοκκίνου
καὶ πᾶν ξύλον θύϊνον καὶ πᾶν σκεῦος ἐλεφάντινον καὶ πᾶν
σκεῦος ἐκ ξύλου τιμιωτάτου καὶ χαλκοῦ καὶ σιδήρου καὶ
13 μαρμάρου ◦ καὶ κιν᾽άμωμον καὶ θυμιάματα καὶ μύρον καὶ
λίβανον καὶ οἶνον καὶ ἔλαιον καὶ σεμίδαλιν καὶ σῖτον καὶ
κτήνη ˚ καὶ πρόβατα καὶ ἵππων καὶ ῥ᾽εδῶν καὶ σωμάτων καὶ
14 ψυχὰς ἀνθρώπων ◦ καὶ ἡ ὀπώρα τῆς ˚ ἐπιθυμίας τῆς ψυ-
χῆς σου ἀπ῍ῆλθεν ἀπὸ σοῦ καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ
λαμπρὰ ἀπ᾽ῆλθεν ἀπὸ σοῦ καὶ οὐκ ˚ ἔτι οὐ ˚ μὴ εὑρήσῃς
15 αὐτά ◦ οἱ ἔμποροι τούτων οἱ πλουτήσαντες ἀπ᾽ αὐτῆς ἀπὸ
μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς

---

**v.7** ΤΚ: εαυτην, ΜV: αυτην. **v.7** ΤΚ: λεγει, ΜV: λεγει οτι. **v.8** ΤΚV: και, Μ: ∅. **v.8** ΤΚ: κρινων, ΜV: κρινας. **v.9** ΤΚ: κλαυσονται αυτην, ΜV: κλαυσουσιν. **v.9** ΤΚ: αυτη, ΜV: αυτην. **v.10** ΤΚ: εν, ΜV: ∅. **v.11** ΤΚV: κλαιουσιν, Μ: κλαυσουσιν. **v.11** ΤΚV: πενθουσιν, Μ: πενθησουσιν. **v.11** T*: αυτη, V: αυτην. **v.11** Τ: ουκ ετι, ΚΜV: ουκετι. **v.12** T*: μαργαριτου, V: μαργαριτων. **v.12** ΤΚ: βυσσου, ΜV: βυσσινου. **v.12** ΤΚV: πορφυρας, Μ: πορφυρου. **v.12** T*: σηρικου, V: σιρικου. **v.12** Ε: ξυλου, Α: λιθου. **v.13** T*: κιναμωμον, V: κινναμωμον και αμωμον. **v.13** ΤΚV: κτηνη και προβατα, Μ: προβατα και κτηνη. **v.13** ΤΚV: ρεδων, Μ: ραιδων. **v.14** T*: της επιθυμιας της ψυχης σου, V: σου της επιθυμιας της ψυχης. **v.14** ΤΚ: απηλθεν, ΜV: απωλετο. **v.14** Τ: ουκ ετι, ΚΜV: ουκετι. **v.14** ΤΚ: ου μη ευρησης αυτα, Μ: αυτα ου μη ευρης, V: ου μη αυτα ευρησουσιν.

κλαίοντες καὶ πενθοῦντες ⸰ κἀὶ λέγοντες οὐαὶ οὐαὶ ἡ πόλις 16
ἡ μεγάλη ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν καὶ
κόκκινον καὶ κεχρυσωμένη ἐν˚ χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ
μαργαρίταις ⸰ ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος 17
καὶ πᾶς κυβερνήτης καὶ πᾶς ἐπὶ˚ τῶν πλοίων ὁ ὅμιλος καὶ
ναῦται καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται ἀπὸ μακρόθεν
ἔστησαν ⸰ καὶ ἔκραζον ὁρῶντες τὸν καπνὸν τῆς πυρώσεως 18
αὐτῆς λέγοντες τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ ⸰ καὶ ἔβα- 19
λον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ ἔκραζον κλαίοντες
καὶ πενθοῦντες λέγοντες οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη ἐν
ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ
τῆς τιμιότητος αὐτῆς ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ⸰ εὐφραίνου 20
ἐπ᾽ αὐτῇ οὐρανὲ καὶ οἱ ἅγιοι ἀπόστολοι καὶ οἱ προφῆται
ὅτι ἔκρινεν ὁ θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς ⸰ καὶ ἦρεν εἷς 21
ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν καὶ ἔβαλεν εἰς τὴν
θάλασσαν λέγων οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ
μεγάλη πόλις καὶ οὐ μὴ εὑρεθῇ ἔτι ⸰ καὶ φωνὴ κιθαρῳδῶν 22
καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ
ἐν σοὶ ἔτι καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν
σοὶ ἔτι καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι ⸰ καὶ 23
φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι καὶ φωνὴ νυμφίου καὶ
νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι ὅτι οἱ ἔμποροί σου ἦσαν
οἱ μεγιστᾶνες τῆς γῆς ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλανήθη-
σαν πάντα τὰ ἔθνη ⸰ καὶ ἐν αὐτῇ αἷμὰ προφητῶν καὶ ἁγίων 24
εὑρέθη καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς ⸰

Κἀὶ μετὰ ταῦτα ἤκουσα φωνὴν˚ ὄχλου πολλοῦ μεγάλην **19**
ἐν τῷ οὐρανῷ λέγοντός ἀλληλούϊα ἡ σωτηρία καὶ ἡ δόξα˚

---

**v.15** ΤΚV: κλαιοντες, Μ: και κλαιοντες. **v.16** Τ*: και, V: ∅. **v.16** ΤΚV: βυσσινον, Μ: βυσσον. **v.16** ΤΚ: εν χρυσω, Μ: χρυσιω, V: [εν] χρυσιω. **v.16** Τ*: μαργαριταις, V: μαργαριτη. **v.17** ΤΚ: επι των πλοιων ο ομιλος, ΜV: ο επι τοπον πλεων. **v.18** ΤΚ: ορωντες, ΜV: βλεποντες. **v.19** ΤΚV: λεγοντες, Μ: και λεγοντες. **v.19** ΤΚ: πλοια, ΜV: τα πλοια. **v.20** ΤΚ: αυτην, ΜV: αυτη. **v.20** ΤΚ: αποστολοι, ΜV: και οι αποστολοι. **v.21** Τ*: μυλον, V: μυλινον. **v.23** ΤΚV: οτι, Μ: ∅. **v.24** ΤΚV: αιμα, Μ: αιματα. **19. v.1** ΤΚ: και, ΜV: ∅. **v.1** ΤΚ: φωνην οχλου πολλου μεγαλην, ΜV: ως φωνην μεγαλην οχλου πολλου. **v.1** ΤΚ: λεγοντος, ΜV: λεγοντων. **v.1** ΤΚ: δοξα και η τιμη και η δυναμις κυριω τω θεω, Μ: δυναμις και η δοξα του θεου, V: δοξα και η δυναμις του θεου.

καὶ ἡ τιμὴ καὶ ἡ δύναμις κυρίῳ τῷ θεῷ ἡμῶν· ὅτι ἀλη-
θιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ ὅτι ἔκρινεν τὴν πόρνην
τὴν μεγάλην ἥτις ἔφθειρεν τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς
καὶ ἐξεδίκησεν τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ χειρὸς
αὐτῆς· καὶ δεύτερον εἰρηκάν ἀλληλούϊα καὶ ὁ καπνὸς αὐ-
τῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων· καὶ ἔπεσάν οἱ
πρεσβύτεροι οἱ εἴκοσι κἀὶ τέσσαρες καὶ τὰ τέσσαρα ζῶα
καὶ προσεκύνησαν τῷ θεῷ τῷ καθημένῳ ἐπὶ τοῦ˚ θρόνου
λέγοντες ἀμὴν ἀλληλούϊα· καὶ φωνὴ ἐκ̓ τοῦ θρόνου ἐξ-
ῆλθεν λέγουσα αἰνεῖτε τὸν˚ θεὸν ἡμῶν πάντες οἱ δοῦλοι
αὐτοῦ καὶ οἱ φοβούμενοι αὐτὸν κἀὶ οἱ μικροὶ καὶ οἱ μεγά-
λοι· καὶ ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ καὶ ὡς φωνὴν
ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῶν ἰσχυρῶν λέγοντάς
ἀλληλούϊα ὅτι ἐβασίλευσεν κύριος ὁ θεὸς ὁ παντοκράτωρ·
χαίρωμεν καὶ ἀγαλλιώμεθα˚ καὶ δῶμεν τὴν δόξαν αὐτῷ ὅτι
ἦλθεν ὁ γάμος τοῦ ἀρνίου καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν
ἑαυτήν· καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται βύσσινον καθα-
ρὸν˚ καὶ λαμπρὸν τὸ γὰρ βύσσινον τὰ δικαιώματά ἐστιν˚
τῶν ἁγίων· καὶ λέγει μοι γράψον μακάριοι οἱ εἰς τὸ δεῖ-
πνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι καὶ λέγει μοι οὗτοι
οἱ λόγοι ἀληθινοὶ εἰσιν˚ τοῦ θεοῦ· καὶ ἔπεσὸν ἔμπροσθεν
τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ καὶ λέγει μοι ὅρα μὴ
σύνδουλός σου εἰμὶ καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν
μαρτυρίαν τοῦ ἰησοῦ τῷ θεῷ προσκύνησον ἡ γὰρ μαρτυ-
ρία τοῦ ἰησοῦ ἐστιν τὸ πνεῦμα τῆς προφητείας· καὶ εἶδον
τὸν οὐρανὸν ἀνεῳγμένον καὶ ἰδοὺ ἵππος λευκὸς καὶ ὁ κα-
θήμενος ἐπ᾽ αὐτὸν καλούμενος πιστὸς καὶ ἀληθινὸς καὶ ἐν

**v.2** TKV: εφθειρεν, M: διεφθειρε. **v.2** TK: της, MV: ∅. **v.3** TKV: ειρηκαν, M: ειρηκεν. **v.4** TKV: επεσαν, M: επεσον. **v.4** TK: και, MV: ∅. **v.4** TK: του θρονου, MV: τω θρονω. **v.5** TK: εκ, MV: απο. **v.5** T*: τον θεον, V: τω θεω. **v.5** TK: και, MV: ∅. **v.6** TK: λεγοντας, M: λεγοντες, V: λεγοντων. **v.6** TK: θεος, M: θεος ημων, V: θεος [ημων]. **v.7** T*: αγαλλιωμεθα και δωμεν, V: αγαλλιωμεν και δωσωμεν. **v.8** TK: καθαρον και λαμπρον, M: λαμπρον και καθαρον, V: λαμπρον καθαρον. **v.8** TK: εστιν των αγιων, MV: των αγιων εστιν. **v.9** TKV: το, M: τον. **v.9** TK: εισιν του θεου, MV: του θεου εισιν. **v.10** TK: επεσον, MV: επεσα. **v.10** TK: του, MV: ∅. **v.10** T*: του, V: ∅. **v.11** T*: ανεωγμενον, V: ηνεωγμενον.

δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ ⸰ οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς 12
φλὸξ πυρὸς καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλὰ
ἔχων ὄνομα γεγραμμένον ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός ⸰ καὶ 13
περιβεβλημένος ἱμάτιον βεβαμμένον αἵματι καὶ κέκληται
τὸ ὄνομα αὐτοῦ ὁ λόγος τοῦ θεοῦ ⸰ καὶ τὰ στρατεύματα ἐν 14
τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐφ᾽ ἵπποις λευκοῖς ἐνδεδυμέ-
νοι βύσσινον λευκὸν καὶ καθαρόν ⸰ καὶ ἐκ τοῦ στόματος 15
αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα ἵνα ἐν αὐτῇ πατάξῃ
τὰ ἔθνη καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ καὶ
αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ καὶ τῆς ὀρ-
γῆς τοῦ θεοῦ τοῦ παντοκράτορος ⸰ καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον 16
καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ τὸ ὄνομα γεγραμμένον βασιλεὺς
βασιλέων καὶ κύριος κυρίων ⸰ καὶ εἶδον ἕνα ἄγγελον ἑ- 17
στῶτα ἐν τῷ ἡλίῳ καὶ ἔκραξεν φωνῇ μεγάλῃ λέγων πᾶσιν
τοῖς ὀρνέοις τοῖς πετωμένοις ἐν μεσουρανήματι δεῦτε καὶ
συνάγεσθε εἰς τὸ δεῖπνον τοῦ μεγάλου θεοῦ ⸰ ἵνα φάγητε 18
σάρκας βασιλέων καὶ σάρκας χιλιάρχων καὶ σάρκας ἰσχυ-
ρῶν καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ᾽ αὐτῶν καὶ
σάρκας πάντων ἐλευθέρων καὶ δούλων καὶ μικρῶν καὶ με-
γάλων ⸰ καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ 19
τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι πόλεμον μετὰ
τοῦ καθημένου ἐπὶ τοῦ ἵππου καὶ μετὰ τοῦ στρατεύματος
αὐτοῦ ⸰ καὶ ἐπιάσθη τὸ θηρίον καὶ μετὰ τούτου ὁ ψευ- 20
δοπροφήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ ἐν οἷς
ἐπλάνησεν τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου καὶ τοὺς
προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ ζῶντες ἐβλήθησαν οἱ δύο

---

**v.12** ΤΚ: ως, Μ: ∅, V: [ως]. **v.12** ΤΚV: ονομα, Μ: ονοματα γεγραμμενα και ονομα. **v.13** Ε: βεβαμμενον, F: ερραντισμενον. **v.13** ΤΚ: καλειται, ΜV: κεκληται. **v.14** Τ: εν, ΚΜ: τα εν, V: [τα] εν. **v.14** ΤΚV: εφ, Μ: επι. **v.14** ΤΚ: και, ΜV: ∅. **v.15** ΤΚV: ρομφαια, Μ: ρομφαια διστομος. **v.15** ΤΚ: παταση, ΜV: παταξη. **v.15** ΤΚ: και, ΜV: ∅. **v.16** Τ: το, ΚΜV: ∅. **v.17** ΤΚV: ενα, Μ: ∅. **v.17** ΤΚ: φωνη, Μ: εν φωνη, V: [εν] φωνη. **v.17** ΤΚ: πετωμενοις, ΜV: πετομενοις. **v.17** ΤΚ: και συναγεσθε, ΜV: συναχθητε. **v.17** ΤΚV: το, Μ: τον. **v.17** ΤΚ: του μεγαλου, Μ: τον μεγαν του, V: το μεγα του. **v.18** Τ: και, ΚΜV: τε και. **v.18** ΤΚV: και, Μ: τε και. **v.19** ΤΚ: πολεμον, ΜV: τον πολεμον. **v.20** ΤΚ: μετα τουτου ο, Μ: ο μετ αυτου, V: μετ αυτου ο.

21 εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν˚ καιομένην ἐν ᾗ θείῳ ◦ καὶ
οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ
τοῦ ἵππου τῇ ἐκπορευομένῃ ἐκ τοῦ στόματος αὐτοῦ καὶ
πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν ◦

**20** Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ ἔχοντα
τὴν κλεῖδα τῆς ἀβύσσου καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα
2 αὐτοῦ ◦ καὶ ἐκράτησεν τὸν δράκοντα τὸν˚ ὄφιν τὸν ἀρχαῖον
ὅς ἐστιν διάβολος καὶ σατανᾶς καὶ ἔδησεν αὐτὸν χίλια ἔτη ◦
3 καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον καὶ ἔκλεισεν αὐτὸν καὶ
ἐσφράγισεν ἐπάνω αὐτοῦ ἵνα μὴ πλανήσῃ˚ τὰ ἔθνη ἔτι ἄχρι
τελεσθῇ τὰ χίλια ἔτη κἀι μετὰ ταῦτα δεῖ αὐτὸν˚ λυθῆναι μι-
4 κρὸν χρόνον ◦ καὶ εἶδον θρόνους καὶ ἐκάθισαν ἐπ᾽ αὐτοὺς
καὶ κρίμα ἐδόθη αὐτοῖς καὶ τὰς ψυχὰς τῶν πεπελεκισμέ-
νων διὰ τὴν μαρτυρίαν ἰησοῦ καὶ διὰ τὸν λόγον τοῦ θεοῦ
καὶ οἵτινες οὐ προσεκύνησαν τῷ˚ θηριῷ οὔτε τὴν εἰκόνα
αὐτοῦ καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν
καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν καὶ ἔζησαν καὶ ἐβασίλευσαν μετὰ
5 χριστοῦ τὰ χίλια ἔτη ◦ οἱ˚ δὲ λοιποὶ τῶν νεκρῶν οὐκ ἀνέζη-
σαν˚ ἕως τελεσθῇ τὰ χίλια ἔτη αὕτη ἡ ἀνάστασις ἡ πρώτη ◦
6 μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώ-
τῃ ἐπὶ τούτων ὁ˚ θάνατος ὁ δεύτερος οὐκ ἔχει ἐξουσίαν ἀλλ᾽
ἔσονται ἱερεῖς τοῦ θεοῦ καὶ τοῦ χριστοῦ καὶ βασιλεύσου-
7 σιν μετ᾽ αὐτοῦ χίλια ἔτη ◦ καὶ ὅταν˚ τελεσθῇ τὰ χίλια ἔτη
8 λυθήσεται ὁ σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ ◦ καὶ ἐξελεύ-
σεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσιν γωνίαις τῆς
γῆς τὸν γὼγ καὶ τὸν μαγὼγ συναγαγεῖν αὐτοὺς εἰς πόλεμον

---

**v.20** T*: την καιομενην, V: της καιομενης. **v.20** TK: τω, MV: ∅. **v.21** TK: εκπορευομενη, MV: εξελθουση. **20. v.1** TK: κλειδα, MV: κλειν. **v.2** T*: τον οφιν τον αρχαιον, V: ο οφις ο αρχαιος. **v.2** TK: σατανας, M: ο σατανας ο πλανων την οικουμενην ολην, V: ο σατανας. **v.3** TK: αυτον, MV: ∅. **v.3** TK: πλανηση τα εθνη ετι, M: πλανα ετι τα εθνη, V: πλανηση ετι τα εθνη. **v.3** TK: και, MV: ∅. **v.3** TK: αυτον λυθηναι, MV: λυθηναι αυτον. **v.4** TK: τω θηριω ουτε, MV: το θηριον ουδε. **v.4** TK: αυτων, MV: ∅. **v.4** TK: χριστου, MV: του χριστου. **v.4** TM: τα, KV: ∅. **v.5** TK: οι δε, M: και οι, V: οι. **v.5** TK: ανεζησαν εως, MV: εζησαν αχρι. **v.6** TK: ο θανατος ο δευτερος, MV: ο δευτερος θανατος. **v.6** T*: χιλια, V: [τα] χιλια. **v.7** TKV: οταν τελεσθη, M: μετα. **v.8** T*: τον, V: ∅. **v.8** TK: πολεμον, MV: τον πολεμον.

ὧν ὁ ἀριθμὸς ὡς ἡ ἄμμος τῆς θαλάσσης ⸰ καὶ ἀνέβησαν ἐ- 9
πὶ τὸ πλάτος τῆς γῆς καὶ ἐκύκλωσαν τὴν παρεμβολὴν τῶν
ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην καὶ κατέβη πῦρ ἀ-
πὸ τοῦ θεοῦ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγεν αὐτούς ⸰ καὶ 10
ὁ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν λίμνην τοῦ
πυρὸς καὶ θείου ὅπου τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης
καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας
τῶν αἰώνων ⸰ καὶ εἶδον θρόνον λευκὸν μέγαν καὶ τὸν κα- 11
θήμενον ἐπ᾽ αὐτοῦ οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ
οὐρανὸς καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς ⸰ καὶ εἶδον τοὺς νε- 12
κροὺς μικροὺς καὶ μεγάλους ἑστῶτας ἐνώπιον τοῦ θεοῦ
καὶ βιβλία ἠνεῴχθησαν καὶ βιβλίον ἄλλο ἠνεῴχθη ὅ ἐστιν
τῆς ζωῆς καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν
τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν ⸰ καὶ ἔδωκεν ἡ θάλασσα 13
τοὺς ἐν αὐτῇ νεκροὺς καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν
τοὺς ἐν αὐτοῖς νεκροὺς καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ
ἔργα αὐτῶν ⸰ καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν εἰς τὴν 14
λίμνην τοῦ πυρὸς οὗτος ἐστιν ὁ δεύτερος θάνατος ⸰ καὶ εἴ 15
τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος ἐβλήθη
εἰς τὴν λίμνην τοῦ πυρός ⸰

Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν ὁ γὰρ πρῶτος **21**
οὐρανὸς καὶ ἡ πρώτη γῆ ἦρῆλθεν καὶ ἡ θάλασσα οὐκ
ἔστιν ἔτι ⸰ καὶ ἐγὼ ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν ἰ- 2
ερουσαλὴμ καινὴν καταβαίνουσαν ἀπὸ τοῦ θεοῦ ἐκ τοῦ

**v.8** TK: αριθμος, MV: αριθμος αυτων. **v.9** TK: εκυκλωσαν, MV: εκυκλευσαν. **v.9** TK: απο του θεου εκ του ουρανου, M: εκ του ουρανου απο του θεου, V: εκ του ουρανου. **v.10** TK: το, MV: και το. **v.11** TK: λευκον μεγαν, MV: μεγαν λευκον. **v.11** TK: αυτου, MV: αυτον. **v.11** T*: προσωπου, V: του προσωπου. **v.12** TK: μικρους και μεγαλους, MV: τους μεγαλους και τους μικρους. **v.12** TK: θεου, MV: θρονου. **v.12** TK: ηνεωχθησαν, M: ηνοιξαν, V: ηνοιχθησαν. **v.12** TK: βιβλιον αλλο, MV: αλλο βιβλιον. **v.12** T*: ηνεωχθη, V: ηνοιχθη. **v.13** TK: τους εν αυτη νεκρους, MV: τους νεκρους τους εν αυτη. **v.13** TK: τους εν αυτοις νεκρους, MV: τους νεκρους τους εν αυτοις. **v.13** TKV: αυτων, M: αυτου. **v.14** TK: ουτος εστιν ο δευτερος θανατος, MV: ουτος ο θανατος ο δευτερος εστιν η λιμνη του πυρος. **v.15** TKV: τη βιβλω, M: τω βιβλιω. **21. v.1** TK: παρηλθεν, M: απηλθον, V: απηλθαν. **v.2** TK: εγω ιωαννης ειδον την πολιν την αγιαν ιερουσαλημ καινην, MV: την πολιν την αγιαν ιερουσαλημ καινην ειδον. **v.2** TK: απο του θεου εκ του ουρανου, MV: εκ του ουρανου απο του θεου.

οὐρανοῦ ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀν-
3 δρὶ αὐτῆς· καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ
λεγούσης ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀνθρώπων καὶ
σκηνώσει μετ᾽ αὐτῶν καὶ αὐτοὶ λαοὶ αὐτοῦ ἔσονται καὶ αὐ-
4 τὸς ὁ θεὸς ἔσται˚ μετ᾽ αὐτῶν θεὸς αὐτῶν· καὶ ἐξαλείψει ὁ˚
θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν καὶ ὁ θάνατος
οὐκ ἔσται ἔτι οὔτε πένθος οὔτε κραυγὴ οὔτε πόνος οὐκ ἔ-
5 σται ἔτι ὅτι τὰ πρῶτα ἀπῆλθον· καὶ εἶπεν ὁ καθήμενος ἐπὶ
τοῦ˚ θρόνου ἰδοὺ καινὰ˚ πάντα ποιῶ καὶ λέγει μοι γράψον
6 ὅτι οὗτοι οἱ λόγοι ἀληθινοὶ˚ καὶ πιστοί εἰσιν· καὶ εἶπέν μοι
γέγονεν˚ ἐγώ εἰμι τὸ ἅ καὶ τὸ ω ἡ˚ ἀρχὴ καὶ τὸ τέλος ἐγὼ
τῷ διψῶντι δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δω-
7 ρεάν· ὁ νικῶν κληρονομήσει πάντα καὶ ἔσομαι αὐτῷ θεὸς
8 καὶ αὐτὸς ἔσται μοι ὁ˚ υἱός· δειλοῖς˚ δὲ καὶ ἀπίστοις καὶ
ἐβδελυγμένοις καὶ φονεῦσιν καὶ πόρνοις καὶ φαρμακεῦσιν
καὶ εἰδωλολάτραις καὶ πᾶσιν τοῖς ψευδέσιν τὸ μέρος αὐτῶν
ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ ὅ ἐστιν δεύτερος˚
9 θάνατος· καὶ ἦλθεν πρός˚ με εἷς τῶν ἑπτὰ ἀγγέλων τῶν
ἐχόντων τὰς ἑπτὰ φιάλας τὰς˚ γεμούσας τῶν ἑπτὰ πληγῶν
τῶν ἐσχάτων καὶ ἐλάλησεν μετ᾽ ἐμοῦ λέγων δεῦρο δείξω σοι
10 τὴν˚ νύμφην τοῦ ἀρνίου τὴν γυναῖκα· καὶ ἀπήνεγκέν με
ἐν πνεύματι ἐπ᾽˚ ὄρος μέγα καὶ ὑψηλὸν καὶ ἔδειξέν μοι τὴν
πόλιν τὴν˚ μεγάλην τὴν ἁγίαν ἱερουσαλὴμ καταβαίνουσαν

---

**v.3** T*: ουρανου, V: θρονου. **v.3** TKV: λαοι, M: λαος. **v.3** TK: εσται μετ αυτων θεος αυτων, M: μετ αυτων εσται, V: μετ αυτων εσται [αυτων θεος]. **v.4** TK: ο θεος, M: απ αυτων, V: ∅. **v.4** T*: απο, V: εκ. **v.4** E: πρωτα, F: προβατα. **v.4** TK: απηλθον, M: απηλθεν, V: απηλθαν. **v.5** TK: του θρονου, MV: τω θρονω. **v.5** TK: καινα παντα ποιω, M: παντα καινα ποιω, V: καινα ποιω παντα. **v.5** TK: μοι, MV: ∅. **v.5** TK: αληθινοι και πιστοι, M: πιστοι και αληθινοι του θεου, V: πιστοι και αληθινοι. **v.6** TK: γεγονεν εγω ειμι, M: γεγονα, V: γεγοναν εγω [ειμι]. **v.6** TK: α, MV: αλφα. **v.6** TKV: η, M: και η. **v.6** TKV: δωσω, M: δωσω αυτω. **v.7** TKV: κληρονομησει, M: δωσω αυτω. **v.7** TK: παντα, MV: ταυτα. **v.7** TK: ο, MV: ∅. **v.8** TK: δειλοις δε, MV: τοις δε δειλοις. **v.8** TKV: εβδελυγμενοις, M: αμαρτωλοις και εβδελυγμενοις. **v.8** TK: φαρμακευσιν, MV: φαρμακοις. **v.8** TK: δευτερος θανατος, MV: ο θανατος ο δευτερος. **v.9** TK: προς με εις, MV: εις εκ. **v.9** TK: τας γεμουσας, M: γεμουσας, V: των γεμοντων. **v.9** TK: την νυμφην του αρνιου την γυναικα, M: την γυναικα την νυμφην του αρνιου, V: την νυμφην την γυναικα του αρνιου. **v.10** T*: επ, V: επι. **v.10** TK: την μεγαλην, MV: ∅.

ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ ⸰ ἔχουσαν τὴν δόξαν τοῦ θε- 11
οῦ καὶ ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ ὡς λίθῳ ἰά-
σπιδι κρυσταλλίζοντι ⸰ ἔχουσάν τε τεῖχος μέγα καὶ ὑψηλὸν 12
ἔχουσαν πυλῶνας δώδεκα καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους
δώδεκα καὶ ὀνόματα ἐπιγεγραμμένα ἅ ἐστιν τῶν˚ δώδεκα
φυλῶν τῶν υἱῶν ἰσραήλ ⸰ ἀπ˚ ἀνατολῆς πυλῶνες τρεῖς ἀπὸ 13
βορρᾶ πυλῶνες τρεῖς ἀπὸ νότου πυλῶνες τρεῖς ἀπὸ δυσμῶν
πυλῶνες τρεῖς ⸰ καὶ τὸ τεῖχος τῆς πόλεως ἔχὸν θεμελίους 14
δώδεκα καὶ ἐν˚ αὐτοῖς ὀνόματα τῶν δώδεκα ἀποστόλων τοῦ
ἀρνίου ⸰ καὶ ὁ λαλῶν μετ˚ ἐμοῦ εἶχεν κάλαμον χρυσοῦν ἵνα 15
μετρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς καὶ τὸ τεῖχος
αὐτῆς ⸰ καὶ ἡ πόλις τετράγωνος κεῖται καὶ τὸ μῆκος αὐτῆς 16
τοσοῦτόν˚ ἐστιν ὅσον καὶ τὸ πλάτος καὶ ἐμέτρησεν τὴν πό-
λιν τῷ καλάμῳ ἐπὶ σταδίων˚ δώδεκα χιλιάδων τὸ μῆκος καὶ
τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστίν ⸰ καὶ ἐμέτρησεν τὸ 17
τεῖχος αὐτῆς ἑκατὸν τεσσαράκοντα˚ τεσσάρων πηχῶν μέ-
τρον ἀνθρώπου ὅ ἐστιν ἀγγέλου ⸰ καὶ ἦν˚ ἡ ἐνδόμησις τοῦ 18
τείχους αὐτῆς ἴασπις καὶ ἡ πόλις χρυσίον καθαρὸν ὁμοία˚
ὑάλῳ καθαρῷ˚ ⸰ καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως 19
παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι ὁ θεμέλιος ὁ πρῶτος ἴα-
σπις ὁ δεύτερος σάπφειρος ὁ τρίτος χαλκηδὼν ὁ τέταρτος
σμάραγδος ⸰ ὁ πέμπτος σαρδόνυξ ὁ ἕκτος σάρδιος ὁ ἕβδο- 20
μος χρυσόλιθος ὁ ὄγδοος βήρυλλος ὁ ἔνατος τοπάζιον ὁ
δέκατος χρυσόπρασος ὁ ἑνδέκατος ὑάκινθος ὁ δωδέκατος
ἀμέθυστος ⸰ καὶ οἱ δώδεκα πυλῶνες δώδεκα μαργαρίται 21

**v.10** TKV: απο, M: εκ. **v.11** TK: και, MV: ∅. **v.12** TK: εχουσαν, MV: εχουσα. **v.12** TK: τε, MV: ∅. **v.12** TKV: δωδεκα, M: δεκαδυο. **v.12** TK: των δωδεκα φυλων των υιων, M: ονοματα των δωδεκα φυλων υιων, V: [τα ονοματα] των δωδεκα φυλων υιων. **v.13** TK: απ ανατολης, M: απο ανατολων, V: απο ανατολης. **v.13** TK: απο, MV: και απο. **v.13** TK: απο, MV: και απο. **v.13** T: απο, KMV: και απο. **v.14** T*: εχον, V: εχων. **v.14** TK: εν αυτοις, MV: επ αυτων δωδεκα. **v.15** TK: καλαμον, MV: μετρον καλαμον. **v.16** TK: τοσουτον εστιν οσον και, M: οσον, V: οσον [και]. **v.16** TKV: σταδιων δωδεκα χιλιαδων, M: σταδιους δεκαδυο χιλιαδων δωδεκα. **v.17** TKV: εμετρησεν, M: ∅. **v.17** TM: τεσσαρακοντα τεσσαρων, K: τεσσαρακοντατεσσαρων, V: τεσσερακοντα τεσσαρων. **v.18** T*: ην η ενδομησις, V: η ενδωμησις. **v.18** TK: ομοια υαλω, M: ομοιον υελω, V: ομοιον υαλω. **v.19** TK: και, MV: ∅. **v.19** T*: σαπφειρος, V: σαπφιρος. **v.20** TK: σαρδιος, MV: σαρδιον. **v.20** TMV: ενατος, K: εννατος. **v.20** TKV: αμεθυστος, M: αμεθυσος.

ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου καὶ
ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρὸν ὡς ὕαλος˙ διαφα-
22 νής. καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ ὁ γὰρ κύριος ὁ θεὸς ὁ
23 παντοκράτωρ ναὸς αὐτῆς ἐστιν καὶ τὸ ἀρνίον. καὶ ἡ πόλις
οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης ἵνα φαίνωσιν ἐν
αὐτῇ ἡ˙ γὰρ δόξα τοῦ θεοῦ ἐφώτισεν αὐτὴν καὶ ὁ λύχνος
24 αὐτῆς τὸ ἀρνίον. καὶ τὰ˙ ἔθνη τῶν σωζομένων ἐν τῷ φωτὶ
αὐτῆς περιπατήσουσιν καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσιν
25 τὴν˙ δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν. καὶ οἱ πυλῶνες
αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ.
26 καὶ οἴσουσιν τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν.
27 καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν καὶ ποιοῦν βδέ-
λυγμα καὶ ψεῦδος εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς
ζωῆς τοῦ ἀρνίου.

**22** Καὶ ἔδειξέν μοι καθαρὸν ποταμὸν ὕδατος ζωῆς λαμπρὸν
ὡς κρύσταλλον ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ θεοῦ καὶ
2 τοῦ ἀρνίου. ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ
ἐντεῦθεν καὶ ἐντεῦθεν ξύλον ζωῆς ποιοῦν καρποὺς δώδεκα
κατὰ μῆνα ἕνα ἕκαστον˙ ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ καὶ
3 τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν. καὶ πᾶν
κατανάθεμα οὐκ ἔσται ἔτι καὶ ὁ θρόνος τοῦ θεοῦ καὶ τοῦ
ἀρνίου ἐν αὐτῇ ἔσται καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν
4 αὐτῷ. καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ καὶ τὸ ὄνομα αὐ-
5 τοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ νὺξ οὐκ ἔσται ἐκεῖ καὶ
χρείαν˙ οὐκ ἔχουσιν λύχνου καὶ φωτὸς ἡλίου ὅτι κύριος
ὁ θεὸς φωτίζει αὐτοὺς καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας

---

**v.21** TK: υαλος διαφανης, M: υελος διαυγης, V: υαλος διαυγης. **v.23** TK: εν, MV: ∅. **v.23** TKV: η γαρ, M: γαρ η. **v.24** TK: τα εθνη των σωζομενων εν τω φωτι αυτης περιπατησουσιν, MV: περιπατησουσι τα εθνη δια του φωτος αυτης. **v.24** TK: την δοξαν και την τιμην, M: αυτω δοξαν και τιμην, V: την δοξαν. **v.24** TKV: αυτων, M: των εθνων. **v.26** TKV: αυτην, M: αυτην ινα εισελθωσι. **v.27** TK: κοινουν, MV: κοινον. **v.27** TK: ποιουν, M: ο ποιων, V: [ο] ποιων. **22. v.1** TK: καθαρον, MV: ∅. **v.2** TK: εντευθεν, MV: εκειθεν. **v.2** TK: ενα, MV: ∅. **v.2** TKV: εκαστον αποδιδουν, M: αποδιδους εκαστον. **v.3** TK: καταναθεμα, MV: καταθεμα. **v.3** TKV: λατρευσουσιν, M: λατρευουσιν. **v.5** TK: εκει, M: ∅, V: ετι. **v.5** TK: χρειαν ουκ εχουσιν, M: ου χρεια, V: ουκ εχουσιν χρειαν φωτος. **v.5** TKV: ηλιου, M: ∅. **v.5** TK: φωτιζει, M: φωτιει, V: φωτισει επ.

τῶν αἰώνων ◦ καὶ εἶπέν μοι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθι- 6
νοὶ καὶ κύριος ὁ θεὸς τῶν ◦ ἁγίων προφητῶν ἀπέστειλεν τὸν
ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν
τάχει ◦ ἰδοὺ ἔρχομαι ταχὺ μακάριος ὁ τηρῶν τοὺς λόγους 7
τῆς προφητείας τοῦ βιβλίου τούτου ◦ καὶ ◦ ἐγὼ ἰωάννης ὁ 8
βλέπων ◦ ταῦτα καὶ ἀκούων καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα ◦ ἔ-
πεσα προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ
δεικνύοντός μοι ταῦτα ◦ καὶ λέγει μοι ὅρα μὴ σύνδουλός 9
σου γάρ εἰμι καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν καὶ τῶν
τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου τῷ θεῷ προσ-
κύνησον ◦ καὶ λέγει μοι μὴ σφραγίσῃς τοὺς λόγους τῆς 10
προφητείας τοῦ βιβλίου τούτου ὅτι ◦ ὁ καιρὸς ἐγγύς ἐστιν ◦
ὁ ἀδικῶν ἀδικησάτω ἔτι καὶ ὁ ῥυπῶν ◦ ῥυπωσάτω ἔτι καὶ 11
ὁ δίκαιος δικαιωθήτω ἔτι καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι ◦ κἀὶ 12
ἰδοὺ ἔρχομαι ταχὺ καὶ ὁ μισθός μου μετ᾽ ἐμοῦ ἀποδοῦ-
ναι ἑκάστῳ ὡς τὸ ἔργον αὐτοῦ ◦ ἔσται ◦ ἐγώ εἰμι τὸ ἀ καὶ 13
τὸ ω ἀρχὴ ◦ καὶ τέλος ὁ πρῶτος καὶ ὁ ἔσχατος ◦ μακάριοι 14
οἱ ποιοῦντες ◦ τὰς ἐντολὰς αὐτοῦ ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν
ἐπὶ τὸ ξύλον τῆς ζωῆς καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν
πόλιν ◦ ἔξω δὲ ◦ οἱ κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ πόρνοι καὶ 15
οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι καὶ πᾶς ὁ ◦ φιλῶν καὶ ποιῶν
ψεῦδος ◦ ἐγὼ ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆ- 16
σαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ
γένος τοῦ δαβὶδ ὁ ἀστὴρ ὁ λαμπρὸς καὶ ◦ ὀρθρινός ◦ καὶ τὸ 17
πνεῦμα καὶ ἡ νύμφη λέγουσιν ἐλθὲ ◦ καὶ ὁ ἀκούων εἰπάτω

**v.6** ΤΚV: ειπεν, Μ: λεγει. **v.6** Τ*: κυριος, V: ο κυριος. **v.6** ΤΚ: των αγιων, MV: των πνευματων των. **v.7** ΤΚ: ιδου, MV: και ιδου. **v.8** ΤΚ: και εγω, MV: καγω. **v.8** ΤΚ: βλεπων ταυτα και ακουων, MV: ακουων και βλεπων ταυτα. **v.8** ΤΚV: εβλεψα επεσα, Μ: οτε ειδον επεσον. **v.8** ΤΚV: δεικνυοντος, Μ: δεικνυντος. **v.9** ΤΚ: γαρ, MV: ∅. **v.10** ΤΚ: οτι ο καιρος, MV: ο καιρος γαρ. **v.11** ΤΚ: ρυπων ρυπωσατω, Μ: ρυπαρος ρυπαρευθητω, V: ρυπαρος ρυπανθητω. **v.11** ΤΚ: δικαιωθητω, MV: δικαιοσυνην ποιησατω. **v.12** ΤΚ: και, MV: ∅. **v.12** ΤΚ: αυτου εσται, Μ: εσται αυτου, V: εστιν αυτου. **v.13** ΤΚ: ειμι, MV: ∅. **v.13** ΤΚ: α, MV: αλφα. **v.13** ΤΚ: αρχη και τελος ο πρωτος και ο εσχατος, MV: ο πρωτος και ο εσχατος η αρχη και το τελος. **v.14** Τ*: ποιουντες τας εντολας αυτου, V: πλυνοντες τας στολας αυτων. **v.15** ΤΚ: δε, MV: ∅. **v.15** Τ*: ο, V: ∅. **v.16** ΤΚ: του, MV: ∅. **v.16** Τ*: δαβιδ, V: δαυιδ. **v.16** ΤΚ: και ορθρινος, MV: ο πρωινος. **v.17** ΤΚ: ελθε, MV: ερχου.

ἐλθὲ˚ καὶ ὁ διψῶν ἐλθέτω καὶ ὁ θέλων λαμβανέτω˚ τὸ ὕ-
18 δωρ ζωῆς δωρεάν ⸰ συμμαρτυροῦμαι˚ γὰρ παντὶ ἀκούοντι
τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου ἐάν τις ἐ-
πιτιθῇ˚ πρὸς ταῦτα ἐπιθήσει ὁ θεὸς ἐπ᾽ αὐτὸν τὰς πληγὰς
19 τὰς γεγραμμένας ἐν βιβλίῳ τούτῳ ⸰ καὶ ἐάν τις ἀφέλῃ ἀπὸ
τῶν λόγων βίβλου τῆς προφητείας ταύτης ἀφελήσει ὁ θε-
ὸς τὸ μέρος αὐτοῦ ἀπὸ βίβλου τῆς ζωῆς καὶ ἐκ τῆς πόλεως
20 τῆς ἁγίας καὶ τῶν γεγραμμένων ἐν βιβλίῳ τούτῳ ⸰ λέγει ὁ
μαρτυρῶν ταῦτα ναὶ ἔρχομαι ταχύ ἀμὴν ναὶ ἔρχου κύριε
21 ἰησοῦ ⸰ ἡ χάρις τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ μετὰ πάν-
των ὑμῶν˚ ἀμήν ⸰

ΤΕΛΟΣ.

**v.17** TK: ελθετω, MV: ερχεσθω. **v.17** TK: και, MV: ∅. **v.17** TK: λαμβανετω το, MV: λαβετω. **v.18** TK: συμμαρτυρουμαι γαρ, MV: μαρτυρω εγω. **v.18** TK: ακουοντι, MV: τω ακουοντι. **v.18** TK: επιτιθη προς ταυτα, MV: επιθη επ αυτα. **v.18** TKV: επιθησει, M: επιθησαι. **v.18** TK: βιβλιω, MV: τω βιβλιω. **v.19** TK: αφαιρη, MV: αφελη. **v.19** TK: βιβλου, MV: του βιβλιου. **v.19** TK: αφαιρησει, M: αφελοι, V: αφελει. **v.19** TK: βιβλου, MV: του ξυλου. **v.19** TK: και, MV: ∅. **v.19** TK: βιβλιω, MV: τω βιβλιω. **v.20** T*: ναι, V: ∅. **v.21** TK: ημων, MV: ∅. **v.21** T*: χριστου, V: ∅. **v.21** TK: υμων αμην, M: των αγιων αμην, V: ∅.